Codices Graeci et Latini

photographice depicti

duce Scatone De Vries

Bibliothecae Universitatis Leidensis Praefecto

Tom. IV

PLATO

Codex Oxoniensis Clarkianus 39

PARS ALTERA

LUGDUNI BATAVORUM

A. W. SIJTHOFF

1899

PLATO

Codex Oxoniensis Clarkianus 39

phototypice editus

Praefatus est Thomas Guilelmus Allen

PARS ALTERA

LUGDUNI BATAVORUM

A. W. SIJTHOFF

1899

PAPYRUS
2
114
.C67
t.4

ἅμα τῇ κλήσει, ὦ φαληρεὺς ἔφη οὗτος ἀπολλόδωρος· οὐ περιμε-
νεῖς; κἀγὼ ἐπιστὰς περιέμεινα. καὶ ὃς ἀπολλόδωρε ἔφη καὶ
μὴν καὶ ἔναγχος σε ἐζήτουν βουλόμενος διαπυθέσθαι τὴν ἀγά-
θωνος συνουσίαν καὶ σωκράτους καὶ ἀλκιβιάδου καὶ τῶν ἄλλων
τῶν τότε ἐν τῷ συνδείπνῳ παραγενομένων περὶ τῶν ἐρωτικῶν
λόγων τίνες ἦσαν. ἄλλος γάρ τίς μοι διηγεῖτο ἀκηκοὼς φοίνι-
κος τοῦ φιλίππου· ἔφη δὲ καὶ σὲ εἰδέναι. ἀλλὰ γὰρ οὐδὲν εἶχε σα-
φὲς λέγειν. σὺ οὖν μοι διήγησαι· δικαιότατος γὰρ εἶ τοὺς τοῦ ἑ-
ταίρου λόγους ἀπαγγέλλειν. πρότερον δέ μοι ἦ δ' ὅς εἰπὲ σὺ
αὐτὸς παρεγένου τῇ συνουσίᾳ ταύτῃ ἢ οὔ; κἀγὼ εἶπον ὅτι
παντάπασιν ἔοικέ σοι οὐδὲν διηγεῖσθαι σαφὲς ὁ διηγούμενος·
εἰ νεωστὶ ἡγεῖ τὴν συνουσίαν γεγονέναι ταύτην ἣν ἐρωτᾷς,
ὥστε καὶ ἐμὲ παραγενέσθαι. ἔγωγε δή. πόθεν ἦν δ' ἐγὼ ὦ γλαύ-
κων. οὐκ οἶσθ' ὅτι πολλῶν ἐτῶν ἀγάθων ἐνθάδε οὐκ ἐπιδεδήμη-
κεν· ἀφ' οὗ δ' ἐγὼ σωκράτει συνδιατρίβω καὶ ἐπιμελὲς πεποίημαι
ἑκάστης ἡμέρας εἰδέναι ὅτι ἂν λέγῃ ἢ πράττῃ, οὐδέπω τρία
ἔτη ἐστί· πρὸ τοῦ δὲ περιτρέχων ὅπῃ τύχοιμι καὶ οἰόμενός τι ποι-
εῖν ἀθλιώτερος ἢ ὁτουοῦν, οὐχ ἧττον ἢ σὺ νυνί, οἰόμενος δεῖν
πάντα μᾶλλον πράττειν ἢ φιλοσοφεῖν. καὶ ὅς μὴ σκῶπτ' ἔφη
ἀλλ' εἰπέ μοι πότε ἐγένετο ἡ συνουσία αὕτη. κἀγὼ εἶπον ὅτι
παίδων ὄντων ἡμῶν ἔτι, ὅτε τῇ πρώτῃ τραγῳδίᾳ ἐνίκησεν ἀγά-
θων· τῇ ὑστεραίᾳ ἢ ᾗ τὰ ἐπινίκια ἔθυεν αὐτός τε καὶ οἱ χορευταί.
πάνυ ἔφη πάλαι ἄρα. ἀλλὰ τίς σοι διηγεῖτο; ἢ αὐτὸς σω-
κράτης. οὐ μὰ τὸν δία ἦν δ' ἐγὼ ἀλλ' ὅσπερ φοίνικι. ἀριστόδημος
ἦν τις κυδαθηναιεὺς σμικρὸς ἀνυπόδητος ἀεί. παραγε-
γόνει δ' ἐν τῇ συνουσίᾳ σωκράτους ἐραστὴς ὢν ἐν τοῖς μάλιστα
τῶν τότε ὡς ἐμοὶ δοκεῖ. οὐ μέντοι ἀλλὰ καὶ σωκράτη γε ἔνια ἤδη
ἀνηρόμην ὧν ἐκείνου ἤκουσα καί μοι ὡμολόγει καθάπερ ἐ-
κεῖνος διηγεῖτο. τί οὖν ἔφη οὐ διηγήσω μοι; πάντως δὲ ἡ ὁ-
δὸς ἡ εἰς ἄστυ ἐπιτηδεία πορευομένοις καὶ λέγειν καὶ ἀκούειν.
οὕτω δὴ ἰόντες ἅμα τοὺς λόγους περὶ αὐτῶν ἐποιούμεθα· ὥστε
ὅπερ ἀρχόμενος εἶπον οὐκ ἀμελετήτως ἔχω. εἰ οὖν δεῖ καὶ
ὑμῖν διηγήσασθαι, ταῦτα χρὴ ποιεῖν. καὶ γὰρ ἔγωγε καὶ ἄλλως
ὅταν μέν τινας περὶ φιλοσοφίας λόγους ἢ αὐτὸς ποιῶμαι

ΑΤΤΙΚΟΝ ΤΟΥΤΟ Α
ΤΟΥ ΕΑ ΣΥΝΗΙΡΗΜΕ
ΝΟΝ ΣΗΜΑΙΝΕΙ ΔΕ ΤΟ
ΕΑ ΤΟΥ ΥΠΗΡΧΟΝ· ΕΣΤΙ
ΠΑ ΤΟΥ ΗΝ ΚΑΙ ΛΥΣΙΝ
ΙΩΝΙΚΗΝ· ΟΜΗΡΟΣ Η
ΤΟ ΤΕ ΚΟΥΡΟΣ ΕΑΝ ΗΔΥ
ΤΕ ΜΕ ΤΥΡΙ
ΚΑΝΕΙ

ἄλλων ἀκούω, χωρὶς τοῦ οἴεσθαι ὠφελεῖσθαι ὑπερφυῶς ὡς
χαίρω· ὅταν δὲ ἄλλους τινάς, ἄλλως τε καὶ τοὺς ὑμετέρους τοὺς τῶν
πλουσίων καὶ χρηματιστικῶν, αὐτός τε ἄχθομαι ὑμᾶς τε τοὺς ἑ-
ταίρους ἐλεῶ, ὅτι οἴεσθέ τι ποιεῖν οὐδὲν ποιοῦντες. καὶ ἴσως
αὖ ὑμεῖς ἐμὲ ἡγεῖσθε κακοδαίμονα εἶναι· καὶ οἴομαι ὑμᾶς ἀ-
ληθῆ οἴεσθαι· ἐγὼ μέντοι ὑμᾶς οὐκ οἴομαι ἀλλ' εὖ οἶδα. ἀεὶ ὅμοι-
ος εἶ ὦ ἀπολλόδωρε· ἀεὶ γὰρ σαυτόν τε κακηγορεῖς καὶ τοὺς
ἄλλους· καὶ δοκεῖς μοι ἀτεχνῶς πάντας ἀθλίους ἡγεῖσθαι πλὴν
σωκράτους, ἀπὸ σαυτοῦ ἀρξάμενος· καὶ ὁπόθεν ποτὲ ταύτην
τὴν ἐπωνυμίαν ἔλαβες τὸ μαλακὸς καλεῖσθαι οὐκ οἶδα ἔγωγε·
ἐν μὲν γὰρ τοῖς λόγοις ἀεὶ τοιοῦτος εἶ, σαυτῷ τε καὶ τοῖς ἄλλοις
ἀγριαίνεις πλὴν σωκράτους. ὦ φίλτατε, καὶ δῆλόν γε δὴ ὅτι
οὕτω διανοούμενος καὶ περὶ ἐμαυτοῦ καὶ περὶ ὑμῶν μαίνο-
μαι καὶ παραπαίω. οὐκ ἄξιον περὶ τούτων ἀπολλόδωρε νῦν
ἐρίζειν· ἀλλ' ὅπερ ἐδεόμεθά σου, μὴ ἄλλως ποιήσῃς, ἀλλὰ διή-
γησαι τίνες ἦσαν οἱ λόγοι. ἦσαν τοίνυν ἐκεῖνοι τοιοίδε τινές·
μᾶλλον δ' ἐξ ἀρχῆς ὑμῖν ὡς ἐκεῖνος διηγεῖτο καὶ ἐγὼ πειράσο-
μαι διηγήσασθαι. ἔφη γάρ οἱ σωκράτη ἐντυχεῖν λελουμένον τε
καὶ τὰς βλαύτας ὑποδεδεμένον, ἃ ἐκεῖνος ὀλιγάκις ἐποίει·
καὶ ἐρέσθαι αὐτὸν ὅποι ἴοι οὕτω καλὸς γεγενημένος. καὶ τὸν εἰ-
πεῖν ὅτι ἐπὶ δεῖπνον εἰς ἀγάθωνος. χθὲς γὰρ αὐτὸν διέφυγον
τοῖς ἐπινικίοις φοβηθεὶς τὸν ὄχλον· ὡμολόγησα δ' εἰς τήμε-
ρον παρέσεσθαι. ταῦτα δὴ ἐκαλλωπισάμην, ἵνα καλὸς παρὰ
καλὸν ἴω. ἀλλὰ σύ, ἦ δ' ὅς, πῶς ἔχεις πρὸς τὸ ἐθέλειν ἂν ἰέναι ἄκλη-
τος ἐπὶ δεῖπνον; κἀγώ, ἔφη, εἶπον ὅτι οὕτως ὅπως ἂν σὺ κελεύ-
ῃς. ἕπου τοίνυν, ἔφη, ἵνα καὶ τὴν παροιμίαν διαφθείρωμεν
μεταβαλόντες, ὡς ἄρα καὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν αὐτόματοι
ἀγαθοί. ὅμηρος μὲν γὰρ κινδυνεύει οὐ μόνον διαφθεῖραι ἀλ-
λὰ καὶ ὑβρίσαι εἰς ταύτην τὴν παροιμίαν· ποιήσας γὰρ τὸν ἀγα-
μέμνονα διαφερόντως ἀγαθὸν ἄνδρα τὰ πολεμικά, τὸν δὲ
μενέλεων μαλθακὸν αἰχμητήν, θυσίαν ποιουμένου καὶ ἑστιῶν-
τος τοῦ ἀγαμέμνονος ἄκλητον ἐποίησεν ἐλθόντα τὸν μενέ-
λεων ἐπὶ τὴν θοίνην, χείρω ὄντα ἐπὶ τὴν τοῦ ἀμείνονος. ταῦ-
τ' ἀκούσας εἰπεῖν ἔφη· ἴσως μέντοι κινδυνεύσω καὶ ἐγὼ οὐχ ὡς

σὺ λέγεις ὦ σώκρατες· ἀλλὰ καθ' ὅμηρον· φαῦλος ὢν ἐπὶ σοφοῦ ἀν-
δρὸς ἰέναι θοίνην ἄκλητος· ὅρα οὖν ἄγων με τί ἀπολογήσῃ· ὡς
ἐγὼ μὲν οὐχ ὁμολογήσω ἄκλητος ἥκειν ἀλλ' ὑπὸ σοῦ κεκλημένος:
σύν τε δύ' ἔφη ἐρχομένω πρὸ ὁδοῦ βουλευσόμεθα ὅτι ἐροῦμεν
ἀλλ' ἴωμεν: τοιαῦτ' ἄττα σφᾶς ἔφη διαλεχθέντας ἰέναι· τὸν
οὖν σωκράτη ἑαυτῷ πως προσέχοντα τὸν νοῦν κατὰ τὴν ὁδὸν
πορεύεσθαι ὑπολειπόμενον καὶ περιμένοντος οὗ κελεύειν προ-
ϊέναι εἰς τὸ πρόσθεν· ἐπειδὴ δὲ γενέσθαι ἐπὶ τῇ οἰκίᾳ τῇ ἀγάθω-
νος ἀνεῳγμένην καταλαμβάνειν τὴν θύραν καί τι ἔφη αὐτόθι
γελοῖον παθεῖν· οἷ μὲν γὰρ εὐθὺς παῖδά τινα ἔνδοθεν ἀπαντή-
σαντα ἄγειν οὗ κατέκειντο οἱ ἄλλοι· καὶ καταλαμβάνειν ἤδη μέλλον-
τας δειπνεῖν· εὐθὺς δ' οὖν ὡς ἰδεῖν τὸν ἀγάθωνα ὦ φάναι ἀριστό-
δημε εἰς καλὸν ἥκεις ὅπως συνδειπνήσῃς· εἰ δ' ἄλλου τινὸς
ἕνεκα ἦλθες εἰς αὖθις ἀναβαλοῦ: ὡς καὶ χθὲς ζητῶν σε ἵνα
καλέσαιμι οὐχ οἷός τε ἰδεῖν· ἀλλὰ σωκράτη ἡμῖν πῶς οὐκ ἄγεις:
καὶ ἐγὼ ἔφη μεταστρεφόμενος οὐδαμοῦ ὁρῶ σωκράτη ἑπόμενον·
εἰπὸν οὖν ὅτι καὶ αὐτὸς μετὰ σωκράτους ἥκοιμι κληθεὶς ὑπ' ἐκεί-
νου δεῦρ' ἐπὶ δεῖπνον: καλῶς ἔφη ποιῶν σύ· ἀλλὰ ποῦ ἐστιν οὗτος
ὄπισθεν ἐμοῦ ἄρτι εἰσῄει· ἀλλὰ θαυμάζω καὶ αὐτὸς ποῦ ἂν εἴη:
οὐ σκέψει ἔφη παῖ φάναι τὸν ἀγάθωνα καὶ εἰσάξεις σωκράτη:
σὺ δ' ἦ δ' ὃς ἀριστόδημε παρ' ἐρυξίμαχον κατακλίνου· καὶ ἓ μὲν ἔφη
ἀπονίζειν τὸν παῖδα ἵνα κατακέοιτο: ἄλλον δέ τινα τῶν παίδων
ἥκειν ἀγγέλλοντα ὅτι σωκράτης οὗτος ἀναχωρήσας ἐν τῷ τῶν
γειτόνων προθύρῳ ἕστηκεν· καὶ οὗ καλῶ ὅπως οὐκ ἐθέλει εἰσιέναι:
ἄτοπόν γ' ἔφη λέγεις· οὔκουν καλεῖς αὐτὸν καὶ μὴ ἀφήσεις: καὶ
ὃς ἔφη εἰπεῖν μηδαμῶς ἀλλ' ἐᾶτε αὐτόν· ἔθος γάρ τι τοῦτ' ἔχει· ἐνί-
οτε ἀποστὰς ὅποι ἂν τύχῃ ἕστηκεν· ἥξει δ' αὐτίκα ὡς ἐγὼ οἶμαι·
μὴ οὖν κινεῖτε ἀλλ' ἐᾶτε· ἀλλ' οὕτω χρὴ ποιεῖν εἰ σοὶ δοκεῖ φάναι τὸν
ἀγάθωνα· ἀλλ' ἡμᾶς ὦ παῖδες τοὺς ἄλλους ἑστιᾶτε· πάντως παρα-
τίθετε ὅτι ἂν βούλησθε ἐπειδάν τις ὑμῖν μὴ ἐφεστήκῃ ὃ ἐγὼ οὐ-
δεπώποτε ἐποίησα· νῦν οὖν νομίζοντες καὶ ἐμὲ ὑφ' ὑμῶν κε-
κλῆσθαι ἐπὶ δεῖπνον καὶ τούσδε τοὺς ἄλλους θεραπεύετε ἵν' ὑμᾶς
ἐπαινῶμεν· μετὰ ταῦτα ἔφη σφᾶς μὲν δειπνεῖν· τὸν δὲ σωκράτη
οὐκ εἰσιέναι: τὸν οὖν ἀγάθωνα πολλάκις κελεύειν μεταπέμψασθαι

σθαι τὸν σωκράτη· ἐμὲ δὲ οὐκ ἐᾶν· ἥκειν οὖν αὐτὸν οὐ πολὺν χρόνον
ὡς εἰώθει διατρίψαντα· ἀλλὰ μάλιστα σφᾶς μεσοῦν δειπνοῦντας·
τὸν οὖν ἀγάθωνα τυγχάνειν γὰρ ἔσχατον κατακείμενον μόνον
δεῦρ' ἔφη φάναι σώκρατες παρ' ἐμὲ κατάκεισο· ἵνα καὶ τοῦ σο
φοῦ ἀπολαύσω ὅ σοι προσέστη ἐν τοῖς προθύροις· δῆλον γὰρ ὅ
τι ηὗρες αὐτὸ καὶ ἔχεις· οὐ γὰρ ἂν προαπέστης: καὶ τὸν σωκράτη
καθίζεσθαι καὶ εἰπεῖν ὅτι εὖ ἂν ἔχοι φάναι ὦ ἀγάθων εἰ τοιοῦτον
εἴη ἡ σοφία, ὥστε ἐκ τοῦ πληρεστέρου εἰς τὸ κενώτερον ῥεῖν ἡμῶν
ἐὰν ἁπτώμεθα ἀλλήλων· ὥσπερ τὸ ἐν ταῖς κύλιξιν ὕδωρ τὸ διὰ
τοῦ ἐρίου ῥέον ἐκ τῆς πληρεστέρας εἰς τὴν κενωτέραν· εἰ γὰρ οὕ
τως ἔχει καὶ ἡ σοφία πολλοῦ τιμῶμαι τὴν παρὰ σοὶ κατάκλισιν·
οἶμαι γάρ με παρὰ σοῦ πολλῆς καὶ καλῆς σοφίας πληρωθήσε
σθαι· ἡ μὲν γὰρ ἐμὴ φαύλη τις ἂν εἴη καὶ ἀμφισβητήσιμος ὥσπερ
ὄναρ οὖσα· ἡ δὲ σὴ λαμπρά τε καὶ πολλὴν ἐπίδοσιν ἔχουσα ἥ γε
παρὰ σοῦ νέου ὄντος οὕτω σφόδρα ἐξέλαμψεν καὶ ἐκφανὴς ἐγέ
νετο πρῴην ἐν μάρτυσι τῶν ἑλλήνων πλέον ἢ τρισμυρίοις: ὑβρι
στὴς εἶ ἔφη ὦ σώκρατες ὁ ἀγάθων· καὶ ταῦτα μὲν καὶ ὀλίγον ὕστε
ρον διαδικασόμεθα ἐγώ τε καὶ σὺ περὶ τῆς σοφίας δικαστῇ χρώ
μενοι τῷ διονύσῳ· νῦν δὲ πρὸς τὸ δεῖπνον πρῶτα τρέπου: με
τὰ ταῦτα ἔφη κατακλινέντος τοῦ σωκράτους καὶ δειπνήσαντος
καὶ τῶν ἄλλων σπονδάς τε σφᾶς ποιήσασθαι καὶ ᾄσαντας τὸν θε
ὸν καὶ τἆλλα τὰ νομιζόμενα τρέπεσθαι πρὸς τὸν πότον· τὸν οὖν
παυσανίαν ἔφη λόγου τοιούτου τινὸς κατάρχειν: εἶεν ἄνδρες
φάναι τίνα τρόπον ῥᾷστα πιόμεθα· ἐγὼ μὲν οὖν λέγω ὑμῖν ὅτι τῷ
ὄντι πάνυ χαλεπῶς ἔχω ὑπὸ τοῦ χθὲς πότου καὶ δέομαι ἀναψυ
χῆς τινος· οἶμαι δὲ καὶ ὑμῶν τοὺς πολλούς· παρῆστε γὰρ χθές·
σκοπεῖσθε οὖν τίνι τρόπῳ ἂν ὡς ῥᾷστα πίνοιμεν· τὸν οὖν ἀριστο
φάνη εἰπεῖν· τοῦτο μέντοι εὖ λέγεις ὦ παυσανία τὸ παντὶ τρό
πῳ παρασκευάζεσθαι ῥᾳστώνην τινὰ τῆς πόσεως· καὶ γὰρ αὐ
τός εἰμι τῶν χθὲς βεβαπτισμένων: ἀκούσαντα οὖν αὐτῶν ἔφη τὸν
ἐρυξίμαχον τὸν ἀκουμενοῦ ἦ καλῶς φάναι λέγετε· καὶ ἔτι ἑνὸς δέ
ομαι ὑμῶν ἀκοῦσαι πῶς ἔχει πρὸς τὸ ἐρρῶσθαι πίνειν ἀγάθων:
οὐδαμῶς φάναι οὐδ' αὐτὸς ἔρρωμαι: ἕρμαιον ἂν εἴη ἡμῖν ἦ δ' ὅς
ὡς ἔοικεν ἐμοί τε καὶ ἀριστοδήμῳ καὶ φαίδρῳ καὶ τοῖσδε εἰ ὑ

μεῖς οἱ δυνατώτατοι πίνειν νῦν ἀπειρήκατε· ἡμεῖς μὲν γὰρ ἀεὶ ἀδύ-
νατοι· Σωκράτη δ' ἐξαιρῶ λόγου· ἱκανὸς γὰρ καὶ ἀμφότερα· ὥστ' ἐξ-
β αρκέσει αὐτῷ ὁπότερ' ἂν ποιῶμεν. ἐπειδὴ οὖν μοι δοκεῖ οὐδεὶς
τῶν παρόντων προθύμως ἔχειν πρὸς τὸ πολὺν πίνειν οἶνον· ἴσως
ἀνδ. ἂν ἐγὼ περὶ τοῦ μεθύσκεσθαι οἷόν ἐστι τἀληθῆ λέγων ἧττον ἂν εἴ-
ην ἀηδής· ἐμοὶ γὰρ δὴ τοῦτό γε οἶμαι κατάδηλον γεγονέναι ἐκ
τῆς ἰατρικῆς, ὅτι χαλεπὸν τοῖς ἀνθρώποις ἡ μέθη ἐστίν· καὶ οὔτε
αὐτὸς ἑκὼν εἶναι πόρρω ἐθελήσαιμι ἂν πιεῖν· οὔτε ἄλλῳ συμβου-
λεύσαιμι· ἄλλως τε καὶ κραιπαλῶντα ἔτι ἐκ τῆς προτεραίας· ἀλλὰ μήν,
ἔφη φάναι ὑπολαβόντα Φαῖδρον τὸν Μυρρινούσιον, ἔγωγέ σοι εἴω-
θα πείθεσθαι, ἄλλως τε καὶ ἅττ' ἂν περὶ ἰατρικῆς λέγῃς· νῦν δ' ἂν
εὖ βουλεύωνται καὶ οἱ λοιποί· ταῦτα δὴ ἀκούσαντας συγχωρεῖν πάν-
τας μὴ διὰ μέθης ποιήσασθαι τὴν ἐν τῷ παρόντι συνουσίαν· ἀλλ' οὕ-
τω πίνοντας πρὸς ἡδονήν· ἐπειδὴ τοίνυν φάναι τὸν Ἐρυξίμαχον,
τοῦτο μὲν δέδοκται, πίνειν ὅσον ἂν ἕκαστος βούληται· ἐπάναγκες δὲ
μηδὲν εἶναι, τὸ μετὰ τοῦτο εἰσηγοῦμαι τὴν μὲν ἄρτι εἰσελθοῦσαν
αὐλητρίδα χαίρειν ἐᾶν, αὐλοῦσαν ἑαυτῇ ἢ ἂν βούληται ταῖς γυναι-
ξὶ ταῖς ἔνδον· ἡμᾶς δὲ διὰ λόγων ἀλλήλοις συνεῖναι τὸ τήμερον·
καὶ δι' οἵων λόγων, εἰ βούλεσθε, ἐθέλω ὑμῖν εἰσηγήσασθαι· φάναι
δὴ πάντας καὶ βούλεσθαι καὶ κελεύειν αὐτὸν εἰσηγεῖσθαι· εἰπεῖν
οὖν τὸν Ἐρυξίμαχον ὅτι ἡ μέν μοι ἀρχὴ τοῦ λόγου ἐστὶ κατὰ τὴν
Εὐριπίδου Μελανίππην· οὐ γὰρ ἐμὸς ὁ μῦθος, ἀλλὰ Φαίδρου τοῦδε,
ὃν μέλλω λέγειν· Φαῖδρος γὰρ ἑκάστοτε πρός με ἀγανακτῶν
λέγει· οὐ δεινόν, φησίν, ὦ Ἐρυξίμαχε, ἄλλοις μέν τισι θεῶν ὕμνους
καὶ παίωνας εἶναι ὑπὸ τῶν ποιητῶν πεποιημένους· τῷ δὲ ἔ-
ρωτι, τηλικούτῳ ὄντι καὶ τοσούτῳ θεῷ, μηδὲ ἕνα πώποτε το-
σούτων γεγονότων ποιητῶν πεποιηκέναι μηδὲν ἐγκώμιον· εἰ δὲ
βούλει αὖ σκέψασθαι τοὺς χρηστοὺς σοφιστάς, Ἡρακλέους μὲν καὶ
ἄλλων ἐπαίνους καταλογάδην συγγράφειν, ὥσπερ ὁ βέλτιστος
Πρόδικος· καὶ τοῦτο μὲν ἧττον καὶ θαυμαστόν· ἀλλ' ἔγωγε ἤδη τι-
νὶ βιβλίῳ ἐνέτυχον ἀνδρὸς σοφοῦ, ἐν ᾧ ἐνῆσαν ἅλες ἔπαινον θαυμάσιον ἔχον-
τες πρὸς ὠφέλειαν· καὶ ἄλλα τοιαῦτα συχνὰ ἴδοις ἂν ἐγκεκω-
μιασμένα· τὸ οὖν τοιούτων μὲν πέρι πολλὴν σπουδὴν ποιήσα-
σθαι, ἔρωτα δὲ μηδένα πω ἀνθρώπων τετολμηκέναι εἰς ταυτηνὶ

τὴν ἡμέραν ἀξίως ὑμνῆσαι· ἀλλ' οὕτως ἠμέληται τοσοῦτος θεός· ταῦ
τα δή μοι δοκεῖ εὖ λέγειν φαῖδρος· ἐγὼ οὖν ἐπιθυμῶ ἅμα μὲν τού
τῳ ἔρανον εἰσενεγκεῖν καὶ χαρίσασθαι, ἅμα δ' ἐν τῷ παρόντι πρέ
πον μοι δοκεῖ εἶναι ἡμῖν τοῖς παροῦσι κοσμῆσαι τὸν θεόν· εἰ οὖν ξυν
δοκεῖ καὶ ὑμῖν, γένοιτ' ἂν ἡμῖν ἐν λόγοις ἱκανὴ διατριβή· δοκεῖ γάρ
μοι χρῆναι ἕκαστον ἡμῶν λόγον εἰπεῖν ἔπαινον ἔρωτος ἐπὶ δε
ξιὰ ὡς ἂν δύνηται κάλλιστον· ἄρχειν δὲ φαῖδρον πρῶτον ἐπειδὴ
καὶ πρῶτος κατάκειται καὶ ἔστιν ἅμα πατὴρ τοῦ λόγου: οὐδείς σοι
ὦ ἐρυξίμαχε φάναι τὸν σωκράτη ἐναντία ψηφιεῖται· οὔτε γὰρ ἄν που
ἐγὼ ἀποφήσαιμι ὃς οὐδέν φημι ἄλλο ἐπίστασθαι ἢ τὰ ἐρωτικά· οὔ
τε που ἀγάθων καὶ παυσανίας· οὐδὲ μὴν ἀριστοφάνης ᾧ περὶ
διόνυσον καὶ ἀφροδίτην πᾶσα ἡ διατριβή· οὐδὲ ἄλλος οὐδεὶς
τουτωνὶ ὧν ἐγὼ ὁρῶ· καίτοι οὐκ ἐξ ἴσου γίγνεται ἡμῖν τοῖς ὑστά
τοις κατακειμένοις· ἀλλ' ἐὰν οἱ πρόσθεν ἱκανῶς καὶ καλῶς εἴ
πωσιν ἐξαρκέσει ἡμῖν· ἀλλὰ τύχῃ ἀγαθῇ καταρχέτω φαῖδρος καὶ
ἐγκωμιαζέτω τὸν ἔρωτα: ταῦτα δὴ καὶ οἱ ἄλλοι πάντες ἄρα ξυνέ
φασάν τε καὶ ἐκέλευον ἅπερ ὁ σωκράτης· πάντων μὲν οὖν ἃ ἕκα
στος εἶπεν οὔτε πάνυ ὁ ἀριστόδημος ἐμέμνητο· οὔτ' αὖ ἐγὼ ἃ ἐκεῖ
νος ἔλεγε πάντα· ἃ δὲ μάλιστα καὶ ὧν ἔδοξέ μοι ἀξιομνημόνευτον
τούτων ὑμῖν ἐρῶ ἑκάστου τὸν λόγον· πρῶτον μὲν γὰρ ὥσπερ λέ
γω ἔφη φαῖδρον ἀρξάμενον ἐνθένδε ποθὲν λέγειν ὅτι μέγας
θεὸς εἴη ὁ ἔρως καὶ θαυμαστὸς ἐν ἀνθρώποις τε καὶ θεοῖς
πολλαχῆι μὲν καὶ ἄλληι· οὐχ ἥκιστα δὲ κατὰ τὴν γένεσιν· τὸ γὰρ
ἐν τοῖς πρεσβύτατον εἶναι τὸν θεὸν τίμιον ἦ δ' ὅς· τεκμήριον
δὲ τούτου· γονῆς γὰρ ἔρωτος οὔτ' εἰσὶν οὔτε λέγονται ὑπ' οὐ
δενὸς οὔτε ἰδιώτου οὔτε ποιητοῦ· ἀλλ' ἡσίοδος πρῶτον μὲν
χάος φησὶ γενέσθαι· αὐτὰρ ἔπειτα γαῖ' εὐρύστερνος πάντων
ἕδος ἀσφαλὲς αἰεὶ ἠδ' ἔρος· φησὶ μετὰ τὸ χάος δύο τούτω γε
νέσθαι γῆν τε καὶ ἔρωτα· παρμενίδης δὲ τὴν γένεσιν λέγει
πρώτιστον μὲν ἔρωτα θεῶν μητίσατο πάντων· ἡσιόδωι δὲ καὶ ἀ
κουσίλεως ὁμολογεῖ· οὕτω πολλαχόθεν ὁμολογεῖται ὁ ἔρως
ἐν τοῖς πρεσβύτατος εἶναι· πρεσβύτατος δὲ ὢν μεγίστων ἀ
γαθῶν ἡμῖν αἴτιός ἐστιν· οὐ γὰρ ἔγωγ' ἔχω εἰπεῖν ὅ τι μεῖζόν
ἐστιν ἀγαθὸν εὐθὺς νέωι ὄντι ἢ ἐραστὴς χρηστὸς καὶ ἐραστῆι

παιδικά· ὃ γὰρ χρὴ ἀνθρώποις ἡγεῖσθαι παντὸς τοῦ βίου τοῖς
μέλλουσι καλῶς βιώσεσθαι· τοῦτο οὔτε συγγένεια οἵα τε ἐμποιεῖν
οὕτω καλῶς· οὔτε τιμαί· οὔτε πλοῦτος οὔτ' ἄλλο οὐδὲν ὡς ἔρως·
λ λέγω δὲ δὴ τί τοῦτο; τὴν ἐπὶ μὲν τοῖς αἰσχροῖς αἰσχύνην· ἐπὶ δὲ
τοῖς καλοῖς φιλοτιμίαν· οὐ γὰρ ἔστιν ἄνευ τούτων οὔτε πόλιν
οὔτε ἰδιώτην μεγάλα καὶ καλὰ ἔργα ἐξεργάζεσθαι· φημὶ τοί-
νυν ἐγὼ ἄνδρα ὅστις ἐρᾷ, εἴ τι αἰσχρὸν ποιῶν κατάδηλος γί-
γνοιτο ἢ πάσχων ὑπό του δι' ἀνανδρίαν μὴ ἀμυνόμενος· οὔτ' ἂν
ὑπὸ πατρὸς ὀφθέντα οὕτως ἀλγῆσαι οὔτε ὑπὸ ἑταίρων οὔτε ὑπ'
ἄλλου οὐδενὸς ὡς ὑπὸ παιδικῶν· ταὐτὸν δὲ τοῦτο καὶ τὸν
ἐρώμενον ὁρῶμεν ὅτι διαφερόντως τοὺς ἐραστὰς αἰσχύνεται
ὅταν ὀφθῇ ἐν αἰσχρῷ τινι ὤν· εἰ οὖν μηχανή τις γένοιτο ὥστε
πόλιν γενέσθαι ἢ στρατόπεδον ἐραστῶν τε καὶ παιδικῶν· οὐκ ἔστιν
ὅπως ἂν ἄμεινον οἰκήσαιεν τὴν ἑαυτῶν ἢ ἀπεχόμενοι πάντων
τῶν αἰσχρῶν καὶ φιλοτιμούμενοι πρὸς ἀλλήλους καὶ μαχόμενοι
γ' ἂν μετ' ἀλλήλων οἱ τοιοῦτοι νικῷεν ἂν ὀλίγοι ὄντες ὡς ἔπος εἰ-
πεῖν πάντας ἀνθρώπους· ἐρῶν γὰρ ἀνὴρ ὑπὸ παιδικῶν ὀφθῆ-
ναι ἢ λιπὼν τάξιν ἢ ὅπλα ἀποβαλὼν ἧττον ἂν δήπου δέξαιτο
ἢ ὑπὸ πάντων τῶν ἄλλων· καὶ πρὸ τούτου τεθνάναι ἂν πολλάκις
ἕλοιτο· καὶ μὴν ἐγκαταλιπεῖν γε τὰ παιδικὰ ἢ μὴ βοηθῆσαι κιν-
δυνεύοντι· οὐδεὶς οὕτω κακὸς ὅντινα οὐκ ἂν αὐτὸς ὁ ἔρως ἔν-
θεον ποιήσειε πρὸς ἀρετήν· ὥστε ὅμοιον εἶναι τῷ ἀρίστῳ φύ-
σει· καὶ ἀτεχνῶς ὃ ἔφη ὅμηρος· μένος ἐμπνεῦσαι ἐνίοις
τῶν ἡρώων τὸν θεόν· τοῦτο ὁ ἔρως τοῖς ἐρῶσι παρέχει γιγνό-
μενον παρ' αὑτοῦ· καὶ μὴν ὑπεραποθνήσκειν γε μόνοι ἐθέλου-
σιν οἱ ἐρῶντες· οὐ μόνον ὅτι ἄνδρες ἀλλὰ καὶ αἱ γυναῖκες· τοῦ-
του δὲ καὶ ἡ πελίου θυγάτηρ ἄλκηστις ἱκανὴν μαρτυρίαν παρέ-
χεται ὑπὲρ τοῦδε τοῦ λόγου εἰς τοὺς ἕλληνας, ἐθελήσασα μό-
νη ὑπὲρ τοῦ αὑτῆς ἀνδρὸς ἀποθανεῖν ὄντων αὐτῷ πατρός τε
καὶ μητρός· οὓς ἐκείνη τοσοῦτον ὑπερεβάλετο τῇ φιλίᾳ διὰ
τὸν ἔρωτα· ὥστε ἀποδεῖξαι αὐτοὺς ἀλλοτρίους ὄντας τῷ ὑεῖ
καὶ ὀνόματι μόνον προσήκοντας· καὶ τοῦτ' ἐργασαμένη τὸ ἔργον·
οὕτω καλὸν ἔδοξεν ἐργάσασθαι οὐ μόνον ἀνθρώποις ἀλλὰ
καὶ θεοῖς· ὥστε πολλῶν πολλὰ καὶ καλὰ ἐργασαμένων· εὐα-

ρι θνητοῖς δή τισιν ἔδοσαν τοῦτο γέρας οἱ θεοί, ἐξ ᾅδου ἀνεῖναι
πάλιν τὴν ψυχήν, ἀλλὰ τὴν ἐκείνης ἀνεῖσαν ἀγασθέντες τῷ ἔργῳ·
οὕτω καὶ θεοὶ τὴν περὶ τὸν ἔρωτα σπουδήν τε καὶ ἀρετὴν μάλιστα
τιμῶσιν. Ὀρφέα δὲ τὸν Οἰάγρου ἀτελῆ ἀπέπεμψαν ἐξ ᾅδου, φά-
σμα δείξαντες τῆς γυναικὸς ἐφ' ἣν ἧκεν, αὐτὴν δὲ οὐ δόντες, ὅτι
μαλθακίζεσθαι ἐδόκει, ἅτε ὢν κιθαρῳδός, καὶ οὐ τολμᾶν ἕνεκα
τοῦ ἔρωτος ἀποθνῄσκειν ὥσπερ Ἄλκηστις, ἀλλὰ διαμηχανᾶ-
σθαι ζῶν εἰσιέναι εἰς ᾅδου. τοιγάρτοι διὰ ταῦτα δίκην αὐτῷ ἐ-
πέθεσαν, καὶ ἐποίησαν τὸν θάνατον αὐτοῦ ὑπὸ γυναικῶν γενέσθαι,
οὐχ ὥσπερ Ἀχιλλέα τὸν τῆς Θέτιδος υἱὸν ἐτίμησαν καὶ εἰς μακάρων
νήσους ἀπέπεμψαν, ὅτι πεπυσμένος παρὰ τῆς μητρὸς ὡς
ἀποθανοῖτο ἀποκτείνας Ἕκτορα, μὴ ἀποκτείνας δὲ τοῦτον οἴκα-
δε ἐλθὼν γηραιὸς τελευτήσοι, ἐτόλμησεν ἑλέσθαι βοηθήσας τῷ
ἐραστῇ Πατρόκλῳ καὶ τιμωρήσας οὐ μόνον ὑπεραποθανεῖν ἀλλὰ
καὶ ἐπαποθανεῖν τετελευτηκότι· ὅθεν δὴ καὶ ὑπεραγασθέντες
οἱ θεοὶ διαφερόντως αὐτὸν ἐτίμησαν, ὅτι τὸν ἐραστὴν οὕτω περὶ
πολλοῦ ἐποιεῖτο. Αἰσχύλος δὲ φλυαρεῖ φάσκων Ἀχιλλέα Πατρό-
κλου ἐρᾶν, ὃς ἦν καλλίων οὐ μόνον Πατρόκλου ἀλλὰ καὶ τῶν ἡρώ-
ων ἁπάντων, καὶ ἔτι ἀγένειος, ἔπειτα νεώτερος πολύ, ὥς φησιν
Ὅμηρος. ἀλλὰ γὰρ τῷ ὄντι μάλιστα μὲν ταύτην τὴν ἀρετὴν οἱ θεοὶ τι-
μῶσιν τὴν περὶ τὸν ἔρωτα, μᾶλλον μέντοι θαυμάζουσιν καὶ ἄγαν-
ται καὶ εὖ ποιοῦσιν ὅταν ὁ ἐρώμενος τὸν ἐραστὴν ἀγαπᾷ, ἢ ὅταν
ὁ ἐραστὴς τὰ παιδικά. θειότερον γὰρ ἐραστὴς παιδικῶν· ἔνθε-
ος γάρ ἐστι. διὰ ταῦτα καὶ τὸν Ἀχιλλέα τῆς Ἀλκήστιδος μᾶλλον ἐ-
τίμησαν, εἰς μακάρων νήσους ἀποπέμψαντες. οὕτω δὴ ἔγω-
γέ φημι Ἔρωτα θεῶν καὶ πρεσβύτατον καὶ τιμιώτατον καὶ κυριώ-
τατον εἶναι εἰς ἀρετῆς καὶ εὐδαιμονίας κτῆσιν ἀνθρώποις
καὶ ζῶσι καὶ τελευτήσασιν. Φαῖδρον μὲν τοιοῦτόν τινα λόγον ἔ-
φη εἰπεῖν, μετὰ δὲ Φαῖδρον ἄλλους τινὰς εἶναι ὧν οὐ πάνυ διεμνη-
μόνευε· ὧν παρεὶς τὸν Παυσανίου λόγον διηγεῖτο. εἰπεῖν δ' αὐ-
τὸν ὅτι οὐ καλῶς μοι δοκεῖ, ὦ Φαῖδρε, προβεβλῆσθαι ἡμῖν ὁ λό-
γος, τὸ ἁπλῶς οὕτως παρηγγέλθαι ἐγκωμιάζειν ἔρωτα.
εἰ μὲν γὰρ εἷς ἦν ὁ Ἔρως, καλῶς ἂν εἶχε· νῦν δὲ οὐ γάρ ἐστιν εἷς·
μὴ ὄντος δὲ ἑνός, ὀρθότερόν ἐστι πρότερον προρρηθῆναι

ὁποῖον δεῖ ἐπαινεῖν· ἐγὼ οὖν πειράσομαι τοῦτο ἐπανορθώσασθαι·
πρῶτον μὲν ἔρωτα φράσαι ὃν δεῖ ἐπαινεῖν· ἔπειτα ἐπαινέσαι ἀ-
ξίως τοῦ θεοῦ· πάντες γὰρ ἴσμεν ὅτι οὐκ ἔστιν ἄνευ ἔρωτος ἀφρο-
δίτη· μιᾶς μὲν οὖν οὔσης εἷς ἂν ἦν ἔρως· ἐπεὶ δὲ δὴ δύο ἐστόν·
δύο ἀνάγκη καὶ ἔρωτε εἶναι· πῶς δ' οὐ δύο τὼ θεώ· ἡ μέν γέ που
πρεσβυτέρα καὶ ἀμήτωρ οὐρανοῦ θυγάτηρ· ἣν δὴ καὶ οὐρανίαν ἐ-
πονομάζομεν· ἡ δὲ νεωτέρα διὸς καὶ διώνης· ἣν δὴ πάνδη-
μον καλοῦμεν· ἀναγκαῖον δὴ καὶ ἔρωτα τὸν μὲν τῇ ἑτέρᾳ συνερ-
γὸν πάνδημον ὀρθῶς καλεῖσθαι· τὸν δὲ οὐράνιον· ἐπαινεῖν μὲν
οὖν δεῖ πάντας θεούς· ἃ δ' οὖν ἑκάτερος εἴληχε· πειρατέον εἰ-
πεῖν· πᾶσα γὰρ πρᾶξις ὧδε ἔχει· αὐτὴ ἐφ' ἑαυτῆς πραττομένη
οὔτε καλὴ οὔτε αἰσχρά· οἷον ὃ νῦν ἡμεῖς ποιοῦμεν· ἢ πίνειν ἢ ᾄ-
δειν ἢ διαλέγεσθαι· οὐκ ἔστι τούτων αὐτὸ καλὸν οὐδέν· ἀλλ' ἐν τῇ πρά-
ξει ὡς ἂν πραχθῇ τοιοῦτον ἀπέβη· καλῶς μὲν γὰρ πραττόμενον
καὶ ὀρθῶς· καλὸν γίγνεται· μὴ ὀρθῶς δὲ αἰσχρόν· οὕτω δὴ καὶ
τὸ ἐρᾶν καὶ ὁ ἔρως· οὐ πᾶς ἐστι καλὸς οὐδὲ ἄξιος ἐγκωμιάζεσθαι·
ἀλλ' ὁ καλῶς προτρέπων ἐρᾶν· ὁ μὲν οὖν τῆς πανδήμου ἀφροδί-
της ὡς ἀληθῶς πάνδημός ἐστι καὶ ἐξεργάζεται ὅ τι ἂν τύχῃ·
καὶ οὗτός ἐστιν ὃν οἱ φαῦλοι τῶν ἀνθρώπων ἐρῶσιν· ἐρῶσι δὲ
οἱ τοιοῦτοι πρῶτον μὲν οὐχ ἧττον γυναικῶν ἢ παίδων· ἔπει-
τα ὧν καὶ ἐρῶσι τῶν σωμάτων μᾶλλον ἢ τῶν ψυχῶν· ἔπειτα ὡς ἂν
δύνωνται ἀνοητοτάτων πρὸς τὸ διαπράξασθαι μόνον βλέποντες·
ἀμελοῦντες δὲ τοῦ καλῶς ἢ μή· ὅθεν δὴ ξυμβαίνει αὐτοῖς ὅ τι
ἂν τύχωσι τοῦτο πράττειν· ὁμοίως μὲν ἀγαθόν· ὁμοίως δὲ
τοὐναντίον· ἔστι γὰρ καὶ ἀπὸ τῆς θεοῦ νεωτέρας τε οὔσης πο-
λὺ ἢ τῆς ἑτέρας καὶ μετεχούσης ἐν τῇ γενέσει καὶ θήλεος καὶ
ἄρρενος· ὁ δὲ τῆς οὐρανίας πρῶτον μὲν οὐ μετεχούσης θήλε-
ος ἀλλ' ἄρρενος μόνον· καὶ ἔστιν οὗτος ὁ τῶν παίδων ἔρως· ἔπει-
τα πρεσβυτέρας ὕβρεως ἀμοίρου· ὅθεν δὴ ἐπὶ τὸ ἄρρεν τρέ-
πονται οἱ ἐκ τούτου τοῦ ἔρωτος ἔπιπνοι τὸ φύσει ἐρρωμενέ-
στερον καὶ νοῦν μᾶλλον ἔχον ἀγαπῶντες· καί τις ἂν γνοίη καὶ
ἐν αὐτῇ τῇ παιδεραστίᾳ τοὺς εἰλικρινῶς ὑπὸ τούτου τοῦ ἔ-
ρωτος ὡρμημένους· οὐ γὰρ ἐρῶσι παίδων· ἀλλ' ἐπειδὰν ἤδη
ἄρχωνται νοῦν ἴσχειν· τοῦτο δὲ πλησιάζει τῷ γενειάσκειν· παρε-

σκευασμένοι γὰρ οἶμαί εἰσιν οἱ ἐντεῦθεν ἀρχόμενοι ἐρᾶν ὡς τὸν βίον
ἅπαντα ξυνεσόμενοι καὶ κοινῇ συμβιωσόμενοι ἀλλ' οὐκ ἐξαπα
τήσαντες ἐν ἀφροσύνῃ λαβόντες ὡς νέον καταγελάσαντες
οἰχήσεσθαι ἐπ' ἄλλον ἀποτρέχοντες· χρῆν δὲ καὶ νόμον εἶναι μὴ
ἐρᾶν παίδων ἵνα μὴ εἰς ἄδηλον πολλὴ σπουδὴ ἀνηλίσκετο· τὸ
γὰρ τῶν παίδων τέλος ἄδηλον οἷ τελευτᾷ κακίας καὶ ἀρετῆς
ψυχῆς τε πέρι καὶ σώματος· οἱ μὲν οὖν ἀγαθοὶ τὸν νόμον τοῦτον
αὐτοὶ αὑτοῖς ἑκόντες τίθενται· χρῆν δὲ καὶ τούτους τοὺς παν
δήμους ἐραστὰς προσαναγκάζειν τὸ τοιοῦτον ὥσπερ καὶ τῶν ἐ
λευθέρων γυναικῶν προσαναγκάζομεν αὐτοὺς καθ' ὅσον δυνά
μεθα μὴ ἐρᾶν· οὗτοι γάρ εἰσιν οἱ καὶ τὸ ὄνειδος πεποιηκότες
ὥστε τινὰς τολμᾶν λέγειν ὡς αἰσχρὸν χαρίζεσθαι ἐρασταῖς· λέ
γουσι δὲ εἰς τούτους ἀποβλέποντες ὁρῶντες αὐτῶν τὴν ἀκαιρίαν
καὶ ἀδικίαν· ἐπεὶ οὐ δήπου κοσμίως γε καὶ νομίμως ὁτιοῦν πρατ
τόμενον ψόγον ἂν δικαίως φέροι· καὶ δὴ καὶ ὁ περὶ τὸν ἔρωτα νό
μος ἐν μὲν ταῖς ἄλλαις πόλεσι νοῆσαι ῥᾴδιος· ἁπλῶς γὰρ ὥρι
σται· ὁ δ' ἐνθάδε καὶ ἐν Λακεδαίμονι ποικίλος· ἐν Ἤλιδι μὲν γὰρ καὶ
ἐν Βοιωτοῖς καὶ οὗ μὴ σοφοὶ λέγειν ἁπλῶς νενομοθέτηται κα
λὸν τὸ χαρίζεσθαι ἐρασταῖς καὶ οὐκ ἄν τις εἴποι οὔτε νέος οὔτε
παλαιὸς ὡς αἰσχρόν· ἵνα οἶμαι μὴ πράγματ' ἔχωσιν λόγῳ πει
ρώμενοι πείθειν τοὺς νέους ἅτε ἀδύνατοι λέγειν· τῆς δὲ Ἰω
νίας καὶ ἄλλοθι πολλαχοῦ αἰσχρὸν νενόμισται ὅσοι ὑπὸ βαρβά
ροις οἰκοῦσιν· τοῖς γὰρ βαρβάροις διὰ τὰς τυραννίδας αἰσχρὸν
τοῦτό γε καὶ ἥ γε φιλοσοφία καὶ ἡ φιλογυμναστία· οὐ γὰρ οἶμαι
συμφέρει τοῖς ἄρχουσι φρονήματα μεγάλα ἐγγίγνεσθαι τῶν ἀρ
χομένων οὐδὲ φιλίας ἰσχυρὰς καὶ κοινωνίας ὃ δὴ μάλιστα φιλεῖ
τά τε ἄλλα πάντα καὶ ὁ ἔρως ἐμποιεῖν· ἔργῳ δὲ τοῦτο ἔμαθον
καὶ οἱ ἐνθάδε τύραννοι· ὁ γὰρ Ἀριστογείτονος ἔρως καὶ ἡ Ἁρμο
δίου φιλία βέβαιος γενομένη κατέλυσεν αὐτῶν τὴν ἀρχήν· οὕ
τως οὗ μὲν αἰσχρὸν ἐτέθη χαρίζεσθαι ἐρασταῖς κακίᾳ τῶν θεμέ
νων κεῖται τῶν μὲν ἀρχόντων πλεονεξίᾳ τῶν δὲ ἀρχομένων ἀ
νανδρίᾳ· οὗ δὲ καλὸν ἁπλῶς ἐνομίσθη διὰ τὴν τῶν θεμένων
τῆς ψυχῆς ἀργίαν· ἐνθάδε δὲ πολὺ τούτων κάλλιον νενομοθέτηται
καὶ ὅπερ εἶπον οὐ ῥᾴδιον κατανοῆσαι· ἐνθυμηθέντι γὰρ ὅτι λέ

γεται κάλλιον τὸ φανερῶς ἐρᾶν τοῦ λάθρα καὶ μάλιστα τῶν γεννα
ιοτάτων καὶ ἀρίστων κἂν αἰσχίους ἄλλων ὦσι· καὶ ὅτι αὖ ἡ παρακέ
[λ] λευσις τῷ ἐρῶντι παρὰ πάντων θαυμαστή· οὐχ ὥς τι αἰσχρὸν ποιοῦ
ντι καὶ ἑλόντι καλὸν δοκεῖ εἶναι καὶ μὴ ἑλόντι αἰσχρὸν καὶ πρὸς τὸ ἐπιχει
ρεῖν ἑλεῖν ἐξουσίαν ὁ νόμος δέδωκε τῷ ἐραστῇ θαυμαστὰ ἔργα ἐρ
γαζομένῳ ἐπαινεῖσθαι ἃ εἴ τις τολμῴη ποιεῖν ἄλλ' ὁτιοῦν διώκων
καὶ βουλόμενος διαπράξασθαι πλὴν τοῦτο φιλοσοφίας τὰ μέγι
στα καρποῖτ' ἂν ὀνείδη· εἰ γὰρ ἢ χρήματα βουλόμενος παρά του
λαβεῖν ἢ ἀρχὴν ἄρξαι ἤ τινα ἄλλην δύναμιν ἐθέλοι ποιεῖν οἷάπερ
οἱ ἐρασταὶ πρὸς τὰ παιδικά· ἱκετείας καὶ ἀντιβολήσεις ἐν ταῖς δε
ήσεσι ποιούμενοι καὶ ὅρκους ὀμνύντες καὶ κοιμήσεις ἐπὶ θύραις
καὶ ἐθέλοντες δουλείας δουλεύειν οἵας οὐδ' ἂν δοῦλος οὐδείς
ἐμποδίζοιτο ἂν μὴ πράττειν οὕτω τὴν πρᾶξιν· καὶ ὑπὸ φίλων
καὶ ὑπὸ ἐχθρῶν τῶν μὲν ὀνειδιζόντων κολακείας καὶ ἀνελευθερίας·
τῶν δὲ νουθετούντων καὶ αἰσχυνομένων ὑπὲρ αὐτῶν· τῷ δ' ἐρῶντι
πάντα ταῦτα ποιοῦντι χάρις ἔπεστι· καὶ δέδοται ὑπὸ τοῦ νόμου·
ἄνευ ὀνείδους πράττειν ὡς πάγκαλόν τι πρᾶγμα διαπραττομένου:
[ὅ] ὃ δὲ δεινότατον ὥς γε λέγουσιν οἱ πολλοὶ ὅτι καὶ ὀμνύντι μόνῳ συγ
γνώμη παρὰ θεῶν ἐκβάντι τῶν ὅρκων· ἀφροδίσιον γὰρ ὅρκον οὔ
φασιν εἶναι· οὕτω καὶ οἱ θεοὶ καὶ οἱ ἄνθρωποι πᾶσαν ἐξουσίαν πε
ποιήκασι τῷ ἐρῶντι ὡς ὁ νόμος φησὶν ὁ ἐνθάδε· ταύτῃ μὲν
οὖν οἰηθείη ἄν τις πάγκαλον νομίζεσθαι ἐν τῇδε τῇ πόλει καὶ τὸ ἐ
ρᾶν καὶ τὸ φίλους γίγνεσθαι τοῖς ἐρασταῖς: ἐπειδὰν δὲ παιδα
[Γ] γωγοὺς ἐπιστήσαντες οἱ πατέρες τοῖς ἐρωμένοις μὴ ἐῶσι δια
λέγεσθαι τοῖς ἐρασταῖς καὶ τῷ παιδαγωγῷ ταῦτα προστεταγ
μένα ᾖ ἡλικιῶται δὲ καὶ ἑταῖροι ὀνειδίζωσιν ἐάν τι ὁρῶσι τοιοῦ
το γιγνόμενον· καὶ τοὺς ὀνειδίζοντας αὖ οἱ πρεσβύτεροι μὴ δια
κωλύωσι μηδὲ λοιδορῶσιν ὡς οὐκ ὀρθῶς λέγοντας· εἰς δὲ ταῦτα
τίς αὖ βλέψας ἡγήσαιτ' ἂν πάλιν αἴσχιστον τὸ τοιοῦτον ἐνθάδε
νομίζεσθαι· τὸ δὲ οἶμαι ὧδ' ἔχει· οὐχ ἁπλοῦν ἐστιν ὅπερ ἐξ ἀρχῆς
ἐλέχθη οὔτε καλὸν εἶναι αὐτὸ καθ' αὑτὸ οὔτε αἰσχρόν: ἀλλὰ καλῶς
μὲν πραττόμενον καλόν· αἰσχρῶς δὲ αἰσχρόν· αἰσχρῶς μὲν οὖν
ἐστι πονηρῷ τε καὶ πονηρῶς χαρίζεσθαι· καλῶς δὲ χρηστῷ τε
καὶ καλῶς· πονηρὸς δ' ἐστὶν ἐκεῖνος ὁ ἐραστὴς ὁ πάνδημος ὁ

τοῦ σώματος μᾶλλον ἢ τῆς ψυχῆς ἐρῶν· καὶ γὰρ οὐδὲ μόνιμός
ἐστιν ἅτε οὐ μονίμου ἐρῶν πράγματος· ἅμα γὰρ τῷ τοῦ σώμα
τος ἄνθει λήγοντι οὗπερ ἤρα· οἴχεται ἀποπτάμενος πολλοὺς
λόγους καὶ ὑποσχέσεις καταισχύνας· ὁ δὲ τοῦ ἤθους χρη
στοῦ ὄντος ἐραστὴς διὰ βίου μένει ἅτε μονίμῳ συντακείς· τού
τους δὴ βούλεται ὁ ἡμέτερος νόμος εὖ καὶ καλῶς βασανίζειν·
καὶ τοῖς μὲν χαρίσασθαι τοὺς δὲ διαφεύγειν· διὰ ταῦτα οὖν τοῖς
μὲν διώκειν παρακελεύεται· τοῖς δὲ φεύγειν ἀγωνοθετῶν καὶ βα
σανίζων ποτέρων ποτέ ἐστιν ὁ ἐρῶν· καὶ ποτέρων ὁ ἐρώμενος·
οὕτω δὴ ὑπὸ ταύτης τῆς αἰτίας πρῶτον μὲν τὸ ἁλίσκεσθαι ταχὺ
αἰσχρὸν νενόμισται ἵνα χρόνος ἐγγένηται ὃς δὴ δοκεῖ τὰ πολλὰ
καλῶς βασανίζειν· ἔπειτα τὸ ὑπὸ χρημάτων καὶ ὑπὸ πολιτικῶν
δυνάμεων ἁλῶναι αἰσχρόν· ἐάν τε κακῶς πάσχων πτήξῃ καὶ μὴ
καρτερήσῃ· ἄν τ' εὐεργετούμενος εἰς χρήματα ἢ εἰς διαπράξεις
πολιτικὰς μὴ καταφρονήσῃ· οὐδὲν γὰρ δοκεῖ τούτων οὔτε βέ
βαιον οὔτε μόνιμον εἶναι χωρὶς τοῦ μηδὲ πεφυκέναι ἀπ' αὐτῶν
γενναίαν φιλίαν· μία δὴ λείπεται τῷ ἡμετέρῳ νόμῳ ὁδὸς εἰ μέλ
λει καλῶς χαριεῖσθαι ἐραστῇ παιδικά· ἔστι γὰρ ἡμῖν νόμος ὥσπερ
ἐπὶ τοῖς ἐρασταῖς ἦν δουλεύειν ἐθέλοντα ἡντινοῦν δουλείαν
παιδικοῖς μὴ κολακείαν εἶναι μηδὲ ἐπονείδιστον· οὕτω δὴ καὶ ἄλ
λη μία [μόνον] μόνη δουλεία ἑκούσιος λείπεται οὐκ ἐπονείδιστος· αὕτη
δέ ἐστιν ἡ περὶ τὴν ἀρετήν· νενόμισται γὰρ δὴ ἡμῖν ἐάν τις ἐθέλῃ τι
νὰ θεραπεύειν ἡγούμενος δι' ἐκεῖνον ἀμείνων ἔσεσθαι ἢ κατὰ
σοφίαν τινὰ ἢ κατὰ ἄλλο ὁτιοῦν μέρος ἀρετῆς· αὕτη αὖ ἡ ἐθελο
δουλεία οὐκ αἰσχρὰ εἶναι οὐδὲ κολακεία· δεῖ δὴ τὼ νόμω τού
τω ξυμβαλεῖν εἰς ταὐτὸ τόν τε περὶ τὴν παιδεραστίαν καὶ τὸν περὶ
τὴν φιλοσοφίαν τε καὶ τὴν ἄλλην ἀρετήν· εἰ μέλλει ξυμβῆναι καλὸν
γενέσθαι τὸ ἐραστῇ παιδικὰ χαρίσασθαι· ὅταν γὰρ εἰς τὸ αὐτὸ ἔλ
θωσιν ἐραστής τε καὶ παιδικὰ νόμον ἔχων ἑκάτερος· ὁ μὲν χαρισα
μένοις παιδικοῖς ὑπηρετῶν ὁτιοῦν δικαίως ἂν ὑπηρετεῖν·
ὁ δὲ τῷ ποιοῦντι αὐτὸν σοφόν τε καὶ ἀγαθὸν δικαίως αὖ ὁτιοῦν
αὖ ὑπουργῶν· καὶ ὁ μὲν δυνάμενος εἰς φρόνησιν καὶ τὴν ἄλλην
ἀρετὴν ξυμβάλλεσθαι· ὁ δὲ δεόμενος εἰς παίδευσιν καὶ τὴν ἄλλην
σοφίαν κτᾶσθαι· τότε δὴ τούτων ξυνιόντων εἰς ταὐτὸν τῶν νόμων

μοναχοῦ ἐνταῦθα ξυμπίπτει τὸ καλὸν εἶναι παιδικὰ ἐραστῇ χαρί-
σασθαι· ἄλλοθι δὲ οὐδαμοῦ· ἐπὶ τούτῳ καὶ ἐξαπατηθῆναι οὐδὲν
αἰσχρόν· ἐπὶ δὲ τοῖς ἄλλοις πᾶσι καὶ ἐξαπατωμένῳ αἰσχύνην
φέρει καὶ μή· εἰ γάρ τις ἐραστῇ ὡς πλουσίῳ πλούτου ἕνεκα χαρι-
σάμενος ἐξαπατηθείη καὶ μὴ λάβοι χρήματα ἀναφανέντος τοῦ
ἐραστοῦ πένητος· οὐδὲν ἧττον αἰσχρόν· δοκεῖ γὰρ ὁ τοιοῦτος τό
γε αὑτοῦ ἐπιδεῖξαι ὅτι ἕνεκα χρημάτων ὁτιοῦν ἂν ὁτῳοῦν ὑ-
πηρετοῖ· τοῦτο δὲ οὐ καλόν· κατὰ τὸν αὐτὸν δὴ λόγον κἂν εἴ τις ὡς
ἀγαθῷ χαρισάμενος καὶ αὐτὸς ὡς ἀμείνων ἐσόμενος διὰ τὴν
φιλίαν ἐραστοῦ ἐξαπατηθείη· ἀναφανέντος ἐκείνου κακοῦ καὶ
οὐ κεκτημένου ἀρετήν· ὅμως καλὴ ἡ ἀπάτη· δοκεῖ γὰρ αὖ καὶ οὗτος
τὸ καθ' αὑτὸν δεδηλωκέναι· ὅτι ἀρετῆς γ' ἕνεκα καὶ τοῦ βελτίων γενέ-
σθαι· πᾶν ἂν παντὶ προθυμηθείη· τοῦτο δὲ αὖ πάντων κάλλιστον·
Οὕτω πάντως γε καλὸν ἀρετῆς ἕνεκα χαρίζεσθαι· οὗτός ἐστιν ὁ τῆς
οὐρανίας θεοῦ ἔρως καὶ οὐράνιος καὶ πολλοῦ ἄξιος καὶ πόλει
καὶ ἰδιώταις πολλὴν ἐπιμέλειαν ἀναγκάζων ποιεῖσθαι πρὸς ἀρε-
τὴν τόν τε ἐρῶντα αὐτὸν αὑτοῦ καὶ τὸν ἐρώμενον· οἱ δ' ἕτεροι πάντες
τῆς ἑτέρας τῆς πανδήμου· ταῦτά σοι ἔφη ὡς ἐκ τοῦ παραχρῆμα
ὦ Φαῖδρε περὶ ἔρωτος συμβάλλομαι· παυσανίου δὲ παυσαμέ-
νου· διδάσκουσι γάρ με ἴσα λέγειν οὑτωσὶ οἱ σοφοί· ἔφη ὁ ἀριστόδη-
μος· δεῖν μὲν ἀριστοφάνη λέγειν· τυχεῖν δὲ αὐτῷ τινὰ ἢ ὑπὸ πλησμο-
νῆς ἢ ὑπό τινος ἄλλου λύγγα ἐπιπεπτωκυῖαν· καὶ οὐχ οἷόν τε εἶ-
ναι λέγειν· ἀλλ' εἰπεῖν αὐτόν· ἐν τῇ κάτω γὰρ αὐτοῦ τὸν ἰατρὸν ἐρυξί-
μαχον κατακεῖσθαι· ὦ ἐρυξίμαχε δίκαιος εἶ ἢ παῦσαί με τῆς λυγ-
γὸς ἢ λέγειν ὑπὲρ ἐμοῦ· ἕως ἂν ἐγὼ παύσωμαι· καὶ τὸν ἐρυξί-
μαχον εἰπεῖν· ἀλλὰ ποιήσω ἀμφότερα ταῦτα· ἐγὼ μὲν γὰρ ἐρῶ ἐν
τῷ σῷ μέρει· σὺ δ' ἐπειδὰν παύσῃ ἐν τῷ ἐμῷ· ἐν ᾧ δ' ἂν ἐγὼ λέγω·
ἐὰν μέν σοι ἐθέλῃ ἀπνευστὶ ἔχοντι πολὺν χρόνον παύεσθαι ἡ λύγξ·
εἰ δὲ μή· ὕδατι ἀνακογχυλίασον· εἰ δ' ἄρα πάνυ ἰσχυρά ἐστιν· ἀνα-
λαβών τι τοιοῦτον οἵῳ κινήσαις ἂν τὴν ῥῖνα πτάρε· καὶ ἐὰν τοῦτο
ποιήσῃς ἅπαξ ἢ δίς· καὶ εἰ πάνυ ἰσχυρά ἐστι παύσεται· οὐκ ἂν
φθάνοις λέγων φάναι τὸν ἀριστοφάνη· ἐγὼ δὲ ταῦτα ποιήσω· εἰπεῖν
δὴ τὸν ἐρυξίμαχον· δοκεῖ τοίνυν μοι ἀναγκαῖον εἶναι ἐπειδὴ παυ-
σανίας ὁρμήσας ἐπὶ τὸν λόγον καλῶς οὐχ ἱκανῶς ἀπετέλεσε·

δεῖν με ἐπιχειρῆσαι τέλος ἐπιθεῖναι τῷ λόγῳ· τὸ μὲν γὰρ διπλοῦν
εἶναι τὸν ἔρωτα δοκεῖ μοι καλῶς διελέσθαι· ὅτι δὲ οὐ μόνον ἐστὶν ἐπὶ
ταῖς ψυχαῖς τῶν ἀνθρώπων πρὸς τοὺς καλοὺς· ἀλλὰ καὶ πρὸς ἄλλα πολ-
λὰ καὶ ἐν τοῖς ἄλλοις τοῖς τε σώμασι τῶν πάντων ζῴων καὶ τοῖς ἐν
τῇ γῇ φυομένοις· καὶ ὡς ἔπος εἰπεῖν ἐν πᾶσι τοῖς οὖσι· καθε-
ωρακέναι μοι δοκῶ ἐκ τῆς ἰατρικῆς τῆς ἡμετέρας τέχνης ὡς μέ-
γας καὶ θαυμαστὸς καὶ ἐπὶ πᾶν ὁ θεὸς τείνει καὶ κατ' ἀνθρώπινα
καὶ κατὰ θεῖα πράγματα· ἄρξομαι δὲ ἀπὸ τῆς ἰατρικῆς λέγων
ἵνα καὶ πρεσβεύωμεν τὴν τέχνην· ἡ γὰρ φύσις τῶν σωμάτων τὸν
διπλοῦν ἔρωτα τοῦτον ἔχει· τὸ γὰρ ὑγιὲς τοῦ σώματος καὶ τὸ νο-
σοῦν ὁμολογουμένως ἕτερόν τε καὶ ἀνόμοιόν ἐστι· τὸ δὲ ἀνόμοιον
ἀνομοίων ἐπιθυμεῖ καὶ ἐρᾷ· ἄλλος μὲν οὖν ὁ ἐπὶ τῷ ὑγιεινῷ ἔρως·
ἄλλος δὲ ὁ ἐπὶ τῷ νοσώδει· ἔστιν δὴ ὥσπερ ἄρτι παυσανίας ἔλε-
γεν τοῖς μὲν ἀγαθοῖς καλὸν χαρίζεσθαι τῶν ἀνθρώπων· τοῖς δ' ἀ-
κολάστοις αἰσχρόν· οὕτω καὶ ἐν αὐτοῖς τοῖς σώμασιν τοῖς μὲν
ἀγαθοῖς ἑκάστου τοῦ σώματος καὶ ὑγιεινοῖς καλὸν χαρίζεσθαι
καὶ δεῖ καὶ τοῦτό ἐστιν ᾧ ὄνομα τὸ ἰατρικόν· τοῖς δὲ κακοῖς καὶ νο-
σώδεσιν αἰσχρόν τε καὶ δεῖ ἀχαριστεῖν εἰ μέλλει τις τεχνικὸς εἶναι·
ἔστι γὰρ ἰατρικὴ ὡς ἐν κεφαλαίῳ εἰπεῖν ἐπιστήμη τῶν τοῦ σώμα-
τος ἐρωτικῶν πρὸς πλησμονὴν καὶ κένωσιν· καὶ ὁ διαγιγνώσκων
ἐν τούτοις τὸν καλόν τε καὶ αἰσχρὸν ἔρωτα· οὗτός ἐστιν ὁ ἰατρικώ-
τατος· καὶ ὁ μεταβάλλειν ποιῶν ὥστε ἀντὶ τοῦ ἑτέρου ἔρωτος τὸν
ἕτερον κτᾶσθαι· καὶ οἷς μὴ ἔνεστιν ἔρως δεῖ δ' ἐγγενέσθαι ἐπιστάμε-
νος ἐμποιῆσαι καὶ ἐνόντα ἐξελεῖν· ἀγαθὸς ἂν εἴη δημιουργός·
δεῖ γὰρ δὴ τὰ ἔχθιστα ὄντα ἐν τῷ σώματι φίλα οἷόν τ' εἶναι ποιεῖν καὶ
ἐρᾶν ἀλλήλων· ἔστι δὲ ἔχθιστα τὰ ἐναντιώτατα· ψυχρὸν θερμῷ·
πικρὸν γλυκεῖ· ξηρὸν ὑγρῷ· πάντα τὰ τοιαῦτα· τούτοις ἐπιστη-
θεὶς ἔρωτα ἐμποιῆσαι καὶ ὁμόνοιαν ὁ ἡμέτερος πρόγονος ἀ-
σκληπιὸς ὥς φασιν οἵδε οἱ ποιηταὶ καὶ ἐγὼ πείθομαι συνέστησεν
τὴν ἡμετέραν τέχνην· ἥ τε οὖν ἰατρικὴ ὥσπερ λέγω πᾶσα διὰ
τοῦ θεοῦ τούτου κυβερνᾶται· ὡσαύτως δὲ καὶ γυμναστικὴ καὶ γε-
ωργία· μουσικὴ δὲ καὶ παντὶ κατάδηλος τῷ καὶ σμικρὸν προ-
σέχοντι τὸν νοῦν ὅτι κατὰ ταὐτὰ ἔχει τούτοις ὥσπερ ἴσως καὶ
ἡράκλειτος βούλεται λέγειν· ἐπεὶ τοῖς γε ῥήμασιν οὐ καλῶς λέγει·

τὸ ἓν γάρ φησι διαφερόμενον αὐτὸ αὑτῷ συμφέρεσθαι ὥσπερ ἁρμο-
νίαν τόξου τε καὶ λύρας· ἔστι δὲ πολλὴ ἀλογία ἁρμονίαν φάναι δια-
φέρεσθαι· ἢ ἐκ διαφερομένων ἔτι εἶναι· ἀλλὰ ἴσως τόδε ἐβούλετο
λέγειν ὅτι ἐκ διαφερομένων πρότερον τοῦ ὀξέος καὶ βαρέος
ἔπειτα ὕστερον ὁμολογησάντων γέγονεν ὑπὸ τῆς μουσικῆς τέ-
χνης· οὐ γὰρ δήπου ἐκ διαφερομένων γε ἔτι τοῦ ὀξέος καὶ βαρέος
ἁρμονία ἂν εἴη· ἡ γὰρ ἁρμονία συμφωνία ἐστίν· συμφωνία δὲ ὁμο-
λογία τις· ὁμολογίαν δὲ ἐκ διαφερομένων ἕως ἂν διαφέρωνται
ἀδύνατον εἶναι· διαφερόμενον δὲ αὖ καὶ μὴ ὁμολογοῦν ἀδύνατον
ἁρμόσαι· ὥσπερ γε καὶ ὁ ῥυθμὸς ἐκ τοῦ ταχέος καὶ βραδέος ἐκ
διενηνεγμένων πρότερον· ὕστερον δὲ ὁμολογησάντων γέγονε·
τὴν δὲ ὁμολογίαν πᾶσι τούτοις ὥσπερ ἐκεῖ ἡ ἰατρική, ἐνταῦθα
ἡ μουσικὴ ἐντίθησιν ἔρωτα καὶ ὁμόνοιαν ἀλλήλων ἐμποιήσασα·
καὶ ἔστιν αὖ μουσικὴ περὶ ἁρμονίαν καὶ ῥυθμὸν ἐρωτικῶν ἐπιστήμη:
καὶ ἐν μέν γε αὐτῇ τῇ συστάσει ἁρμονίας τε καὶ ῥυθμοῦ. οὐδὲν χαλε-
πὸν τὰ ἐρωτικὰ διαγιγνώσκειν, οὐδὲ ὁ διπλοῦς ἔρως ἐνταῦθα
πως ἐστίν· ἀλλ' ἐπειδὰν δέῃ πρὸς τοὺς ἀνθρώπους καταχρῆσθαι
ῥυθμῷ τε καὶ ἁρμονίᾳ ἢ ποιοῦντα ὃ δὴ μελοποιίαν καλοῦσιν ἢ χρώ-
μενον ὀρθῶς τοῖς πεποιημένοις μέλεσί τε καὶ μέτροις ὃ δὴ παιδεία
ἐκλήθη· ἐνταῦθα δὴ καὶ χαλεπὸν καὶ ἀγαθοῦ δημιουργοῦ δεῖ· πά-
λιν γὰρ ἥκει ὁ αὐτὸς λόγος ὅτι τοῖς μὲν κοσμίοις τῶν ἀνθρώπων
καὶ ὡς ἂν κοσμιώτεροι γίγνοιντο οἱ μήπω ὄντες δεῖ χαρίζεσθαι
καὶ φυλάττειν τὸν τούτων ἔρωτα· καὶ οὗτός ἐστιν ὁ καλὸς ὁ οὐρά-
νιος ὁ τῆς οὐρανίας μούσης ἔρως· ὁ δὲ πολυμνίας ὁ πάνδημος
ὃν δεῖ εὐλαβούμενον προσφέρειν οἷς ἂν προσφέρῃ ὅπως ἂν τὴν
μὲν ἡδονὴν αὐτοῦ καρπώσηται ἀκολασίαν δὲ μηδεμίαν ἐμποιή-
σῃ ὥσπερ ἐν τῇ ἡμετέρᾳ τέχνῃ μέγα ἔργον ταῖς περὶ τὴν ὀψο-
ποιικὴν τέχνην ἐπιθυμίαις καλῶς χρῆσθαι ὥστ' ἄνευ νόσου τὴν
ἡδονὴν καρπώσασθαι: καὶ ἐν μουσικῇ δὴ καὶ ἐν ἰατρικῇ καὶ ἐν
τοῖς ἄλλοις πᾶσι καὶ τοῖς ἀνθρωπείοις καὶ τοῖς θείοις καθ' ὅσον
παρείκει φυλακτέον ἑκάτερον τὸν ἔρωτα· ἔνεστον γάρ· ἐπεὶ καὶ ἡ
τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ σύστασις μεστή ἐστιν ἀμφοτέρων τούτων·
καὶ ἐπειδὰν μὲν πρὸς ἄλληλα τοῦ κοσμίου τύχῃ ἔρωτος ἃ νῦν
δὴ ἐγὼ ἔλεγον τά τε θερμὰ καὶ τὰ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρὰ· καὶ

ἁρμονίαν καὶ κρᾶσιν λάβῃ σώφρονα, ἥκει φέροντα εὐετηρίαν τε καὶ ὑ-
γίειαν ἀνθρώποις καὶ τοῖς ἄλλοις ζώοις τε καὶ φυτοῖς· καὶ οὐδὲν
ἠδίκησεν· ὅταν δὲ ὁ μετὰ τῆς ὕβρεως ἔρως, ἐγκρατέστερος περὶ
τὰς τοῦ ἐνιαυτοῦ ὥρας γένηται, διέφθειρέ τε πολλὰ καὶ ἠδίκη-
σεν· οἵ τε γὰρ λοιμοὶ φιλοῦσι γίγνεσθαι ἐκ τῶν τοιούτων καὶ ἄλλα ἀ-
νόμοια πολλὰ νοσήματα καὶ τοῖς θηρίοις καὶ τοῖς φυτοῖς· καὶ
γὰρ πάχναι καὶ χάλαζαι καὶ ἐρυσῖβαι, ἐκ πλεονεξίας καὶ ἀκοσμί-
ας περὶ ἄλληλα τῶν τοιούτων γίγνεται ἐρωτικῶν· ὧν ἐπιστήμη περὶ
ἄστρων τε φορὰς καὶ ἐνιαυτῶν ὥρας, ἀστρονομία καλεῖται: ἔτι τοί-
νυν καὶ θυσίαι πᾶσαι καὶ οἷς μαντικὴ ἐπιστατεῖ· ταῦτα δ' ἐστὶν ἡ περὶ
θεούς τε καὶ ἀνθρώπους πρὸς ἀλλήλους κοινωνία· οὐ περὶ ἄλλο
τί ἐστιν ἢ περὶ ἔρωτος φυλακήν τε καὶ ἴασιν· πᾶσα γὰρ ἡ ἀσέβεια
φιλεῖ γίγνεσθαι, ἐὰν μή τις τῷ κοσμίῳ ἔρωτι χαρίζηται, μηδὲ
τιμᾷ τε αὐτὸν καὶ πρεσβεύῃ ἐν παντὶ ἔργῳ, ἀλλὰ περὶ τὸν ἕτερον
καὶ περὶ γονέας, καὶ ζῶντας καὶ τετελευτηκότας καὶ περὶ θε-
ούς, ἃ δὴ προστέτακται τῇ μαντικῇ ἐπισκοπεῖν τοῖς ἔρωτας καὶ
ἰατρεύειν· καὶ ἔστιν αὖ ἡ μαντικὴ φιλίας θεῶν καὶ ἀνθρώπων δη-
μιουργός, τῷ ἐπίστασθαι τὰ κατ' ἀνθρώπους ἐρωτικά, ὅσα τεί-
νει πρὸς θέμιν καὶ ἀσέβειαν· οὕτω πολλὴν καὶ μεγάλην, μᾶλλον δὲ
πᾶσαν δύναμιν ἔχει ξυλλήβδην μὲν ὁ πᾶς ἔρως· ὁ δὲ περὶ τἀγα-
θὰ μετὰ σωφροσύνης καὶ δικαιοσύνης ἀποτελούμενος καὶ
παρ' ἡμῖν καὶ παρὰ θεοῖς, οὗτος τὴν μεγίστην δύναμιν ἔχει· καὶ
πᾶσαν ἡμῖν εὐδαιμονίαν παρασκευάζει· καὶ ἀλλήλοις δυναμέ-
νους ὁμιλεῖν καὶ φίλους εἶναι καὶ τοῖς κρείττοσιν ἡμῶν θεοῖς:
ἴσως μὲν οὖν καὶ ἐγὼ τὸν ἔρωτα ἐπαινῶν πολλὰ παραλείπω· οὐ
μέντοι ἑκών γε· ἀλλ' εἴ τι ἐξέλιπον, σὸν ἔργον ὦ ἀριστόφανες ἀνα-
πληρῶσαι· ἢ εἴ πως ἄλλως ἐν νῷ ἔχεις ἐγκωμιάζειν τὸν θεόν,
ἐγκωμίαζε, ἐπειδὴ καὶ τῆς λυγγὸς πέπαυσαι: ἐκδεξάμενον οὖν
ἔφη εἰπεῖν τὸν ἀριστοφάνη ὅτι καὶ μάλ' ἐπαύσατο· οὐ μέντοι πρίν γε
τὸν πταρμὸν προσενεχθῆναι αὐτῇ, ὥστε με θαυμάζειν εἰ τὸ κόσμι-
ον τοῦ σώματος ἐπιθυμεῖ τοιούτων ψόφων καὶ γαργαλισμῶν, οἷον
καὶ ὁ πταρμός ἐστιν· πάνυ γὰρ εὐθὺς ἐπαύσατο, ἐπειδὴ αὐτῷ τὸν
πταρμὸν προσήνεγκα: καὶ τὸν ἐρυξίμαχον ὦ γαθέ φάναι ὦ γα-
θὲ ἀριστόφανες, ὅρα τί ποιεῖς· γελωτοποιεῖς μέλλων λέγειν, καὶ

φύλακά με τοῦ λόγου ἀναγκάζεις γίγνεσθαι τοῦ σεαυτοῦ, ἐάν τι γε-
λοῖον εἴπῃς, ἐξόν σοι ἐν εἰρήνῃ λέγειν: καὶ τὸν ἀριστοφάνη γελά-
σαντα εἰπεῖν· εὖ λέγεις ὦ ἐρυξίμαχε καί μοι ἔστω ἄρρητα τὰ εἰρη-
μένα. ἀλλὰ μή με φύλαττε, ὡς ἐγὼ φοβοῦμαι περὶ τῶν μελλόντων ῥη-
θήσεσθαι, οὔ τι μὴ γελοῖα εἴπω· τοῦτο μὲν γὰρ ἂν κέρδος εἴη,
καὶ τῆς ἡμετέρας μούσης ἐπιχώριον· ἀλλὰ μὴ καταγέλαστα: βα-
λών γε φάναι ὦ ἀριστόφανες, οἴει ἐκφεύξεσθαι; ἀλλὰ πρόσεχε τὸν
νοῦν· καὶ οὕτως λέγε ὡς δώσων λόγον· ἴσως μέντοι ἂν δόξῃ
μοι ἀφήσω σε: καὶ μὴν ὦ ἐρυξίμαχε, εἰπεῖν τὸν ἀριστοφάνη ἄλλῃ
γέ πῃ ἐν νῷ ἔχω λέγειν, ἢ ᾗ σύ τε καὶ παυσανίας εἰπέτην. ἐμοὶ γὰρ
δοκοῦσιν ἄνθρωποι παντάπασι τὴν τοῦ ἔρωτος δύναμιν οὐκ ᾐ-
σθῆσθαι· ἐπεὶ αἰσθανόμενοί γε, μέγιστ᾽ ἂν αὐτοῦ ἱερὰ κατασκευά-
σαι καὶ βωμούς· καὶ θυσίας ἂν ποιεῖν μεγίστας· οὐχ ὥσπερ νῦν
τούτων οὐδὲν γίγνεται περὶ αὐτόν, δέον πάντων μάλιστα γίγνεσθαι·
ἔστι γὰρ θεῶν φιλανθρωπότατος· ἐπίκουρός τε ὢν τῶν ἀνθρώ-
πων καὶ ἰατρὸς τούτων ὧν ἰαθέντων μεγίστη ἂν εὐδαιμονία τῷ
ἀνθρωπείῳ γένει εἴη. ἐγὼ οὖν πειράσομαι ὑμῖν εἰσηγήσασθαι
τὴν δύναμιν αὐτοῦ· ὑμεῖς δὲ τῶν ἄλλων διδάσκαλοι ἔσεσθε. δεῖ δὲ
πρῶτον ὑμᾶς μαθεῖν τὴν ἀνθρωπίνην φύσιν καὶ τὰ παθήματα
ταύτης. ἡ γὰρ πάλαι ἡμῶν φύσις, οὐχ αὐτὴ ἦν ἥπερ νῦν ἀλλ᾽ ἀλ-
λοία. πρῶτον μὲν γὰρ τρία ἦν τὰ γένη τὰ τῶν ἀνθρώπων· οὐ
χ᾽ ὥσπερ νῦν δύο, ἄρρεν καὶ θῆλυ ἀλλὰ καὶ τρίτον προσῆν κοινὸν
ὂν ἀμφοτέρων τούτων· οὗ νῦν ὄνομα λοιπόν, αὐτὸ δὲ ἠφάνισται·
ἀνδρόγυνον γὰρ ἓν τότε μὲν ἦν καὶ εἶδος, καὶ ὄνομα ἐξ ἀμφο-
τέρων κοινόν· τοῦ τε ἄρρενος καὶ θήλεος· νῦν δὲ οὐκ ἔστιν ἀλλ᾽ ἢ
ἐν ὀνείδει ὄνομα κείμενον. ἔπειτα ὅλον ἦν ἑκάστου τοῦ ἀνθρώ-
που τὸ εἶδος στρογγύλον· νῶτον καὶ πλευρὰς κύκλῳ ἔχον· χεῖ-
ρας δὲ τέτταρας εἶχε· καὶ σκέλη τὰ ἴσα ταῖς χερσίν· καὶ πρό-
σωπα δύ᾽ ἐπ᾽ αὐχένι κυκλοτερεῖ, ὅμοια πάντῃ· κεφαλὴν δ᾽ ἐπ᾽ ἀμ-
φοτέροις τοῖς προσώποις, ἐναντίοις κειμένοις, μίαν· καὶ
ὦτα τέτταρα καὶ αἰδοῖα δύο· καὶ τἆλλα πάντα ὡς ἀπὸ τούτων
ἄν τις εἰκάσειεν. ἐπορεύετο δὲ καὶ ὀρθὸν ὥσπερ νῦν, ὁποτέρω-
σε βουληθείη· καὶ ὁπότε ταχὺ ὁρμήσειε θεῖν, ὥσπερ οἱ κυβι-
στῶντες καὶ εἰς ὀρθὸν τὰ σκέλη περιφερόμενοι κυβιστῶσι κύ-

κύκλωι· ὀκτὼ τότε οὖσι τοῖς μέλεσιν ἀπερειδόμενοι ταχὺ ἐφέ-
ροντο κύκλωι· ἦν δὲ διὰ ταῦτα τρία τὰ γένη· καὶ τοιαῦτα ὅτι τὸ
μὲν ἄρρεν ἦν τοῦ ἡλίου τὴν ἀρχὴν ἔκγονον· τὸ δὲ θῆλυ τῆς γῆς·
τὸ δὲ ἀμφοτέρων μετέχον τῆς σελήνης· ὅτι καὶ ἡ σελήνη ἀμφοτέ-
ρων μετέχει· περιφερῆ δὲ δὴ ἦν καὶ αὐτὰ καὶ ἡ πορεία αὐτῶν διὰ
τὸ τοῖς γονεῦσιν ὅμοια εἶναι· ἦν οὖν τὴν ἰσχὺν δεινά· καὶ τὴν
ῥώμην καὶ τὰ φρονήματα μεγάλα εἶχον· ἐπεχείρησαν δὲ τοῖς
θεοῖς καὶ ὃ λέγει Ὅμηρος περὶ Ἐφιάλτου τε καὶ Ὤτου περὶ ἐκεί-
νων λέγεται τὸ εἰς τὸν οὐρανὸν ἀνάβασιν ἐπιχειρεῖν ποιεῖν ὡς
ἐπιθησομένων τοῖς θεοῖς· ὁ οὖν Ζεὺς καὶ οἱ ἄλλοι θεοὶ ἐβουλεύ-
οντο ὅτι χρὴ αὐτοὺς ποιῆσαι καὶ ἠπόρουν· οὔτε γὰρ ὅπως ἀπο-
κτείναιεν εἶχον καὶ ὥσπερ τοὺς γίγαντας κεραυνώσαντες τὸ
γένος ἀφανίσαιεν· αἱ τιμαὶ γὰρ αὐτοῖς καὶ ἱερὰ τὰ παρὰ τῶν
ἀνθρώπων ἠφανίζετο· οὔτε ὅπως ἐῷεν ἀσελγαίνειν· μόγις
δὴ ὁ Ζεὺς ἐννοήσας λέγει ὅτι δοκῶ μοι ἔφη ἔχειν μηχανὴν ὡς
ἂν εἶέν τε ἄνθρωποι καὶ παύσαιντο τῆς ἀκολασίας ἀσθενέστε-
ροι γενόμενοι· νῦν μὲν γὰρ αὐτοὺς ἔφη διατεμῶ δίχα ἕκαστον·
καὶ ἅμα μὲν ἀσθενέστεροι ἔσονται· ἅμα δὲ χρησιμώτεροι ἡμῖν διὰ τὸ
πλείους τὸν ἀριθμὸν γεγονέναι· καὶ βαδιοῦνται ὀρθοὶ ἐπὶ δυοῖν
σκελοῖν· ἐὰν δ' ἔτι δοκῶσιν ἀσελγαίνειν καὶ μὴ ἐθέλωσιν ἡσυχίαν
ἄγειν· πάλιν αὖ ἔφη τεμῶ δίχα ὥστ' ἐφ' ἑνὸς πορεύσονται σκέ-
λους ἀσκωλιάζοντες· ταῦτα εἰπὼν ἔτεμνε τοὺς ἀνθρώπους δί-
χα ὥσπερ οἱ τὰ ὄα τέμνοντες καὶ μέλλοντες ταριχεύειν· ἢ ὥσ-
περ τὰ ᾠὰ ταῖς θριξίν· ὅντινα δὲ τέμοι τὸν Ἀπόλλω ἐκέλευ-
εν τό τε πρόσωπον μεταστρέφειν καὶ τὸ τοῦ αὐχένος ἥμισυ πρὸς
τὴν τομήν· ἵνα θεώμενος τὴν αὑτοῦ τμῆσιν κοσμιώτερος
εἴη ὁ ἄνθρωπος· καὶ τἆλλα ἰᾶσθαι ἐκέλευεν· ὁ δὲ τό τε πρόσωπον
μετέστρεφε· καὶ συνέλκων πανταχόθεν τὸ δέρμα ἐπὶ τὴν γαστέ-
ρα νῦν καλουμένην ὥσπερ τὰ σύσπαστα βαλλάντια· ἓν στόμα ποι-
ῶν ἀπέδει κατὰ μέσην τὴν γαστέρα ὃ δὴ τὸν ὀμφαλὸν καλοῦσιν·
καὶ τὰς μὲν ἄλλας ῥυτίδας τὰς πολλὰς ἐξελέαινε· καὶ τὰ στήθη
διήρθρου· ἔχων τι τοιοῦτον ὄργανον οἷον οἱ σκυτοτόμοι περὶ τὸν
καλόποδα λεαίνοντες τὰς τῶν σκυτῶν ῥυτίδας· ὀλίγας δὲ κατέ-
λιπε τὰς περὶ αὐτὴν τὴν γαστέρα καὶ τὸν ὀμφαλὸν μνημεῖον εἶναι

τοῦ παλαιοῦ πάθους: ἐπεὶ δὴ οὖν ἡ φύσις δίχα ἐτμήθη· ποθοῦν
ἕκαστον τὸ ἥμισυ τὸ αὑτοῦ ξυνῄει· καὶ περιβάλλοντες τὰς χεῖρας
καὶ συμπλεκόμενοι ἀλλήλοις ἐπιθυμοῦντες συμφῦναι· ἀπέθνῃ-
σκον ὑπὸ λιμοῦ καὶ τῆς ἄλλης ἀργίας διὰ τὸ μηδὲν ἐθέλειν χω-
ρὶς ἀλλήλων ποιεῖν· καὶ ὁπότε τι ἀποθάνοι τῶν ἡμίσεων, τὸ δὲ
λειφθείη, τὸ λειφθὲν ἄλλο ἐζήτει καὶ συνεπλέκετο, εἴτε γυναικὸς
τῆς ὅλης ἐντύχοι ἡμίσει, ὃ δὴ νῦν γυναῖκα καλοῦμεν, εἴτε ἀνδρός·
καὶ οὕτως ἀπώλλυντο. ἐλεήσας δὲ ὁ Ζεὺς ἄλλην μηχανὴν πορί-
ζεται· καὶ μετατίθησιν αὐτῶν τὰ αἰδοῖα εἰς τὸ πρόσθεν· τέως γὰρ
καὶ ταῦτα ἐκτὸς εἶχον καὶ ἐγέννων καὶ ἔτικτον οὐκ εἰς ἀλλήλους
ἀλλ' εἰς γῆν ὥσπερ οἱ τέττιγες· μετέθηκε οὖν οὕτω αὐτῶν εἰς τὸ
πρόσθεν· καὶ διὰ τούτων τὴν γένεσιν ἐν ἀλλήλοις ἐποίησεν διὰ
τοῦ ἄρρενος ἐν τῷ θήλει τῶνδε ἕνεκα· ἵνα ἐν τῇ συμπλοκῇ ἅμα
μὲν εἰ ἀνὴρ γυναικὶ ἐντύχοι γεννῷεν καὶ γίγνοιτο τὸ γένος· ἅ-
μα δ' εἰ καὶ ἄρρην ἄρρενι· πλησμονὴ γοῦν γίγνοιτο τῆς συνουσί-
ας καὶ διαπαύοιντο καὶ ἐπὶ τὰ ἔργα τρέποιντο καὶ τοῦ ἄλλου βίου
ἐπιμελοῖντο. ἔστι δὴ οὖν ἐκ τόσου ὁ ἔρως ἔμφυτος ἀλλήλων τοῖς
ἀνθρώποις· καὶ τῆς ἀρχαίας φύσεως συναγωγεύς· καὶ ἐπιχει-
ρῶν ποιῆσαι ἓν ἐκ δυοῖν καὶ ἰάσασθαι τὴν φύσιν τὴν ἀνθρωπίνην·
ἕκαστος οὖν ἡμῶν ἐστιν ἀνθρώπου σύμβολον ἅτε τετμημένος
ὥσπερ αἱ ψῆτται ἐξ ἑνὸς δύο· ζητεῖ δὴ ἀεὶ τὸ αὑτοῦ ἕκαστον σύμ-
βολον· ὅσοι μὲν οὖν τῶν ἀνδρῶν τοῦ κοινοῦ τμῆμά εἰσιν, ὃ δὴ τότε
ἀνδρόγυνον ἐκαλεῖτο· φιλογύναικές τέ εἰσι καὶ οἱ πολλοὶ τῶν μοι-
χῶν ἐκ τούτου τοῦ γένους γεγόνασιν· καὶ ὅσαι αὖ γυναῖκες φί-
λανδροί τε καὶ μοιχεύτριαι ἐκ τούτου τοῦ γένους γίγνονται· ὅσαι
δὲ τῶν γυναικῶν γυναικὸς τμῆμά εἰσιν, οὐ πάνυ αὗται τοῖς ἀν-
δράσι τὸν νοῦν προσέχουσιν ἀλλὰ μᾶλλον πρὸς τὰς γυναῖκας τε-
τραμμέναι εἰσί· καὶ αἱ ἑταιρίστριαι ἐκ τούτου τοῦ γένους γίγνονται·
Ὅσοι δὲ ἄρρενος τμῆμά εἰσι, τὰ ἄρρενα διώκουσι· καὶ τέως μὲν
ἂν παῖδες ὦσιν, ἅτε τεμάχια ὄντα τοῦ ἄρρενος φιλοῦσι τοὺς ἄν-
δρας καὶ χαίρουσι συγκατακείμενοι καὶ συμπεπλεγμένοι τοῖς
ἀνδράσι· καί εἰσιν οὗτοι βέλτιστοι τῶν παίδων καὶ μειρακίων ἅτε ἀν-
δρειότατοι ὄντες φύσει· φασὶ δὲ δή τινες αὐτοὺς ἀναισχύντους
εἶναι ψευδόμενοι· οὐ γὰρ ὑπ' ἀναισχυντίας τοῦτο δρῶσιν ἀλλ' ὑπὸ

θάρρους καὶ ἀνδρείας καὶ ἀρρενωπίας τὸ ὅμοιον αὐτοῖς ἀσπαζό-
μενοι. μέγα δὲ τεκμήριον· καὶ γὰρ τελεωθέντες μόνοι ἀποβαί-
νουσιν εἰς τὰ πολιτικὰ ἄνδρες οἱ τοιοῦτοι. ἐπειδὰν δὲ ἀνδρωθῶ-
σι, παιδεραστοῦσι καὶ πρὸς γάμους καὶ παιδοποιίας οὐ προ-
σέχουσι τὸν νοῦν φύσει· ἀλλ' ὑπὸ τοῦ νόμου ἀναγκάζονται· ἀλλ' ἐ-
ξαρκεῖ αὐτοῖς μετ' ἀλλήλων καταζῆν ἀγάμοις: πάντως μὲν
Οὖν ὁ τοιοῦτος παιδεραστής τε καὶ φιλεραστὴς γίγνεται, ἀεὶ τὸ συγ-
γενὲς ἀσπαζόμενος· ὅταν μὲν οὖν καὶ αὐτῷ ἐκείνῳ ἐντύχῃ
τῷ αὑτοῦ ἡμίσει καὶ ὁ παιδεραστὴς καὶ ἄλλος πᾶς· τότε καὶ
θαυμαστὰ ἐκπλήττονται φιλίᾳ τε καὶ οἰκειότητι καὶ ἔρωτι· οὐ
κ ἐθέλοντες ὡς ἔπος εἰπεῖν χωρίζεσθαι ἀλλήλων οὐδὲ σμικρὸν
χρόνον· καὶ οἱ διατελοῦντες μετ' ἀλλήλων διὰ βίου. οὗτοί εἰσιν
οἳ οὐδ' ἂν ἔχοιεν εἰπεῖν ὅτι βούλονται σφίσι παρ' ἀλλήλων γίγνε-
σθαι· οὐδενὶ γὰρ ἂν δόξειεν τοῦτ' εἶναι ἡ τῶν ἀφροδισίων συνου-
σία· ὡς ἄρα τούτου ἕνεκα ἕτερος ἑτέρῳ χαίρει συνὼν οὕ-
τως ἐπὶ μεγάλης σπουδῆς: ἀλλ' ἄλλο τι βουλομένη ἑκατέρου
ἡ ψυχὴ δήλη ἐστίν, ὃ οὐ δύναται εἰπεῖν, ἀλλὰ μαντεύεται ὃ βούλεται
καὶ αἰνίττεται· καὶ εἰ αὐτοῖς ἐν τῷ αὐτῷ κατακειμένοις ἐπιστὰς
ὁ Ἥφαιστος ἔχων τὰ ὄργανα ἔροιτο. τί ἔσθ' ὃ βούλεσθε ὦ ἄν-
θρωποι ὑμῖν παρ' ἀλλήλων γενέσθαι· καὶ εἰ ἀποροῦντας αὐ-
τοὺς πάλιν ἔροιτο· ἆρά γε τοῦδε ἐπιθυμεῖτε ἐν τῷ αὐτῷ γε-
νέσθαι ὅτι μάλιστα ἀλλήλοις· ὥστε καὶ νύκτα καὶ ἡμέραν μὴ ἀπο-
λείπεσθαι ἀλλήλων; εἰ γὰρ τούτου ἐπιθυμεῖτε θέλω ὑμᾶς συν-
τῆξαι καὶ συμφυσῆσαι εἰς τὸ αὐτό, ὥστε δύ' ὄντας ἕνα γεγονέ-
ναι· καὶ ἕως τ' ἂν ζῆτε, ὡς ἕνα ὄντα, κοινῇ ἀμφοτέρους
ζῆν· καὶ ἐπειδὰν ἀποθάνητε, ἐκεῖ αὖ ἐν ᾅδου ἀντὶ δυοῖν ἕ-
να εἶναι κοινῇ τεθνεῶτε· ἀλλ' ὁρᾶτε εἰ τούτου ἐρᾶτε καὶ
ἐξαρκεῖ ὑμῖν ἂν τούτου τύχητε· ταῦτ' ἀκούσας ἴσμεν ὅτι οὐ-
δ' ἂν εἷς ἐξαρνηθείη. οὐδ' ἄλλο τι ἂν φανείη βουλόμενος
ἀλλ' ἀτεχνῶς οἴοιτ' ἂν ἀκηκοέναι τοῦτο ὃ πάλαι ἄρα ἐπεθύ-
μει· συνελθὼν καὶ συντακεὶς τῷ ἐρωμένῳ ἐκ δυοῖν εἷς γενέ-
σθαι· τοῦτο γάρ ἐστι τὸ αἴτιον. ὅτι ἡ ἀρχαία φύσις ἡμῶν ἦν αὕ-
τη· καὶ ἦμεν ὅλοι· τοῦ ὅλου οὖν τῇ ἐπιθυμίᾳ καὶ διώξει ἔρως
ὄνομα· καὶ πρὸ τοῦ ὥσπερ λέγω ἓν ἦμεν· νυνὶ δὲ διὰ τὴν ἀδι

κίαν· διῳκίσθημεν ὑπὸ τοῦ θεοῦ καθάπερ ἀρκάδες ὑπὸ λακεδαι-
μονίων· φόβος οὖν ἐστιν ἐὰν μὴ κόσμιοι ὦμεν πρὸς τοὺς θεοὺς
ὅπως μὴ καὶ αὖθις διασχισθησόμεθα καὶ περίιμεν ἔχοντες
ὥσπερ οἱ ἐν ταῖς στήλαις καταγραφὴν ἐκτετυπωμένοι διαπε-
πρισμένοι κατὰ τὰς ῥῖνας γεγονότες ὥσπερ λίσπαι· ἀλλὰ τού-
των ἕνεκα πάντ' ἄνδρα χρὴ ἅπαντα παρακελεύεσθαι εὐσεβεῖν περὶ
θεούς· ἵνα τὰ μὲν ἐκφύγωμεν· τῶν δὲ τύχωμεν ὡς ὁ ἔρως ἡμῖν
ἡγεμὼν καὶ στρατηγός· ᾧ μηδεὶς ἐναντία πραττέτω· πράττει
δ' ἐναντία· ὅστις θεοῖς ἀπεχθάνεται· φίλοι γὰρ γενόμενοι καὶ δι-
αλλαγέντες τῷ θεῷ· ἐξευρήσομέν τε καὶ ἐντευξόμεθα τοῖς
παιδικοῖς τοῖς ἡμετέροις αὐτῶν ὃ τῶν νῦν ὀλίγοι ποιοῦσι· καὶ
μή μοι ὑπολάβῃ ἐρυξίμαχος κωμῳδῶν τὸν λόγον ὡς παυ-
σανίαν καὶ ἀγάθωνα λέγω· ἴσως μὲν γὰρ καὶ οὗτοι τούτου τετυ-
χήκασιν καί εἰσιν ἀμφότεροι τὴν φύσιν ἄρρενες· λέγω
δὲ οὖν ἔγωγε καθ' ἁπάντων καὶ ἀνδρῶν καὶ γυναικῶν ὅτι οὕτως
ἂν ἡμῶν τὸ γένος εὔδαιμον γένοιτο εἰ ἐκτελέσαιμεν τὸν ἔρωτα·
καὶ τῶν παιδικῶν τῶν αὐτοῦ ἕκαστος τύχοι εἰς τὴν ἀρχαίαν ἀπελ-
θὼν φύσιν· εἰ δὲ τοῦτο ἄριστον· ἀναγκαῖον καὶ τῶν νῦν παρόντων τὸ
τούτου ἐγγυτάτω ἄριστον εἶναι· τοῦτο δ' ἐστὶ παιδικῶν τυχεῖν
κατὰ νοῦν αὐτῷ πεφυκότων· οὗ δὴ τὸν αἴτιον θεὸν ὑμνοῦντες
δικαίως ἂν ὑμνοῖμεν ἔρωτα ὃς ἔν τε τῷ παρόντι ἡμᾶς πλεῖστα
ὀνίνησιν εἰς τὸ οἰκεῖον ἄγων καὶ εἰς τὸ ἔπειτα ἐλπίδας μεγίστας
παρέχεται· ἡμῶν παρεχομένων πρὸς θεοὺς εὐσέβειαν· κατα-
στήσας ἡμᾶς εἰς τὴν ἀρχαίαν φύσιν καὶ ἰασάμενος· μακαρί-
ους καὶ εὐδαίμονας ποιῆσαι: οὗτος ἔφη ὦ ἐρυξίμαχε ὁ ἐμὸς
λόγος ἐστὶ περὶ ἔρωτος ἀλλοῖος ἢ ὁ σός· ὥσπερ οὖν ἐδεήθην
σου μὴ κωμῳδήσῃς αὐτὸν ἵνα καὶ τῶν λοιπῶν ἀκούσωμεν
τί ἕκαστος ἐρεῖ· μᾶλλον δὲ τί ἑκάτερος· ἀγάθων γὰρ καὶ σωκρά-
της λοιποί: ἀλλὰ πείσομαί σοι ἔφη φάναι τὸν ἐρυξίμαχον· καὶ
γάρ μοι ὁ λόγος ἡδέως ἐρρήθη· καὶ εἰ μὴ ξυνῄδη σωκράτει τε
καὶ ἀγάθωνι δεινοῖς οὖσι περὶ τὰ ἐρωτικά· πάνυ ἂν ἐφοβού-
μην μὴ ἀπορήσωσι λόγων διὰ τὸ πολλὰ καὶ παντοδαπὰ εἰρῆ-
σθαι· νῦν δὲ ὅμως θαρρῶ: τὸν οὖν σωκράτη εἰπεῖν· καλῶς γὰρ
αὐτὸς ἠγώνισαι ὦ ἐρυξίμαχε· εἰ δὲ γένοιο οὗ νῦν ἐγώ εἰμι μᾶλλον

μᾶλλον δὲ ἴσως οὗ ἔσομαι ἐπειδὰν καὶ ἀγάθων εἴπῃ εὖ· καὶ μάλ' ἂν φοβοῖο
καὶ ἐν παντὶ εἴης ὥσπερ ἐγὼ νῦν· φαρμάττειν βούλει με ὦ σώκρατες
φάναι τὸν ἀγάθωνα, ἵνα θορυβηθῶ διὰ τὸ οἴεσθαι τὸ θέατρον
προσδοκίαν μεγάλην ἔχειν ὡς εὖ ἐροῦντος ἐμοῦ· ἐπιλήσμων μέντ' ἂν
εἴην ὦ ἀγάθων εἰπεῖν τὸν σωκράτη, εἰ ἰδὼν τὴν σὴν ἀνδρείαν
καὶ μεγαλοφροσύνην ἀναβαίνοντος ἐπὶ τὸν ὀκρίβαντα μετὰ τῶν
ὑποκριτῶν καὶ βλέψαντος ἐναντίον τοσούτου θεάτρου μέλλοντος
ἐπιδείξεσθαι σαυτοῦ λόγους καὶ οὐδ' ὁπωστιοῦν ἐκπλαγέντος
νῦν οἰηθείην σε θορυβήσεσθαι ἕνεκα ἡμῶν ὀλίγων ἀνθρώπων·
τί δὲ ὦ σώκρατες τὸν ἀγάθωνα φάναι, οὐ δήπου με οὕτω θεά-
τρου μεστὸν ἡγεῖ ὥστε καὶ ἀγνοεῖν ὅτι νοῦν ἔχοντι ὀλίγοι ἔμφρο-
νες πολλῶν ἀφρόνων φοβερώτεροι· οὐ μέντ' ἂν καλῶς ποι-
οίην φάναι ὦ ἀγάθων περὶ σοῦ τι ἐγὼ ἄγροικον δοξάζων·
ἀλλ' εὖ οἶδα ὅτι εἴ τισιν ἐντύχοις οὓς ἡγοῖο σοφούς, μᾶλλον ἂν
αὐτῶν φροντίζοις ἢ τῶν πολλῶν· ἀλλὰ μὴ οὐχ οὗτοι ἡμεῖς ὦ-
μεν· ἡμεῖς μὲν γὰρ καὶ ἐκεῖ παρῆμεν καὶ ἦμεν τῶν πολλῶν· εἰ δὲ
ἄλλοις ἐντύχοις σοφοῖς, τάχ' ἂν αἰσχύνοιο αὐτούς, εἴ τι ἴσως
οἴοιο αἰσχρὸν ὂν ποιεῖν· ἢ πῶς λέγεις· ἀληθῆ λέγεις φάναι·
τοὺς δὲ πολλοὺς οὐκ ἂν αἰσχύνοιο εἴ τι οἴοιο αἰσχρὸν ποιεῖν·
καὶ τὸν φαῖδρον ἔφη ὑπολαβόντα εἰπεῖν· ὦ φίλε ἀγάθων ἐὰν
ἀποκρίνῃ σωκράτει οὐδὲν ἔτι διοίσει αὐτῷ ὁπῃοῦν τῶν ἐνθά-
δε ὁτιοῦν γίγνεσθαι ἐὰν μόνον ἔχῃ ὅτῳ διαλέγηται ἄλλως τε
καὶ καλῷ· ἐγὼ δὲ ἡδέως μὲν ἀκούω σωκράτους διαλεγομέ-
νου· ἀναγκαῖον δέ μοι ἐπιμεληθῆναι τοῦ ἐγκωμίου τῷ ἔρωτι
καὶ ἀποδέξασθαι παρ' ἑνὸς ἑκάστου ὑμῶν τὸν λόγον· ἀποδοὺς
οὖν ἑκάτερος τῷ θεῷ οὕτως ἤδη διαλεγέσθω· ἀλλὰ καλῶς
λέγεις ὦ φαῖδρε φάναι τὸν ἀγάθωνα καὶ οὐδέν με κωλύει λέγειν·
σωκράτει γὰρ καὶ αὖθις ἔσται πολλάκις διαλέγεσθαι· ἐγὼ δὲ δὴ
βούλομαι πρῶτον μὲν εἰπεῖν ὡς χρή με εἰπεῖν· ἔπειτα εἰπεῖν·
δοκοῦσι γάρ μοι πάντες οἱ πρόσθεν εἰρηκότες οὐ τὸν θεὸν ἐγ-
κωμιάζειν ἀλλὰ τοὺς ἀνθρώπους εὐδαιμονίζειν τῶν ἀγα-
θῶν ὧν ὁ θεὸς αὐτοῖς αἴτιος· ὁποῖος δέ τις αὐτὸς ὢν ταῦ-
τα ἐδωρήσατο οὐδεὶς εἴρηκεν· εἷς δὲ τρόπος ὀρθὸς παν-
τὸς ἐπαίνου περὶ παντός, λόγῳ διελθεῖν οἷος οἵων αἴτιος

ἀρετῆς τυγχάνει περὶ οὗ ἂν ὁ λόγος ᾖ· οὕτω δὴ τὸν ἔρωτα καὶ ἡμᾶς δί
καιον ἐπαινέσαι πρῶτον αὐτὸν οἷός ἐστιν· ἔπειτα τὰς δόσεις. φη
μὶ οὖν ἐγὼ πάντων θεῶν εὐδαιμόνων ὄντων ἔρωτα, εἰ θέμις καὶ
ἀνεμέσητον εἰπεῖν εὐδαιμονέστατον εἶναι αὐτῶν κάλλιστον ὄντα καὶ
ἄριστον· ἔστι δὲ κάλλιστος ὢν τοιόσδε· πρῶτον μὲν νεώτατος θεῶν
ὦ φαῖδρε· μέγα δὲ τεκμήριον τῷ λόγῳ αὐτὸς παρέχεται φεύγων φυ
γῇ τὸ γῆρας ταχὺ ὂν δῆλον ὅτι· θᾶττον γοῦν τοῦ δέοντος ἡμῖν
προσέρχεται· ὃ δὴ πέφυκεν ἔρως μισεῖν καὶ οὐδ' ἐντὸς πολ
λοῦ πλησιάζειν· μετὰ δὲ νέων ἀεὶ ξύνεστί τε καὶ ἔστιν· ὁ γὰρ παλαιὸς
λόγος εὖ ἔχει ὡς ὅμοιον ὁμοίῳ ἀεὶ πελάζει· ἐγὼ δὲ φαίδρῳ
πολλὰ ἄλλα ὁμολογῶν τοῦτο οὐχ ὁμολογῶ ὡς ἔρως κρόνου καὶ
ἰαπετοῦ ἀρχαιότερός ἐστιν· ἀλλά φημι νεώτατον αὐτὸν εἶναι θεῶν
καὶ ἀεὶ νέον· τὰ δὲ παλαιὰ πράγματα περὶ θεούς ἃ ἡσίοδος καὶ
παρμενίδης λέγουσιν ἀνάγκῃ καὶ οὐκ ἔρωτι γεγονέναι εἰ ἐκεῖνοι
ἀληθῆ ἔλεγον· οὐ γὰρ ἂν ἐκτομαὶ οὐδὲ δεσμοὶ ἀλλήλων ἐγίγνοντο
καὶ ἄλλα πολλὰ καὶ βίαια εἰ ἔρως ἐν αὐτοῖς ἦν· ἀλλὰ φιλία καὶ εἰρή
νη ὥσπερ νῦν ἐξ οὗ ἔρως τῶν θεῶν βασιλεύει· νέος μὲν οὖν ἐστι· πρὸς
δὲ τῷ νέῳ ἁπαλός· ποιητοῦ δ' ἔστιν ἐνδεὴς οἷος ἦν ὅμηρος
πρὸς τὸ ἐπιδεῖξαι θεοῦ ἁπαλότητα· ὅμηρος γὰρ ἄτην θεόν τε φη
σιν εἶναι καὶ ἁπαλήν· τοὺς γοῦν πόδας αὐτῆς ἁπαλοὺς εἶναι λέ
γων· τῆς μέν θ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' οὔδεος πίλναται ἀλλ' ἄρα
ἥ γε κατ' ἀνδρῶν κράατα βαίνει· καλῷ οὖν δοκεῖ μοι τεκμηρίῳ τὴν
ἁπαλότητα ἀποφαίνειν ὅτι οὐκ ἐπὶ σκληροῦ βαίνει ἀλλ' ἐπὶ μαλθακοῦ·
τῷ αὐτῷ δὴ καὶ ἡμεῖς χρησόμεθα τεκμηρίῳ περὶ ἔρωτα ὅτι ἁπα
λός· οὐ γὰρ ἐπὶ γῆς βαίνει οὐδ' ἐπὶ κρανίων ἅ ἐστιν οὐ πάνυ μαλα
κά· ἀλλ' ἐν τοῖς μαλακωτάτοις τῶν ὄντων καὶ βαίνει καὶ οἰκεῖ· ἐν γὰρ
ἤθεσι καὶ ψυχαῖς θεῶν καὶ ἀνθρώπων τὴν οἴκησιν ἵδρυται· καὶ οὐ
κ αὖ ἑξῆς ἐν πάσαις ταῖς ψυχαῖς· ἀλλ' ᾗτινι ἂν σκληρὸν ἦθος ἐ
χούσῃ ἐντύχῃ ἀπέρχεται· ᾗ δ' ἂν μαλακόν οἰκίζεται· ἁπτόμενον
οὖν ἀεὶ καὶ ποσὶν καὶ πάντῃ ἐν μαλακωτάτοις τῶν μαλακωτά
των· ἁπαλώτατον ἀνάγκη εἶναι· νεώτατος μὲν δή ἐστι καὶ ἁπαλώ
τατος· πρὸς δὲ τούτοις ὑγρὸς τὸ εἶδος· οὐ γὰρ ἂν οἷός τ' ἦν πάν
τῃ περιπτύσσεσθαι οὐδὲ διὰ πάσης ψυχῆς καὶ εἰσιὼν τὸ πρῶτον
λανθάνειν καὶ ἐξιών εἰ σκληρὸς ἦν· συμμέτρου δὲ καὶ ὑγρᾶς ἰ

δέας μέγα τεκμήριον ἡ εὐσχημοσύνη· ὃ δὴ διαφερόντως ἐκ πάν-
των ὁμολογουμένως ἔρως ἔχει· ἀσχημοσύνῃ γὰρ καὶ ἔρωτι
πρὸς ἀλλήλους ἀεὶ πόλεμος· χρόας δὲ κάλλος ἡ κατ' ἄνθη δί-
αιτα τοῦ θεοῦ σημαίνει· ἀνανθεῖ γὰρ καὶ ἀπηνθηκότι καὶ σώμα-
τι καὶ ψυχῇ καὶ ἄλλῳ ὁτῳοῦν οὐκ ἐνίζει ἔρως, οὗ δ' ἂν εὐανθής
καὶ εὐώδης τόπος ᾖ, ἐνταῦθα καὶ ἵζει καὶ μένει. περὶ μὲν οὖν
κάλλους τοῦ θεοῦ καὶ ταῦτα ἱκανὰ καὶ ἔτι πολλὰ λείπεται· περὶ
δὲ ἀρετῆς ἔρωτος μετὰ ταῦτα λεκτέον, τὸ μὲν μέγιστον ὅτι ἔρως
οὔτ' ἀδικεῖ οὔτ' ἀδικεῖται οὔτε ὑπὸ θεοῦ οὔτε θεόν, οὔτε ὑπ' ἀν-
θρώπου οὔτε ἄνθρωπον. οὔτε γὰρ αὐτὸς βίᾳ πάσχει, εἴ τι πά-
σχει· βία γὰρ ἔρωτος οὐχ ἅπτεται· οὔτε ποιῶν ποιεῖ· πᾶς γὰρ ἑ-
κὼν ἔρωτι πᾶν ὑπηρετεῖ, ἃ δ' ἂν ἑκὼν ἑκόντι ὁμολογήσῃ, φασὶν
οἱ πόλεως βασιλῆς νόμοι δίκαια εἶναι. πρὸς δὲ τῇ δικαιοσύ-
νῃ σωφροσύνης πλείστης μετέχει. εἶναι γὰρ ὁμολογεῖται σω-
φροσύνη τὸ κρατεῖν ἡδονῶν καὶ ἐπιθυμιῶν, ἔρωτος δὲ μηδε-
μίαν ἡδονὴν κρείττω εἶναι· εἰ δὲ ἥττους, κρατοῖντ' ἂν ὑπὸ ἔρω-
τος, ὁ δὲ κρατοῖ, κρατῶν δὲ ἡδονῶν καὶ ἐπιθυμιῶν ὁ ἔρως δια-
φερόντως ἂν σωφρονοῖ. καὶ μὴν εἴς γε ἀνδρείαν ἔρωτι οὐδὲ ἄ-
ρης ἀνθίσταται· οὐ γὰρ ἔχει ἔρωτα ἄρης, ἀλλ' ἔρως ἄρη ἀφρο-
δίτης, ὡς λόγος· κρείττων δὲ ὁ ἔχων τοῦ ἐχομένου· τοῦ δ' ἀν-
δρειοτάτου τῶν ἄλλων κρατῶν πάντων ἂν ἀνδρειότατος εἴη.
περὶ μὲν οὖν δικαιοσύνης καὶ σωφροσύνης καὶ ἀνδρείας τοῦ θεοῦ
εἴρηται, περὶ δὲ σοφίας λείπεται· ὅσον οὖν δυνατὸν πειρατέ-
ον μὴ ἐλλείπειν. καὶ πρῶτον μὲν αὖ καὶ ἐγὼ τὴν ἡμετέραν τέχνην
τιμήσω ὥσπερ ἐρυξίμαχος τὴν αὑτοῦ, ποιητὴς ὁ θεὸς σο-
φὸς οὕτως ὥστε καὶ ἄλλον ποιῆσαι· πᾶς γοῦν ποιητὴς γί-
γνεται, κἂν ἄμουσος ᾖ τὸ πρίν, οὗ ἂν ἔρως ἅψηται. ᾧ δὴ πρέπει
ἡμᾶς μαρτυρίῳ χρῆσθαι, ὅτι ποιητὴς ὁ ἔρως ἀγαθὸς ἐν κεφα-
λαίῳ πᾶσαν ποίησιν τὴν κατὰ μουσικήν· ἃ γάρ τις ἢ μὴ ἔχει ἢ
μὴ οἶδεν, οὔτ' ἂν ἑτέρῳ δοίη οὔτ' ἂν ἄλλον διδάξειεν. καὶ μὲν δὴ
τήν γε τῶν ζῴων ποίησιν πάντων τίς ἐναντιώσεται μὴ οὐχὶ ἔρω-
τος εἶναι σοφίαν, ᾗ γίγνεταί τε καὶ φύεται πάντα τὰ ζῷα; ἀλλὰ τὴν
τῶν τεχνῶν δημιουργίαν οὐκ ἴσμεν ὅτι οὗ μὲν ἂν ὁ θεὸς οὗτος
διδάσκαλος γένηται, ἐλλόγιμος καὶ φανὸς ἀπέβη, οὗ δ' ἂν

ἔρως μὴ ἐφάπτηται σκοτεινός: τοξικήν γε μὴν καὶ ἰατρικὴν
καὶ μαντικὴν. ἀπόλλων ἀνεῦρεν ἐπιθυμίας καὶ ἔρωτος ἡγεμο-
νεύσαντος ὥστε καὶ οὗτος ἔρωτος ἂν εἴη μαθητής· καὶ μοῦσαι
μουσικῆς· καὶ ἥφαιστος χαλκείας· καὶ ἀθηνᾶ ἱστουργίας· καὶ
ζεὺς κυβερνᾶν θεῶν τε καὶ ἀνθρώπων· ὅθεν δὴ καὶ κατεσκευά-
σθη τῶν θεῶν τὰ πράγματα ἔρωτος ἐγγενομένου δῆλον ὅτι
κάλλους· αἴσχει γὰρ οὐκ ἔπι ἔρως· πρὸ τοῦ δὲ ὥσπερ ἐν ἀρχῇ
εἶπον πολλὰ καὶ δεινὰ θεοῖς ἐγίγνετο ὡς λέγεται διὰ τὴν τῆς
ἀνάγκης βασιλείαν· ἐπεὶ δὴ δ' ὁ θεὸς οὗτος ἔφυ ἐκ τοῦ ἐρᾶν τῶν
καλῶν. πάντ' ἀγαθὰ γέγονεν καὶ θεοῖς καὶ ἀνθρώποις· οὕτως
ἐμοὶ δοκεῖ ὦ φαῖδρε ἔρως πρῶτος αὐτὸς ὢν κάλλιστος καὶ ἄ-
ριστος· μετὰ τοῦτο τοῖς ἄλλοις ἄλλων τοιούτων αἴτιος εἶναι·
ἐπέρχεται δέ μοί τι καὶ ἔμμετρον εἰπεῖν ὅτι οὗτός ἐστιν ὁ ποιῶν
εἰρήνην μὲν ἐν ἀνθρώποις πελάγει δὲ γαλήνην· νηνεμίαν
ἀνέμων· κοίτην ὕπνον τ' ἐνὶ κήδει· οὗτος δὲ ἡμᾶς ἀλλοτριότη-
τος μὲν κενοῖ. οἰκειότητος δὲ πληροῖ τὰς τοιάσδε ξυνόδους
μετ' ἀλλήλων πάσας τιθεὶς ξυνιέναι· ἐν ἑορταῖς ἐν χοροῖς
ἐν θυσίαις γιγνόμενος ἡγεμών· πραότητα μὲν πορίζων.
ἀγριότητα δ' ἐξορίζων· φιλόδωρος εὐμενείας· ἄδωρος
δυσμενείας· ἵλεως ἀγαθός· θεατὸς σοφοῖς· ἀγαστὸς
θεοῖς· ζηλωτὸς ἀμοίροις· κτητὸς εὐμοίροις· τρυφῆς ἁ-
βρότητος· χλιδῆς· χαρίτων· ἱμέρου πόθου πατήρ· ἐπιμε-
λὴς ἀγαθῶν· ἀμελὴς κακῶν· ἐν πόνῳ ἐν φόβῳ ἐν πόθῳ ἐν
λόγῳ κυβερνήτης· ἐπιβάτης παραστάτης τε καὶ σωτὴρ ἄρι-
στος· ξυμπάντων τε θεῶν καὶ ἀνθρώπων κόσμος· ἡγεμὼν
κάλλιστος καὶ ἄριστος ᾧ χρὴ ἕπεσθαι πάντα ἄνδρα ἐφυμνοῦν-
τα καλῶς ᾠδῆς μετέχοντα· ἣν ᾄδει θέλγων πάντων θεῶν τε
καὶ ἀνθρώπων νόημα: οὗτος ἔφη ὁ παρ' ἐμοῦ λόγος ὦ φαῖδρε
τῷ θεῷ ἀνακείσθω τὰ μὲν παιδιᾶς· τὰ δὲ σπουδῆς μετρίας
καθ' ὅσον ἐγὼ δύναμαι μετέχων: εἰπόντος δὲ τοῦ ἀγάθωνος
πάντας ἔφη ὁ ἀριστόδημος ἀναθορυβῆσαι τοὺς παρόντας
ὡς πρεπόντως τοῦ νεανίσκου εἰρηκότος καὶ αὑτῷ καὶ τῷ
θεῷ· τὸν οὖν σωκράτη εἰπεῖν βλέψαντα εἰς τὸν ἐρυξίμαχον· ἆρά
σοι δοκῶ φάναι ὦ παῖ ἀκουμενοῦ ἀδεὲς πάλαι δέος δεδιέναι

ἀλλ᾽ οὐ μαντικῶς ἃ νῦν δὴ ἔλεγον εἰπεῖν ὅτι Ἀγάθων θαυμαστῶς ἐροῖ·
ἐγὼ δ᾽ ἀπορήσοιμι· τὸ μὲν ἕτερον φάναι τὸν Ἐρυξίμαχον μαντικῶς
μοι δοκεῖς εἰρηκέναι ὅτι Ἀγάθων εὖ ἐρεῖ· τὸ δὲ σὲ ἀπορήσειν οὐ
οἶμαι. καὶ πῶς ὦ μακάριε εἰπεῖν τὸν Σωκράτη οὐ μέλλω ἀπορεῖν
καὶ ἐγὼ καὶ ἄλλος ὁστισοῦν μέλλων λέξειν μετὰ καλὸν οὕτω καὶ παντο-
δαπὸν λόγον ῥηθέντα· καὶ τὰ μὲν ἄλλα οὐχ ὁμοίως μὲν θαυμαστά·
τὸ δὲ ἐπὶ τελευτῆς τοῦ κάλλους τῶν ὀνομάτων καὶ ῥημάτων τίς
οὐκ ἂν ἐξεπλάγη ἀκούων; ἐπεὶ ἔγωγε ἐνθυμούμενος ὅτι αὐτὸς
οὐχ οἷός τ᾽ ἔσομαι οὐδ᾽ ἐγγὺς τούτων οὐδὲν καλὸν εἰπεῖν, ὑπ᾽ αἰσχύ-
νης ὀλίγου ἀποδρὰς ᾠχόμην, εἴ πῃ εἶχον. καὶ γάρ με Γοργί-
ου ὁ λόγος ἀνεμίμνησκεν, ὥστε ἀτεχνῶς τὸ τοῦ Ὁμήρου ἐπε-
πόνθη· ἐφοβούμην μή μοι τελευτῶν ὁ Ἀγάθων Γοργίου κεφα-
λὴν δεινοῦ λέγειν ἐν τῷ λόγῳ ἐπὶ τὸν ἐμὸν λόγον πέμψας αὐ-
τόν με λίθον τῇ ἀφωνίᾳ ποιήσειεν. καὶ ἐνενόησα τότε ἄρα κα-
ταγέλαστος ὢν ἡνίκα ὑμῖν ὡμολόγουν ἐν τῷ μέρει μεθ᾽ ὑμῶν ἐγ-
κωμιάσεσθαι τὸν Ἔρωτα καὶ ἔφην εἶναι δεινὸς τὰ ἐρωτικά, οὐδὲν
εἰδὼς ἄρα τοῦ πράγματος ὡς ἔδει ἐγκωμιάζειν ὁτιοῦν. ἐγὼ
μὲν γὰρ ὑπ᾽ ἀβελτερίας ᾤμην δεῖν τἀληθῆ λέγειν περὶ ἑκάστου τοῦ
ἐγκωμιαζομένου· καὶ τοῦτο μὲν ὑπάρχειν· ἐξ αὐτῶν δὲ τούτων
τὰ κάλλιστα ἐκλεγομένους ὡς εὐπρεπέστατα τιθέναι· καὶ πάνυ
δὴ μέγα ἐφρόνουν ὡς εὖ ἐρῶν ὡς εἰδὼς τὴν ἀλήθειαν τοῦ ἐ-
παινεῖν ὁτιοῦν. τὸ δὲ ἄρα ὡς ἔοικεν οὐ τοῦτο ἦν τὸ καλῶς ἐπαι-
νεῖν ὁτιοῦν. ἀλλὰ τὸ ὡς μέγιστα ἀνατιθέναι τῷ πράγματι καὶ ὡς
κάλλιστα ἐάν τε ᾖ οὕτως ἔχοντα ἐάν τε μή· εἰ δὲ ψευδῆ, οὐδὲν ἄρ᾽ ἦν
πρᾶγμα. προυρρήθη γὰρ ὡς ἔοικεν ὅπως ἕκαστος ἡμῶν τὸν
ἔρωτα ἐγκωμιάζειν δόξει, οὐχ ὅπως ἐγκωμιάσεται. διὰ ταῦτα
δὴ οἶμαι πάντα λόγον κινοῦντες ἀνατίθετε τῷ ἔρωτι· καὶ φατὲ
αὐτὸν τοιοῦτόν τε εἶναι καὶ τοσούτων αἴτιον, ὅπως ἂν φαίνηται
ὡς κάλλιστος καὶ ἄριστος, δῆλον ὅτι τοῖς μὴ γιγνώσκουσιν· οὐ γὰρ
που τοῖς γε εἰδόσιν· καὶ καλῶς γ᾽ ἔχει καὶ σεμνῶς ὁ ἔπαινος. ἀλ-
λὰ γὰρ ἐγὼ οὐκ ᾔδη τὸν τρόπον τοῦ ἐπαίνου, οὐδ᾽ εἰδὼς ὑμῖν ὡμο-
λόγησα καὶ αὐτὸς ἐν τῷ μέρει ἐπαινέσεσθαι. ἡ γλῶττα οὖν ὑπέ-
σχετο, ἡ δὲ φρὴν οὔ· χαιρέτω δή. οὐ γὰρ ἔτι ἐγκωμιάζω τοῦτον τὸν
τρόπον· οὐ γὰρ ἂν δυναίμην. οὐ μέντοι ἀλλὰ τά γε ἀληθῆ εἰ βούλε-

σθε· ἐθέλω εἰπεῖν κατ' ἐμαυτόν, οὐ πρὸς τοὺς ὑμετέρους λόγους
ἵνα μὴ γέλωτα ὄφλω. ὅρα οὖν ὦ Φαῖδρε, εἴ τι καὶ τοιούτου λόγου
δέῃ, περὶ ἔρωτος τἀληθῆ λεγόμενα ἀκούειν, ὀνόμασι δὲ καὶ θέ-
σει ῥημάτων τοιαύτῃ ὁποία δ' ἄν τις τύχῃ ἐπελθοῦσα. τὸν οὖν
Φαῖδρον ἔφη καὶ τοὺς ἄλλους κελεύειν λέγειν, ὅπῃ αὐτὸς οἴοιτο
δεῖν εἰπεῖν ταύτῃ. ἔτι τοίνυν φάναι ὦ Φαῖδρε, πάρες μοι Ἀγάθω-
να σμικρ' ἄττ' ἀνερέσθαι, ἵνα ἀνομολογησάμενος παρ' αὐτοῦ οὕ-
τως ἤδη λέγω. ἀλλὰ παρίημι φάναι τὸν Φαῖδρον, ἀλλ' ἐρώτα.
μετὰ ταῦτα δὴ τὸν Σωκράτη ἔφη ἐνθένδε ποθὲν ἄρξασθαι. καὶ μὴν
ὦ φίλε Ἀγάθων, καλῶς μοι ἔδοξας καθηγήσασθαι τοῦ λόγου λέ-
γων ὅτι πρῶτον μὲν δέοι αὐτὸν ἐπιδεῖξαι ὁποῖός τίς ἐστιν ὁ Ἔρως,
ὕστερον δὲ τὰ ἔργα αὐτοῦ. ταύτην τὴν ἀρχὴν πάνυ ἄγαμαι. ἴθι
οὖν μοι περὶ ἔρωτος, ἐπειδὴ καὶ τἆλλα καλῶς καὶ μεγαλοπρεπῶς
διῆλθες οἷός ἐστι, καὶ τόδε εἰπέ· πότερόν ἐστι τοιοῦτος οἷος εἶναί
τινος ὁ ἔρως ἔρως, ἢ οὐδενός; ἐρωτῶ δ' οὐκ εἰ μητρός τινος
ἢ πατρός ἐστιν· γελοῖον γὰρ ἂν εἴη τὸ ἐρώτημα, εἰ ἔρως ἐστὶν ἔρως
μητρὸς ἢ πατρός· ἀλλ' ὥσπερ ἂν εἰ αὐτὸ τοῦτο πατέρα ἠρώτων, ἆ-
ρα ὁ πατήρ ἐστι πατήρ τινος ἢ οὔ; εἶπες ἂν δήπου μοι, εἰ ἐβούλου
καλῶς ἀποκρίνασθαι, ὅτι ἐστὶν υἱέος γε ἢ θυγατρὸς ὁ πατὴρ πα-
τήρ· ἢ οὔ; πάνυ γε φάναι τὸν Ἀγάθωνα. οὐκοῦν καὶ ἡ μήτηρ ὡσ-
αύτως; ὁμολογεῖσθαι καὶ τοῦτο. ἔτι τοίνυν εἰπεῖν τὸν Σωκράτη
ἀπόκριναι ὀλίγῳ πλείω, ἵνα μᾶλλον καταμάθῃς ὃ βούλομαι. εἰ
γὰρ ἐροίμην, τί δέ; ἀδελφός, αὐτὸ τοῦθ' ὅπερ ἔστιν, ἔστι τινὸς ἀδελ-
φὸς ἢ οὔ; φάναι εἶναι. οὐκοῦν ἀδελφοῦ ἢ ἀδελφῆς; ὁμολογεῖν.
πειρῶ δὴ φάναι καὶ τὸν ἔρωτα εἰπεῖν· ὁ ἔρως ἔρως ἐστὶν οὐδε-
νὸς ἢ τινός; πάνυ μὲν οὖν ἐστιν. τοῦτο μὲν τοίνυν εἰπεῖν τὸν Σω-
κράτη φύλαξον παρὰ σαυτῷ μεμνημένος ὅτου· τοσόνδε δὲ εἰ-
πέ· πότερον ὁ ἔρως ἐκείνου οὗ ἐστιν ἔρως ἐπιθυμεῖ αὐτοῦ ἢ οὔ;
πάνυ γε φάναι. πότερον ἔχων αὐτὸ οὗ ἐπιθυμεῖ τε καὶ ἐρᾷ, εἶτα
ἐπιθυμεῖ τε καὶ ἐρᾷ, ἢ οὐκ ἔχων; οὐκ ἔχων ὡς τὸ εἰκός γε φάναι.
σκόπει δὴ εἰπεῖν τὸν Σωκράτη, ἀντὶ τοῦ εἰκότος, εἰ ἀνάγκη οὕτως
τὸ ἐπιθυμοῦν ἐπιθυμεῖν οὗ ἐνδεές ἐστιν, ἢ μὴ ἐπιθυμεῖν ἐὰν μὴ ἐν-
δεὲς ᾖ· ἐμοὶ μὲν γὰρ θαυμαστῶς δοκεῖ, ὦ Ἀγάθων, ὡς ἀνάγκη
εἶναι· σοὶ δὲ πῶς; κἀμοὶ φάναι δοκεῖ. καλῶς λέγεις. ἆρ' οὖν βού-

λοιτ' ἄν τις μέγας ὢν μέγας εἶναι ἢ ἰσχυρὸς ὢν ἰσχυρός: ἀδύνα-
τον ἐκ τῶν ὡμολογημένων. οὐ γάρ που ἐνδεὴς ἂν εἴη τούτων ὅ γε
ὤν: ἀληθῆ λέγεις: εἰ γὰρ καὶ ἰσχυρὸς ὢν βούλοιτο ἰσχυρὸς εἶναι
φάναι τὸν σωκράτη καὶ ταχὺς ὢν ταχύς· καὶ ὑγιὴς ὢν ὑγιής· ἴσως
γὰρ ἄν τις ταῦτα οἰηθείη καὶ πάντα τὰ τοιαῦτα· τοὺς ὄντας τε
τοιούτους καὶ ἔχοντας ταῦτα τούτων ἅπερ ἔχουσι καὶ ἐπιθυμεῖν·
ἵν' οὖν μὴ ἐξαπατηθῶμεν. τούτου ἕνεκα λέγω· τούτοις γὰρ ὦ ἀ-
γάθων εἰ ἐννοεῖς ἔχειν μὲν ἕκαστα τούτων ἐν τῷ παρόντι ἀνάγ-
κη ἃ ἔχουσιν· ἐάντε βούλωνται ἐάντε μή· καὶ τούτου γε δήπου τίς
ἂν ἐπιθυμήσειεν· ἀλλ' ὅταν τις λέγῃ ὅτι ἐγὼ ὑγιαίνων βούλομαι
καὶ ὑγιαίνειν· καὶ πλουτῶν βούλομαι καὶ πλουτεῖν· καὶ ἐπιθυμῶ
αὐτῶν τούτων ἃ ἔχω. εἴποιμεν ἂν αὐτῷ ὅτι σὺ ὦ ἄνθρωπε πλοῦ-
τον κεκτημένος καὶ ὑγίειαν καὶ ἰσχὺν· βούλει καὶ εἰς τὸν ἔπει-
τα χρόνον ταῦτα κεκτῆσθαι· ἐπεὶ ἐν τῷ γε νῦν παρόντι εἴτε βούλει
εἴτε μή, ἔχεις· σκόπει οὖν ὅταν τοῦτο λέγῃς ὅτι ἐπιθυμῶ τῶν
παρόντων εἰ ἄλλο τι λέγεις ἢ τόδε· ὅτι βούλομαι τὰ νῦν παρόντα
καὶ εἰς τὸν ἔπειτα χρόνον παρεῖναι. ἄλλο τι ὁμολογοῖ ἄν: συμφά-
ναι ἔφη τὸν ἀγάθωνα: εἰπεῖν δὴ τὸν σωκράτη· οὐκοῦν τοῦτό γ' ἐ-
στὶν ἐκείνου ἐρᾶν ὃ οὔπω ἕτοιμον αὐτῷ ἐστιν οὐδὲ ἔχει· τὸ εἰς τὸν ἔ-
πειτα χρόνον ταῦτα εἶναι αὐτῷ σωζόμενα καὶ παρόντα: πάνυ
γε φάναι: καὶ οὗτος ἄρα καὶ ἄλλος πᾶς ὁ ἐπιθυμῶν τοῦ μὴ ἑτοί-
μου ἐπιθυμεῖ καὶ τοῦ μὴ παρόντος καὶ ὃ μὴ ἔχει καὶ ὃ μή ἐστιν αὐτὸς
καὶ οὗ ἐνδεής ἐστι· τοιαῦτ' ἄττα ἐστὶν ὧν ἡ ἐπιθυμία τε καὶ ὁ ἔρως
ἐστίν: πάνυ γ' εἰπεῖν: ἴθι δὴ φάναι τὸν σωκράτη ἀνομολογησώμεθα
τὰ εἰρημένα· ἄλλο τι ἐστὶν ὁ ἔρως πρῶτον μὲν τινῶν, ἔπειτα τού-
των ὧν ἂν ἔνδεια παρῇ αὐτῷ: ναὶ φάναι: ἐπὶ δὴ τούτοις ἀνα-
μνήσθητι τίνων ἔφησθα ἐν τοῖς λόγοις εἶναι τὸν ἔρωτα: εἰ δὲ βού-
λει ἐγώ σε ἀναμνήσω· οἶμαι γάρ σε οὑτωσί πως εἰπεῖν ὅτι τοῖς
θεοῖς κατεσκευάσθη τὰ πράγματα δι' ἔρωτα καλῶν· αἰσχρῶν
γὰρ οὐκ εἴη ἔρως· οὐχ οὑτωσί πως ἔλεγες: εἶπον γὰρ φάναι
τὸν ἀγάθωνα: καὶ ἐπιεικῶς γε λέγεις ὦ ἑταῖρε φάναι τὸν σωκρά-
τη· καὶ εἰ τοῦτο οὕτως ἔχει· ἄλλο τι ὁ ἔρως κάλλους ἂν εἴη ἔρως·
αἴσχους δὲ οὔ: ὡμολόγει: οὐκοῦν ὡμολόγηται οὗ ἐνδεής ἐστι
καὶ μὴ ἔχει τούτου ἐρᾶν: ναὶ εἰπεῖν: ἐνδεὴς ἄρ' ἐστὶ καὶ οὐκ ἔχει

ὁ ἔρως κάλλος· ἀνάγκη φάναι· τί δέ; τὸ ἐνδεὲς κάλλους καὶ μηδαμῆ
κεκτημένον κάλλος· ἆρα λέγεις σὺ καλὸν εἶναι· οὐ δῆτα· ἔτι οὖν
ὁμολογεῖς ἔρωτα καλὸν εἶναι, εἰ ταῦτα οὕτως ἔχει· καὶ τὸν ἀγά-
θωνα εἰπεῖν· κινδυνεύω ὦ σώκρατες οὐδὲν εἰδέναι ὧν τότε εἶπον·
καὶ μὴν καλῶς γε εἶπες φάναι ὦ ἀγάθων· ἀλλὰ σμικρὸν ἔτι εἰπέ· τἀ-
γαθὰ οὐ καὶ καλὰ δοκεῖ σοι εἶναι· ἔμοιγε· εἰ ἄρα ὁ ἔρως
τῶν καλῶν ἐνδεής ἐστι· τὰ δὲ ἀγαθὰ καλά, κἂν τῶν ἀγαθῶν ἐν-
δεὴς εἴη· ἐγὼ φάναι ὦ σώκρατες σοὶ οὐκ ἂν δυναίμην ἀντιλέ-
γειν· ἀλλ' οὕτως ἐχέτω ὡς σὺ λέγεις· οὐ μὲν οὖν τῇ ἀληθείᾳ
φάναι ὦ φιλούμενε ἀγάθων δύνασαι ἀντιλέγειν· ἐπεὶ σωκράτει
γε οὐδὲν χαλεπόν· καὶ σὲ μέν γε ἤδη ἐάσω· τὸν δὲ λόγον τὸν περὶ
τοῦ ἔρωτος ὅν ποτ' ἤκουσα γυναικὸς μαντινικῆς διοτίμας
ἣ ταῦτά τε σοφὴ ἦν καὶ ἄλλα πολλά· καὶ ἀθηναίοις ποτὲ θυσα-
μένοις πρὸ τοῦ λοιμοῦ δέκα ἔτη ἀναβολὴν ἐποίησε τῆς νό-
σου· ἣ δὴ καὶ ἐμὲ τὰ ἐρωτικὰ ἐδίδαξεν· ὃν οὖν ἐκείνη ἔλεγε
λόγον πειράσομαι ὑμῖν διελθεῖν ἐκ τῶν ὡμολογημένων ἐμοὶ
καὶ ἀγάθωνι· αὐτὸς ἐπ' ἐμαυτοῦ ὅπως ἂν δύνωμαι· δεῖ δή ὦ ἀ-
γάθων ὥσπερ σὺ διηγήσω διελθεῖν αὐτὸν πρῶτον τίς ἐστιν ὁ
ἔρως καὶ ποῖός τις· ἔπειτα τὰ ἔργα αὐτοῦ· δοκεῖ οὖν μοι ῥᾷ-
στον εἶναι οὕτω διελθεῖν ὥς ποτέ με ἡ ξένη ἀνακρίνουσα διῄει·
σχεδὸν γάρ τι καὶ ἐγὼ πρὸς αὐτὴν ἕτερα τοιαῦτα ἔλεγον οἷά-
περ νῦν πρὸς ἐμὲ ἀγάθων, ὡς εἴη ὁ ἔρως μέγας θεός· εἴη
δὲ τῶν καλῶν· ἤλεγχε δή με τούτοις τοῖς λόγοις οἷσπερ ἐγὼ
τοῦτον· ὡς οὔτε καλὸς εἴη κατὰ τὸν ἐμὸν λόγον· οὔτε ἀγαθός·
καὶ ἐγώ, πῶς λέγεις ἔφην ὦ διοτίμα· αἰσχρὸς ἄρα ὁ ἔρως
ἐστὶ καὶ κακός· καὶ ἥ, οὐκ εὐφημήσεις ἔφη· ἢ οἴει ὅτι ἂν μὴ καλὸν ᾖ,
ἀναγκαῖον αὐτὸ εἶναι αἰσχρόν· μάλιστά γε· ἦ καὶ ἂν μὴ σοφὸν ἀμα-
θές· ἢ οὐκ ᾔσθησαι ὅτι ἔστι τι μεταξὺ σοφίας καὶ ἀμαθίας·
τί τοῦτο· τὸ ὀρθὰ δοξάζειν καὶ ἄνευ τοῦ ἔχειν λόγον δοῦναι· οὐκ
οἶσθ' ἔφη ὅτι οὔτε ἐπίστασθαί ἐστιν· ἄλογον γὰρ πρᾶγμα πῶς
ἂν εἴη ἐπιστήμη· οὔτε ἀμαθία· τὸ γὰρ τοῦ ὄντος τυγχάνον πῶς
ἂν εἴη ἀμαθία· ἔστι δὲ δήπου τοιοῦτον ἡ ὀρθὴ δόξα μεταξὺ φρο-
νήσεως καὶ ἀμαθίας· ἀληθῆ ἦν δ' ἐγὼ λέγεις· μὴ τοίνυν ἀ-
νάγκαζε ὃ μὴ καλόν ἐστιν αἰσχρὸν εἶναι· μηδὲ ὃ μὴ ἀγαθὸν κακόν·

τὸ μεταξὺ ἐπι-
στήμης καὶ ἀμα-
θίας ἡ ὀρθὴ δό-
ξα καὶ ἄλογον
μέση

οὕτω δὲ καὶ τὸν ἔρωτα ἐπειδὴ αὐτὸς ὁμολογεῖς μὴ εἶναι ἀγαθὸν
μηδὲ καλὸν· μηδέν τι μᾶλλον οἴου δεῖν αὐτὸν αἰσχρὸν καὶ κακὸν εἶναι
ἀλλά τι μεταξὺ ἔφη τούτοιν· καὶ μὴν ἦν δ' ἐγὼ ὁμολογεῖταί γε παρὰ
πάντων μέγας θεὸς εἶναι· τῶν μὴ εἰδότων ἔφη πάντων λέγεις·
ἢ καὶ τῶν εἰδότων· συμπάντων μὲν οὖν· καὶ ἣ γελάσασα καὶ πῶς
ἂν ἔφη ὦ σώκρατες ὁμολογοῖτο μέγας θεὸς εἶναι παρὰ τού
των οἵ φασιν αὐτὸν οὐδὲ θεὸν εἶναι· τίνες οὗτοι ἦν δ' ἐγώ· εἷς μὲν
ἔφη σύ· μία δ' ἐγώ· κἀγὼ εἶπον· πῶς τοῦτο ἔφην λέγεις· καὶ ἣ ῥᾳ
δίως ἔφη· λέγε γάρ μοι οὐ πάντας θεοὺς φὴς εὐδαίμονας εἶ
ναι καὶ καλούς; ἢ τολμήσαις ἄν τινα μὴ φάναι καλόν τε καὶ εὐδαί
μονα θεῶν εἶναι· μὰ δί' οὐκ ἔγωγ' ἔφην· εὐδαίμονας δὲ δὴ
λέγεις οὐ τοὺς τἀγαθὰ καὶ τὰ καλὰ κεκτημένους· πάνυ γε·
ἀλλὰ μὴν ἔρωτά γε ὡμολόγηκας δι' ἔνδειαν τῶν ἀγαθῶν καὶ κα
λῶν ἐπιθυμεῖν αὐτῶν τούτων ὧν ἐνδεὴς ἐστίν· ὡμολόγηκα γάρ·
πῶς ἂν οὖν θεὸς εἴη ὅ γε τῶν καλῶν καὶ ἀγαθῶν ἄμοιρος·
οὐδαμῶς ὥς γ' ἔοικεν· ὁρᾷς οὖν ἔφη ὅτι καὶ σὺ ἔρωτα οὐ θεὸν
νομίζεις· τί οὖν ἂν ἔφην εἴη ὁ ἔρως· θνητός· ἥκιστά γε· ἀλ
λὰ τί μήν· ὥσπερ τὰ πρότερα ἔφη μεταξὺ θνητοῦ καὶ ἀθανά
του· τί οὖν ὦ διοτίμα· δαίμων μέγας ὦ σώκρατες· καὶ γὰρ
πᾶν τὸ δαιμόνιον μεταξύ ἐστι θεοῦ τε καὶ θνητοῦ· τίνα ἦν δ' ἐγὼ
δύναμιν ἔχον· ἑρμηνεῦον καὶ διαπορθμεῦον θεοῖς τὰ παρ' ἀν
θρώπων καὶ ἀνθρώποις τὰ παρὰ θεῶν· τῶν μὲν τὰς δεήσεις
καὶ θυσίας· τῶν δὲ τὰς ἐπιτάξεις καὶ ἀμοιβὰς τῶν θυσιῶν·
ἐν μέσῳ δὲ ὂν ἀμφοτέρων συμπληροῖ ὥστε τὸ πᾶν αὐτὸ αὑτῷ ξυν
δεδέσθαι· διὰ τούτου καὶ ἡ μαντικὴ πᾶσα χωρεῖ καὶ ἡ τῶν ἱερέων
τέχνη τῶν τε περὶ τὰς θυσίας καὶ τὰς τελετὰς καὶ τὰς ἐπῳδὰς
καὶ τὴν μαντείαν πᾶσαν καὶ γοητείαν· θεὸς δὲ ἀνθρώπῳ οὐ μί
γνυται ἀλλὰ διὰ τούτου πᾶσά ἐστιν ἡ ὁμιλία καὶ ἡ διάλεκτος θεοῖς
πρὸς ἀνθρώπους καὶ ἐγρηγορόσι καὶ καθεύδουσι· καὶ ὁ μὲν πε
ρὶ τὰ τοιαῦτα σοφὸς δαιμόνιος ἀνήρ· ὁ δὲ ἄλλο τι σοφὸς ὢν ἢ πε
ρὶ τέχνας ἢ χειρουργίας τινὰς βάναυσος· οὗτοι δὴ οἱ δαίμονες
πολλοὶ καὶ παντοδαποί εἰσιν· εἷς δὲ τούτων ἐστὶ καὶ ὁ ἔρως· πα
τρὸς δὲ ἦν δ' ἐγὼ τίνος ἐστὶ καὶ μητρός· μακρότερον μὲν ἔφη διη
γήσασθαι ὅμως δέ σοι ἐρῶ· ὅτε γὰρ ἐγένετο ἡ ἀφροδίτη ἡστιῶντο

οἱ θεοὶ οἵ τε ἄλλοι καὶ ὁ τῆς μήτιδος υἱὸς πόρος. ἐπειδὴ δὲ ἐδείπνη-
σαν προσαιτήσουσα οἷον δὴ εὐωχίας οὔσης ἀφίκετο ἡ πενία
καὶ ἦν περὶ τὰς θύρας. ὁ οὖν πόρος μεθυσθεὶς τοῦ νέκταρος
οἶνος γὰρ οὔπω ἦν εἰς τὸν τοῦ διὸς κῆπον εἰσελθὼν βεβαρημένος
ηὗδεν. ἡ οὖν πενία ἐπιβουλεύουσα διὰ τὴν αὑτῆς ἀπορίαν παι-
δίον ποιήσασθαι ἐκ τοῦ πόρου. κατακλίνεταί τε παρ' αὐτῷ καὶ ἐ-
κύησε τὸν ἔρωτα. διὸ δὴ καὶ τῆς ἀφροδίτης ἀκόλουθος καὶ θε-
ράπων γέγονεν ὁ ἔρως γεννηθεὶς ἐν τοῖς ἐκείνης γενεθλίοις.
καὶ ἅμα φύσει ἐραστὴς ὢν περὶ τὸ καλόν. καὶ τῆς ἀφροδίτης
καλῆς οὔσης. ἅτε οὖν πόρου καὶ πενίας υἱὸς ὢν ὁ ἔρως
ἐν τοιαύτῃ τύχῃ καθέστηκεν. πρῶτον μὲν πένης ἀεί ἐστι καὶ πολ-
λοῦ δεῖ ἁπαλός τε καὶ καλὸς οἷον οἱ πολλοὶ οἴονται. ἀλλὰ σκληρὸς
καὶ αὐχμηρὸς καὶ ἀνυπόδητος καὶ ἄοικος. χαμαιπετὴς ἀεὶ
ὢν καὶ ἄστρωτος ἐπὶ θύραις καὶ ἐν ὁδοῖς ὑπαίθριος κοιμώμε-
νος τὴν τῆς μητρὸς φύσιν ἔχων ἀεὶ ἐνδείᾳ ξύνοικος. κατὰ δὲ
αὖ τὸν πατέρα ἐπίβουλός ἐστι τοῖς καλοῖς καὶ τοῖς ἀγαθοῖς ἀνδρεῖ-
ος ὢν καὶ ἴτης καὶ σύντονος θηρευτὴς δεινός. ἀεί τινας πλέ-
κων μηχανὰς καὶ φρονήσεως ἐπιθυμητὴς καὶ πόριμος φιλο-
σοφῶν διὰ παντὸς τοῦ βίου. δεινὸς γόης καὶ φαρμακεὺς καὶ σοφι-
στής. καὶ οὔτε ὡς ἀθάνατος πέφυκεν. οὔτε ὡς θνητός. ἀλλὰ τό-
τε μὲν τῆς αὐτῆς ἡμέρας θάλλει καὶ ζῇ ὅταν εὐπορήσῃ. τότε δὲ
ἀποθνήσκει. πάλιν δὲ ἀναβιώσκεται διὰ τὴν τοῦ πατρὸς φύσιν.
τὸ δὲ ποριζόμενον ἀεὶ ὑπεκρεῖ. ὥστε οὔτε ἀπορεῖ ἔρως ποτὲ
οὔτε πλουτεῖ. σοφίας τε καὶ ἀμαθίας ἐν μέσῳ ἐστίν. ἔχει γὰρ ὧδε.
θεῶν οὐδεὶς φιλοσοφεῖ οὐδ' ἐπιθυμεῖ σοφὸς γενέσθαι. ἔστι γάρ.
οὐδ' εἴ τις ἄλλος σοφὸς οὐ φιλοσοφεῖ. οὐδ' αὖ οἱ ἀμαθεῖς φιλοσο-
φοῦσιν οὐδ' ἐπιθυμοῦσι σοφοὶ γενέσθαι. αὐτὸ γὰρ τοῦτό ἐστι χαλεπὸν
ἀμαθία τὸ μὴ ὄντα καλὸν κἀγαθὸν μηδὲ φρόνιμον δοκεῖν αὐτῷ εἶ-
ναι ἱκανόν. οὔκουν ἐπιθυμεῖ ὁ μὴ οἰόμενος ἐνδεὴς εἶναι οὗ ἂν
μὴ οἴηται ἐπιδεῖσθαι. τίνες οὖν ἔφην ἐγὼ ὦ διοτίμα οἱ φιλοσο-
φοῦντες εἰ μήτε οἱ σοφοὶ μήτε οἱ ἀμαθεῖς. δῆλον ὅτι ἔφη τοῦτό
γε ἤδη καὶ παιδί. ὅτι οἱ μεταξὺ τούτων ἀμφοτέρων ὧν ἂν καὶ ὁ ἔρως.
ἔστι γὰρ δὴ τῶν καλλίστων ἡ σοφία. ἔρως δ' ἐστὶν ἔρως περὶ τὸ καλόν.
ὥστε ἀναγκαῖον ἔρωτα φιλόσοφον εἶναι. φιλόσοφον δὲ ὄντα μεταξὺ

ζὺ ὄντα μεταξὺ σοφοῦ καὶ ἀμαθοῦς· αἰτία δὲ αὐτῷ καὶ τούτων ἡ γένεσις·
πατρὸς μὲν γὰρ σοφοῦ ἐστι καὶ εὐπόρου· μητρὸς δὲ οὐ σοφῆς καὶ
ἀπόρου· ἡ μὲν οὖν φύσις τοῦ δαίμονος ὦ φίλε σώκρατες αὕτη·
ὃν δὲ σὺ ᾠήθης ἔρωτα εἶναι· θαυμαστὸν οὐδὲν ἔπαθες· ᾠήθης
δὲ ὡς ἐμοὶ δοκεῖ τεκμαιρομένη ἐξ ὧν σὺ λέγεις· τὸ ἐρώμενον
ἔρωτα εἶναι οὐ τὸ ἐρῶν· διὰ ταῦτά σοι οἶμαι πάγκαλος ἐφαίνετο
ὁ ἔρως· καὶ γὰρ ἔστι τὸ ἐραστὸν τὸ τῷ ὄντι καλὸν καὶ ἁβρὸν καὶ τέλε-
ον καὶ μακαριστόν· τὸ δέ γε ἐρῶν ἄλλην ἰδέαν τοιαύτην ἔχον οἵαν
ἐγὼ διῆλθον· καὶ ἐγὼ εἶπον εἶεν δὴ ὦ ξένη· καλῶς γὰρ λέγεις·
τοιοῦτος ὢν ὁ ἔρως τίνα χρείαν ἔχει τοῖς ἀνθρώποις· τοῦτο
δὴ μετὰ ταῦτ' ἔφη ὦ σώκρατες πειράσομαί σε διδάξαι· ἔστι μὲν γὰρ
δὴ τοιοῦτος καὶ οὕτω γεγονὼς ὁ ἔρως· ἔστι δὲ τῶν καλῶν ὡς σὺ
φῄς· εἰ δέ τις ἡμᾶς ἔροιτο· τί τῶν καλῶν ἐστιν ὁ ἔρως ὦ σώκρα-
τές τε καὶ διοτίμα· ὧδε δὲ σαφέστερον· ἐρᾷ ὁ ἐρῶν τῶν καλῶν· τί
ἐρᾷ· καὶ ἐγὼ εἶπον ὅτι γενέσθαι αὐτῷ· ἀλλ' ἔτι ποθεῖ ἔφη ἡ ἀ-
πόκρισις ἐρώτησιν τοιάνδε· τί ἔσται ἐκείνῳ ᾧ ἂν γένηται τὰ κα-
λά· οὐ πάνυ ἔφην ἔτι ἔχειν ἐγὼ πρὸς ταύτην τὴν ἐρώτησιν
προχείρως ἀποκρίνασθαι· ἀλλ' ἔφη ὥσπερ ἂν εἴ τις μεταβαλὼν
ἀντὶ τοῦ καλοῦ τῷ ἀγαθῷ χρώμενος πυνθάνοιτο· φέρε ὦ σώ-
κρατες ἐρᾷ ὁ ἐρῶν τῶν ἀγαθῶν· τί ἐρᾷ· γενέσθαι ἦν δ' ἐγὼ αὐ-
τῷ· καὶ τί ἔσται ἐκείνῳ ᾧ ἂν γένηται τἀγαθά· τοῦτ' εὐπορώτε-
ρον ἦν δ' ἐγὼ ἔχω ἀποκρίνασθαι ὅτι εὐδαίμων ἔσται· κτήσει γὰρ
ἔφη ἀγαθῶν οἱ εὐδαίμονες εὐδαίμονες· καὶ οὐκέτι προσδεῖ ἐρέ-
σθαι ἵνα τί δὲ βούλεται εὐδαίμων εἶναι ὁ βουλόμενος· ἀλλὰ τέ-
λος δοκεῖ ἔχειν ἡ ἀπόκρισις· ἀληθῆ λέγεις εἶπον ἐγώ· ταύ-
την δὲ τὴν βούλησιν καὶ τὸν ἔρωτα τοῦτον πότερα κοινὸν οἴει
εἶναι πάντων ἀνθρώπων· καὶ πάντας τἀγαθὰ βούλεσθαι αὑ-
τοῖς εἶναι ἀεί· ἢ πῶς λέγεις· οὕτως ἦν δ' ἐγὼ κοινὸν εἶναι
πάντων· τί δὴ οὖν ἔφη ὦ σώκρατες οὐ πάντας ἐρᾶν φαμὲν εἴ-
περ γε πάντες τῶν αὐτῶν ἐρῶσι καὶ ἀεί· ἀλλά τινάς φαμεν ἐ-
ρᾶν τοὺς δ' οὔ· θαυμάζω ἦν δ' ἐγὼ καὶ αὐτός· ἀλλὰ μὴ θαυ-
μάζ' ἔφη· ἀφελόντες γὰρ τοῦ ἔρωτός τι εἶδος· ὀνομάζομεν
τὸ τοῦ ὅλου ἐπιτιθέντες ὄνομα ἔρωτα· τὰ δὲ ἄλλα ἄλλοις
καταχρώμεθα ὀνόμασιν· ὥσπερ τί ἦν δ' ἐγώ· ὥσπερ τόδε·

οἶσθ' ὅτι ποίησίς ἐστί τι πολύ· ἡ γάρ τοι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν ἰόντι
ὁτῳοῦν αἰτία πᾶσά ἐστι ποίησις· ὥστε καὶ αἱ ὑπὸ πάσαις ταῖς
τέχναις ἐργασίαι ποιήσεις εἰσί· καὶ οἱ τούτων δημιουργοὶ πάν-
τες ποιηταί· ἀληθῆ λέγεις· ἀλλ' ὅμως ἦ δ' ἥ, οἶσθ' ὅτι οὐ καλοῦνται
ποιηταὶ ἀλλ' ἄλλα ἔχουσιν ὀνόματα· ἀπὸ δὲ πάσης τῆς ποιήσε-
ως ἓν μόριον ἀφορισθὲν τὸ περὶ τὴν μουσικὴν καὶ τὰ μέτρα τῷ
τοῦ ὅλου ὀνόματι προσαγορεύεται· ποίησις γὰρ τοῦτο μόνον καλεῖ-
ται· καὶ οἱ ἔχοντες τοῦτο τὸ μόριον τῆς ποιήσεως ποιηταί· ἀλη-
θῆ λέγεις ἔφην· οὕτω τοίνυν καὶ περὶ τὸν ἔρωτα· τὸ μὲν κεφάλαιόν
ἐστι πᾶσα ἡ τῶν ἀγαθῶν ἐπιθυμία καὶ τοῦ εὐδαιμονεῖν ὁ μέγιστός τε
καὶ δολερὸς ἔρως παντί· ἀλλ' οἱ μὲν ἄλλῃ τρεπόμενοι πολλαχῇ ἐπ'
αὐτὸν ἢ κατὰ χρηματισμὸν ἢ κατὰ φιλογυμναστίαν ἢ κατὰ φιλο-
σοφίαν οὔτε ἐρᾶν καλοῦνται· οὔτε ἐρασταί· οἱ δὲ κατὰ ἕν τι εἶδος
ἰόντες καὶ ἐσπουδακότες τὸ τοῦ ὅλου ὄνομα ἴσχουσιν· ἔρωτά
τε καὶ ἐρᾶν καὶ ἐρασταί· κινδυνεύεις ἀληθῆ ἔφην ἐγὼ λέγειν·
καὶ λέγεται μέν γέ τις ἔφη λόγος ὡς οἳ ἂν τὸ ἥμισυ ἑαυτῶν ζητῶσιν
οὗτοι ἐρῶσιν· ὁ δ' ἐμὸς λόγος οὔτε ἡμίσεός φησιν εἶναι τὸν ἔ-
ρωτα οὔτε ὅλου ἐὰν μὴ τυγχάνῃ γέ που ὦ ἑταῖρε ἀγαθὸν ὂν· ἐ-
πεὶ αὑτῶν γε καὶ πόδας καὶ χεῖρας ἐθέλουσιν ἀποτέμνεσθαι οἱ
ἄνθρωποι· ἐὰν αὐτοῖς δοκῇ τὰ ἑαυτῶν πονηρὰ εἶναι· οὐ γὰρ τὸ
ἑαυτῶν οἶμαι ἕκαστοι ἀσπάζονται· εἰ μή τις τὸ μὲν ἀγαθὸν οἰκεῖ-
ον καλεῖ καὶ ἑαυτοῦ, τὸ δὲ κακὸν ἀλλότριον· ὡς οὐδέν γε ἄλλο ἐστὶν
οὗ ἐρῶσιν ἄνθρωποι ἢ τοῦ ἀγαθοῦ· ἢ σοὶ δοκοῦσιν· μὰ Δί' οὐ-
κ ἔμοιγε ἦν δ' ἐγώ· ἆρ' οὖν ἤδη οὕτως ἁπλοῦν ἐστι λέγειν ὅτι
οἱ ἄνθρωποι τοῦ ἀγαθοῦ ἐρῶσιν· ναί ἔφην· τί δέ; οὐ προσθε-
τέον ἔφη ὅτι καὶ εἶναι τὸ ἀγαθὸν αὑτοῖς ἐρῶσιν· προσθετέον·
ἆρ' οὖν ἔφη καὶ οὐ μόνον εἶναι ἀλλὰ καὶ ἀεὶ εἶναι· καὶ τοῦτο προ-
σθετέον· ἔστιν ἄρα ξυλλήβδην ἔφη ὁ ἔρως τοῦ τὸ ἀγαθὸν αὑτῷ
εἶναι ἀεί· ἀληθέστατα ἔφην ἐγὼ λέγεις· ὅτε δὴ τοῦτο ὁ ἔρως
ἐστὶν ἀεί ἦ δ' ἥ· τῶν τίνα τρόπον διωκόντων αὐτὸ καὶ ἐν τίνι πρά-
ξει ἡ σπουδὴ καὶ ἡ σύντασις ἔρως ἂν καλοῖτο· τί τοῦτο τυγ-
χάνει ὂν τὸ ἔργον; ἔχεις εἰπεῖν· οὐ μεντἂν σέ ἔφην ἐγὼ ὦ Διο-
τίμα ἐθαύμαζον ἐπὶ σοφίᾳ καὶ ἐφοίτων παρὰ σὲ αὐτὰ ταῦτα
μαθησόμενος· ἀλλ' ἐγώ σοι ἔφη ἐρῶ· ἔστι γὰρ τοῦτο τόκος

ἐν καλῷ καὶ κατὰ τὸ σῶμα καὶ κατὰ τὴν ψυχήν: μαντείας ἦν δ' ἐγὼ
δεῖται ὅτι ποτὲ λέγεις καὶ οὐ μανθάνω: ἀλλ' ἐγὼ ἦ δ' ἣ σαφέστερον
ἐρῶ. κυοῦσι γὰρ ἔφη ὦ σώκρατες πάντες ἄνθρωποι καὶ κατὰ τὸ
σῶμα καὶ κατὰ τὴν ψυχήν. καὶ ἐπειδὰν ἔν τινι ἡλικίᾳ γένωνται.
τίκτειν ἐπιθυμεῖ ἡμῶν ἡ φύσις. τίκτειν δὲ ἐν μὲν αἰσχρῷ οὐ δύ
ναται ἐν δὲ τῷ καλῷ. ἡ γὰρ ἀνδρὸς καὶ γυναικὸς συνουσία τό
κος ἐστίν. ἔστι δὲ τοῦτο θεῖον τὸ πρᾶγμα καὶ τοῦτο ἐν θνητῷ ὄντι τῷ
ζώῳ· ἀθάνατον ἔνεστιν ἡ κύησις καὶ ἡ γέννησις. τὰ δὲ ἐν τῷ
ἀναρμόστῳ ἀδύνατον γενέσθαι. ἀνάρμοστον δ' ἐστὶ τὸ αἰσχρὸν παν
τὶ τῷ θείῳ· τὸ δὲ καλὸν ἁρμόττον: μοῖρα οὖν καὶ εἰλείθυια ἡ
καλλονή ἐστι τῇ γενέσει. διὰ ταῦτα ὅταν μὲν καλῷ προσπελάζῃ τὸ κυ
οῦν ἵλεών τε γίγνεται καὶ εὐφραινόμενον διαχεῖται καὶ τίκτει τε
καὶ γεννᾷ: ὅταν δὲ αἰσχρῷ σκυθρωπόν τε καὶ λυπούμενον συ
σπειρᾶται καὶ ἀποτρέπεται καὶ ἀνείλλεται καὶ οὐ γεννᾷ. ἀλλ' ἴσχον τὸ
κύημα χαλεπῶς φέρει. ὅθεν δὴ τῷ κυοῦντί τε καὶ ἤδη σπαργῶντι
πολλὴ ἡ πτοίησις γέγονε περὶ τὸ καλὸν διὰ τὸ μεγάλης ὠδῖνος
ἀπολύειν τὸν ἔχοντα. ἔστι γὰρ ὦ σώκρατες ἔφη οὐ τοῦ καλοῦ ὁ
ἔρως ὡς σὺ οἴει: ἀλλὰ τί μήν: τῆς γεννήσεως καὶ τοῦ τόκου
ἐν τῷ καλῷ: εἶεν ἦν δ' ἐγώ: πάνυ μὲν οὖν ἔφη: τί δὴ οὖν τῆς γεν
νήσεως: ὅτι ἀειγενές ἐστι καὶ ἀθάνατον ὡς θνητῷ ἡ γέννησις·
ἀθανασίας δὲ ἀναγκαῖον ἐπιθυμεῖν μετὰ ἀγαθοῦ ἐκ τῶν ὡμο
λογημένων εἴπερ τοῦ ἀγαθοῦ ἑαυτῷ εἶναι ἀεὶ ἔρως ἐστίν. ἀναγ
καῖον δὴ ἐκ τούτου τοῦ λόγου καὶ τῆς ἀθανασίας τὸν ἔρωτα
εἶναι. ταῦτά τε οὖν πάντα ἐδίδασκέ με ὁπότε περὶ τῶν ἐρωτι
κῶν λόγους ποιοῖτο. καί ποτε ἤρετο τί οἴει ὦ σώκρατες αἴτιον
εἶναι τούτου τοῦ ἔρωτος καὶ τῆς ἐπιθυμίας. ἢ οὐκ αἰσθάνῃ ὡς
δεινῶς διατίθεται πάντα τὰ θηρία ἐπειδὰν γεννᾶν ἐπιθυμή
σῃ καὶ τὰ πεζὰ καὶ τὰ πτηνά. νοσοῦντά τε πάντα καὶ ἐρωτικῶς
διατιθέμενα. πρῶτον μὲν περὶ τὸ συμμιγῆναι ἀλλήλοις. ἔπει
τα περὶ τὴν τροφὴν τοῦ γενομένου. καὶ ἕτοιμά ἐστιν ὑπὲρ τού
των καὶ διαμάχεσθαι τὰ ἀσθενέστατα τοῖς ἰσχυροτάτοις. καὶ
ὑπεραποθνήσκειν καὶ αὐτὰ τῷ λιμῷ παρατεινόμενα ὥστ' ἐ
κεῖνα ἐκτρέφειν καὶ ἄλλο πᾶν ποιοῦντα. τοὺς μὲν γὰρ ἀνθρώ
πους ἔφη οἴοιτ' ἄν τις ἐκ λογισμοῦ ταῦτα ποιεῖν. τὰ δὲ θηρία

κεινται ἔρωτι τοῦ ὀνομαστοὶ γενέσθαι καὶ κλέος ἐς τὸν ἀεὶ χρόνον
ἀθάνατον καταθέσθαι· καὶ ὑπὲρ τούτου κινδύνους τε κινδυνεύειν
ἕτοιμοί εἰσι πάντας ἔτι μᾶλλον ἢ ὑπὲρ τῶν παίδων· καὶ χρήματα ἀ-
ναλίσκειν καὶ πόνους πονεῖν οὑστινασοῦν καὶ ὑπεραποθνήσκειν·
ἐπεὶ οἴει σύ ἔφη ἄλκηστιν ὑπὲρ ἀδμήτου ἀποθανεῖν ἄν· ἢ ἀχιλλέα
πατρόκλῳ ἐπαποθανεῖν ἢ προαποθανεῖν τὸν ὑμέτερον κόδρον
ὑπὲρ τῆς βασιλείας τῶν παίδων μὴ οἰομένους ἀθάνατον μνήμην
ἀρετῆς πέρι ἑαυτῶν ἔσεσθαι· ἣν νῦν ἡμεῖς ἔχομεν: πολλοῦ γε δεῖ
ἔφη· ἀλλ' οἶμαι ὑπὲρ ἀρετῆς ἀθανάτου· καὶ τοιαύτης δόξης εὐκλε-
οῦς πάντες πάντα ποιοῦσιν· ὅσῳ ἂν ἀμείνους ὦσι· τοσούτῳ
μᾶλλον. τοῦ γὰρ ἀθανάτου ἐρῶσιν· οἱ μὲν οὖν ἐγκύμονες ἔφη κατὰ
σώματα ὄντες· πρὸς τὰς γυναῖκας μᾶλλον τρέπονται· καὶ ταύ-
τῃ ἐρωτικοί εἰσιν· διὰ παιδογονίας ἀθανασίαν καὶ μνήμην
καὶ εὐδαιμονίαν ὡς οἴονται αὑτοῖς εἰς τὸν ἔπειτα χρόνον πάντα
ποριζόμενοι· οἱ δὲ κατὰ τὴν ψυχὴν εἰσὶ γὰρ οὖν ἔφη οἳ ἐν ταῖς
ψυχαῖς κυοῦσιν ἔτι μᾶλλον ἢ ἐν τοῖς σώμασιν· ἃ ψυχῇ προσήκει
καὶ κυῆσαι καὶ κυεῖν· τί οὖν προσήκει· φρόνησίν τε καὶ τὴν ἄλλην
ἀρετήν· ὧν δή εἰσι καὶ οἱ ποιηταὶ πάντες γεννήτορες· καὶ τῶν
δημιουργῶν ὅσοι λέγονται εὑρετικοὶ εἶναι: πολὺ δὲ μεγίστη ἔφη
καὶ καλλίστη τῆς φρονήσεως ἡ περὶ τὰς τῶν πόλεών τε καὶ οἰκήσε-
ων διακόσμησις· ᾗ δὴ ὄνομά ἐστι· σωφροσύνη τε καὶ δικαιοσύνη:
τούτων αὖ ὅταν τις ἐκ νέου ἐγκύμων ᾖ τὴν ψυχὴν θεῖος ὢν καὶ
ἡκούσης τῆς ἡλικίας· τίκτειν τε καὶ γεννᾶν ἤδη ἐπιθυμῇ· ζητεῖ
δὴ οἶμαι καὶ οὗτος περιιὼν τὸ καλὸν ἐν ᾧ ἂν γεννήσειεν· ἐν τῷ γὰρ
αἰσχρῷ οὐδέποτε γεννήσει: τά τε οὖν σώματα τὰ καλὰ μᾶλλον
ἢ τὰ αἰσχρὰ ἀσπάζεται ἅτε κυῶν· καὶ ἂν ἐντύχῃ ψυχῇ καλῇ καὶ γεν-
ναίᾳ καὶ εὐφυεῖ· πάνυ δὴ ἀσπάζεται τὸ ξυναμφότερον· καὶ πρὸς
τοῦτον τὸν ἄνθρωπον εὐθὺς εὐπορεῖ λόγων περὶ ἀρετῆς καὶ περὶ
οἷον χρὴ εἶναι τὸν ἄνδρα τὸν ἀγαθόν· καὶ ἃ ἐπιτηδεύειν καὶ ἐπι-
χειρεῖ παιδεύειν· ἁπτόμενος γὰρ οἶμαι τοῦ καλοῦ καὶ ὁμιλῶν αὐ-
τῷ ἃ πάλαι ἐκύει τίκτει καὶ γεννᾷ· καὶ παρὼν καὶ ἀπὼν μεμνη-
μένος· καὶ τὸ γεννηθὲν συνεκτρέφει κοινῇ μετ' ἐκείνου ὥστε πο-
λὺ μείζω κοινωνίαν τῆς τῶν παίδων πρὸς ἀλλήλους οἱ τοιοῦτοι
ἴσχουσι καὶ φιλίαν βεβαιοτέραν· ἅτε καλλιόνων καὶ ἀθανατωτέ-

τίς αἰτία οὕτως ἐρωτικῶς διατίθεσθαι· ἔχεις λέγειν· καὶ ἐγὼ
αὖ ἔλεγον ὅτι οὐκ εἰδείην. ἡ δ' εἶπε· διανοῇ οὖν δεινός ποτε γενή-
σεσθαι τὰ ἐρωτικὰ ἐὰν ταῦτα μὴ ἐννοῇς· ἀλλὰ διὰ ταῦτά τοι ὦ διο-
τίμα ὅπερ νῦν δὴ εἶπον παρὰ σὲ ἥκω γνοὺς ὅτι διδασκάλων δέο-
μαι· ἀλλά μοι λέγε καὶ τούτων τὴν αἰτίαν καὶ τῶν ἄλλων τῶν περὶ τὰ
ἐρωτικά. εἰ τοίνυν ἔφη πιστεύεις ἐκείνου εἶναι φύσει τὸν ἔρωτα
οὗ πολλάκις ὡμολογήκαμεν, μὴ θαύμαζε· ἐνταῦθα γὰρ τὸν αὐτὸν
ἐκείνῳ λόγον ἡ θνητὴ φύσις ζητεῖ κατὰ τὸ δυνατὸν ἀεί τε εἶναι ἀθά-
νατος· δύναται δὲ ταύτῃ μόνον τῇ γενέσει ὅτι ἀεὶ καταλείπει ἕτερον
νέον ἀντὶ τοῦ παλαιοῦ· ἐπεὶ καὶ ἐν ᾧ ἓν ἕκαστον τῶν ζῴων ζῆν καλεῖται
καὶ εἶναι τὸ αὐτὸ οἷον ἐκ παιδαρίου ὁ αὐτὸς λέγεται ἕως ἂν πρεσβύτης
γένηται· οὗτος μέντοι οὐδέποτε τὰ αὐτὰ ἔχων ἐν αὑτῷ ὅμως ὁ αὐτὸς
καλεῖται· ἀλλὰ νέος ἀεὶ γιγνόμενος τὰ δὲ ἀπολλὺς καὶ κατὰ τὰς τρί-
χας καὶ σάρκα καὶ ὀστᾶ καὶ αἷμα καὶ ξύμπαν τὸ σῶμα· καὶ μὴ ὅτι κατὰ
τὸ σῶμα· ἀλλὰ καὶ κατὰ τὴν ψυχήν· οἱ τρόποι· τὰ ἤθη· δόξαι· ἐπιθυ-
μίαι· ἡδοναί· λῦπαι· φόβοι· τούτων ἕκαστα οὐδέποτε τὰ αὐτὰ πάρεστιν
ἑκάστῳ· ἀλλὰ τὰ μὲν γίγνεται· τὰ δὲ ἀπόλλυται. πολὺ δὲ τούτων ἀτοπώ-
τερον ἔτι ὅτι καὶ αἱ ἐπιστῆμαι μὴ ὅτι αἱ μὲν γίγνονται αἱ δὲ ἀπόλλυνται
ἡμῖν· καὶ οὐδέποτε οἱ αὐτοί ἐσμεν οὐδὲ κατὰ τὰς ἐπιστήμας· ἀλλὰ καὶ
μία ἑκάστη τῶν ἐπιστημῶν ταὐτὸν πάσχει· ὃ γὰρ καλεῖται μελετᾶν ὡς
ἐξιούσης ἐστὶ τῆς ἐπιστήμης· λήθη γὰρ ἐπιστήμης ἔξοδος· μελέτη
δὲ πάλιν καινὴν ἐμποιοῦσα ἀντὶ τῆς ἀπιούσης μνήμην σῴζει
τὴν ἐπιστήμην ὥστε τὴν αὐτὴν δοκεῖν εἶναι· τούτῳ γὰρ τῷ τρόπῳ
πᾶν τὸ θνητὸν σῴζεται· οὐ τῷ παντάπασιν τὸ αὐτὸ ἀεὶ εἶναι ὥσ-
περ τὸ θεῖον· ἀλλὰ τῷ τὸ ἀπιὸν καὶ παλαιούμενον ἕτερον νέον ἐγ-
καταλείπειν οἷον αὐτὸ ἦν· ταύτῃ τῇ μηχανῇ ὦ σώκρατες ἔφη
θνητὸν ἀθανασίας μετέχει καὶ σῶμα καὶ τἆλλα πάντα· ἀθάνα-
τον δὲ ἄλλῃ· μὴ οὖν θαύμαζε εἰ τὸ αὑτοῦ ἀποβλάστημα φύσει πᾶν
τιμᾷ· ἀθανασίας γὰρ χάριν παντὶ αὕτη ἡ σπουδὴ καὶ ὁ ἔρως ἕπεται·
Καὶ ἐγὼ ἀκούσας τὸν λόγον ἐθαύμασά τε καὶ εἶπον· εἶεν ἦν δ' ἐγὼ ὦ
σοφωτάτη διοτίμα ταῦτα ὡς ἀληθῶς οὕτως ἔχει· καὶ ἥ ὥσπερ
οἱ τέλειοι σοφισταί εὖ ἴσθι ἔφη ὦ σώκρατες· ἐπεὶ καὶ τῶν ἀνθρώπων
εἰ ἐθέλεις εἰς τὴν φιλοτιμίαν βλέψαι θαυμάζοις ἂν τῆς ἀλογίας
πέρι ἃ ἐγὼ εἴρηκα εἰ μὴ ἐννοεῖς ἐνθυμηθεὶς ὡς δεινῶς διά-

ρων παίδων κεκοινωνηκότες· καὶ πᾶς ἂν δέξαιτο ἑαυτῷ τοιούτους
παῖδας μᾶλλον γεγονέναι ἢ τοὺς ἀνθρωπίνους· καὶ εἰς ὅμηρον ἀπο
βλέψας καὶ ἡσίοδον καὶ τοὺς ἄλλους ποιητὰς τοὺς ἀγαθοὺς
ζηλῶν οἷα ἔκγονα ἑαυτῶν καταλείπουσιν ἃ ἐκείνοις ἀθάνατον
κλέος καὶ μνήμην παρέχεται αὐτὰ τοιαῦτα ὄντα· εἰ δὲ βούλει ἔ
φη, οἵους λυκοῦργος παῖδας κατελίπετο ἐν λακεδαίμονι σωτῆ
ρας τῆς λακεδαίμονος καὶ ὡς ἔπος εἰπεῖν τῆς ἑλλάδος· τίμιος
δὲ παρ' ὑμῖν καὶ σόλων διὰ τὴν τῶν νόμων γέννησιν καὶ ἄλλοι ἄλλοθι
πολλαχοῦ ἄνδρες καὶ ἐν ἕλλησι καὶ ἐν βαρβάροις πολλὰ καὶ καλὰ
ἀποφηνάμενοι ἔργα γεννήσαντες παντοίαν ἀρετήν· ὧν καὶ ἱερὰ
πολλὰ ἤδη γέγονε διὰ τοὺς τοιούτους παῖδας· διὰ δὲ τοὺς ἀν
θρωπίνους οὐδενός πω· ταῦτα μὲν οὖν τὰ ἐρωτικὰ ἴσως ὦ
σώκρατες κἂν σὺ μυηθείης· τὰ δὲ τέλεα καὶ ἐποπτικὰ ὧν ἕνεκα καὶ
ταῦτα ἔστιν, ἐάν τις ὀρθῶς μετίῃ, οὐκ οἶδ' εἰ οἷός τ' ἂν εἴης· ἐρῶ μὲν
οὖν ἔφη ἐγὼ καὶ προθυμίας οὐδὲν ἀπολείψω· πειρῶ δὲ ἕπεσθαι
ἂν οἷός τε ᾖς· δεῖ γὰρ ἔφη τὸν ὀρθῶς ἰόντα ἐπὶ τοῦτο τὸ πρᾶγμα
ἄρχεσθαι μὲν νέον ὄντα ἰέναι ἐπὶ τὰ καλὰ σώματα· καὶ πρῶτον μὲν
ἐὰν ὀρθῶς ἡγῆται ὁ ἡγούμενος ἑνὸς αὐτὸν σώματος ἐρᾶν καὶ
ἐνταῦθα γεννᾶν λόγους καλούς· ἔπειτα δὲ αὐτὸν κατανοῆσαι
ὅτι τὸ κάλλος τὸ ἐπὶ ὁτῳοῦν σώματι τὸ ἐπὶ ἑτέρῳ σώματι ἀδελ
φόν ἐστι· καὶ εἰ δεῖ διώκειν τὸ ἐπ' εἴδει καλὸν πολλὴ ἄνοια μὴ οὐχ ἓν
τε καὶ ταὐτὸν ἡγεῖσθαι τὸ ἐπὶ πᾶσι τοῖς σώμασι κάλλος· τοῦτο
δ' ἐννοήσαντα καταστῆναι πάντων τῶν καλῶν σωμάτων ἐραστήν·
ἑνὸς δὲ τὸ σφόδρα τοῦτο χαλάσαι καταφρονήσαντα καὶ σμικρὸν
ἡγησάμενον· μετὰ δὲ ταῦτα τὸ ἐν ταῖς ψυχαῖς κάλλος τιμιώτερον
ἡγήσασθαι τοῦ ἐν τῷ σώματι· ὥστε καὶ ἐὰν ἐπιεικὴς ὢν τὴν ψυ
χήν τις καὶ ἐὰν σμικρὸν ἄνθος ἔχῃ· ἐξαρκεῖν αὐτῷ καὶ ἐρᾶν
καὶ κήδεσθαι καὶ τίκτειν λόγους τοιούτους καὶ ζητεῖν· οἵτινες
ποιήσουσι βελτίους τοὺς νέους· ἵνα ἀναγκασθῇ αὖ θεάσα
σθαι τὸ ἐν τοῖς ἐπιτηδεύμασι καὶ τοῖς νόμοις καλόν· καὶ τοῦτ' ἰ
δεῖν ὅτι πᾶν αὐτὸ αὑτῷ συγγενές ἐστιν· ἵνα τὸ περὶ τὸ σῶμα καλὸν
σμικρόν τι ἡγήσηται εἶναι· μετὰ δὲ τὰ ἐπιτηδεύματα ἐπὶ τὰς ἐπι
στήμας ἀγαγεῖν· ἵνα ἴδῃ αὖ ἐπιστημῶν κάλλος· καὶ βλέπων πρὸς
πολὺ ἤδη τὸ καλὸν μηκέτι τὸ παρ' ἑνὶ ὥσπερ οἰκέτης ἀγαπῶν παι

δαρίου κάλλος ἢ ἀνθρώπου τινὸς ἢ ἐπιτηδεύματος ἑνὸς δουλεύ-
ων φαῦλος ᾖ καὶ σμικρολόγος· ἀλλ' ἐπὶ τὸ πολὺ πέλαγος τετραμμέ-
νος τοῦ καλοῦ· καὶ θεωρῶν πολλοὺς καὶ καλοὺς λόγους καὶ μεγα-
λοπρεπεῖς τίκτῃ καὶ διανοήματα ἐν φιλοσοφίᾳ ἀφθόνῳ· ἕως
ἂν ἐνταῦθα ῥωσθεὶς καὶ αὐξηθεὶς κατίδῃ τινὰ ἐπιστήμην μίαν
τοιαύτην· ἥ ἐστι καλοῦ τοιοῦδε· πειρῶ δέ μοι ἔφη τὸν νοῦν προσέ-
χειν ὡς οἷόν τε μάλιστα· ὃς γὰρ ἂν μέχρις ἐνταῦθα πρὸς τὰ ἐρωτικὰ
παιδαγωγηθῇ· θεώμενος ἐφεξῆς καὶ ὀρθῶς τὰ καλά, πρὸς
τέλος ἤδη ἰὼν τῶν ἐρωτικῶν ἐξαίφνης κατόψεταί τι θαυμαστὸν
τὴν φύσιν καλόν: τοῦτο ἐκεῖνο ὦ Σώκρατες οὗ δὴ ἕνεκεν καὶ οἱ
ἔμπροσθεν πάντες πόνοι ἦσαν· πρῶτον μὲν ἀεὶ ὂν· καὶ οὔτε γιγνό-
μενον οὔτε ἀπολλύμενον οὔτε αὐξανόμενον οὔτε φθίνον· ἔπειτα
οὔ τῇ μὲν καλὸν τῇ δ' αἰσχρόν· οὐδὲ τοτὲ μὲν τοτὲ δὲ οὔ· οὐδὲ πρὸς
μὲν τὸ καλόν, πρὸς δὲ τὸ αἰσχρόν· οὐδ' ἔνθα μὲν καλόν· ἔνθα δὲ αἰ-
σχρόν· ὡς τισὶ μὲν ὂν καλόν, τισὶ δὲ αἰσχρόν· οὐδ' αὖ φαντασθήσε-
ται αὐτῷ τὸ καλὸν οἷον πρόσωπόν τι· οὐδὲ χεῖρες οὐδὲ ἄλλο οὐ-
δὲν ὧν σῶμα μετέχει· οὐδέ τις λόγος οὐδέ τις ἐπιστήμη οὐδέ που
ὂν ἐν ἑτέρῳ τινὶ οἷον ἐν ζώῳ ἢ ἐν γῇ ἢ ἐν οὐρανῷ ἢ ἔν τῳ ἄλλῳ·
ἀλλ' αὐτὸ καθ' αὑτὸ μεθ' αὑτοῦ μονοειδὲς ἀεὶ ὄν· τὰ δὲ ἄλλα πάντα
καλὰ ἐκείνου μετέχοντα τρόπον τινὰ τοιοῦτον οἷον γιγνομένων
τε τῶν ἄλλων καὶ ἀπολλυμένων μηδὲν ἐκεῖνο μήτε τι πλέον μήτε
ἔλαττον γίγνεσθαι μηδὲ πάσχειν μηδέν: ὅταν δή τις ἀπὸ τῶνδε
διὰ τὸ ὀρθῶς παιδεραστεῖν ἐπανιὼν ἐκεῖνο τὸ καλὸν ἄρχηται κα-
θορᾶν σχεδὸν ἄν τι ἅπτοιτο τοῦ τέλους· τοῦτο γὰρ δή ἐστι τὸ ὀρθῶς
ἐπὶ τὰ ἐρωτικὰ ἰέναι ἢ ὑπ' ἄλλου ἄγεσθαι ἀρχόμενον ἀπὸ τῶνδε
τῶν καλῶν ἐκείνου ἕνεκα τοῦ καλοῦ ἀεὶ ἐπανιέναι ὥσπερ ἐπαναβα-
θμοῖς χρώμενον ἀπὸ ἑνὸς ἐπὶ δύο· καὶ ἀπὸ δυοῖν ἐπὶ πάντα
τὰ καλὰ σώματα: καὶ ἀπὸ τῶν καλῶν σωμάτων ἐπὶ τὰ καλὰ ἐπι-
τηδεύματα· καὶ ἀπὸ τῶν ἐπιτηδευμάτων ἐπὶ τὰ καλὰ μαθήματα·
καὶ ἀπὸ τῶν μαθημάτων ἐπ' ἐκεῖνο τὸ μάθημα τελευτήσῃ ὅ ἐστιν
οὐκ ἄλλου ἢ αὐτοῦ ἐκείνου τοῦ καλοῦ μάθημα· καὶ γνῷ αὐτὸ τελευ-
τῶν ὃ ἔστι καλόν: ἐνταῦθα τοῦ βίου ὦ φίλε Σώκρατες ἔφη ἡ μαν-
τινικὴ ξένη εἴπερ που ἄλλοθι βιωτὸν ἀνθρώπῳ θεωμένῳ αὐτὸ
τὸ καλόν· ὃ ἐάν ποτε ἴδῃς οὐ κατὰ χρυσίον τε καὶ ἐσθῆτα· καὶ

τοῖς καλοῖς παισί τε καὶ νεανίσκοις δόξει σοι εἶναι οὓς νῦν ὁ-
ρῶν ἐκπέπληξαι· καὶ ἕτοιμος εἶ καὶ σὺ καὶ ἄλλοι πολλοὶ ὁρῶντες τὰ παι-
δικὰ καὶ ξυνόντες ἀεὶ αὐτοῖς εἴ πως οἷόν τ' ἦν μήτ' ἐσθίειν μήτε πί-
νειν ἀλλὰ θεᾶσθαι μόνον καὶ ξυνεῖναι· τί δῆτα ἔφη οἰόμεθα εἴ
τῳ γένοιτο αὐτὸ τὸ καλὸν ἰδεῖν εἰλικρινὲς καθαρὸν ἄμικτον· ἀλλὰ
μὴ ἀνάπλεων σαρκῶν τε ἀνθρωπίνων καὶ χρωμάτων καὶ ἄλλης
πολλῆς φλυαρίας θνητῆς· ἀλλ' αὐτὸ τὸ θεῖον καλὸν δύναιτο μονοειδὲς
κατιδεῖν· ἆρ' οἴει ἔφη φαῦλον βίον γίγνεσθαι ἐκεῖσε βλέποντος
ἀνθρώπου καὶ ἐκεῖνο ᾧ δεῖ θεωμένου καὶ ξυνόντος αὐτῷ· ἢ οὐκ ἐν-
θυμῇ ἔφη ὅτι ἐνταῦθα αὐτῷ μοναχοῦ γενήσεται ὁρῶντι ᾧ ὁρατὸν
τὸ καλὸν τίκτειν οὐκ εἴδωλα ἀρετῆς ἅτε οὐκ εἰδώλου ἐφαπτομέ-
νῳ· ἀλλ' ἀληθῆ ἅτε τοῦ ἀληθοῦς ἐφαπτομένῳ· τεκόντι δὲ ἀρετὴν
ἀληθῆ καὶ θρεψαμένῳ· ὑπάρχει θεοφιλεῖ γενέσθαι· καὶ εἴπερ τῳ
ἄλλῳ ἀνθρώπων ἀθανάτῳ καὶ ἐκείνῳ· ταῦτα δὴ ὦ φαῖδρέ τε καὶ
οἱ ἄλλοι ἔφη μὲν διοτίμα πέπεισμαι δ' ἐγώ· πεπεισμένος δὲ πει-
ρῶμαι καὶ τοὺς ἄλλους πείθειν ὅτι τούτου τοῦ κτήματος τῇ ἀνθρω-
πείᾳ φύσει συνεργὸν ἀμείνω ἔρωτος οὐκ ἄν τις ῥᾳδίως λάβοι·
διὸ δὴ ἔγωγέ φημι χρῆναι πάντα ἄνδρα τὸν ἔρωτα τιμᾶν· καὶ αὐ-
τὸς τιμῶ τὰ ἐρωτικὰ καὶ διαφερόντως ἀσκῶ καὶ τοῖς ἄλλοις
παρακελεύομαι· καὶ νῦν τε καὶ ἀεὶ ἐγκωμιάζω τὴν δύναμιν καὶ ἀν-
δρείαν τοῦ ἔρωτος καθ' ὅσον οἷός τ' εἰμί· τοῦτον οὖν τὸν λόγον ὦ
φαῖδρε εἰ μὲν βούλει ὡς ἐγκώμιον εἰς ἔρωτα νόμισον εἰρῆσθαι·
εἰ δὲ ὅτι καὶ ὅπῃ χαίρεις ὀνομάζων τοῦτο ὀνόμαζε· εἰπόντος
δὲ ταῦτα τοῦ σωκράτους τοὺς μὲν ἐπαινεῖν· τὸν δὲ ἀριστοφάνη
λέγειν τι ἐπιχειρεῖν ὅτι ἐμνήσθη αὐτοῦ λέγων ὁ σωκράτης περὶ
τοῦ λόγου· καὶ ἐξαίφνης τὴν αὔλειον θύραν κρουομένην πολὺν
ψόφον παρασχεῖν ὡς κωμαστῶν καὶ αὐλητρίδος φωνὴν ἀκούειν·
τὸν οὖν ἀγάθωνα παῖδες φάναι οὐ σκέψεσθε· καὶ ἐὰν μέν τις τῶν
ἐπιτηδείων ᾖ· καλεῖτε· εἰ δὲ μή· λέγετε ὅτι οὐ πίνομεν ἀλλ' ἀναπαυ-
όμεθα ἤδη· καὶ οὐ πολὺ ὕστερον ἀλκιβιάδου τὴν φωνὴν ἀκούειν
ἐν τῇ αὐλῇ σφόδρα μεθύοντος καὶ μέγα βοῶντος· ἐρωτῶντος
ὅπου ἀγάθων· καὶ κελεύοντος ἄγειν παρ' ἀγάθωνα· ἄγειν οὖν
αὐτὸν παρὰ σφᾶς τήν τε αὐλητρίδα ὑπολαβοῦσαν καὶ ἄλλους
τινὰς τῶν ἀκολούθων καὶ ἐπιστῆναι ἐπὶ τὰς θύρας ἐστεφανωμένον

μένον αὐτόν· κιττοῦ τέ τινι στεφάνῳ δασεῖ καὶ ἴων· καὶ ταινίας ἔχον
τα ἐπὶ τῆς κεφαλῆς πάνυ πολλὰς καὶ εἰπεῖν· ἄνδρες χαίρετε·
μεθύοντα ἄνδρα πάνυ σφόδρα δέξεσθε συμπότην· ἢ ἀπίωμεν
ἀναδήσαντες μόνον ἀγάθωνα ἐφ' ᾧπερ ἤλθομεν· ἐγὼ γάρ τοι
φάναι χθὲς μὲν οὐχ οἷός τ' ἐγενόμην ἀφικέσθαι· νῦν δὲ ἥκω ἐπὶ τῇ
κεφαλῇ ἔχων τὰς ταινίας ἵνα ἀπὸ τῆς ἐμῆς κεφαλῆς τὴν τοῦ
σοφωτάτου καὶ καλλίστου κεφαλὴν ἐὰν εἴπω οὑτωσὶ ἀναδήσω· ἆ
ρα καταγελάσεσθέ μου ὡς μεθύοντος· ἐγὼ δὲ κἂν ὑμεῖς γελᾶτε·
ὅμως εὖ οἶδ' ὅτι ἀληθῆ λέγω· ἀλλά μοι λέγετε αὐτόθεν ἐπὶ ῥητοῖς
εἰσίω ἢ μή· συμπίεσθε ἢ οὔ· πάντας οὖν ἀναθορυβῆσαι καὶ κε
λεύειν εἰσιέναι καὶ κατακλίνεσθαι· καὶ τὸν ἀγάθωνα καλεῖν αὐτόν·
καὶ τὸν ἰέναι ἀγόμενον ὑπὸ τῶν ἀνθρώπων καὶ περιαιρούμενον
ἅμα τὰς ταινίας ὡς ἀναδήσοντα ἐπίπροσθε τῶν ὀφθαλμῶν
ἔχοντα οὐ κατιδεῖν τὸν σωκράτη· ἀλλὰ καθίζεσθαι παρὰ τὸν ἀ
γάθωνα ἐν μέσῳ σωκράτους τε καὶ ἐκείνου· παραχωρῆσαι γὰρ
τὸν σωκράτη ὡς ἐκεῖνον καθίζειν· παρακαθεζόμενον δὲ αὐτὸν
ἀσπάζεσθαί τε τὸν ἀγάθωνα καὶ ἀναδεῖν· εἰπεῖν οὖν τὸν ἀγάθω
να· ὑπολύετε παῖδες ἀλκιβιάδην ἵνα ἐκ τρίτων κατακέηται:
πάνυ γε εἰπεῖν τὸν ἀλκιβιάδην· ἀλλὰ τίς ἡμῖν ὅδε τρίτος συμπό
της· καὶ ἅμα μεταστρεφόμενον αὐτὸν ὁρᾶν τὸν σωκράτη· ἰδόντα
δὲ ἀναπηδῆσαι καὶ εἰπεῖν· ὦ ἡράκλεις τουτὶ τί ἦν· σωκράτης
οὗτος· ἐλλοχῶν αὖ με ἐνταῦθα κατέκεισο ὥσπερ εἰώθεις ἐξαί
φνης ἀναφαίνεσθαι ὅπου ἐγὼ ᾤμην ἥκιστά σε ἔσεσθαι· καὶ νῦν
τί ἥκεις· καὶ τί αὖ ἐνταῦθα κατεκλίνης· ὡς οὐ παρὰ ἀριστοφά
νει· οὐδὲ εἴ τις ἄλλος γελοῖος ἔστι τε καὶ βούλεται· ἀλλὰ διεμηχα
νήσω ὅπως παρὰ τῷ καλλίστῳ τῶν ἔνδον κατακείσῃ: καὶ τὸν
σωκράτη ἀγάθων φάναι ὅρα εἴ μοι ἐπαμυνεῖς· ὡς ἐμοὶ ὁ τούτου
ἔρως τοῦ ἀνθρώπου οὐ φαῦλον πρᾶγμα γέγονεν· ἀπ' ἐκείνου
γὰρ τοῦ χρόνου ἀφ' οὗ τούτου ἠράσθην· οὐκέτι ἔξεστί μοι οὔτε
προσβλέψαι οὔτε διαλεχθῆναι καλῷ οὐδ' ἑνί· ἢ οὑτοσὶ ζηλοτυπῶν
με καὶ φθονῶν θαυμαστὰ ἐργάζεται· καὶ λοιδορεῖταί τε καὶ τὼ χεῖ
ρε μόγις ἀπέχεται· ὅρα οὖν μή τι καὶ νῦν ἐργάσηται· ἀλλὰ διάλ
λαξον ἡμᾶς· ἢ ἐὰν ἐπιχειρῇ βιάζεσθαι ἐπάμυναι· ὡς ἐγὼ τὴν
τούτου μανίαν τε καὶ φιλεραστίαν πάνυ ὀρρωδῶ: ἀλλ' οὐκ ἔστι φάναι

τὸν ἀλκιβιάδην ἐμοὶ καὶ σοὶ διαλλαγή· ἀλλὰ τούτων μὲν εἰσαῦθίς σε
τιμωρήσομαι· νῦν δέ μοι ἀγάθων φάναι μετάδος τῶν ταινιῶν ἵνα
ἀναδήσω καὶ τὴν τούτου ταυτηνὶ τὴν θαυμαστὴν κεφαλήν· καὶ
μή μοι μέμφηται ὅτι σὲ μὲν ἀνέδησα· αὐτὸν δὲ νικῶντα ἐν λόγοις
πάντας ἀνθρώπους οὐ μόνον πρώην ὥσπερ σὺ, ἀλλ' ἀεὶ, ἔπειτα
οὐκ ἀνέδησα· καὶ ἅμ' αὐτὸν λαβόντα τῶν ταινιῶν ἀναδεῖν τὸν σω
κράτη καὶ κατακλίνεσθαι· ἐπειδὴ δὲ κατεκλίνη, εἰπεῖν· εἶεν δὴ ἄν
δρες· δοκεῖτε γάρ μοι νήφειν· οὐκ ἐπιτρεπτέον ὑμῖν, ἀλλὰ ποτέον·
ὡμολόγηται γὰρ ταῦθ' ἡμῖν· ἄρχοντα οὖν αἱροῦμαι τῆς πόσεως·
ἕως ἂν ὑμεῖς ἱκανῶς πίητε ἐμαυτόν· ἀλλὰ φερέτω ἀγάθων
εἴ τί ἐστιν ἔκπωμα μέγα· μᾶλλον δὲ οὐδὲν δεῖ· ἀλλὰ φέρε παῖ φάναι
τὸν ψυκτῆρα ἐκεῖνον, ἰδόντα αὐτὸν πλέον ἢ ὀκτὼ κοτύλας χωροῦν
τα· τοῦτον ἐμπλησάμενον πρῶτον μὲν αὐτὸν ἐκπιεῖν· ἔπειτα τῷ
σωκράτει κελεύειν ἐγχεῖν· καὶ ἅμα εἰπεῖν· πρὸς μὲν σωκράτη ὦ
ἄνδρες, τὸ σόφισμά μοι οὐδέν· ὁπόσον γὰρ ἂν κελεύῃ τις, τοσοῦ
τον ἐκπιὼν οὐδὲν μᾶλλον μή ποτε μεθυσθῇ· τὸν μὲν οὖν σωκρά
τη ἐγχέαντος τοῦ παιδὸς πίνειν· τὸν δ' ἐρυξίμαχον, πῶς οὖν
φάναι ὦ ἀλκιβιάδη ποιοῦμεν οὕτως· οὔτε τι λέγομεν ἐπὶ τῇ κύλι
κι οὔτε τι ᾄδομεν, ἀλλ' ἀτεχνῶς ὥσπερ οἱ διψῶντες πιόμεθα·
τὸν οὖν ἀλκιβιάδην εἰπεῖν· ὦ ἐρυξίμαχε βέλτιστε βελτίστου πατρὸς
καὶ σωφρονεστάτου χαῖρε· καὶ γὰρ σὺ φάναι τὸν ἐρυξίμαχον· ἀλλὰ
τί ποιῶμεν· ὅτι ἂν σὺ κελεύῃς· δεῖ γάρ σοι πείθεσθαι· ἰατρὸς γὰρ
ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων· ἐπίταττε οὖν ὅτι βούλει· ἄκουσον
δὴ εἰπεῖν τὸν ἐρυξίμαχον· ἡμῖν πρὶν σὲ εἰσελθεῖν ἔδοξε χρῆναι
ἐπὶ δεξιὰ ἕκαστον ἐν μέρει λόγον περὶ ἔρωτος εἰπεῖν ὡς δύναι
το κάλλιστον, καὶ ἐγκωμιάσαι· οἱ μὲν οὖν ἄλλοι πάντες ἡμεῖς εἰρήκα
μεν· σὺ δ' ἐπειδὴ οὐκ εἴρηκας καὶ ἐκπέπωκας, δίκαιος εἶ εἰπεῖν·
εἰπὼν δὲ ἐπιτάξαι σωκράτει ὅτι ἂν βούλῃ· καὶ τοῦτον τῷ ἐπὶ δε
ξιὰ καὶ οὕτω τοὺς ἄλλους· ἀλλὰ φάναι ὦ ἐρυξίμαχε τὸν ἀλκιβιά
δην καλῶς μὲν λέγεις· μεθύοντα δὲ ἄνδρα παρὰ νηφόντων λόγους
παραβάλλειν μὴ οὐκ ἐξ ἴσου ᾖ· καὶ ἅμα ὦ μακάριε πείθει τί σε
σωκράτης ὧν ἄρτι εἶπεν· ἢ οἶσθα ὅτι τοὐναντίον ἐστὶ πᾶν ἢ ὃ ἔλε
γεν· οὗτος γὰρ ἐάν τινα ἐγὼ ἐπαινέσω τούτου παρόντος ἢ θεὸν
ἢ ἄνθρωπον ἄλλον ἢ τοῦτον, οὐκ ἀφέξεταί μου τὼ χεῖρε· οὐκ

φημήσεις φάναι τὸν σωκράτη· μὰ τὸν ποσειδῶ ἔφη ὁ ἀλκιβιά-
δης μηδὲν λέγε πρὸς ταῦτα. ὡς ἐγὼ οὐδ' ἂν ἕνα ἄλλον ἐπαινέσαιμι σοῦ
παρόντος· ἀλλ' οὕτω ποίει φάναι τὸν ἐρυξίμαχον εἰ βούλει σωκρά-
τη ἐπαίνεσον· πῶς λέγεις εἰπεῖν τὸν ἀλκιβιάδην· δοκεῖ χρῆναι ὦ
ἐρυξίμαχε· ἐπιθῶμαι τῷ ἀνδρὶ καὶ τιμωρήσωμαι ὑμῶν ἐναντίον·
οὗτος φάναι τὸν σωκράτη τί ἐν νῷ ἔχεις· ἐπὶ τὰ γελοιότερά με ἐ-
παινέσαι ἢ τί ποιήσεις· τἀληθῆ ἐρῶ. ἀλλ' ὅρα εἰ παρίης· ἀλλὰ
μέντοι φάναι τά γε ἀληθῆ παρίημι καὶ κελεύω λέγειν· οὐκ ἂν φθάνοι-
μι ἔφη ὁ ἀλκιβιάδης καὶ μέντοι οὑτωσὶ ποίησον· ἐάν τι μὴ ἀληθὲς
λέγω μεταξὺ ἐπιλαβοῦ ἂν βούλῃ καὶ εἰπὲ ὅτι τοῦτο ψεύδομαι· ἑκὼν
γὰρ εἶναι οὐδὲν ψεύσομαι· ἐὰν μέντοι ἀναμιμνησκόμενος ἄλλο ἄλλοθεν
λέγω μηδὲν θαυμάσῃς· οὐ γάρ τι ῥᾴδιον τὴν σὴν ἀτοπίαν ὧδ' ἔ-
χοντι εὐπόρως καὶ ἐφεξῆς καταριθμῆσαι· σωκράτη δ' ἐγὼ ἐπαι-
νεῖν ὦ ἄνδρες οὕτως ἐπιχειρήσω δι' εἰκόνων· οὗτος μὲν οὖν ἴσως
οἰήσεται ἐπὶ τὰ γελοιότερα· ἔσται δ' ἡ εἰκὼν τοῦ ἀληθοῦς ἕνεκα οὐ
τοῦ γελοίου· φημὶ γὰρ δὴ ὁμοιότατον αὐτὸν εἶναι τοῖς σιληνοῖς
τούτοις τοῖς ἐν τοῖς ἑρμογλυφείοις καθημένοις· οὕστινας
ἐργάζονται οἱ δημιουργοὶ σύριγγας ἢ αὐλοὺς ἔχοντας· οἳ διχά-
δε διοιχθέντες φαίνονται ἔνδοθεν ἀγάλματα ἔχοντες θεῶν· καὶ
φημὶ αὖ ἐοικέναι αὐτὸν τῷ σατύρῳ τῷ μαρσύᾳ· ὅτι μὲν οὖν τό γε
εἶδος ὅμοιος εἶ τούτοις ὦ σώκρατες, οὐδ' αὐτὸς δήπου ἀμφι-
σβητήσαις· ὡς δὲ καὶ τἆλλα ἔοικας μετὰ τοῦτο ἄκουε· ὑβριστὴς
εἶ ἢ οὔ· ἐὰν γὰρ μὴ ὁμολογῇς μάρτυρας παρέξομαι· ἀλλ' οὐκ αὐλη-
τής· πολύ γε θαυμασιώτερος ἐκείνου· ὁ μέν γε δι' ὀργάνων ἐ- μαρσύου:
κήλει τοὺς ἀνθρώπους τῇ ἀπὸ τοῦ στόματος δυνάμει καὶ ἔτι νυ-
νὶ ὃς ἂν τὰ ἐκείνου αὐλῇ· ἃ γὰρ ὄλυμπος ηὔλει μαρσύου λέγω τοῦ
διδάξαντος· τὰ οὖν ἐκείνου ἐάντε ἀγαθὸς αὐλητὴς αὐλῇ
ἐάντε φαύλη αὐλητρὶς μόνα κατέχεσθαι ποιεῖ καὶ δηλοῖ τοὺς τῶν
θεῶν τε καὶ τελετῶν δεομένους διὰ τὸ θεῖα εἶναι· σὺ δ' ἐκείνου τοσοῦ-
τον μόνον διαφέρεις ὅτι ἄνευ ὀργάνων ψιλοῖς λόγοις ταὐτὸν
τοῦτο ποιεῖς· ἡμεῖς γοῦν ὅταν μέν του ἄλλου ἀκούωμεν λέγοντος
καὶ πάνυ ἀγαθοῦ ῥήτορος ἄλλους λόγους· οὐδὲν μέλει ὡς ἔ-
πος εἰπεῖν οὐδενί· ἐπειδὰν δὲ σοῦ τις ἀκούῃ ἢ τῶν σῶν λόγων
ἄλλου λέγοντος κἂν πάνυ φαῦλος ᾖ ὁ λέγων· ἐάντε γυνὴ ἀκούῃ

ἐάν τε ἀνὴρ ἐάν τε μειράκιον· ἐκπεπληγμένοι ἐσμὲν καὶ κατεχόμεθα·
ἐγὼ γοῦν ὦ ἄνδρες εἰ μὴ ἔμελλον κομιδῇ δόξειν μεθύειν· εἶπον ὀμό-
σας ἂν ὑμῖν οἷα δὴ πέπονθα αὐτὸς ὑπὸ τῶν τούτου λόγων καὶ πά-
σχω ἔτι καὶ νυνί· ὅταν γὰρ ἀκούω· πολύ μοι μᾶλλον ἢ τῶν κορυβαντι-
ώντων ἥ τε καρδία πηδᾷ καὶ δάκρυα ἐκχεῖται ὑπὸ τῶν λόγων τού-
του· ὁρῶ δὲ καὶ ἄλλους παμπόλλους τὰ αὐτὰ πάσχοντας· πε-
ρικλέους δὲ ἀκούων καὶ ἄλλων ἀγαθῶν ῥητόρων εὖ μὲν ἡγούμην
λέγειν· τοιοῦτον δὲ οὐδὲν ἔπασχον οὐδὲ τεθορύβητό μου ἡ ψυχὴ οὐ-
δ' ἠγανάκτει ὡς ἀνδραποδωδῶς διακειμένου· ἀλλ' ὑπὸ τουτουῒ
τοῦ μαρσύου πολλάκις δὴ οὕτω διετέθην ὥστε μοι δόξαι μὴ βιωτὸν
εἶναι ἔχοντι ὡς ἔχω· καὶ ταῦτα ὦ σώκρατες οὐκ ἐρεῖς ὡς οὐκ ἀλη-
θῆ· καὶ ἔτι γε νῦν ξύνοιδ' ἐμαυτῷ ὅτι εἰ ἐθέλοιμι παρέχειν τὰ ὦτα· οὐ-
κ ἂν καρτερήσαιμι ἀλλὰ ταὐτὰ ἂν πάσχοιμι· ἀναγκάζει γάρ με ὁμολο-
γεῖν ὅτι πολλοῦ ἐνδεὴς ὢν αὐτὸς ἔτι ἐμαυτοῦ μὲν ἀμελῶ· τὰ δ' ἀθη-
ναίων πράττω· βίᾳ οὖν ὥσπερ ἀπὸ τῶν σειρήνων ἐπισχόμενος
τὰ ὦτα οἴχομαι φεύγων· ἵνα μὴ αὐτοῦ καθήμενος παρὰ τούτῳ
καταγηράσω· πέπονθα δὲ πρὸς τοῦτον μόνον ἀνθρώπων ὃ οὐκ ἄν
τις οἴοιτο ἐν ἐμοὶ ἐνεῖναι τὸ αἰσχύνεσθαι ὁντινοῦν· ἐγὼ δὲ τοῦτον
μόνον αἰσχύνομαι· ξύνοιδα γὰρ ἐμαυτῷ ἀντιλέγειν μὲν οὐ δυναμέ-
νῳ ὡς οὐ δεῖ ποιεῖν ἃ οὗτος κελεύει· ἐπειδὰν δὲ ἀπέλθω ἡττημέ-
νῳ τῆς τιμῆς τῆς ὑπὸ τῶν πολλῶν· δραπετεύω οὖν αὐτὸν καὶ
φεύγω· καὶ ὅταν ἴδω αἰσχύνομαι τὰ ὡμολογημένα· καὶ πολλάκις
μὲν ἡδέως ἂν ἴδοιμι αὐτὸν μὴ ὄντα ἐν ἀνθρώποις· εἰ δ' αὖ τοῦτο
γένοιτο· εὖ οἶδα ὅτι πολὺ μεῖζον ἂν ἀχθοίμην· ὥστε οὐκ ἔχω ὅ-
τι χρήσωμαι τούτῳ τῷ ἀνθρώπῳ· καὶ ὑπὸ μὲν δὴ τῶν αὐλημά-
των καὶ ἐγὼ καὶ ἄλλοι πολλοὶ τοιαῦτα πεπόνθασιν ὑπὸ τοῦδε
τοῦ σατύρου· ἄλλα δὲ ἐμοῦ ἀκούσατε ὡς ὅμοιός τ' ἐστὶν οἷς ἐγὼ ᾔκα-
σα αὐτὸν καὶ τὴν δύναμιν ὡς θαυμασίαν ἔχει· εὖ γὰρ ἴστε ὅτι οὐδεὶς
ὑμῶν τοῦτον γιγνώσκει· ἀλλὰ ἐγὼ δηλώσω ἐπείπερ ἠρξάμην· ὁρᾶ-
τε γὰρ ὅτι σωκράτης ἐρωτικῶς διάκειται τῶν καλῶν καὶ αἰεὶ περὶ
τούτους ἐστὶ καὶ ἐκπέπληκται· καὶ αὖ ἀγνοεῖ πάντα καὶ οὐδὲν οἶδεν·
ὡς τὸ σχῆμα αὐτοῦ τοῦτο οὐ σιληνῶδες· σφόδρα γε· τοῦτο γὰρ οὗτος
ἔξωθεν περιβέβληται ὥσπερ ὁ γεγλυμμένος σιληνός· ἔνδοθεν δὲ
ἀνοιχθεὶς πόσης οἴεσθε γέμει ὦ ἄνδρες συμπόται σωφροσύνης·

ἴστε ὅτι οὔτε εἴ τις καλός ἐστι μέλει αὐτῷ οὐδὲν ἀλλὰ καταφρονεῖ τοσοῦ-
τον ὅσον οὐδ' ἂν εἷς οἰηθείη· οὔτ' εἴ τις πλούσιος· οὔτ' εἰ ἄλλην τινὰ
τιμὴν ἔχων τῶν ὑπὸ πλήθους μακαριζομένων· ἡγεῖται δὲ πάντα
ταῦτα τὰ κτήματα οὐδενὸς ἄξια καὶ ἡμᾶς οὐδὲν εἶναι λέγω ὑμῖν·
εἰρωνευόμενος δὲ καὶ παίζων πάντα τὸν βίον πρὸς τοὺς ἀνθρώπους
διατελεῖ· σπουδάσαντος δὲ αὐτοῦ καὶ ἀνοιχθέντος· οὐκ οἶδα εἴ
τις ἑώρακεν τὰ ἐντὸς ἀγάλματα· ἀλλ' ἐγὼ ἤδη ποτ' εἶδον καί μοι
ἔδοξεν οὕτω θεῖα καὶ χρυσᾶ εἶναι καὶ πάγκαλα καὶ θαυμαστά· ὥστε
ποιητέον εἶναι ἐμβραχὺ ὅτι κελεύοι Σωκράτης· ἡγούμενος δὲ αὐ-
τὸν ἐσπουδακέναι ἐπὶ τῇ ἐμῇ ὥρᾳ· ἕρμαιον ἡγησάμην εἶναι καὶ εὐ-
τύχημα ἐμὸν θαυμαστόν· ὡς ὑπάρχον μοι χαρισαμένῳ Σωκράτει
πάντ' ἀκοῦσαι ὅσαπερ οὗτος ᾔδει· ἐφρόνουν γὰρ δὴ ἐπὶ τῇ ὥρᾳ
θαυμάσιον ὅσον· ταῦτα οὖν διανοηθείς· πρὸ τοῦ οὐκ εἰωθὼς ἄ-
νευ ἀκολούθου μόνος μετ' αὐτοῦ γίγνεσθαι· τότε ἀποπέμπων τὸν
ἀκόλουθον μόνος συνεγιγνόμην· δεῖ γὰρ πρὸς ὑμᾶς πάντα τἀ-
ληθῆ εἰπεῖν· ἀλλὰ προσέχετε τὸν νοῦν καὶ εἰ ψεύδομαι Σώκρατες
ἐξέλεγχε· συνεγιγνόμην γὰρ ὦ ἄνδρες μόνος μόνῳ καὶ ᾤμην
αὐτίκα διαλέξεσθαι αὐτόν μοι ἅπερ ἂν ἐραστὴς παιδικοῖς ἐν ἐρη-
μίᾳ διαλεχθείη καὶ ἔχαιρον· τούτων δ' οὐ μάλα ἐγίγνετο οὐδέν· ἀλ-
λ' ὥσπερ εἰώθει διαλεχθεὶς ἄν μοι καὶ συνημερεύσας ᾤχετο ἀπιών·
μετὰ ταῦτα συγγυμνάζεσθαι προυκαλούμην αὐτὸν καὶ συνεγυμνα-
ζόμην ὥς τι ἐνταῦθα περανῶν· συνεγυμνάζετο οὖν μοι καὶ προσε-
πάλαιεν πολλάκις οὐδενὸς παρόντος· καὶ τί δεῖ λέγειν; οὐδὲν
γάρ μοι πλέον ἦν· ἐπειδὴ δὲ οὐδαμῇ ταύτῃ ἤνυτον· ἔδοξέ μοι ἐ-
πιθετέον εἶναι τῷ ἀνδρὶ κατὰ τὸ καρτερὸν καὶ οὐκ ἀνετέον· ἐπειδή-
περ ἐγκεχειρήκη ἀλλὰ ἰστέον ἤδη τί ἐστι τὸ πρᾶγμα· προκαλοῦμαι
δὴ αὐτὸν πρὸς τὸ συνδειπνεῖν ἀτεχνῶς ὥσπερ ἐραστὴς παιδι-
κοῖς ἐπιβουλεύων· καί μοι οὐδὲ τοῦτο ταχὺ ὑπήκουσεν· ὅμως
δ' οὖν χρόνῳ ἐπείσθη· ἐπειδὴ δὲ ἀφίκετο τὸ πρῶτον δειπνήσας
ἀπιέναι ἐβούλετο· καὶ τότε μὲν αἰσχυνόμενος ἀφῆκα αὐτόν·
αὖθις δ' ἐπιβουλεύσας ἐπειδὴ ἐδεδειπνήκει διελεγόμην πόρ-
ρω τῶν νυκτῶν· καὶ ἐπειδὴ ἐβούλετο ἀπιέναι σκηπτόμενος ὅτι
ὀψὲ εἴη· προσηνάγκασα αὐτὸν μένειν· ἀνεπαύετο οὖν ἐν τῇ ἐχο-
μένῃ ἐμοῦ κλίνῃ ἐν ᾗπερ ἐδείπνει· καὶ οὐδεὶς ἐν τῷ οἰκήματι ἄλ-

μος κατηύδεν ἢ ἡμεῖς· μέχρι μὲν οὖν δὴ δεῦρο τοῦ λόγου καλῶς
ἂν ἔχοι καὶ πρὸς ὁντινοῦν λέγειν· τὸ δ' ἐντεῦθεν οὐκ ἄν μου ἠκού-
σατε λέγοντος· εἰ μὴ πρῶτον μὲν τὸ λεγόμενον οἶνος ἄνευ τε παί-
δων καὶ μετὰ παίδων ἦν ἀληθής· ἔπειτα ἀφανίσαι σωκράτους
ἔργον ὑπερήφανον εἰς ἔπαινον ἐλθόντα ἄδικόν μοι φαίνεται·
ἔτι δὲ τὸ τοῦ δηχθέντος ὑπὸ τοῦ ἔχεως πάθος κἀμὲ ἔχει· φασὶ
γάρ πού τινα τοῦτο παθόντα οὐκ ἐθέλειν λέγειν οἷον ἦν πλὴν
τοῖς δεδηγμένοις ὡς μόνοις γνωσομένοις τε καὶ συγγνωσομέ-
νοις εἰ πᾶν ἐτόλμα δρᾶν τε καὶ λέγειν ὑπὸ τῆς ὀδύνης· ἐγὼ οὖν
δεδηγμένος τε ὑπὸ ἀλγεινοτέρου καὶ τὸ ἀλγεινότατον ὧν ἄν τις
δηχθείη· τὴν καρδίαν γὰρ ἢ ψυχὴν ἢ ὅτι δεῖ αὐτὸ ὀνομάσαι πληγείς
τε καὶ δηχθεὶς ὑπὸ τῶν ἐν φιλοσοφίᾳ λόγων οἳ ἔχονται ἐχί-
δνης ἀγριώτερον νέου ψυχῆς μὴ ἀφυοῦς ὅταν λάβωνται· καὶ
ποιοῦσι δρᾶν τε καὶ λέγειν ὁτιοῦν· καὶ ὁρῶν αὖ φαίδρους ἀγά-
θωνας ἐρυξιμάχους παυσανίας ἀριστοδήμους τε καὶ ἀρι-
στοφάνας· σωκράτη δὲ αὐτὸν τί δεῖ λέγειν καὶ ὅσοι ἄλλοι· πάντες
γὰρ κεκοινωνήκατε τῆς φιλοσόφου μανίας τε καὶ βακχείας· διὸ
πάντες ἀκούσεσθε· συγγνώσεσθε γὰρ τοῖς τε τότε πραχθεῖσι καὶ
τοῖς νῦν λεγομένοις· οἱ δὲ οἰκέται καὶ εἴ τις ἄλλος ἐστὶ βέβηλός
τε καὶ ἄγροικος πύλας πάνυ μεγάλας τοῖς ὠσὶν ἐπίθεσθε·
ἐπειδὴ γὰρ οὖν ὦ ἄνδρες ὅ τε λύχνος ἀπεσβήκει καὶ οἱ παῖδες
ἔξω ἦσαν· ἔδοξέ μοι χρῆναι μηδὲν ποικίλλειν πρὸς αὐτὸν ἀλλ' ἐ-
λευθέρως εἰπεῖν ἅ μοι ἐδόκει· καὶ εἶπον κινήσας αὐτόν· σώ-
κρατες καθεύδεις· οὐ δῆτα ἦ δ' ὅς· οἶσθα οὖν ἅ μοι δέδοκται·
τί μάλιστα ἔφη· σὺ ἐμοὶ δοκεῖς ἦν δ' ἐγὼ ἐμοῦ ἐραστὴς ἄξιος γε-
γονέναι μόνος· καί μοι φαίνῃ ὀκνεῖν μνησθῆναι πρός με· ἐγὼ
δὲ οὑτωσὶ ἔχω· πάνυ ἀνόητον ἡγοῦμαι εἶναι σοὶ μὴ οὐ καὶ τοῦτο
χαρίζεσθαι καὶ εἴ τι ἄλλο ἢ τῆς οὐσίας τῆς ἐμῆς δέοιο ἢ τῶν
φίλων τῶν ἐμῶν· ἐμοὶ μὲν γὰρ οὐδέν ἐστι πρεσβύτερον τοῦ ὡς ὅτι
βέλτιστον ἐμὲ γενέσθαι· τούτου δὲ οἶμαί μοι συλλήπτορα οὐδένα
κυριώτερον εἶναι σοῦ· ἐγὼ δὴ τοιούτῳ ἀνδρὶ πολὺ μᾶλλον ἂν μὴ
χαριζόμενος αἰσχυνοίμην τοὺς φρονίμους ἢ χαριζόμενος
τούς τε πολλοὺς καὶ ἄφρονας· καὶ οὗτος ἀκούσας μάλα εἰρω-
νικῶς καὶ σφόδρα ἑαυτοῦ τε καὶ εἰωθότως ἔλεξεν· ὦ φίλε ἀλ-

ὅτι τὴν καρδίαν ψυχὴν λέγει.

ὅτι καὶ ἐπὶ τὸν ἔρωτα τὸν περὶ φιλοσοφίαν μανίαν ὀνομάζει.

ἐντεῦθεν ἡ παροιμία …

κινδυνεύεις τῷ ὄντι οὐ φαῦλος εἶναι· εἴπερ ἀληθῆ τυγχά
νει ὄντα ἃ λέγεις περὶ ἐμοῦ· καί τις ἔστ' ἐν ἐμοὶ δύναμις δι' ἧς ἂν σὺ
γένοιο ἀμείνων· ἀμήχανόν τοι κάλλος ὁρῴης ἂν ἐν ἐμοὶ καὶ τῆς
παρὰ σοὶ εὐμορφίας πάμπολυ διαφέρον· εἰ δὴ καθορῶν αὐτὸ κοι
νώσασθαί τέ μοι ἐπιχειρεῖς καὶ ἀλλάξασθαι κάλλος ἀντὶ κάλλους
οὐκ ὀλίγῳ μου πλεονεκτεῖν διανοῇ· ἀλλ' ἀντὶ δόξης ἀλήθειαν
καλῶν κτᾶσθαι ἐπιχειρεῖς· καὶ τῷ ὄντι χρύσεα χαλκείων δια
μείβεσθαι νοεῖς· ἀλλ' ὦ μακάριε ἄμεινον σκόπει μή σε λανθάνω
οὐδὲν ὤν· ἥ τοι τῆς διανοίας ὄψις ἄρχεται ὀξὺ βλέπειν ὅταν ἡ
τῶν ὀμμάτων τῆς ἀκμῆς λήγειν ἐπιχειρῇ· σὺ δὲ τούτων ἔτι πόρρω·
κἀγὼ ἀκούσας· τὰ μὲν παρ' ἐμοῦ ἔφην ταῦτά ἐστιν· ὧν οὐδὲν ἄλλως
εἴρηται ἢ ὡς διανοοῦμαι· σὺ δὲ αὐτὸς οὕτω βουλεύου ὅτι σοί τε
ἄριστον καὶ ἐμοὶ ἡγῇ· ἀλλ' ἔφη τοῦτό γ' εὖ λέγεις· ἐν γὰρ τῷ ἐπιόντι
χρόνῳ βουλευόμενοι πράξομεν ὃ ἂν φαίνηται νῷν· περὶ
τε τούτων καὶ περὶ τῶν ἄλλων ἄριστον· ἐγὼ μὲν δὴ ταῦτα ἀκού
σας τε καὶ εἰπὼν· καὶ ἀφεὶς ὥσπερ βέλη τετρῶσθαι αὐτὸν ᾤμην·
καὶ ἀναστάς γε οὐδ' ἐπιτρέψας τούτῳ εἰπεῖν οὐδὲν ἔτι ἀμφιέσας
τὸ ἱμάτιον τὸ ἐμαυτοῦ τοῦτον καὶ γὰρ ἦν χειμών· ὑπὸ τὸν τρίβω
να κατακλινεὶς τὸν τουτουῒ περιβαλὼν τὼ χεῖρε τούτῳ τῷ δαιμο
νίῳ ὡς ἀληθῶς καὶ θαυμαστῷ κατεκείμην τὴν νύκτα ὅλην·
καὶ οὐδὲ ταῦτα αὖ ὦ Σώκρατες ἐρεῖς ὅτι ψεύδομαι· ποιήσαν
τος δὲ δὴ ταῦτα ἐμοῦ οὗτος τοσοῦτον περιεγένετό τε καὶ κατε
φρόνησε καὶ κατεγέλασε τῆς ἐμῆς ὥρας καὶ ὕβρισε· καὶ
περὶ ἐκεῖνό γε ᾤμην τὶ εἶναι ὦ ἄνδρες δικασταί· δικασταὶ γάρ ἐστε
τῆς Σωκράτους ὑπερηφανίας· εὖ γὰρ ἴστε μὰ θεούς μὰ θεάς
οὐδὲν περιττότερον καταδεδαρθηκὼς ἀνέστην μετὰ Σωκράτους
ἢ εἰ μετὰ πατρὸς καθηῦδον ἢ ἀδελφοῦ πρεσβυτέρου· τὸ δὴ μετὰ
τοῦτο τίνα οἴεσθέ με διάνοιαν ἔχειν· ἡγούμενον μὲν ἠτιμάσθαι·
ἀγάμενον δὲ τὴν τούτου φύσιν τε καὶ σωφροσύνην καὶ ἀνδρείαν
ἐντετυχηκότα ἀνθρώπῳ τοιούτῳ οἵῳ ἐγὼ οὐκ ἂν ᾤμην ποτ' ἐν
τυχεῖν εἰς φρόνησιν καὶ εἰς καρτερίαν· ὥστε οὔθ' ὅπως οὖν ὀρ
γιζοίμην εἶχον καὶ ἀποστερηθείην τῆς τούτου συνουσίας·
οὔτε ὅπῃ προσαγαγοίμην αὐτὸν ηὐπόρουν· εὖ γὰρ ᾔδη ὅτι
χρήμασί τε πολὺ μᾶλλον ἄτρωτος ἦν πανταχῇ ἢ σιδήρῳ ὁ

αἴας· ᾧ τε ᾤμην αὐτὸν μόνῳ ἁλώσεσθαι, διεπεφεύγει με. ἠπό
ρουν δὴ καταδεδουλωμένος τε ὑπὸ τοῦ ἀνθρώπου ὡς οὐδεὶς
ὑπ' οὐδενὸς ἄλλου περιῄα· ταῦτά τε γάρ μοι ἅπαντα προυγε
γόνει· καὶ μετὰ ταῦτα στρατεία ἡμῖν εἰς Ποτίδαιαν ἐγένετο κοινή·
καὶ συνεσιτοῦμεν ἐκεῖ. πρῶτον μὲν οὖν τοῖς πόνοις οὐ μόνον ἐμοῦ
περιῆν. ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων· ὁπότ' ἀναγκασθεῖμεν
ἀποληφθέντες που οἷα δὴ ἐπὶ στρατείας ἀσιτεῖν, οὐδὲν ἦσαν οἱ
ἄλλοι πρὸς τὸ καρτερεῖν· ἔν τ' αὖ ταῖς εὐωχίαις μόνος ἀπολαύειν
οἷός τ' ἦν τά τ' ἄλλα καὶ πίνειν οὐκ ἐθέλων, ὁπότε ἀναγκασθείη πάν
τας ἐκράτει· καὶ ὃ πάντων θαυμαστότατον Σωκράτη μεθύοντα
οὐδεὶς πώποτε ἑώρακεν ἀνθρώπων· τούτου μὲν οὖν μοι δοκεῖ
καὶ αὐτίκα ὁ ἔλεγχος ἔσεσθαι· πρὸς δὲ αὖ τὰς τοῦ χειμῶνος καρ
τερήσεις· δεινοὶ γὰρ αὐτόθι χειμῶνες· θαυμάσια ἠργάζετο τά
τε ἄλλα· καί ποτε ὄντος πάγου οἵου δεινοτάτου καὶ πάντων
ἢ οὐκ ἐξιόντων ἔνδοθεν ἢ εἴ τις ἐξίοι, ἠμφιεσμένων τε θαυμα
στὰ δὴ ὅσα καὶ ὑποδεδεμένων καὶ ἐνειλιγμένων τοὺς πόδας
εἰς πίλους καὶ ἀρνακίδας· οὗτος δ' ἐν τούτοις ἐξῄει ἔχων ἱ
μάτιον μὲν τοιοῦτον οἷόνπερ καὶ πρότερον εἰώθει φορεῖν·
ἀνυπόδητος δὲ διὰ τοῦ κρυστάλλου ῥᾷον ἐπορεύετο ἢ οἱ ἄλ
λοι ὑποδεδεμένοι· οἱ δὲ στρατιῶται ὑπέβλεπον αὐτὸν ὡς κα
ταφρονοῦντα σφῶν· καὶ ταῦτα μὲν δὴ ταῦτα· οἷον δ' αὖ τόδ' ἔρεξε
καὶ ἔτλη καρτερὸς ἀνὴρ ἐκεῖ ποτε ἐπὶ στρατιᾶς, ἄξιον ἀκοῦσαι·
ξυννοήσας γὰρ αὐτόθι ἕωθέν τι εἱστήκει σκοπῶν· καὶ ἐπειδὴ οὐ
προυχώρει αὐτῷ, οὐκ ἀνίει ἀλλὰ εἱστήκει ζητῶν· καὶ ἤδη ἦν μεσημ
βρία καὶ ἄνθρωποι ᾐσθάνοντο καὶ θαυμάζοντες ἄλλος ἄλλῳ ἔ
λεγεν ὅτι Σωκράτης ἐξ ἑωθινοῦ φροντίζων τι ἕστηκε· τελευ
τῶντες δέ τινες τῶν Ἰώνων ἐπειδὴ ἑσπέρα ἦν δειπνήσαντες·
καὶ γὰρ θέρος τότε γ' ἦν· χαμεύνια ἐξενεγκάμενοι ἅμα μὲν
ἐν τῷ ψύχει καθηῦδον· ἅμα δ' ἐφύλαττον αὐτὸν εἰ καὶ τὴν νύκτα
ἑστήξοι· ὁ δὲ εἱστήκει μέχρι ἕως ἐγένετο καὶ ἥλιος ἀνέσχεν·
ἔπειτα ᾤχετ' ἀπιὼν προσευξάμενος τῷ ἡλίῳ· εἰ δὲ βού
λεσθε ἐν ταῖς μάχαις· τοῦτο γὰρ δὴ δίκαιόν γε αὐτῷ ἀποδοῦ
ναι· ὅτε γὰρ ἡ μάχη ἦν ἐξ ἧς ἐμοὶ καὶ τἀριστεῖα ἔδοσαν οἱ στρα
τηγοί· οὐδεὶς ἄλλος ἐμὲ ἔσωσεν ἀνθρώπων ἢ οὗτος τετρωμένον

μον οὐκ ἤθελεν ἀπολιπεῖν· ἀλλὰ συνδιέσωσε καὶ τὰ ὅπλα καὶ αὐτὸν
ἐμέ· καὶ ἐγὼ μὲν ὦ σώκρατες καὶ τότε ἐκέλευον σοὶ διδόναι τἀρι-
στεῖα τοὺς στρατηγούς· καὶ τοῦτό γέ μοι οὔτε μέμψει οὔτε ἐρεῖς
ὅτι ψεύδομαι· ἀλλὰ γὰρ τῶν στρατηγῶν πρὸς τὸ ἐμὸν ἀξίωμα ἀπο-
βλεπόντων καὶ βουλομένων ἐμοὶ διδόναι τἀριστεῖα· αὐτὸς προθυ-
μότερος ἐγένου τῶν στρατηγῶν ἐμὲ λαβεῖν ἢ σαυτόν· ἔτι τοίνυν
ὦ ἄνδρες ἄξιον ἦν θεάσασθαι σωκράτη ὅτε ἀπὸ δηλίου φυγῇ ἀνε-
χώρει τὸ στρατόπεδον· ἔτυχον γὰρ παραγενόμενος ἵππον ἔχων
οὗτος δὲ ὅπλα· ἀνεχώρει οὖν ἐσκεδασμένων ἤδη τῶν ἀνθρώπων
οὗτός τε ἅμα καὶ λάχης· καὶ ἐγὼ περιτυγχάνω· καὶ ἰδὼν εὐθὺς
παρακελεύομαί τε αὐτοῖν θαρρεῖν· καὶ ἔλεγον ὅτι οὐκ ἀπολείψω
αὐτώ· ἐνταῦθα δὴ καὶ κάλλιον ἐθεασάμην σωκράτη ἢ ἐν ποτιδαίᾳ·
αὐτὸς γὰρ ἧττον ἐν φόβῳ ἦ διὰ τὸ ἐφ' ἵππου εἶναι· πρῶτον μὲν ὅ-
σον περιῆν λάχητος τῷ ἔμφρων εἶναι· ἔπειτα ἔμοιγ' ἐδόκει ὦ
ἀριστόφανες τὸ σὸν δὴ τοῦτο καὶ ἐκεῖ διαπορεύεσθαι ὥσπερ καὶ
ἐνθάδε βρενθυόμενος καὶ τὼ ὀφθαλμὼ παραβάλλων ἠρέμα παρα-
σκοπῶν καὶ τοὺς φιλίους καὶ τοὺς πολεμίους· δῆλος ὢν παντὶ
καὶ πάνυ πόρρωθεν ὅτι εἴ τις ἅψεται τούτου τοῦ ἀνδρὸς μάλα ἐρρω-
μένως ἀμυνεῖται· διὸ καὶ ἀσφαλῶς ἀπῄει καὶ οὗτος καὶ ὁ ἕτερος·
σχεδὸν γάρ τι τῶν οὕτω διακειμένων ἐν τῷ πολέμῳ οὐδὲ ἅπτονται·
ἀλλὰ τοὺς προτροπάδην φεύγοντας διώκουσιν· πολλὰ μὲν οὖν
ἄν τις καὶ ἄλλα ἔχοι σωκράτη ἐπαινέσαι καὶ θαυμάσια· ἀλλὰ τῶν μὲν
ἄλλων ἐπιτηδευμάτων τάχ' ἄν τις καὶ περὶ ἄλλου τοιαῦτ' εἴποι·
τὸ δὲ μηδενὶ ἀνθρώπων ὅμοιον εἶναι μήτε τῶν παλαιῶν μήτε τῶν νῦν
ὄντων τοῦτο ἄξιον παντὸς θαύματος· οἷος γὰρ ἀχιλλεὺς ἐγέ-
νετο ἀπεικάσειεν ἄν τις καὶ βρασίδαν καὶ ἄλλους· καὶ οἷος αὖ περι-
κλῆς καὶ νέστορα καὶ ἀντήνορα· εἰσὶ δὲ καὶ ἕτεροι καὶ τοὺς ἄλλους
κατὰ ταὔτ' ἄν τις ἀπεικάζοι· οἷος δὲ οὑτοσὶ γέγονε τὴν ἀτοπίαν
ἄνθρωπος καὶ αὐτὸς καὶ οἱ λόγοι αὐτοῦ· οὐδ' ἐγγὺς ἂν εὕροι
τις ζητῶν οὔτε τῶν νῦν οὔτε τῶν παλαιῶν· εἰ μὴ ἄρα εἰ οἷς ἐγὼ λέγω
ἀπεικάζοι τις αὐτὸν ἀνθρώπων μὲν μηδενὶ τοῖς δὲ σιληνοῖς
καὶ σατύροις αὐτὸν καὶ τοὺς λόγους· καὶ γὰρ οὖν καὶ τοῦτο ἐν τοῖς
πρώτοις παρέλιπον· ὅτι καὶ οἱ λόγοι αὐτοῦ ὁμοιότατοί εἰσι
τοῖς σιληνοῖς τοῖς διοιγομένοις· εἰ γὰρ ἐθέλοι τις τῶν σω-

κράτους ἀκούειν λόγων, φανεῖεν ἂν πάνυ γελοῖοι τὸ πρῶτον· τοιαῦτα
καὶ ὀνόματα καὶ ῥήματα ἔξωθεν περιαμπέχονται σατύρου τινὰ ὑβρι-
στοῦ δοράν. ὄνους γὰρ κανθηλίους λέγει καὶ χαλκέας τινὰς
καὶ σκυτοτόμους καὶ βυρσοδέψας· καὶ ἀεὶ διὰ τῶν αὐτῶν τὰ αὐτὰ
φαίνεται λέγειν· ὥστε ἄπειρος καὶ ἀνόητος ἄνθρωπος πᾶς ἂν
τῶν λόγων καταγελάσειεν. διοιγομένους δὲ ἰδὼν ἄν τις καὶ ἐν-
τὸς αὐτῶν γιγνόμενος πρῶτον μὲν νοῦν ἔχοντας ἔνδον μόνους
εὑρήσει τῶν λόγων· ἔπειτα θειοτάτους καὶ πλεῖστα ἀγάλματα ἀρε-
τῆς ἐν αὑτοῖς ἔχοντας· καὶ ἐπὶ πλεῖστον τείνοντας· μᾶλλον δὲ ἐπὶ πᾶν
ὅσον προσήκει σκοπεῖν τῷ μέλλοντι καλῷ καὶ ἀγαθῷ ἔσεσθαι.

Ταῦτ' ἐστὶν ὦ ἄνδρες ἃ ἐγὼ σωκράτη ἐπαινῶ· καὶ αὖ ἃ μέμφομαι συμ-
μίξας ὑμῖν εἶπον ἅ με ὕβρισεν· καὶ μέντοι οὐκ ἐμὲ μόνον ταῦτα πε-
ποίηκεν· ἀλλὰ καὶ χαρμίδην τὸν γλαύκωνος καὶ εὐθύδημον τὸν δι-
οκλέους καὶ ἄλλους πάνυ πολλούς· οὓς οὗτος ἐξαπατῶν ὡς ἐ-
ραστὴς παιδικὰ μᾶλλον αὐτὸς καθίσταται ἀντ' ἐραστοῦ· ἃ δὴ καὶ σοὶ
λέγω ὦ ἀγάθων μὴ ἐξαπατᾶσθαι ὑπὸ τούτου· ἀλλ' ἀπὸ τῶν ἡμε-
τέρων παθημάτων γνόντα εὐλαβηθῆναι καὶ μὴ κατὰ τὴν παροι-
μίαν ὥσπερ νήπιον παθόντα γνῶναι. εἰπόντος δὴ ταῦτα τοῦ
ἀλκιβιάδου· γέλωτα γενέσθαι ἐπὶ τῇ παρρησίᾳ αὐτοῦ ὅτι ἐδόκει
ἔτι ἐρωτικῶς ἔχειν τοῦ σωκράτους: τὸν οὖν σωκράτη νήφειν
μοι δοκεῖς φάναι ὦ ἀλκιβιάδη· οὐ γὰρ ἄν ποτε οὕτω κομψῶς κύκλῳ
περιβαλλόμενος ἀφανίσαι ἐνεχείρεις· οὗ ἕνεκα ταῦτα πάν-
τα εἴρηκας· καὶ ὡς ἐν παρέργῳ δὴ λέγων ἐπὶ τελευτῆς αὐτὸ
ἔθηκας· ὡς οὐ πάντα τούτου ἕνεκα εἰρηκὼς τοῦ ἐμὲ καὶ ἀγά-
θωνα διαβάλλειν οἰόμενος δεῖν ἐμὲ μὲν σοῦ ἐρᾶν καὶ μηδενὸς
ἄλλου· ἀγάθωνα δὲ ὑπὸ σοῦ ἐρᾶσθαι καὶ μηδ' ὑφ' ἑνὸς ἄλλου· ἀλλ'
οὐκ ἔλαθες· ἀλλὰ τὸ σατυρικόν σου δρᾶμα τοῦτο καὶ σιληνικὸν
κατάδηλον ἐγένετο· ἀλλ' ὦ φίλε ἀγάθων μηδὲν πλέον αὐτῷ γέ-
νηται· ἀλλὰ παρασκεύαζου ὅπως ἐμὲ καὶ σὲ μηδεὶς διαβαλεῖ:

Τὸν οὖν ἀγάθωνα εἰπεῖν· καὶ μὴν ὦ σώκρατες κινδυνεύεις ἀλη-
θῆ λέγειν· τεκμαίρομαι δὲ καὶ ὡς κατεκλίνη ἐν μέσῳ ἐμοῦ τε καὶ
σοῦ· ἵνα χωρὶς ἡμᾶς διαλάβῃ· οὐδὲν οὖν πλέον αὐτῷ ἔσται·
ἀλλ' ἐγὼ παρὰ σὲ ἐλθὼν κατακλινήσομαι: πάνυ γε φάναι τὸν σω-
κράτη δεῦρο ὑποκάτω ἐμοῦ κατακλίνου: ὦ ζεῦ εἰπεῖν τὸν ἀλ

κιβιάδην οἷα αὖ πάσχω ὑπὸ τοῦ ἀνθρώπου· οἴεταί μου δεῖν πανταχῆι
περιεῖναι· ἀλλ' εἰ μή τι ἄλλο ὦ θαυμάσιε ἐν μέσωι ἡμῶν ἔα ἀγάθωνα κατα-
κεῖσθαι: ἀλλ' ἀδύνατον φάναι τὸν σωκράτη· σὺ μὲν γὰρ ἐμὲ ἐπήινε-
σας· δεῖ δὲ ἐμὲ αὖ τὸν ἐπὶ δεξί' ἐπαινεῖν· ἐὰν οὖν ὑπὸ σοὶ κατακλινῆι
ἀγάθων· οὐ δήπου ἐμὲ πάλιν ἐπαινέσεται πρὶν ὑπ' ἐμοῦ μᾶλλον
ἐπαινεθῆναι· ἀλλ' ἔασον ὦ δαιμόνιε καὶ μὴ φθονήσηις τῶι μειρακίωι
ὑπ' ἐμοῦ ἐπαινεθῆναι· καὶ γὰρ πάνυ ἐπιθυμῶ αὐτὸν ἐγκωμιάσαι:
ἰοῦ ἰοῦ φάναι τὸν ἀγάθωνα ἀλκιβιάδη οὐκ ἔσθ' ὅπως ἂν ἐνθάδε μεί-
ναιμι· ἀλλὰ παντὸς μᾶλλον μεταναστήσομαι ἵνα ὑπὸ σωκράτους ἐπαι-
νεθῶ: ταῦτα ἐκεῖνα φάναι τὸν ἀλκιβιάδην τὰ εἰωθότα σωκρά-
τους παρόντος τῶν καλῶν μεταλαβεῖν ἀδύνατον ἄλλωι· καὶ νῦν ὡς εὐ-
πόρως καὶ πιθανὸν λόγον ηὗρεν ὥστε παρ' ἑαυτῶι τουτονὶ κατακεῖσθαι:
τὸν μὲν οὖν ἀγάθωνα ὡς κατακεισόμενον παρὰ τῶι σωκράτει ἀνίστα-
σθαι· ἐξαίφνης δὲ κωμαστὰς ἥκειν παμπόλλους ἐπὶ τὰς θύρας·
καὶ ἐπιτυχόντας ἀνεωιγμέναις ἐξιόντος τινὸς εἰς τὸ ἄντικρυς πορεύ-
εσθαι παρὰ σφᾶς καὶ κατακλίνεσθαι καὶ θορύβου μεστὰ πάντα εἶναι
καὶ οὐκέτι ἐν κόσμωι οὐδενὶ ἀναγκάζεσθαι πίνειν πάμπολυν οἶνον·
τὸν μὲν οὖν ἐρυξίμαχον καὶ τὸν φαῖδρον καὶ ἄλλους τινὰς ἔφη ὁ ἀριστό-
δημος οἴχεσθαι ἀπιόντας· ἓ δὲ ὕπνον λαβεῖν καὶ καταδαρθεῖν πάνυ
πολὺ ἅτε μακρῶν τῶν νυκτῶν οὐσῶν· ἐξεγρέσθαι δὲ πρὸς ἡμέραν
ἤδη ἀλεκτρυόνων ἀιδόντων· ἐξεγρόμενος δὲ ἰδεῖν τοὺς μὲν ἄλλους
καθεύδοντας καὶ οἰχομένους· ἀγάθωνα δὲ καὶ ἀριστοφάνη καὶ
σωκράτη ἔτι μόνους ἐγρηγορέναι καὶ πίνειν ἐκ φιάλης μεγάλης
ἐπὶ δεξιά· τὸν οὖν σωκράτη αὐτοῖς διαλέγεσθαι· καὶ τὰ μὲν ἄλλα ὁ ἀ-
ριστόδημος οὐκ ἔφη μεμνῆσθαι τῶν λόγων· οὔτε γὰρ ἐξ ἀρχῆς παρα-
γενέσθαι ὑπονυστάζειν τε· τὸ μέντοι κεφάλαιον ἔφη προσαναγκά-
ζειν τὸν σωκράτη ὁμολογεῖν αὐτοὺς τοῦ αὐτοῦ ἀνδρὸς εἶναι κω-
μωιδίαν καὶ τραγωιδίαν ἐπίστασθαι ποιεῖν· καὶ τὸν τέχνηι τραγωι-
διοποιὸν ὄντα κωμωιδιοποιὸν εἶναι· ταῦτα δὴ ἀναγκαζομένους
αὐτοὺς καὶ οὐ σφόδρα ἑπομένους νυστάζειν· καὶ πρῶτον μὲν κατα-
δαρθεῖν τὸν ἀριστοφάνη· ἤδη δὲ ἡμέρας γιγνομένης τὸν ἀγάθωνα·
τὸν οὖν σωκράτη κατακοιμίσαντ' ἐκείνους ἀναστάντα ἀπιέναι· καὶ ὥσ-
περ εἰώθει ἕπεσθαι· καὶ ἐλθόντα εἰς λύκειον ἀπονιψάμενον ὥσπερ
ἄλλοτε τὴν ἄλλην ἡμέραν διατρίβειν· καὶ οὕτω διατρίψαντα εἰς ἑσπέ-
ραν οἴκοι ἀναπαύεσθαι:~ ΣΥΜΠΟΣΙΟΝ Η ΠΕΡΙ ΕΡΩΤΟΣ

※ φαῖδρος ※ ἢ ※ περὶ καλοῦ ※ ἠθικός

Ὦ φίλε φαῖδρε, ποῖ δὴ καὶ πόθεν; παρὰ λυσίου ὦ σώκρατες τοῦ κεφάλου. πορεύομαι δὲ πρὸς περίπατον ἔξω τείχους· συχνὸν γὰρ ἐκεῖ διέτριψα χρόνον καθήμενος ἐξ ἑωθινοῦ. τῷ δὲ σῷ καὶ ἐμῷ ἑταίρῳ πειθόμενος ἀκουμενῷ, κατὰ τὰς ὁδοὺς ποιοῦμαι τοὺς περιπάτους· φησὶ γὰρ ἀκοπωτέρους εἶναι τῶν ἐν τοῖς δρόμοις. καλῶς γάρ ὦ ἑταῖρε λέγει. ἀτὰρ λυσίας ἦν ὡς ἔοικεν ἐν ἄστει. ναί· παρ' ἐπικράτει, ἐν τῇδε τῇ πλησίον τοῦ ὀλυμπίου οἰκίᾳ τῇ μορυχίᾳ. τίς οὖν δὴ ἦν ἡ διατριβή; ἢ δῆλον ὅτι τῶν λόγων ὑμᾶς λυσίας εἱστία; πεύσει, εἴ σοι σχολὴ προϊόντι ἀκούειν. τί δαί; οὐκ ἂν οἴει με κατὰ πίνδαρον καὶ ἀσχολίας ὑπέρτερον πρᾶγμα ποιήσασθαι, τὸ σήν τε καὶ λυσίου διατριβὴν ἀκοῦσαι; πρόαγε δή. λέγοις ἄν. καὶ μὴν ὦ σώκρατες προσήκουσά γέ σοι ἡ ἀκοή· ὁ γάρ τοι λόγος ἦν περὶ ὃν διετρίβομεν, οὐκ οἶδ' ὅντινα τρόπον ἐρωτικός. γέγραφε γὰρ δὴ ὁ λυσίας πειρώμενόν τινα τῶν καλῶν, οὐχ ὑπ' ἐραστοῦ δέ. ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ κεκόμψευται· λέγει γὰρ ὡς χαριστέον μὴ ἐρῶντι μᾶλλον ἢ ἐρῶντι. ὢ γενναῖος. εἴθε γράψειεν ὡς χρὴ πένητι μᾶλλον ἢ πλουσίῳ, καὶ πρεσβυτέρῳ ἢ νεωτέρῳ, καὶ ὅσα ἄλλα ἐμοί τε πρόσεστι καὶ τοῖς πολλοῖς ἡμῶν· ἦ γὰρ ἂν ἀστεῖοι καὶ δημωφελεῖς εἶεν οἱ λόγοι. ἔγωγ' οὖν οὕτως ἐπιτεθύμηκα ἀκοῦσαι ὥστ' ἐὰν βαδίζων ποιῇ τὸν περίπατον μέγαράδε, καὶ κατὰ ἡρόδικον προσβὰς τῷ τείχει πάλιν ἀπίῃς, οὐ μή σου ἀπολειφθῶ. πῶς λέγεις ὦ βέλτιστε σώκρατες; οἴει με ἃ λυσίας ἐν πολλῷ χρόνῳ κατὰ σχολὴν συνέθηκε, δεινότατος ὢν τῶν νῦν γράφειν, ταῦτα ἰδιώτην ὄντα ἀπομνημονεύσειν ἀξίως ἐκείνου; πολλοῦ γε δέω. καίτοι ἐβουλόμην γ' ἂν μᾶλλον ἤ μοι πολὺ χρυσίον γενέσθαι. ὦ φαῖδρε εἰ ἐγὼ φαῖδρον ἀγνοῶ καὶ ἐμαυτοῦ ἐπιλέλησμαι. ἀλλὰ γὰρ οὐδέτερά ἐστι τούτων. εὖ οἶδα ὅτι λυσίου λόγον ἀκούων ἐκεῖνος, οὐ μόνον ἅπαξ ἤκουσεν. ἀλλὰ πολλάκις ἐπαναλαμβάνων ἐκέλευεν οἱ λέγειν. ὁ δὲ ἐπείθετο προθύμως. τῷ δὲ οὐδὲ ταῦτα ἦν ἱκανά. ἀλλὰ τελευτῶν, παραλαβὼν τὸ βιβλίον ἃ μάλιστα ἐπεθύμει ἐπεσκόπει. καὶ τοῦτο δρῶν ἐξ ἑωθινοῦ καθήμενος, ἀπειπὼν εἰς περίπατον ᾔει. ὡς μὲν ἐγὼ οἶμαι, νὴ τὸν κύνα, ἐξεπιστάμενος τὸν λόγον, εἰ μὴ πάνυ μακρός τις ἦν. ἐπορεύετο δ' ἐκτὸς τείχους ἵνα μελετῴη. ἀπαντήσας δὲ τῷ νοσοῦντι περὶ λόγων ἀκοήν· ἰδὼν μὲν ἰδὼν.

ἥσθη ὅτι ἕξοι τὸν συγκορυβαντιῶντα καὶ προάγειν ἐκέλευε· δεομέ-
νου δὲ λέγειν τοῦ τῶν λόγων ἐραστοῦ· ἐθρύπτετο ὡς δὴ οὐκ ἐπιθυμῶν
λέγειν· τελευτῶν δὲ ἔμελλε καὶ εἰ μή τις ἑκὼν ἀκούοι, βίᾳ ἐρεῖν·
σὺ οὖν ὦ Φαῖδρε αὐτοῦ δεήθητι ὅπερ τάχα πάντως ποιήσει:
νῦν ἤδη ποιεῖν· ἐμοὶ ὡς ἀληθῶς πολὺ κράτιστόν ἐστιν οὕτως ὅπως
δύναμαι λέγειν· ὥς μοι δοκεῖς σὺ οὐδαμῶς με ἀφήσειν πρὶν ἂν
εἴπω ἁμῶς γέ πως: πάνυ γάρ σοι ἀληθῆ δοκῶ: οὑτωσὶ τοίνυν ποι-
ήσω· τῷ ὄντι γὰρ ὦ Σώκρατες παντὸς μᾶλλον τά γε ῥήματα οὐκ ἐ-
ξέμαθον· τὴν μέντοι διάνοιαν σχεδὸν ἁπάντων οἷς ἔφη διαφέ-
ρειν τὰ τοῦ ἐρῶντος ἢ τὰ τοῦ μή· ἐν κεφαλαίοις ἐφεξῆς δίειμι
ἀρξάμενος ἀπὸ τοῦ πρώτου: δείξας γε πρῶτον ὦ φιλότης
τί ἄρα ἐν τῇ ἀριστερᾷ ἔχεις ὑπὸ τῷ ἱματίῳ· τοπάζω γάρ σε
ἔχειν τὸν λόγον αὐτόν· εἰ δὲ τοῦτό ἐστιν, οὑτωσὶ διανοοῦ περὶ ἐμοῦ
ὡς ἐγώ σε πάνυ μὲν φιλῶ· παρόντος δὲ καὶ Λυσίου ἐμαυτόν σοι
ἐμμελετᾶν παρέχειν οὐ πάνυ δέδοκται· ἀλλ' ἴθι δείκνυε: παῦε·
ἐκκέκρουκάς με ἐλπίδος ὦ Σώκρατες ἣν εἶχον ἐν σοὶ ὡς ἐγγυ-
μνασόμενος· ἀλλὰ ποῦ δὴ βούλει καθιζόμενοι ἀναγνῶμεν:
δεῦρ' ἐκτραπόμενοι κατὰ τὸν Ἰλισὸν ἴωμεν· εἶτα ὅπου ἂν δόξῃ ἐν
ἡσυχίᾳ καθιζησόμεθα: εἰς καιρὸν ὡς ἔοικεν ἀνυπόδητος
ὢν ἔτυχον· σὺ μὲν γὰρ δὴ ἀεί· ῥᾷστον οὖν ἡμῖν κατὰ τὸ ὑδάτιον
βρέχουσι τοὺς πόδας ἰέναι καὶ οὐκ ἀηδές· ἄλλως τε καὶ τήνδε τὴν
ὥραν τοῦ ἔτους τε καὶ τῆς ἡμέρας: πρόαγε δὴ καὶ σκόπει ἅμα
ὅπου καθιζησόμεθα: ὁρᾷς οὖν ἐκείνην τὴν ὑψηλοτάτην
πλάτανον; τί μήν: ἐκεῖ σκιά τ' ἐστὶ καὶ πνεῦμα μέτριον καὶ πόα
καθίζεσθαι ἢ ἂν βουλώμεθα κατακλινῆναι: προάγοις ἄν: εἰπέ
μοι ὦ Σώκρατες· οὐκ ἐνθένδε μέντοι ποθὲν ἀπὸ τοῦ Ἰλισοῦ λέγε-
ται ὁ Βορέας τὴν Ὠρείθυιαν ἁρπάσαι; λέγεται γάρ: ἆρ' οὖν ἐνθένδε·
χαρίεντα γοῦν καὶ καθαρὰ καὶ διαφανῆ τὰ ὑδάτια φαίνεται
καὶ ἐπιτήδεια κόραις παίζειν παρ' αὐτά: οὐκ ἀλλὰ κάτωθεν
ὅσον δύ' ἢ τρία στάδια· ᾗ πρὸς τὸ τῆς Ἄγρας διαβαίνομεν· καὶ
πού τίς ἐστι βωμὸς αὐτόθι Βορέου: οὐ πάνυ νενόηκα· ἀλλ' εἰπὲ
πρὸς Διὸς ὦ Σώκρατες· σὺ τοῦτο τὸ μυθολόγημα πείθῃ ἀληθὲς
εἶναι; ἀλλ' εἰ ἀπιστοίην ὥσπερ οἱ σοφοί, οὐκ ἂν ἄτοπος εἴην· εἶτα
σοφιζόμενος φαίην αὐτὴν πνεῦμα Βορέου κατὰ τῶν πλησίον

πετρῶν σὺν φαρμακείᾳ παίζουσαν ὦσαι· καὶ οὕτω δὴ τελευτή-
σασαν λεχθῆναι ὑπὸ τοῦ βορέου ἀνάρπαστον γεγονέναι· ἢ ἐξ
ἀρείου πάγου; λέγεται γὰρ αὖ καὶ οὗτος ὁ λόγος, ὡς ἐκεῖθεν
ἀλλ' οὐκ ἐνθένδε ἡρπάσθη. ἐγὼ δέ, ὦ φαῖδρε, ἄλλως μὲν τὰ
τοιαῦτα χαρίεντα ἡγοῦμαι· λίαν δὲ δεινοῦ καὶ ἐπιπόνου καὶ
οὐ πάνυ εὐτυχοῦς ἀνδρός· κατ' ἄλλο μὲν οὐδέν, ὅτι δ' αὐτῷ ἀνάγ-
κη μετὰ τοῦτο τὸ τῶν ἱπποκενταύρων εἶδος ἐπανορθοῦσθαι·
καὶ αὖθις τὸ τῆς χιμαίρας· καὶ ἐπιρρεῖ δὲ ὄχλος τοιούτων
γοργόνων καὶ πηγάσων καὶ ἄλλων ἀμηχάνων πλήθη τε καὶ ἀτοπί-
αι τερατολόγων τινῶν φύσεων· αἷς εἴ τις ἀπιστῶν προσβιβᾷ κατὰ
τὸ εἰκὸς ἕκαστον, ἅτε ἀγροίκῳ τινὶ σοφίᾳ χρώμενος· πολλῆς αὐ-
τῷ σχολῆς δεήσει· ἐμοὶ δὲ πρὸς αὐτὰ οὐδαμῶς ἐστι σχολή· τὸ δὲ
αἴτιον ὦ φίλε τούτου τόδε· οὐ δύναμαί πω κατὰ τὸ δελφικὸν γράμ-
μα γνῶναι ἐμαυτόν· γελοῖον δή μοι φαίνεται τοῦτο ἔτι ἀγνοοῦντα
τὰ ἀλλότρια σκοπεῖν· ὅθεν δὴ χαίρειν ἐάσας ταῦτα, πειθόμε-
νος δὲ τῷ νομιζομένῳ περὶ αὐτῶν, ὃ νῦν δὴ ἔλεγον, σκοπῶ
οὐ ταῦτα ἀλλ' ἐμαυτόν· εἴτε τι θηρίον τυγχάνω τυφῶνος πολυπλο-
κώτερον καὶ μᾶλλον ἐπιτεθυμμένον· εἴτε ἡμερώτερόν τε καὶ ἁπλού-
στερον ζῷον, θείας τινὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον· ἀτὰρ
ὦ ἑταῖρε μεταξὺ τῶν λόγων, ἆρ' οὐ τόδε ἦν τὸ δένδρον ἐφ' ὅπερ ἦγες
ἡμᾶς: τοῦτο μὲν οὖν αὐτό: νὴ τὴν ἥραν καλή γε ἡ καταγωγή.
ἥ τε γὰρ πλάτανος αὕτη μάλα ἀμφιλαφής τε καὶ ὑψηλή· τοῦ τε ἄγνου
τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον· καὶ ὡς ἀκμὴν ἔχει τῆς ἄνθης,
ὡς ἂν εὐωδέστατον παρέχοι τὸν τόπον· ἥ τε αὖ πηγὴ χαριεστάτη
ὑπὸ τῆς πλατάνου ῥεῖ μάλα ψυχροῦ ὕδατος, ὥστε γε τῷ ποδὶ τε-
κμήρασθαι· νυμφῶν τέ τινων καὶ ἀχελῴου ἱερὸν ἀπὸ τῶν κορῶν
τε καὶ ἀγαλμάτων ἔοικεν εἶναι· εἰ δ' αὖ βούλει τὸ εὔπνουν τοῦ τόπου
ὡς ἀγαπητὸν καὶ σφόδρα ἡδύ· θερινόν τε καὶ λιγυρὸν ὑπηχεῖ τῷ
τῶν τεττίγων χορῷ· πάντων δὲ κομψότατον τὸ τῆς πόας, ὅτι
ἐν ἠρέμα προσάντει ἱκανὴ πέφυκε κατακλινέντι τὴν κεφαλὴν
παγκάλως ἔχειν· ὥστε ἄριστά σοι ἐξενάγηται ὦ φίλε φαῖδρε· σὺ
δέ γε ὦ θαυμάσιε ἀτοπώτατός τις φαίνῃ· ἀτεχνῶς γάρ, ὃ λέγεις,
ξεναγουμένῳ τινὶ καὶ οὐκ ἐπιχωρίῳ ἔοικας· οὕτως ἐκ τοῦ ἄ-
στεος οὔτ' εἰς τὴν ὑπερορίαν ἀποδημεῖς, οὔτ' ἔξω τείχους ἔμοι-

ἀγαπητὸν χωρίον

δοκεῖς τὸ παράπαν ἐξιέναι· συγγίνωσκέ μοι ὦ ἄριστε· φιλομαθὴς
γάρ εἰμι· τὰ μὲν οὖν χωρία καὶ τὰ δένδρα οὐδέν μ' ἐθέλει διδάσκειν·
οἱ δ' ἐν τῷ ἄστει ἄνθρωποι. σὺ μέντοι δοκεῖς μοι τῆς ἐμῆς ἐξόδου τὸ φάρ-
μακον ηὑρηκέναι. ὥσπερ γὰρ οἱ τὰ πεινῶντα θρέμματα θαλλὸν ἤ τι-
να καρπὸν προσείοντες ἄγουσιν, σὺ ἐμοὶ λόγους οὕτω προτείνων
ἐν βιβλίοις, τήν τε Ἀττικὴν φαίνῃ περιάξειν ἅπασαν, καὶ ὅποι
ἂν ἄλλοσε βούλῃ. νῦν δ' οὖν ἐν τῷ παρόντι δεῦρ' ἀφικόμενος, ἐγὼ
μέν μοι δοκῶ κατακείσεσθαι. σὺ δ' ἐν ὁποίῳ σχήματι οἴει ῥᾷστα ἀ-
ναγνώσεσθαι, τοῦτο ἑλόμενος ἀναγίγνωσκε. ἄκουε δή. περὶ
μὲν τῶν ἐμῶν πραγμάτων ἐπίστασαι, καὶ ὡς νομίζω συμφέρειν ἡμῖν
γενομένων τούτων ἀκήκοας. ἀξιῶ δὲ μὴ διὰ τοῦτο ἀτυχῆσαι ὧν
δέομαι, ὅτι οὐκ ἐραστὴς ὢν σοῦ τυγχάνω. ὡς ἐκείνοις μὲν τότε
μεταμέλει ὧν ἂν εὖ ποιήσωσιν, ἐπειδὰν τῆς ἐπιθυμίας παύσωνται·
τοῖς δὲ οὐκ ἔστι χρόνος ἐν ᾧ μεταγνῶναι προσήκει. οὐ γὰρ ὑπ' ἀνά-
γκης ἀλλ' ἑκόντες, ὡς ἂν ἄριστα περὶ τῶν οἰκείων βουλεύσαιντο,
πρὸς τὴν δύναμιν τὴν αὑτῶν εὖ ποιοῦσιν. ἔτι δὲ οἱ μὲν ἐρῶντες σκο-
ποῦσιν ἅ τε κακῶς διέθεντο τῶν αὑτῶν διὰ τὸν ἔρωτα, καὶ ἃ
πεποιήκασιν εὖ, καὶ ὃν εἶχον πόνον προστιθέντες, ἡγοῦνται πά-
λαι τὴν ἀξίαν ἀποδεδωκέναι χάριν τοῖς ἐρωμένοις· τοῖς δὲ
μὴ ἐρῶσιν οὔτε τὴν τῶν οἰκείων ἀμέλειαν διὰ τοῦτο ἔστι προφασί-
ζεσθαι, οὔτε τοὺς παρεληλυθότας πόνους ὑπολογίζεσθαι, οὔ-
τε τὰς πρὸς τοὺς προσήκοντας διαφορὰς αἰτιάσασθαι· ὥστε
περιῃρημένων τοσούτων κακῶν, οὐδὲν ὑπολείπεται ἀλλ' ἢ ποιεῖν
προθύμως ὅτι ἂν αὐτοῖς οἴωνται πράξαντες χαριεῖσθαι. ἔτι
δὲ εἰ διὰ τοῦτο ἄξιον τοὺς ἐρῶντας περὶ πολλοῦ ποιεῖσθαι, ὅτι τού-
τους μάλιστά φασι φιλεῖν ὧν ἂν ἐρῶσι, καὶ ἕτοιμοι καὶ ἐκ τῶν λόγων καὶ ἐκ
τῶν ἔργων τοῖς ἄλλοις ἀπεχθανόμενοι τοῖς ἐρωμένοις χαρί-
ζεσθαι, ῥᾴδιον γνῶναι, εἰ ἀληθῆ λέγουσιν, ὅτι ὅσων ἂν ὕστερον ἐ-
ρασθῶσιν, ἐκείνους αὐτῶν περὶ πλείονος ποιήσονται, καὶ δῆ-
λον ὅτι, ἐὰν ἐκείνοις δοκῇ, καὶ τούτους κακῶς ποιήσουσιν.
Καίτοι πῶς εἰκός ἐστι τοιοῦτον πρᾶγμα προέσθαι τοιαύτην ἔχον-
τι συμφορὰν ἣν οὐδ' ἂν ἐπιχειρήσειεν οὐδεὶς ἔμπειρος ὢν ἀ-
ποτρέπειν; καὶ γὰρ αὐτοὶ ὁμολογοῦσι νοσεῖν μᾶλλον ἢ σωφρο-
νεῖν, καὶ εἰδέναι ὅτι κακῶς φρονοῦσιν, ἀλλ' οὐ δύνασθαι αὑτῶν κρα-

τῶν· ὥσπερ ἂν εὖ φρονήσαντες, ταῦτα καλῶς ἔχειν ἡγήσαιντο
περὶ ὧν οὕτω διακείμενοι βουλεύονται· καὶ μὲν δὴ εἰ μὲν ἐκ τῶν ἐρών-
των τὸν βέλτιστον αἱροῖτο· ἐξ ὀλίγων ἄν σοι ἡ ἔκλεξις εἴη· εἰ δ' ἐκ τῶν
ἄλλων τὸν σαυτῷ ἐπιτηδειότατον, ἐκ πολλῶν· ὥστε πολὺ πλείων ἐλπὶς ἐν
τοῖς ἐν τοῖς πολλοῖς ὄντα τυχεῖν τὸν ἄξιον τῆς σῆς φιλίας· εἰ τοί-
νυν τὸν νόμον τὸν καθεστηκότα δέδοικας μὴ πυθομένων τῶν ἀνθρώ-
πων ὄνειδός σοι γένηται, εἰκός ἐστι τοὺς μὲν ἐρῶντας οὕτως ἂν οἰ-
ομένους καὶ ὑπὸ τῶν ἄλλων ζηλοῦσθαι ὥσπερ αὐτοὺς ὑφ' αὑτῶν
ἐπαρθῆναι τῷ λέγειν καὶ φιλοτιμουμένους ἐπιδείκνυσθαι
πρὸς ἅπαντας, ὅτι οὐκ ἄλλως αὐτοῖς πεπόνηται· τοὺς δὲ μὴ ἐ-
ρῶντας κρείττους αὑτῶν ὄντας, τὸ βέλτιστον ἀντὶ τῆς δόξης τῆς
παρὰ τῶν ἀνθρώπων αἱρεῖσθαι· ἔτι δὲ τοὺς μὲν ἐρῶντας πολλοὺς
ἀνάγκη πυθέσθαι καὶ ἰδεῖν ἀκολουθοῦντας τοῖς ἐρωμένοις καὶ
ἔργον τοῦτο ποιουμένους· ὥστε ὅταν ὀφθῶσι διαλεγόμενοι ἀλ-
λήλοις, τότε αὐτοὺς οἴονται ἢ γεγενημένης ἢ μελλούσης ἔσε-
σθαι τῆς ἐπιθυμίας συνεῖναι· τοὺς δὲ μὴ ἐρῶντας, οὐδ' αἰτιᾶ-
σθαι διὰ τὴν συνουσίαν ἐπιχειροῦσιν· εἰδότες ὅτι ἀναγκαῖόν ἐστιν
ἢ διὰ φιλίαν τῳ διαλέγεσθαι, ἢ δι' ἄλλην τινὰ ἡδονήν· καὶ μὲν δὴ
εἴ σοι δέος παρέστηκεν ἡγουμένῳ χαλεπὸν εἶναι φιλίαν συμμένειν·
καὶ ἄλλῳ μὲν τρόπῳ διαφορᾶς γενομένης, κοινὴν ἀμφοτέροις κα-
ταστῆναι τὴν συμφοράν· προεμένου δέ σου ἃ περὶ πλείστου ποιῇ
μεγάλην ἄν σοι βλάβην ἂν γενέσθαι· εἰκότως ἂν τοὺς ἐρῶντας
μᾶλλον ἂν φοβοῖο· πολλὰ γὰρ αὐτοὺς ἐστὶ τὰ λυποῦντα καὶ πάντ' ἐπὶ
τῇ αὑτῶν βλάβῃ νομίζουσι γίγνεσθαι· διόπερ καὶ τὰς πρὸς τοὺς
ἄλλους τῶν ἐρωμένων συνουσίας ἀποτρέπουσιν· φοβούμενοι
τοὺς μὲν οὐσίαν κεκτημένους, μὴ χρήμασιν αὐτοὺς ὑπερβάλων-
ται· τοὺς δὲ πεπαιδευμένους, μὴ συνέσει κρείττους γένωνται·
τῶν δὲ ἄλλο τι κεκτημένων ἀγαθόν, τὴν δύναμιν ἑκάστου φυλάττον-
ται· πείσαντες μὲν οὖν ἀπεχθέσθαι σε τούτοις, εἰς ἐρημίαν φίλων
καθιστᾶσιν· ἐὰν δὲ τὸ σεαυτοῦ σκοπῶν ἄμεινον ἐκείνων φρονῇς,
ἥξεις αὐτοῖς εἰς διαφοράν· ὅσοι δὲ μὴ ἤρων, ἀλλὰ δι' ἀρετὴν ἔπ-
ραξαν ὧν ἐδέοντο· οὐκ ἂν τοῖς συνοῦσι φθονοῖεν· ἀλλὰ
τοὺς μὴ ἐθέλοντας μισοῖεν· ἡγούμενοι ὑπ' ἐκείνων μὲν ὑπερο-
ρᾶσθαι· ὑπὸ τῶν συνόντων δὲ ὠφελεῖσθαι· ὥστε πολὺ πλείων

τῆς φιλίαν αὐτοῖς ἐκ τοῦ πράγματος, ἢ ἔχθραν γενήσεσθαι:
καὶ μὲν δὴ τῶν μὲν ἐρώντων πολλοὶ πρότερον τοῦ σώματος ἐπεθύ-
μησαν, ἢ τὸν τρόπον ἔγνωσαν· καὶ τῶν ἄλλων οἰκείων ἔμπειροι ἐ-
γένοντο· ὥστε ἄδηλον αὐτοῖς εἰ ἔτι βουλήσονται φίλοι εἶναι, ἐπειδὰν
τῆς ἐπιθυμίας παύσωνται· τοῖς δὲ μὴ ἐρῶσιν, οἳ καὶ πρότερον
ἀλλήλοις φίλοι ὄντες, ταῦτα ἔπραξαν, οὐκ ἐξ ὧν ἂν εὖ πάθωσι·
ταῦτα εἰκὸς ἐλάττω τὴν φιλίαν αὐτοῖς ποιῆσαι· ἀλλὰ ταῦτα
μνημεῖα καταλειφθῆναι τῶν μελλόντων ἔσεσθαι: καὶ μὲν δὴ βελτίο-
νί σοι προσήκει γενέσθαι, ἐμοὶ πειθομένῳ ἢ ἐραστῇ· ἐκεῖνοι μὲν
γὰρ καὶ παρὰ τὸ βέλτιστον τά τε λεγόμενα καὶ τὰ πραττόμενα ἐ-
παινοῦσιν· τὰ μὲν δεδιότες μὴ ἀπέχθωνται· τὰ δὲ καὶ αὐτοὶ χεῖ-
ρον διὰ τὴν ἐπιθυμίαν γιγνώσκοντες· τοιαῦτα γὰρ ὁ ἔρως ἐπι-
δείκνυται· δυστυχοῦντας μέν, ἃ μὴ λύπην τοῖς ἄλλοις παρέχει, ἀνι-
αρὰ ποιεῖ νομίζειν· εὐτυχοῦντας δὲ καὶ τὰ μὴ ἡδονῆς ἄξια πα-
ρ' ἐκείνων ἐπαίνου ἀναγκάζει τυγχάνειν· ὥστε πολὺ μᾶλλον ἐλε-
εῖν τοῖς ἐρωμένοις ἢ ζηλοῦν αὐτοὺς προσήκει· ἐὰν δέ μοι πεί-
θῃ, πρῶτον μὲν οὐ τὴν παροῦσαν ἡδονὴν θεραπεύων συνέσο-
μαί σοι· ἀλλὰ καὶ τὴν μέλλουσαν ὠφέλειαν ἔσεσθαι, οὐχ ὑπ' ἔρω-
τος ἡττώμενος, ἀλλ' ἐμαυτοῦ κρατῶν. οὐδὲ διὰ σμικρὰ ἰσχυ-
ρὰν ἔχθραν ἀναιρούμενος. ἀλλὰ διὰ μεγάλα βραδέως ὀλίγην
ὀργὴν ποιούμενος· τῶν μὲν ἀκουσίων συγγνώμην ἔχων· τὰ
δὲ ἑκούσια πειρώμενος ἀποτρέπειν· ταῦτα γάρ ἐστι φιλίας
πολὺν χρόνον ἐσομένης τεκμήρια· εἰ δ' ἄρα σοι τοῦτο παρέστη-
κεν ὡς οὐχ οἷόν τε ἰσχυρὰν φιλίαν γενέσθαι ἐὰν μή τις ἐρῶν τυγ-
χάνῃ, ἐνθυμεῖσθαι χρὴ ὅτι οὔτ' ἂν τοὺς υἱεῖς περὶ πολλοῦ ἐποι-
ούμεθα, οὔτ' ἂν τοὺς πατέρας καὶ τὰς μητέρας· οὔτ' ἂν πιστοὺς
φίλους ἐκεκτήμεθα οἳ οὐκ ἐξ ἐπιθυμίας τοιαύτης γεγόνα-
σιν, ἀλλ' ἐξ ἑτέρων ἐπιτηδευμάτων: ἔτι δὲ εἰ χρὴ τοῖς δεομένοις
μάλιστα χαρίζεσθαι, προσήκει καὶ τοῖς ἄλλοις μὴ τοὺς βελτίστους
ἀλλὰ τοὺς ἀπορωτάτους εὖ ποιεῖν· μεγίστων γὰρ ἀπαλλαγέν-
τες κακῶν. πλείστην χάριν αὐτοῖς εἴσονται· καὶ μὲν δὴ καὶ ἐν ταῖς
ἰδίαις δαπάναις, οὐ τοὺς φίλους ἄξιον παρακαλεῖν· ἀλλὰ τοὺς
προσαιτοῦντας καὶ τοὺς δεομένους πλησμονῆς· ἐκεῖνοι γὰρ
καὶ ἀγαπήσουσιν καὶ ἀκολουθήσουσιν καὶ ἐπὶ τὰς θύρας ἥ-

ζουσι καὶ μάλιστα ἡσθήσονται καὶ οὐκ ἐλαχίστην χάριν εἴσονται καὶ
πολλὰ ἀγαθὰ αὐτοῖς εὔξονται: ἀλλ' ἴσως προσήκει οὐ τοῖς
σφόδρα δεομένοις χαρίζεσθαι. ἀλλὰ τοῖς μάλιστα ἀποδοῦναι χά
ριν δυναμένοις· οὐδὲ τοῖς προσαιτοῦσι μόνον· ἀλλὰ τοῖς τοῦ πρά
γματος ἀξίοις· οὐδὲ ὅσοι τῆς σῆς ὥρας ἀπολαύσονται.
ἀλλ' οἵτινες πρεσβυτέρωι γενομένωι τῶν σφετέρων ἀγαθῶν με
ταδώσουσιν· οὐδὲ οἱ διαπραξάμενοι πρὸς τοὺς ἄλλους φιλο
τιμήσονται. ἀλλ' οἵτινες αἰσχυνόμενοι πρὸς ἅπαντας σιωπή
σονται· οὐδὲ τοῖς ὀλίγον χρόνον σπουδάζουσιν. ἀλλὰ τοῖς ὁμοί
ως διὰ παντὸς τοῦ βίου φίλοις ἐσομένοις· οὐδὲ οἵτινες
παυόμενοι τῆς ἐπιθυμίας ἔχθρας πρόφασιν ζητήσουσιν·
ἀλλ' οἱ παυσάμενοι τῆς ὥρας τότε τὴν αὑτῶν ἀρετὴν ἐπιδεί
ξονται. σὺ οὖν τῶν τε εἰρημένων μέμνησο καὶ ἐκεῖνο ἐνθυμοῦ·
ὅτι τοὺς μὲν ἐρῶντας οἱ φίλοι νουθετοῦσιν ὡς ὄντος κακοῦ
τοῦ ἐπιτηδεύματος· τοῖς δὲ μὴ ἐρῶσιν οὐδεὶς πώποτε τῶν
οἰκείων ἐμέμψατο ὡς διὰ τοῦτο κακῶς βουλευομένοις περὶ
ἑαυτῶν: ἴσως ἂν οὖν ἔροιό με εἰ ἅπασί σοι παραινῶ τοῖς
μὴ ἐρῶσι χαρίζεσθαι. ἐγὼ μὲν οἶμαι οὐδ' ἂν τὸν ἐρῶντα πρὸς ἅπαν
τάς σε κελεύειν τοὺς ἐρῶντας ταύτην ἔχειν τὴν διάνοιαν· οὔτε
γὰρ τῷ λαμβάνοντι χάριτος ἴσης ἄξιον· οὔτε σοὶ βου
λομένωι τοὺς ἄλλους λανθάνειν ὁμοίως δυνατόν· δεῖ δὲ βλάβην
μὲν ἀπ' αὐτοῦ μηδεμίαν, ὠφελίαν δὲ ἀμφοῖν γίγνεσθαι. ἐγὼ μὲν
οὖν ἱκανά μοι νομίζω τὰ εἰρημένα· εἰ δ' ἔτι σύ τι ποθεῖς ἡγούμε
νος παραλελεῖφθαι, ἐρώτα. τί σοι φαίνεται ὦ σώκρατες ὁ λόγος;
οὐχ ὑπερφυῶς τά τε ἄλλα καὶ τοῖς ὀνόμασιν εἰρῆσθαι: δαι
μονίως μὲν οὖν ὦ ἑταῖρε ὥστε με ἐκπλαγῆναι. καὶ τοῦτο ἐγὼ ἔ
παθον διὰ σέ ὦ φαῖδρε πρὸς σὲ ἀποβλέπων ὅτι ἐμοὶ ἐδόκεις
γάνυσθαι ὑπὸ τοῦ λόγου μεταξὺ ἀναγιγνώσκων· ἡγούμενος
γὰρ σὲ μᾶλλον ἢ ἐμὲ ἐπαΐειν περὶ τῶν τοιούτων σοὶ εἱπόμην·
καὶ ἑπόμενος συνεβάκχευσα μετὰ σοῦ τῆς θείας κεφαλῆς:
εἶεν· οὕτω δὴ παίζειν: δοκῶ γάρ σοι παίζειν καὶ οὐχὶ ἐσπουδακέ
ναι: μηδαμῶς ὦ σώκρατες. ἀλλ' ὡς ἀληθῶς εἰπὲ πρὸς διὸς
φιλίου, οἴει ἄν τινα ἔχειν εἰπεῖν ἄλλον τῶν ἑλλήνων ἕτερα τούτων
μείζω καὶ πλείω περὶ τοῦ αὐτοῦ πράγματος: τί δέ; καὶ ταύτῃ

δεῖ ὑπ' ἐμοῦ τε καὶ σοῦ τὸν λόγον ἐπαινεθῆναι ὡς τὰ δέοντα εἰρη-
κότος τοῦ ποιητοῦ· ἀλλ' οὐκ ἐκείνῃ μόνον ὅτι σαφῆ καὶ στρογγύλα
καὶ ἀκριβῶς ἕκαστα τῶν ὀνομάτων ἀποτετόρνευται· εἰ γὰρ δεῖ συγ-
χωρητέον χάριν σὴν ἐπεὶ ἐμέ γε ἔλαθεν ὑπὸ τῆς ἐμῆς οὐδε-
νίας· τῷ γὰρ ῥητορικῷ αὐτοῦ μόνῳ τὸν νοῦν προσεῖχον· τοῦ-
το δὲ οὐδ' αὐτὸν ᾤμην λυσίαν οἴεσθαι ἱκανὸν εἶναι· καὶ οὖν
μοι ἔδοξεν ὦ φαῖδρε εἰ μή τι σὺ ἄλλο λέγεις δὶς καὶ τρὶς τὰ αὐ-
τὰ εἰρηκέναι· ὡς οὐ πάνυ εὐπορῶν τοῦ πολλὰ λέγειν περὶ τοῦ
αὐτοῦ· ἢ ἴσως οὐδὲν αὐτῷ μέλον τοῦ τοιούτου· καὶ ἐφαίνετο δή
μοι νεανιεύεσθαι ἐπιδεικνύμενος ὡς οἷός τε ὢν ταῦτα ἑτέρως
τε καὶ ἑτέρως λέγων ἀμφοτέρως εἰπεῖν ἄριστα: οὐδὲν λέγεις
ὦ σώκρατες· αὐτὸ γὰρ τοῦτο καὶ μάλιστα ὁ λόγος ἔχει· τῶν γὰρ
ἐνόντων ἀξίως ῥηθῆναι ἐν τῷ πράγματι οὐδὲν παραλέλοι-
πεν· ὥστε παρὰ τὰ ἐκείνῳ εἰρημένα μηδένα ποτὲ δύνασθαι
εἰπεῖν ἄλλα πλείω καὶ πλείονος ἄξια· τοῦτο ἐγώ σοι οὐκέτι
οἷός τ' ἔσομαι πιθέσθαι· παλαιοὶ γὰρ καὶ σοφοὶ ἄνδρες καὶ γυναῖ-
κες περὶ αὐτῶν εἰρηκότες καὶ γεγραφότες ἐξελέγξουσί με
ἐάν σοι χαριζόμενος συγχωρῶ: τίνες οὗτοι καὶ ποῦ σὺ βελ-
τίω τούτων ἀκήκοας: νῦν μὲν οὕτως οὐκ ἔχω εἰπεῖν· δῆλον
δὲ ὅτι τινῶν ἀκήκοα ἤ που σαπφοῦς τῆς καλῆς ἢ ἀνακρέον-
τος τοῦ σοφοῦ ἢ καὶ συγγραφέων τινῶν· πόθεν δὴ τεκμαιρό-
μενος λέγω· πλῆρές πως ὦ δαιμόνιε τὸ στῆθος ἔχων αἰσθά-
νομαι παρὰ ταῦτα ἂν ἔχειν εἰπεῖν ἕτερα μὴ χείρω· ὅτι μὲν οὖν
παρά γε ἐμαυτοῦ οὐδὲν αὐτῶν ἐννενόηκα εὖ οἶδα συνειδὼς
ἐμαυτῷ ἀμαθίαν· λείπεται δὴ οἶμαι ἐξ ἀλλοτρίων ποθὲν ναμά-
των διὰ τῆς ἀκοῆς πεπληρῶσθαί με δίκην ἀγγείου· ὑπὸ δὲ
νωθείας αὖ καὶ αὐτὸ τοῦτο ἐπιλέλησμαι ὅπως τε καὶ ὧντινων
ἤκουσα· ἀλλ' ὦ γενναιότατε κάλλιστα εἴρηκας· σὺ γὰρ ἐμοὶ
ὧντινων μὲν καὶ ὅπως ἤκουσας μηδ' ἂν κελεύω εἴπῃς·
τοῦτο δὲ αὐτὸ ὃ λέγεις ποίησον· τῶν ἐν τῷ βιβλίῳ βελτίω τε καὶ
μὴ ἐλάττω ἕτερα ὑπόσχες εἰπεῖν τούτων ἀπεχόμενος· καὶ
σοὶ ἐγὼ ὥσπερ οἱ ἐννέα ἄρχοντες ὑπισχνοῦμαι χρυσῆν εἰ-
κόνα ἰσομέτρητον εἰς δελφοὺς ἀναθήσειν· οὐ μόνον ἐμαυ-
τοῦ ἀλλὰ καὶ σήν· φίλτατος εἶ καὶ ὡς ἀληθῶς χρυσοῦς

ὦ φαῖδρε εἴ με οἴει λέγειν ὡς λυσίας τοῦ παντὸς ἡμάρτηκεν καὶ
οἷόν τε δὴ παρὰ ταῦτα πάντα ἄλλα εἰπεῖν· τοῦτο δὲ οἶμαι οὐδ' ἂν
τὸν φαυλότατον παθεῖν συγγραφέα· αὐτίκα περὶ οὗ ὁ λόγος
τίνα οἴει λέγοντα ὡς χρὴ μὴ ἐρῶντι μᾶλλον ἢ ἐρῶντι χαρίζεσθαι
παρέντα τοῦ μὲν τὸ φρόνιμον ἐγκωμιάζειν· τοῦ δὲ τὸ ἄφρον
ψέγειν· ἀναγκαῖα γοῦν ὄντα εἶτ' ἄλλ' ἄττα ἕξειν λέγειν· ἀλλ' οἶμαι
τὰ μὲν τοιαῦτα ἐατέα καὶ συγγνωστέα λέγοντι· καὶ τῶν μὲν τοι
ούτων οὐ τὴν εὕρεσιν ἀλλὰ τὴν διάθεσιν ἐπαινετέον· τῶν δὲ μὴ
ἀναγκαίων τε καὶ χαλεπῶν εὑρεῖν· πρὸς τῇ διαθέσει καὶ τὴν εὕ
ρεσιν: συγχωρῶ ὃ λέγεις· μετρίως γάρ μοι δοκεῖς εἰρηκέναι·
ποιήσω οὖν καὶ ἐγὼ οὕτως τὸ μὲν τὸν ἐρῶντα τοῦ μὴ ἐρῶντος
μᾶλλον νοσεῖν δώσω σοι ὑποτίθεσθαι· τῶν δὲ λοιπῶν ἕτερα
πλείω καὶ πλείονος ἄξια εἰπὼν τῶν λυσίου παρὰ τὸ κυψελιδῶν
ἀνάθημα σφυρήλατος ἐν ὀλυμπίᾳ στάθητι: ἐσπούδακας
ὦ φαῖδρε ὅτι σου τῶν παιδικῶν ἐπελαβόμην ἐρεσχηλῶν σε καὶ
οἴει δή με ὡς ἀληθῶς ἐπιχειρήσειν εἰπεῖν παρὰ τὴν ἐκείνου
σοφίαν ἕτερόν τι ποικιλώτερον· περὶ μὲν τούτου ὦ φίλε εἰς τὰς ὁ
μοίας λαβὰς ἐλήλυθας· ῥητέον μὲν γάρ σοι παντὸς μᾶλλον οὕτως
ὅπως οἷός τε εἶ· ἵνα μὴ τὸ τῶν κωμῳδῶν φορτικὸν πρᾶγμα ἀν
αγκαζώμεθα ποιεῖν ἀνταποδιδόντες ἀλλήλοις· εὐλαβήθητι
καὶ μὴ βούλου με ἀναγκάσαι λέγειν ἐκεῖνο τὸ εἰ ἐγὼ ὦ σώκρατες
σωκράτην ἀγνοῶ καὶ ἐμαυτοῦ ἐπιλέλησμαι· καὶ ὅτι ἐπεθύμει
μὲν λέγειν ἐθρύπτετο δέ· ἀλλὰ διανοήθητι ὅτι ἐντεῦθεν οὐκ ἄ
πιμεν πρὶν ἂν σὺ εἴπῃς ἃ ἔφησθα ἐν τῷ στήθει ἔχειν· ἐσμὲν δὲ
μόνω ἐν ἐρημίᾳ· ἰσχυρότερος δ' ἐγὼ καὶ νεώτερος· ἐκ δὲ ἁ
πάντων τούτων· ξύνες ὅσοι λέγω καὶ μηδαμῶς πρὸς βίαν βου
ληθῇς μᾶλλον ἢ ἑκὼν λέγειν: ἀλλ' ὦ μακάριε φαῖδρε γελοῖος ἔ
σομαι παρ' ἀγαθὸν ποιητὴν ἰδιώτης αὐτοσχεδιάζων περὶ τῶν
αὐτῶν: οἶσθ' ὡς ἔχει· παῦσαι πρός με καλλωπιζόμενος· σχε
δὸν γὰρ ἔχω ὃ εἰπὼν ἀναγκάσω σε λέγειν: μηδαμῶς τοίνυν εἴ
πῃς: οὐκ ἀλλὰ καὶ δὴ λέγω· ὁ δέ μοι λόγος ὅρκος ἔσται· ὄμνυ
μι γάρ σοι τίνα μέντοι τίνα θεῶν ἢ βούλει τὴν πλάτανον ταυτηνί·
ἦ μὴν ἐάν μοι μὴ εἴπῃς τὸν λόγον ἐναντίον αὐτῆς ταύτης μη
δέποτέ σοι ἕτερον λόγον μηδένα μηδενὸς μήτε ἐπιδείξειν μήτε ἐξαγ

γένηται: βαβαὶ ὦ μιαρὲ ὡς εὖ ἀνεῦρες τὴν ἀνάγκην ἀνδρὶ φιλολό-
γῳ ποιεῖν ὃ ἂν κελεύῃς: τί δῆτα ἔχων στρέφῃ: οὐδὲν ἔτι ἐπεὶ δὴ
σύ γε ταῦτα ὀμώμοκας· πῶς γὰρ ἂν οἷός τ' εἴην τοιαύτης θοίνης
ἀπέχεσθαι: λέγε δή: οἶσθ' οὖν ὡς ποιήσω: τοῦ πέρι: ἐγκαλυψά-
μενος ἐρῶ, ἵν' ὅτι τάχιστα διαδράμω τὸν λόγον καὶ μὴ βλέπων
πρὸς σὲ ὑπ' αἰσχύνης διαπορῶμαι: λέγε μόνον, τὰ δ' ἄλλα ὅ-
πως βούλει ποίει: ἄγετε δή, ὦ μοῦσαι, εἴτε δι' ᾠδῆς εἶδος λίγειαι
εἴτε διὰ γένος μουσικὸν τὸ λιγύων ταύτην ἔσχετ' ἐπωνυμίαν, ξύμ
μοι λάβεσθε τοῦ μύθου, ὅν με ἀναγκάζει ὁ βέλτιστος οὑτοσὶ λέγειν,
ἵν' ὁ ἑταῖρος αὐτοῦ καὶ πρότερον δοκῶν τούτῳ σοφὸς εἶναι,
νῦν ἔτι μᾶλλον δόξῃ. ἦν οὕτω δὴ παῖς, μᾶλλον δὲ μειρακίσκος
μάλα καλός· τούτῳ δὲ ἦσαν ἐρασταὶ πάνυ πολλοί· εἷς δέ
τις αἱμύλος ἦν, ὃς οὐδενὸς ἧττον ἐρῶν ἐπεπείκει τὸν
παῖδα ὡς οὐκ ἐρῴη. καί ποτε αὐτὸν αἰτῶν ἔπειθεν τοῦτ' αὐ-
τό, ὡς μὴ ἐρῶντι πρὸ τοῦ ἐρῶντος δέοι χαρίζεσθαι, ἔλεγέν τε
ὧδε: περὶ παντός, ὦ παῖ, μία ἀρχὴ τοῖς μέλλουσι καλῶς βου-
λεύσεσθαι· εἰδέναι δεῖ περὶ οὗ ἂν ᾖ ἡ βουλή, ἢ παντὸς ἁμαρτάνειν
ἀνάγκη. τοὺς δὲ πολλοὺς λέληθεν ὅτι οὐκ ἴσασι τὴν οὐσίαν ἑ-
κάστου. ὡς οὖν εἰδότες οὐ διομολογοῦνται ἐν ἀρχῇ τῆς σκέψεως·
προελθόντες δὲ τὸ εἰκὸς ἀποδιδόασιν· οὔτε γὰρ ἑαυτοῖς οὔ-
τε ἀλλήλοις ὁμολογοῦσιν. ἐγὼ οὖν καὶ σὺ μὴ πάθωμεν ὃ ἄλλοις
ἐπιτιμῶμεν· ἀλλ' ἐπειδὴ σοὶ καὶ ἐμοὶ ὁ λόγος πρόκειται πότερα ἐρῶντι ἢ
μὴ μᾶλλον εἰς φιλίαν ἰτέον, περὶ ἔρωτος οἷόν τ' ἔστι καὶ ἣν ἔχει δύ-
ναμιν ὁμολογίᾳ θέμενοι ὅρον, εἰς τοῦτο ἀποβλέποντες καὶ ἀνα-
φέροντες τὴν σκέψιν ποιώμεθα εἴτε ὠφελίαν εἴτε βλάβην παρέ-
χει. ὅτι μὲν οὖν δὴ ἐπιθυμία τις ὁ ἔρως, ἅπαντι δῆλον· ὅτι δ' αὖ
καὶ μὴ ἐρῶντες ἐπιθυμοῦσι τῶν καλῶν, ἴσμεν. τῷ δὴ τὸν ἐρῶντά
τε καὶ μὴ κρινοῦμεν; δεῖ αὖ νοῆσαι ὅτι ἡμῶν ἐν ἑκάστῳ δύο τινέ ἐστον
ἰδέα ἄρχοντε καὶ ἄγοντε, οἷν ἑπόμεθα ᾗ ἂν ἄγητον, ἡ μὲν ἔμφυτος
οὖσα ἐπιθυμία ἡδονῶν, ἄλλη δὲ ἐπίκτητος δόξα, ἐφιεμένη τοῦ
ἀρίστου. τούτω δὲ ἐν ἡμῖν τοτὲ μὲν ὁμονοεῖτον, ἔστι δὲ ὅτε στασιά-
ζετον· καὶ τοτὲ μὲν ἡ ἑτέρα, ἄλλοτε δὲ ἡ ἑτέρα κρατεῖ. δόξης μὲν
οὖν ἐπὶ τὸ ἄριστον λόγῳ ἀγούσης καὶ κρατούσης, τῷ κράτει σω-
φροσύνη ὄνομα· ἐπιθυμίας δὲ ἀλόγως ἑλκούσης ἐπὶ ἡδο-

νὰς καὶ ἀρξάσης ἐν ἡμῖν τῇ ἀρχῇ· ὕβρις ἐπωνομάσθη· ὕβρις
δὲ δὴ πολυώνυμον· πολυμελὲς γὰρ καὶ πολυειδές· καὶ τούτων
τῶν ἰδεῶν ἐκπρεπὴς ἣ ἂν τύχῃ γενομένη τὴν αὑτῆς ἐπωνυ-
μίαν ὀνομαζόμενον τὸν ἔχοντα παρέχεται· οὔτε τινὰ καλήν· οὔ-
τ' ἐπαξίαν κεκτῆσθαι· περὶ μὲν γὰρ ἐδωδὴν κρατοῦσα τοῦ λό-
γου τοῦ ἀρίστου καὶ τῶν ἄλλων ἐπιθυμιῶν ἐπιθυμία· γαστριμαργί-
α τε καὶ τὸν ἔχοντα ταὐτὸν τοῦτο κεκλημένον παρέξει· περὶ δ' αὖ
μέθας τυραννεύσασα τὸν κεκτημένον ταύτῃ ἄγουσα· δῆλον
οὗ τεύξεται προσρήματος· καὶ τἆλλα δὴ τὰ τούτων ἀδελφὰ καὶ
ἀδελφῶν ἐπιθυμιῶν ὀνόματα τῆς ἀεὶ δυναστευούσης ᾗ προ-
σήκει καλεῖσθαι πρόδηλον· ἧς δ' ἕνεκα πάντα τὰ πρόσθεν εἴ-
ρηται· σχεδὸν μὲν ἤδη φανερόν· λεχθὲν δὲ ἢ μὴ λεχθὲν πάντως
σαφέστερον· ἡ γὰρ ἄνευ λόγου δόξης ἐπὶ τὸ ὀρθὸν ὁρμώσης
κρατήσασα ἐπιθυμία πρὸς ἡδονὴν ἀχθεῖσα κάλλους· καὶ
ὑπὸ αὖ τῶν ἑαυτῇ συγγενῶν ἐπιθυμιῶν ἐπὶ σωμάτων κάλλος
ἐρρωμένως ῥωσθεῖσα νικήσασα ἀγωγῇ· ἀπ' αὐτῆς τῆς ῥώ-
μης ἐπωνυμίαν λαβοῦσα· ἔρως ἐκλήθη· ἀτὰρ ὦ φίλε φαῖδρε
δοκῶ τί σοι ὥσπερ ἐμαυτῷ θεῖον πάθος πεπονθέναι: πάνυ
μὲν οὖν ὦ σώκρατες παρὰ τὸ εἰωθὸς εὔροιά τίς σε εἴληφεν: σιγῇ
τοίνυν μου ἄκουε· τῷ ὄντι γὰρ θεῖος ἔοικεν ὁ τόπος εἶναι· ὥστε
ἐὰν ἄρα πολλάκις νυμφόληπτος προϊόντος τοῦ λόγου γένω-
μαι· μὴ θαυμάσῃς· τὰ νῦν γὰρ οὐκέτι πόρρω διθυράμβων φθέγ-
γομαι: ἀληθέστατα λέγεις: τούτων μέντοι σὺ αἴτιος· ἀλλὰ τὰ
λοιπὰ ἄκουε· ἴσως γὰρ κἂν ἀποτράποιτο τὸ ἐπιόν· ταῦτα
μὲν οὖν θεῷ μελήσει· ἡμῖν δὲ πρὸς τὸν παῖδα πάλιν τῷ λόγῳ
ἰτέον: εἶεν ὦ φέριστε· ὃ μὲν δὴ τυγχάνει ὂν περὶ οὗ βουλευτέον εἴ-
ρηταί τε καὶ ὥρισται· βλέποντες δὲ δὴ πρὸς αὐτὸ τὰ λοιπὰ λέγωμεν·
τίς ὠφέλεια ἢ βλάβη ἀπό τε ἐρῶντος καὶ μὴ τῷ χαριζομένῳ
ἐξ εἰκότος συμβήσεται· τῷ δὴ ὑπὸ ἐπιθυμίας ἀρχομένῳ δου-
λεύοντί τε ἡδονῇ· ἀνάγκη που τὸν ἐρώμενον ὡς ἥδιστον ἑαυτῷ
παρασκευάζειν· νοσοῦντι δὲ πᾶν ἡδὺ τὸ μὴ ἀντιτεῖνον· κρεῖττον
δὲ καὶ ἴσον ἐχθρόν· οὔτε δὴ κρείττω οὔτε ἰσούμενον ἑκὼν ἐραστὴς
παιδικὰ ἀνέξεται· ἥττω δὲ καὶ ὑποδεέστερον ἀεὶ ἀπερ-
γάζεται· ἥττων δὲ ἀμαθὴς σοφοῦ· δειλὸς ἀνδρείου· ἀδύνα-

ἐν ἄλλῳ: ἡ γὰρ ἄνευ λόγου δόξης ἐπὶ τἀγαθὸν ὁρμώσης κρατήσασα ἐπιθυμία πρὸς ἡδονὴν ἀχθεῖσα κάλλους καὶ ὑπὸ τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμιῶν ἐπὶ σωμάτων κάλλος ἐρρωμένως ῥωσθεῖσα νικήσασα ἀγωγῇ ἀπ' αὐτῆς τῆς ῥώμης ἐπωνυμίαν λαβοῦσα ἔρως ἐκλήθη.

τος εἰπεῖν ῥητορικοῦ· βραδὺς ἀγχίνου· τοσούτων κακῶν καὶ ἔτι
πλειόνων κατὰ τὴν διάνοιαν ἐραστὴν ἐρωμένῳ ἀνάγκη γιγνομέ-
νων τε καὶ φύσει ἐνόντων· τῶν μὲν ἥδεσθαι· τὰ δὲ παρασκευάζειν ἢ
στέρεσθαι τοῦ παραυτίκα ἡδέος· φθονερὸν δὴ ἀνάγκη εἶναι· καὶ
πολλῶν μὲν ἄλλων συνουσιῶν ἀπείργοντα καὶ ὠφελίμων· ὅθεν
ἂν μάλιστ' ἀνὴρ γίγνοιτο, μεγάλης αἴτιον εἶναι βλάβης· μεγίστης
δὲ τῆς ὅθεν ἂν φρονιμώτατος εἴη· τοῦτο δὲ ἡ θεία φιλοσοφία
τυγχάνει ὄν· ἧς ἐραστὴν παιδικὰ ἀνάγκη πόρρωθεν εἴργειν περί-
φοβον ὄντα τοῦ καταφρονηθῆναι· τά τε ἄλλα μηχανᾶσθαι ὅπως
ἂν ᾖ πάντα ἀγνοῶν καὶ πάντα ἀποβλέπων εἰς τὸν ἐραστὴν οἷος ὤν,
τῷ μὲν ἥδιστος· ἑαυτῷ δὲ βλαβερώτατος ἂν εἴη· τὰ μὲν οὖν
κατὰ διάνοιαν ἐπίτροπός τε καὶ κοινωνὸς οὐδαμῆι λυσιτελὴς ἀ-
νὴρ ἔχων ἔρωτα· τὴν δὲ τοῦ σώματος ἕξιν καὶ θεραπείαν οἵ-
αν τε καὶ ὡς θεραπεύσει οὗ ἂν γένηται κύριος, ὃς ἡδὺ πρὸ ἀγα-
θοῦ ἠνάγκασται διώκειν· δεῖ μετὰ ταῦτα ἰδεῖν· ὀφθήσεται δὴ μαλ-
θακόν τινα καὶ οὐ στερεὸν διώκων· οὐδ' ἐν ἡλίῳ καθαρῷ τεθραμ-
μένον· ἀλλ' ὑπὸ συμμιγεῖ σκιᾷ· πόνων μὲν ἀνδρείων καὶ ἱδρώ-
των ξηρῶν ἄπειρον· ἔμπειρον δὲ ἁπαλῆς καὶ ἀνάνδρου διαί-
της· ἀλλοτρίοις χρώμασι καὶ κόσμοις χήτει οἰκείων κοσμούμε-
νον· ὅσα τε ἄλλα τούτοις ἕπεται πάντα ἐπιτηδεύοντα, ἃ δῆλα καὶ
οὐκ ἄξιον περαιτέρω προβαίνειν· ἀλλὰ ἓν κεφάλαιον ὁρισαμέ-
νους· ἐπ' ἄλλο ἰέναι· τὸ γὰρ τοιοῦτον σῶμα ἐν πολέμῳ τε καὶ ἄλ-
λαις χρείαις ὅσαι μεγάλαι· οἱ μὲν ἐχθροὶ θαρροῦσιν· οἱ δὲ φίλοι
καὶ αὐτοὶ οἱ ἐρασταὶ φοβοῦνται· τοῦτο μὲν οὖν ὡς δῆλον ἐατέον·
τὸ δ' ἐφεξῆς ῥητέον· τίνα ἡμῖν ὠφέλειαν ἢ τίνα βλάβην περὶ τὴν
κτῆσιν ἡ τοῦ ἐρῶντος ὁμιλία τε καὶ ἐπιτροπεία παρέξεται· σα-
φὲς δὴ τοῦτό γε παντὶ μὲν, μάλιστα δὲ τῷ ἐραστῇ, ὅτι τῶν φιλτάτων
τε καὶ εὐνουστάτων καὶ θειοτάτων κτημάτων ὀρφανὸν πρὸ παν-
τὸς εὔξαιτ' ἂν εἶναι τὸν ἐρώμενον· πατρὸς γὰρ καὶ μητρὸς καὶ συγγε-
νῶν καὶ φίλων στέρεσθαι ἂν αὐτὸν δέξαιτο διακωλυτὰς καὶ ἐπιτιμη-
τὰς ἡγούμενος τῆς ἡδίστης πρὸς αὐτὸν ὁμιλίας· ἀλλὰ μὴν
οὐσίαν γ' ἔχοντα χρυσοῦ ἢ τινος ἄλλης κτήσεως, οὔτε εὐάλωτον
ὁμοίως οὔτε ἁλόντα εὐμεταχείριστον ἡγήσεται· ἐξ ὧν πᾶσα ἀ-
νάγκη ἐραστὴν παιδικοῖς φθονεῖν μὲν οὐσίαν κεκτημένοις·

ἀπολλυμένης δὲ χαίρειν. ἔτι τοίνυν ἄγαμον, ἄπαιδα, ἄοικον ὅτι
πλεῖστον χρόνον παιδικὰ ἐραστὴς εὔξαιτ᾽ ἂν γενέσθαι, τὸ αὑτοῦ γλυ-
κὺ ὡς πλεῖστον χρόνον καρποῦσθαι ἐπιθυμῶν. ἔστι μὲν δὴ καὶ ἄλλα κα-
κά, ἀλλά τις δαίμων ἔμιξε τοῖς πλείστοις ἐν τῷ παραυτίκα ἡδο-
νήν, οἷον κόλακι, δεινῷ θηρίῳ καὶ βλάβῃ μεγάλῃ, ὅμως ἐπέμι-
ξεν ἡ φύσις ἡδονήν τινα οὐκ ἄμουσον, καί τις ἑταίραν ὡς βλαβε-
ρὸν ψέξειεν ἄν, καὶ ἄλλα πολλὰ τῶν τοιουτοτρόπων θρεμμάτων
τε καὶ ἐπιτηδευμάτων, οἷς τό γε καθ᾽ ἡμέραν ἡδίστοισιν εἶναι ὑπάρ-
χει· παιδικοῖς δὲ ἐραστὴς πρὸς τῷ βλαβερῷ καὶ εἰς τὸ συνημερεύ-
ειν πάντων ἀηδέστατον. ἥλικα γὰρ καὶ ὁ παλαιὸς λόγος τέρπειν
τὸν ἥλικα· ἡ γὰρ οἶμαι χρόνου ἰσότης ἐπ᾽ ἴσας ἡδονὰς ἄγουσα
δι᾽ ὁμοιότητα φιλίαν παρέχεται· ἀλλ᾽ ὅμως κόρον γε καὶ ἡ τούτων συ-
νουσία ἔχει. καὶ μὴν τό γε ἀναγκαῖον αὖ βαρὺ παντὶ περὶ πᾶν λέγεται·
ὃ δὴ πρὸς τῇ ἀνομοιότητι μάλιστα ἐραστὴς πρὸς παιδικὰ ἔχει. νεω-
τέρῳ γὰρ πρεσβύτερος συνών, οὔθ᾽ ἡμέρας οὔτε νυκτὸς ἑκὼν
ἀπολείπεται, ἀλλ᾽ ὑπ᾽ ἀνάγκης τε καὶ οἴστρου ἐλαύνεται, ὃς ἐκείνῳ
μὲν ἡδονὰς ἀεὶ διδοὺς ἄγει, ὁρῶντι, ἀκούοντι, ἁπτομένῳ, καὶ πᾶ-
σαν αἴσθησιν αἰσθανομένῳ τοῦ ἐρωμένου, ὥστε μεθ᾽ ἡδονῆς ἀραι-
ρότως αὐτῷ ὑπηρετεῖν· τῷ δὲ δὴ ἐρωμένῳ ποῖον παραμύθιον
ἢ τίνας ἡδονὰς διδοὺς ποιήσει τὸν ἴσον χρόνον συνόντα μὴ οὐχὶ
ἐπ᾽ ἔσχατον ἐλθεῖν ἀηδίας, ὁρῶντι μὲν ὄψιν πρεσβυτέραν καὶ οὐκ ἐν
ὥρᾳ, ἑπομένων δὲ τῶν ἄλλων ταύτῃ, ἃ καὶ λόγῳ ἐστὶν ἀκούειν οὐ-
κ ἐπιτερπές, μὴ ὅτι δὴ ἔργῳ ἀνάγκης ἀεὶ προσκειμένης μεταχει-
ρίζεσθαι· φυλακάς τε δὴ καχυπόπτους φυλαττομένῳ διὰ παν-
τὸς καὶ πρὸς ἅπαντας, ἀκαίρους τε καὶ ἐπαίνους καὶ ὑπερβάλ-
λοντας ἀκούοντι, ὡς δ᾽ αὔτως ψόγους, νήφοντος μὲν οὐκ ἀνε-
κτούς, εἰς δὲ μέθην ἰόντος πρὸς τῷ μὴ ἀνεκτῷ ἐπαισχεῖς, παρρη-
σίᾳ κατακορεῖ καὶ ἀναπεπταμένῃ χρωμένου. καὶ ἐρῶν μὲν βλαβε-
ρός τε καὶ ἀηδής, λήξας δὲ τοῦ ἔρωτος εἰς τὸν ἔπειτα χρόνον ἄπι-
στος, εἰς ὃν πολλὰ καὶ μετὰ πολλῶν ὅρκων τε καὶ δεήσεων ὑπι-
σχνούμενος μόγις κατεῖχε τήν γ᾽ ἐν τῷ τότε ξυνουσίαν ἐπίπο-
νον φέρειν δι᾽ ἐλπίδα ἀγαθῶν. τότε δὴ δέον ἐκτίνειν μεταβαλὼν
ἄλλον ἄρχοντα ἐν αὑτῷ καὶ προστάτην, νοῦν καὶ σωφροσύνην
ἀντ᾽ ἔρωτος καὶ μανίας, ἄλλος γεγονώς, λέληθεν τὰ παιδικά.

καὶ ὁ μὲν αὐτὸν χάριν ἀπαιτεῖ τῶν τότε ὑπομιμνήσκων τὰ πρα-
χθέντα καὶ λεχθέντα ὡς τῷ αὐτῷ διαλεγόμενος· ὁ δὲ ὑπ' αἰσχύ-
νης οὔτε εἰπεῖν τολμᾷ ὅτι ἄλλος γέγονεν· οὔθ' ὅπως τὰ τῆς
προτέρας ἀνοήτου ἀρχῆς ὁρκωμόσιά τε καὶ ὑποσχέσεις ἐμ-
πεδώσῃ ἔχει, νοῦν ἤδη ἐσχηκὼς καὶ σεσωφρονηκώς· ἵνα μὴ
πράττων ταὐτὰ τῷ πρόσθεν ὅμοιός τε ἐκείνῳ καὶ ὁ αὐτὸς
πάλιν γένηται· φυγὰς δὴ γίγνεται ἐκ τούτων· καὶ ἀπεστερηκὼς
ὑπ' ἀνάγκης ὁ πρὶν ἐραστὴς ὀστράκου μεταπεσόντος ἵεται φυγῇ
μεταβαλών· ὁ δὲ ἀναγκάζεται διώκειν· ἀγανακτῶν καὶ ἐπιθεά-
ζων ἠγνοηκὼς τὸ ἅπαν ἐξ ἀρχῆς ὅτι οὐκ ἄρα ἔδει ποτὲ ἐ-
ρῶντι καὶ ὑπ' ἀνάγκης ἀνοήτῳ χαρίζεσθαι· ἀλλὰ πολὺ μᾶλλον
μὴ ἐρῶντι καὶ νοῦν ἔχοντι· εἰ δὲ μὴ ἀναγκαῖον εἴη ἐνδοῦναι αὐτὸν
ἀπίστῳ δυσκόλῳ φθονερῷ ἀηδεῖ· βλαβερῷ μὲν πρὸς οὐσίαν·
βλαβερῷ δὲ πρὸς τὴν τοῦ σώματος ἕξιν· πολὺ δὲ βλαβερωτά-
τῳ πρὸς τὴν τῆς ψυχῆς παίδευσιν· ἧς οὔτε ἀνθρώποις οὔτε
θεοῖς τῇ ἀληθείᾳ τιμιώτερον οὔτε ἔστιν· οὔτε ποτὲ ἔσται:
Ταῦτά τε οὖν χρὴ ὦ παῖ συννοεῖν καὶ εἰδέναι τὴν ἐραστοῦ φιλίαν·
ὅτι οὐ μετ' εὐνοίας γίγνεται· ἀλλὰ σιτίου τρόπον χάριν πλησμονῆς·
ὡς λύκοι ἄρνας ἀγαπῶσιν· ὡς παῖδα φιλοῦσιν ἐρασταί: Τοῦτο
ἐκεῖνο ὦ Φαῖδρε· οὐκέτ' ἂν τὸ πέρα ἀκούσαις ἐμοῦ λέγοντος·
ἀλλ' ἤδη σοι τέλος ἐχέτω ὁ λόγος· Καίτοι ᾤμην γε μεσοῦν αὐτοῦ
καὶ ἐρεῖν τὰ ἴσα περὶ τοῦ μὴ ἐρῶντος ὡς δεῖ ἐκείνῳ μᾶλλον χαρίζε-
σθαι λέγων ὅσ' αὖ ἔχει ἀγαθά: νῦν δὲ δὴ ὦ Σώκρατες
τί ἀποπαύῃ· Οὐκ ᾔσθου ὦ μακάριε ὅτι ἤδη ἔπη φθέγγομαι·
ἀλλ' οὐκέτι διθυράμβους· καὶ ταῦτα ψέγων· ἐὰν δ' ἐπαινεῖν τὸν
ἕτερον ἄρξωμαι τί με οἴει ποιήσειν· ἆρ' οἶσθ' ὅτι ὑπὸ τῶν νυμ-
φῶν αἷς με σὺ προὔβαλες ἐκ προνοίας σαφῶς ἐνθουσιάσω:
λέγω οὖν ἑνὶ λόγῳ ὅτι ὅσα τὸν ἕτερον λελοιδορήκαμεν τῷ ἑτέ-
ρῳ τἀναντία τούτων ἀγαθὰ πρόσεστιν· καὶ τί δεῖ μακροῦ λόγου·
περὶ γὰρ ἀμφοῖν ἱκανῶς εἴρηται: Καὶ οὕτω δὴ ὁ μῦθος ὅτι πά-
σχειν προσήκει αὐτῷ τοῦτο πείσεται· κἀγὼ τὸν ποταμὸν τοῦτον
διαβὰς ἀπέρχομαι πρὶν ὑπὸ σοῦ τι μεῖζον ἀναγκασθῆναι:
Μήπω γε ὦ Σώκρατες πρὶν ἂν τὸ καῦμα παρέλθῃ· ἢ οὐχ ὁρᾷς
ὡς σχεδὸν ἤδη μεσημβρία ἵσταται ἡ δὴ καλουμένη σταθερά· ἀλλὰ

περιμείναντες καὶ ἅμα περὶ τῶν εἰρημένων διαλεχθέντες· τάχα ἐπει-
δὰν ἀποψυχῇ ἴμεν: θεῖός γ' εἶ περὶ τοὺς λόγους ὦ φαῖδρε καὶ ἀτεχνῶς
θαυμάσιος· οἶμαι γάρ γε τῶν ἐπὶ τοῦ σοῦ βίου γεγονότων μηδένα
πλείους ἢ σὲ πεποιηκέναι γεγενῆσθαι ἤτοι αὐτὸν λέγοντα ἢ ἄλ-
λους ἑνί γέ τῳ τρόπῳ προσαναγκάζοντα σιμμίαν θηβαῖον ἐξαι-
ρῶ λόγου· τῶν δὲ ἄλλων πάμπολυ κρατεῖς· καὶ νῦν αὖ δοκεῖς αἴτι-
ός μοι γεγενῆσθαι λόγῳ τινὶ ῥηθῆναι· οὐ πόλεμόν γε ἀγγέλλεις·
ἀλλὰ πῶς δὴ καὶ τίνι τούτῳ: ἡνίκ' ἔμελλον ὠγαθὲ τὸν ποταμὸν
διαβαίνειν τὸ δαιμόνιόν τε καὶ τὸ εἰωθὸς σημεῖόν μοι γίγνεσθαι ἐγέ-
νετο· ἀεὶ δέ με ἐπίσχει ὃ ἂν μέλλω πράττειν καί τινα φωνὴν ἔδοξα
αὐτόθεν ἀκοῦσαι ἥ με οὐκ ἐᾷ ἀπιέναι· πρὶν ἂν ἀφοσιώσωμαι ὥς
τι ἡμαρτηκότα εἰς τὸ θεῖον· εἰμὶ δὴ οὖν μάντις μὲν οὐ πάνυ δὲ σπου-
δαῖος· ἀλλ' ὥσπερ οἱ τὰ γράμματα φαῦλοι· ὅσον μὲν ἐμαυτῷ μό-
νον ἱκανός· σαφῶς οὖν ἤδη μανθάνω τὸ ἁμάρτημα· ὡς δή τοι ὦ
ἑταῖρε μαντικόν γέ τι καὶ ἡ ψυχή· ἐμὲ γὰρ ἔθραξε μέν τι καὶ πάλαι λέ-
γοντα τὸν λόγον· καί πως ἐδυσωπούμην κατ' ἴβυκον μή τι παρὰ
θεοῖς ἀμβλακὼν τιμὰν πρὸς ἀνθρώπων ἀμείψω· νῦν δ' ᾔσθη-
μαι τὸ ἁμάρτημα· λέγεις δὲ δὴ τί: δεινὸν ὦ φαῖδρε δεινὸν λόγον
αὐτός τε ἐκόμισας ἐμέ τε ἠνάγκασας εἰπεῖν: πῶς δή: εὐήθη
καὶ ὑπό τι ἀσεβῆ· οὗ τίς ἂν εἴη δεινότερος: οὐδεὶς εἴ γε σὺ ἀλη-
θῆ λέγεις: τί οὖν τὸν ἔρωτα οὐκ ἀφροδίτης καὶ θεόν τινα ἡγῇ;
λέγεταί γε δή: οὔ τι ὑπό γε λυσίου οὐδὲ ὑπὸ τοῦ σοῦ λόγου ὃς διὰ
τοῦ ἐμοῦ στόματος καταφαρμακευθέντος ὑπὸ σοῦ ἐλέχθη· εἰ
δ' ἔστιν ὥσπερ οὖν ἔστι θεὸς ἤ τι θεῖον ὁ ἔρως· οὐδὲν ἂν κακὸν εἴη·
τὼ δὲ λόγω τὼ νῦν δὴ περὶ αὐτοῦ εἰπέτην ὡς τοιούτου ὄντος·
ταύτῃ τε οὖν ἡμαρτανέτην περὶ τὸν ἔρωτα· ἔτι δὲ ἡ εὐήθεια αὐτοῖν
πάνυ ἀστεία τὸ μηδὲν ὑγιὲς λέγοντε μηδὲ ἀληθὲς σεμνύνεσθαι
ὡς τὶ ὄντε· εἰ ἄρα ἀνθρωπίσκους τινὰς ἐξαπατήσαντε εὐδοκι-
μήσετον ἐν αὐτοῖς· ἐμοὶ μὲν οὖν ὦ φίλε καθήρασθαι ἀνάγκη· ἔστιν
δὲ τοῖς ἁμαρτάνουσι περὶ μυθολογίαν καθαρμὸς ἀρχαῖος
ὃν ὅμηρος μὲν οὐκ ᾔσθετο· στησίχορος δέ· τῶν γὰρ ὀμμάτων
στερηθεὶς διὰ τὴν ἑλένης κακηγορίαν· οὐκ ἠγνόησεν ὥσπερ
ὅμηρος· ἀλλ' ἅτε μουσικὸς ὢν ἔγνω τὴν αἰτίαν· καὶ ποιεῖ εὐ-
θύς· οὐκ ἔστ' ἔτυμος λόγος οὗτος· οὐδ' ἔβας ἐν νηυσὶν εὐσέλ-

μοις· οὐδ' ἵκεο πέργαμα τροίας· καὶ ποιήσας δὴ πᾶσαν τὴν κα
λουμένην παλινῳδίαν· παραχρῆμα ἀνέβλεψεν: ἐγὼ οὖν σοφώ
τερος ἐκείνων γενήσομαι κατ' αὐτό γε τοῦτο· πρὶν γάρ τι παθεῖν
διὰ τὴν τοῦ ἔρωτος κακηγορίαν· πειράσομαι αὐτῷ ἀποδοῦναι
τὴν παλινῳδίαν γυμνῇ τῇ κεφαλῇ καὶ οὐχ ὥσπερ τότε ὑπ' αἰσχύ
νης ἐγκεκαλυμμένος: τουτωνί ὦ σώκρατες οὐκ ἔστιν ἅττ' ἂν
ἐμοὶ εἶπες ἡδίω· καὶ γὰρ ὦ γαθὲ φαῖδρε ἐννοεῖς ὡς ἀναιδῶς
εἰρήσθον τὼ λόγω· οὗτός τε καὶ ὁ ἐκ τοῦ βιβλίου ῥηθείς· εἰ γὰρ ἀ
κούων τις τύχοι ἡμῶν γεννάδας καὶ πρᾶος τὸ ἦθος· ἑτέρου
δὲ τοιούτου ἐρῶν ἢ καὶ πρότερόν ποτε ἐρασθεὶς λεγόντων ὡς
διὰ σμικρὰ μεγάλας ἔχθρας οἱ ἐρασταὶ ἀναιροῦνται· καὶ ἔχου
σι πρὸς τὰ παιδικὰ φθονερῶς τε καὶ βλαβερῶς· πῶς οὐκ ἂν οἴει
αὐτὸν ἡγεῖσθαι ἀκούειν ἐν ναύταις που τεθραμμένων καὶ οὐδέ
να ἐλεύθερον ἔρωτα ἑωρακότων· πολλοῦ δ' ἂν δεῖν ἡμῖν ὁμολο
γεῖν ἃ ψέγομεν τὸν ἔρωτα: ἴσως νὴ δί' ὦ σώκρατες: τοῦτόν γε
τοίνυν ἔγωγε αἰσχυνόμενος καὶ αὐτὸν τὸν ἔρωτα δεδιώς· ἐπι
θυμῶ ποτίμῳ λόγῳ οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι· συμβου
λεύω δὲ καὶ λυσίᾳ ὅτι τάχιστα γράψαι ὡς χρὴ ἐραστῇ μᾶλλον ἢ μὴ ἐ
ρῶντι ἐκ τῶν ὁμοίων χαρίζεσθαι· ἀλλ' εὖ ἴσθι ὅτι ἕξει τοῦθ' οὕτως·
σοῦ γὰρ εἰπόντος τὸν τοῦ ἐραστοῦ ἔπαινον πᾶσα ἀνάγκη λυσίαν ὑ
π' ἐμοῦ ἀναγκασθῆναι γράψαι αὖ περὶ τοῦ αὐτοῦ λόγον· τοῦτο
μὲν πιστεύω ἕωσπερ ἂν ᾖς ὃς εἶ· λέγε τοίνυν θαρρῶν· ποῦ δή μοι
ὁ παῖς πρὸς ὃν ἔλεγον; ἵνα καὶ τοῦτο ἀκούσῃ καὶ μὴ ἀνήκοος ὢν
φθάσῃ χαρισάμενος τῷ μὴ ἐρῶντι: οὗτος παρά σοι μάλα
πλησίον ἀεὶ πάρεστιν ὅταν σὺ βούλῃ· οὑτωσὶ τοίνυν ὦ παῖ καλὲ ἐν
νόησον ὡς ὁ μὲν πρότερος ἦν λόγος φαίδρου τοῦ πυθοκλέους
μυρρινουσίου ἀνδρός· ὃν δὲ μέλλω λέγειν στησιχόρου τοῦ εὐφή
μου ἱμεραίου· λεκτέος δὲ ὧδε· ὅτι οὐκ ἔστ' ἔτυμος λόγος ὃς ἂν παρόντος
ἐραστοῦ τῷ μὴ ἐρῶντι μᾶλλον φῇ δεῖν χαρίζεσθαι· διότι δὴ ὁ μὲν μαί
νεται ὁ δὲ σωφρονεῖ· εἰ μὲν γὰρ ἦν ἁπλοῦν τὸ μανίαν κακὸν εἶναι·
καλῶς ἂν ἐλέγετο· νῦν δὲ τὰ μέγιστα τῶν ἀγαθῶν ἡμῖν γίγνεται διὰ
μανίας· θείᾳ μέντοι δόσει διδομένης· ἥ τε γὰρ ἐν δελφοῖς
προφῆτις αἵ τ' ἐν δωδώνῃ ἱέρειαι μανεῖσαι μὲν πολλὰ δὴ καὶ κα
λὰ ἰδίᾳ τε καὶ δημοσίᾳ τὴν ἑλλάδα εἰργάσαντο· σωφρονοῦ

σαι δὲ βραχέα ἢ οὐδέν. καὶ ἐὰν δὴ λέγωμεν σίβυλλάν τε καὶ ἄλλους
ὅσοι μαντικῇ χρώμενοι ἐνθέῳ πολλὰ δὴ πολλοῖς προλέγοντες
εἰς τὸ μέλλον ὤρθωσαν. μηκύνοιμεν ἂν δῆλα παντὶ λέγοντες. τόδε μὴν
ἄξιον ἐπιμαρτύρασθαι ὅτι καὶ τῶν παλαιῶν οἱ τὰ ὀνόματα τιθέμε-
νοι οὐκ αἰσχρὸν ἡγοῦντο οὐδὲ ὄνειδος μανίαν. οὐ γὰρ ἂν τῇ καλλί-
στῃ τέχνῃ ᾗ τὸ μέλλον κρίνεται αὐτὸ τοῦτο τοὔνομα ἐμπλέκοντες
μανικὴν ἐκάλεσαν. ἀλλ᾽ ὡς καλοῦ ὄντος ὅταν θείᾳ μοίρᾳ γίγνηται
οὕτω νομίσαντες ἔθεντο. οἱ δὲ νῦν ἀπειροκάλως τὸ ταῦ ἐπεμβάλ-
λοντες μαντικὴν ἐκάλεσαν. ἐπεὶ καὶ τήν γε τῶν ἐμφρόνων ζήτησιν
τοῦ μέλλοντος διά τε ὀρνίθων ποιουμένων καὶ τῶν ἄλλων σημείων
ἅτ᾽ ἐκ διανοίας ποριζομένων ἀνθρωπίνῃ οἰήσει νοῦν τε καὶ ἱστο-
ρίαν οἰονοϊστικὴν ἐπωνόμασαν. ἣν νῦν οἰωνιστικὴν τῷ ω σεμνύνον-
τες οἱ νέοι καλοῦσιν. ὅσῳ δὴ οὖν τελεώτερον καὶ ἐντιμότερον μαντι-
κὴ οἰωνιστικῆς τό τε ὄνομα τοῦ ὀνόματος ἔργον τ᾽ ἔργου. τόσῳ
κάλλιον μαρτυροῦσιν οἱ παλαιοὶ μανίαν σωφροσύνης τὴν ἐκ θεοῦ
τῆς παρ᾽ ἀνθρώπων γιγνομένης: ἀλλὰ μὴν νόσων γε καὶ πόνων τῶν
μεγίστων ἃ δὴ παλαιῶν ἐκ μηνιμάτων ποθὲν ἔν τισι τῶν γενῶν ἡ μανία
ἐγγενομένη καὶ προφητεύσασα οἷς ἔδει ἀπαλλαγὴν ηὕρετο κατα-
φυγοῦσα πρὸς θεῶν εὐχάς τε καὶ λατρείας. ὅθεν καθαρμῶν τε καὶ
τελετῶν τυχοῦσα ἐξάντη ἐποίησε τὸν ἑαυτῆς ἔχοντα πρός τε τὸν
παρόντα καὶ τὸν ἔπειτα χρόνον λύσιν τῷ ὀρθῶς μανέντι τε καὶ κα-
τασχομένῳ τῶν παρόντων κακῶν εὑρομένη: τρίτη δὲ ἀπὸ
μουσῶν κατοκωχή τε καὶ μανία λαβοῦσα ἁπαλὴν καὶ ἄβατον ψυ-
χὴν ἐγείρουσα καὶ ἐκβακχεύουσα κατά τε ᾠδὰς καὶ κατὰ τὴν
ἄλλην ποίησιν μυρία τῶν παλαιῶν ἔργα κοσμοῦσα τοὺς ἐπιγι-
γνομένους παιδεύει. ὃς δ᾽ ἂν ἄνευ μανίας μουσῶν ἐπὶ ποιητικὰς
θύρας ἀφίκηται πεισθεὶς ὡς ἄρα ἐκ τέχνης ἱκανὸς ποιητὴς
ἐσόμενος ἀτελὴς αὐτός τε καὶ ἡ ποίησις ὑπὸ τῆς τῶν μαινομένων
ἡ τοῦ σωφρονοῦντος ἠφανίσθη. τοσαῦτα μέν σοι καὶ ἔτι πλείω ἔ-
χω μανίας γιγνομένης ἀπὸ θεῶν λέγειν καλὰ ἔργα. ὥστε τοῦτό
γε αὐτὸ μὴ φοβώμεθα μηδέ τις ἡμᾶς λόγος θορυβείτω δεδιττό-
μενος ὡς πρὸ τοῦ κεκινημένου τὸν σώφρονα δεῖ προαιρεῖσθαι
φίλον. ἀλλὰ τόδε πρὸς ἐκείνῳ δείξας φερέσθω τὰ νικητήρια
ὡς οὐκ ἐπ᾽ ὠφελείᾳ ὁ ἔρως τῷ ἐρῶντι καὶ τῷ ἐρωμένῳ ἐκ θεῶν

[illegible]· ἡμῖν δὲ ἀποδεικτέον αὖ τοὐναντίον ὡς ἐπ' εὐτυχίαι
τῆι μεγίστηι παρὰ θεῶν ἡ τοιαύτη μανία δίδοται· ἡ δὲ δὴ ἀπόδει
ξις ἔσται δεινοῖς μὲν ἄπιστος, σοφοῖς δὲ πιστή· δεῖ οὖν πρῶτον ψυ
χῆς φύσεως πέρι θείας τε καὶ ἀνθρωπίνης ἰδόντα πάθη τε καὶ
ἔργα τἀληθὲς νοῆσαι· ἀρχὴ δὲ ἀποδείξεως ἥδε· ψυχὴ πᾶσα
ἀθάνατος· τὸ γὰρ ἀεικίνητον ἀθάνατον· τὸ δ' ἄλλο κινοῦν καὶ ὑπ' ἄλ
λου κινούμενον, παῦλαν ἔχον κινήσεως, παῦλαν ἔχει ζωῆς· μό
νον δὴ τὸ αὐτὸ κινοῦν, ἅτε οὐκ ἀπολεῖπον ἑαυτό, οὔποτε λήγει κι
νούμενον, ἀλλὰ καὶ τοῖς ἄλλοις ὅσα κινεῖται τοῦτο πηγὴ καὶ ἀρχὴ
κινήσεως· ἀρχὴ δὲ ἀγένητον· ἐξ ἀρχῆς γὰρ ἀνάγκη πᾶν τὸ γι
γνόμενον γίγνεσθαι, αὐτὴν δὲ μηδ' ἐξ ἑνός· εἰ γὰρ ἔκ του ἀρχὴ
γίγνοιτο, οὐκ ἂν ἐξ ἀρχῆς γίγνοιτο· ἐπειδὴ δὲ ἀγένητόν ἐστιν,
καὶ ἀδιάφθορον αὐτὸ ἀνάγκη εἶναι· ἀρχῆς γὰρ δὴ ἀπολομένης
οὔτε αὐτή ποτε ἔκ του οὔτε ἄλλο ἐξ ἐκείνης γενήσεται, εἴπερ ἐξ ἀρ
χῆς δεῖ τὰ πάντα γίγνεσθαι· οὕτω δὴ κινήσεως μὲν ἀρχὴ τὸ αὐτὸ
αὑτὸ κινοῦν· τοῦτο δὲ οὔτ' ἀπόλλυσθαι οὔτε γίγνεσθαι δυνατόν·
ἢ πάντα τε οὐρανὸν πᾶσάν τε γένεσιν συμπεσοῦσαν στῆναι καὶ μή
ποτε αὖθις ἔχειν ὅθεν κινηθέντα γενήσεται· ἀθανάτου
πεφασμένου τοῦ ὑφ' ἑαυτοῦ κινουμένου, ψυχῆς οὐσίαν τε καὶ λόγον
τοῦτον αὐτόν τις λέγων οὐκ αἰσχυνεῖται· πᾶν γὰρ σῶμα, ὧι μὲν ἔ
ξωθεν τὸ κινεῖσθαι, ἄψυχον, ὧι δὲ ἔνδοθεν αὐτῶι ἐξ αὑτοῦ, ἔμψυ
χον, ὡς ταύτης οὔσης φύσεως ψυχῆς· εἰ δ' ἔστιν τοῦτο οὕτως ἔ
χον, μὴ ἄλλο τι εἶναι τὸ αὐτὸ ἑαυτὸ κινοῦν ἢ ψυχήν, ἐξ ἀνάγκης ἀγέ
νητόν τε καὶ ἀθάνατον ψυχὴ ἂν εἴη· περὶ μὲν οὖν ἀθανασίας αὐ
τῆς ἱκανῶς· περὶ δὲ τῆς ἰδέας αὐτῆς ὧδε λεκτέον· οἷον μέν ἐστι
πάντηι πάντως θείας εἶναι καὶ μακρᾶς διηγήσεως, ὧι δὲ ἔοικεν ἀν
θρωπίνης τε καὶ ἐλάττονος· ταύτηι οὖν λέγωμεν· ἐοικέτω δὴ
ξυμφύτωι δυνάμει ὑποπτέρου ζεύγους τε καὶ ἡνιόχου· θεῶν μὲν
οὖν ἵπποι τε καὶ ἡνίοχοι καὶ πάντες αὐτοὶ ἀγαθοὶ καὶ ἐξ ἀγα
θῶν· τὸ δὲ τῶν ἄλλων μέμεικται· καὶ πρῶτον μὲν ἡμῶν ὁ ἄρχων συ
νωρίδος ἡνιοχεῖ· εἶτα τῶν ἵππων ὁ μὲν αὐτῶι καλός τε καὶ ἀγαθὸς
καὶ ἐκ τοιούτων, ὁ δ' ἐξ ἐναντίων τε καὶ ἐναντίος· χαλεπὴ δὴ
καὶ δύσκολος ἐξ ἀνάγκης ἡ περὶ ἡμᾶς ἡνιόχησις· πῆι δὴ οὖν
θνητὸν καὶ ἀθάνατον ζῶιον ἐκλήθη, πειρατέον εἰπεῖν· πᾶσα

ἡ ψυχὴ πᾶσα παντὸς ἐπιμελεῖται τοῦ ἀψύχου· πάντα δὲ οὐρανὸν περι-
πολεῖ ἄλλοτ' ἐν ἄλλοις εἴδεσι γιγνομένη· τελέα μὲν οὖν οὖσα καὶ ἐπτερω-
μένη. μετεωροπορεῖ τε καὶ πάντα τὸν κόσμον διοικεῖ· ἡ δὲ πτερορ-
ρυήσασα φέρεται ἕως ἂν στερεοῦ τινος ἀντιλάβηται· οὗ κατοικισθεῖ-
σα σῶμα γήϊνον λαβοῦσα αὐτὸ αὑτὸ δοκοῦν κινεῖν διὰ τὴν ἐκείνης
δύναμιν· ζῷον τὸ σύμπαν ἐκλήθη ψυχὴ καὶ σῶμα παγέν· θνητόν
τ' ἔσχεν ἐπωνυμίαν· ἀθάνατον δὲ οὐδ' ἐξ ἑνὸς λόγου λελογισμένου
ἀλλὰ πλάττομεν οὔτε ἰδόντες οὔτε ἱκανῶς νοήσαντες· θεὸν ἀ-
θάνατόν τι ζῷον ἔχον μὲν ψυχὴν ἔχον δὲ σῶμα· τὸν ἀεὶ δὲ χρόνον
ταῦτα συμπεφυκότα· ἀλλὰ ταῦτα μὲν δὴ ὅπῃ τῷ θεῷ φίλον·
ταύτῃ ἐχέτω τε καὶ λεγέσθω· τὴν δὲ αἰτίαν τῆς τῶν πτερῶν ἀποβο-
λῆς δι' ἣν ψυχῆς ἀπορρεῖ λάβωμεν· ἔστι δέ τις τοιάδε· πέφυκεν ἡ πτε-
ροῦ δύναμις τὸ ἐμβριθὲς ἄγειν ἄνω μετεωρίζουσα ᾗ τὸ τῶν θεῶν
γένος οἰκεῖ· κεκοινώνηκε δέ πῃ μάλιστα τῶν περὶ τὸ σῶμα τοῦ θείου
ψυχή· τὸ δὲ θεῖον καλὸν σοφὸν ἀγαθὸν καὶ πᾶν ὅτι τοιοῦτον· τού-
τοις δὴ τρέφεταί τε καὶ αὔξεται μάλιστά γε τὸ τῆς ψυχῆς πτέρωμα·
αἰσχρῷ δὲ καὶ κακῷ καὶ τοῖς ἐναντίοις φθίνει τε καὶ διόλλυται·
ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεὺς ἐλαύνων πτηνὸν ἅρμα πρῶ-
τος πορεύεται διακοσμῶν πάντα καὶ ἐπιμελούμενος· τῷ δ' ἕπε-
ται στρατιὰ θεῶν τε καὶ δαιμόνων κατὰ ἕνδεκα μέρη κεκοσμημέ-
νη· μένει γὰρ ἑστία ἐν θεῶν οἴκῳ μόνη· τῶν δὲ ἄλλων ὅσοι ἐν τῷ τῶν
δώδεκα ἀριθμῷ τεταγμένοι θεοὶ ἄρχοντες ἡγοῦνται κατὰ τά-
ξιν ἣν ἕκαστος ἐτάχθη· πολλαὶ μὲν οὖν καὶ μακάριαι θέαι τε
καὶ διέξοδοι ἐντὸς οὐρανοῦ· ἃς θεῶν γένος εὐδαιμόνων ἐπι-
στρέφεται· πράττων ἕκαστος αὐτῶν τὸ αὑτοῦ· ἕπεται δὲ ὁ ἀεὶ
ἐθέλων τε καὶ δυνάμενος· φθόνος γὰρ ἔξω θείου χοροῦ ἵσταται·
ὅταν δὲ δὴ πρὸς δαῖτα καὶ ἐπὶ θοίνην ἴωσιν ἄκραν ἐπὶ τὴν
ὑπουράνιον ἁψῖδα πορεύονται πρὸς ἄναντες· ᾗ δὴ τὰ μὲν θεῶν
ὀχήματα ἰσορρόπως εὐήνια ὄντα ῥᾳδίως πορεύεται· τὰ δὲ
ἄλλα μόγις· βρίθει γὰρ ὁ τῆς κάκης ἵππος μετέχων ἐπὶ τὴν
γῆν ῥέπων τε καὶ βαρύνων ᾧ μὴ καλῶς ἦν τεθραμμένος τῶν
ἡνιόχων· ἔνθα δὴ πόνος τε καὶ ἀγὼν ἔσχατος ψυχῇ πρόκειται·
αἱ μὲν γὰρ ἀθάνατοι καλούμεναι ἡνίκ' ἂν πρὸς ἄκρῳ γένωνται·
ἔξω πορευθεῖσαι ἔστησαν ἐπὶ τῷ τοῦ οὐρανοῦ νώτῳ· ἱστάσας

δὲ αὐτὰς περιάγει ἡ περιφορά· αἱ δὲ θεωροῦσι τὰ ἔξω τοῦ
οὐρανοῦ· τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησέ πω τῶν τῇ
δε ποιητής· οὔτε ποτὲ ὑμνήσει κατ' ἀξίαν· ἔχει δὲ ὧδε· τολμητέ
ον γὰρ οὖν τό γε ἀληθὲς εἰπεῖν· ἄλλως τε καὶ περὶ ἀληθείας λέγοντα·
ἡ γὰρ ἀχρώματός τε καὶ ἀσχημάτιστος καὶ ἀναφὴς οὐσία ὄντως
ψυχῆ οὖσα κυβερνήτῃ μόνῳ θεατὴ νῷ· περὶ ἣν τὸ τῆς ἀληθοῦς
ἐπιστήμης γένος· τοῦτον ἔχει τὸν τόπον· ἅτ' οὖν θεοῦ διάνοια
νῷ τε καὶ ἐπιστήμῃ ἀκηράτῳ τρεφομένη καὶ ἁπάσης ψυχῆς
ὅσῃ ἂν μέλλῃ τὸ προσῆκον δέξεσθαι· ἰδοῦσα διὰ χρόνου τὸ ὂν
ἀγαπᾷ τε καὶ θεωροῦσα τἀληθῆ τρέφεται καὶ εὐπαθεῖ ἕως ἂν
κύκλῳ ἡ περιφορὰ εἰς ταὐτὸν περιενέγκῃ· ἐν δὲ τῇ περιόδῳ
καθορᾷ μὲν αὐτὴν δικαιοσύνην· καθορᾷ δὲ σωφροσύνην·
καθορᾷ δὲ ἐπιστήμην· οὐχ ᾗ γένεσις πρόσεστιν· οὐδ' ἥ ἐστί που
ἑτέρα ἐν ἑτέρῳ οὖσα ὧν ἡμεῖς νῦν ὄντων καλοῦμεν· ἀλλὰ τὴν
ἐν τῷ ὅ ἐστιν ὂν ὄντως ἐπιστήμην οὖσαν· καὶ τἆλλα ὡσαύτως
τὰ ὄντα ὄντως θεασαμένη καὶ ἑστιαθεῖσα δῦσα πάλιν εἰς τὸ εἴ
σω τοῦ οὐρανοῦ· οἴκαδε ἦλθεν· ἐλθούσης δὲ αὐτῆς ὁ ἡνίο
χος πρὸς τὴν φάτνην τοὺς ἵππους στήσας· παρέβαλεν ἀμβρο
σίαν τε καὶ ἐπ' αὐτῇ νέκταρ ἐπότισεν· καὶ οὗτος μὲν θεῶν βίος·
αἱ δὲ ἄλλαι ψυχαί· ἡ μὲν ἄριστα θεῷ ἑπομένη καὶ εἰκασμένη· ὑπερῆ
ρεν εἰς τὸν ἔξω τόπον τὴν τοῦ ἡνιόχου κεφαλὴν καὶ συμπεριη
νέχθη τὴν περιφορὰν θορυβουμένη ὑπὸ τῶν ἵππων καὶ μόγις
καθορῶσα τὰ ὄντα· ἡ δὲ τοτὲ μὲν ἦρεν· τοτὲ δ' ἔδυ· βιαζομένων
δὲ τῶν ἵππων· τὰ μὲν εἶδεν τὰ δ' οὔ· αἱ δὲ δὴ ἄλλαι γλιχόμεναι μὲν
ἅπασαι τοῦ ἄνω ἕπονται· ἀδυνατοῦσαι δέ· ὑποβρύχιαι συμπε
ριφέρονται πατοῦσαι ἀλλήλας καὶ ἐπιβάλλουσαι ἑτέρα πρὸ τῆς
ἑτέρας πειρωμένη γενέσθαι· θόρυβος οὖν καὶ ἅμιλλα καὶ ἱδρὼς
ἔσχατος γίγνεται· οὗ δὴ κακίᾳ ἡνιόχων πολλαὶ μὲν χωλεύον
ται· πολλαὶ δὲ πολλὰ πτερὰ θραύονται· πᾶσαι δὲ πολὺν ἔχου
σαι πόνον· ἀτελεῖς τῆς τοῦ ὄντος θέας ἀπέρχονται· καὶ ἀπελ
θοῦσαι τροφῇ δοξαστῇ χρῶνται· οὗ δ' ἕνεχ' ἡ πολλὴ σπουδὴ τὸ
ἀληθείας ἰδεῖν πεδίον οὗ ἐστιν· ἥ τε δὴ προσήκουσα ψυχῆς
τῷ ἀρίστῳ νομὴ ἐκ τοῦ ἐκεῖ λειμῶνος τυγχάνει οὖσα ἥ τε τοῦ
πτεροῦ φύσις ᾧ ψυχὴ κουφίζεται τούτῳ τρέφεται· θεσμός τε ἀδρα

δραστείας· ὅδε ἥτις ἂν ψυχὴ θεῷ ξυνοπαδὸς γενομένη κατίδῃ τι
τῶν ἀληθῶν μέχρι τε τῆς ἑτέρας περιόδου εἶναι ἀπήμονα, κἂν τοῦ
το δύνηται ποιεῖν ἀεὶ ἀβλαβῆ εἶναι· ὅταν δὲ ἀδυνατήσασα ἐ
πισπέσθαι μὴ ἴδῃ καί τινι συντυχίᾳ χρησαμένη λήθης τε καὶ κα
κίας πλησθεῖσα βαρυνθῇ· βαρυνθεῖσα δὲ πτερορρυήσῃ τε καὶ
ἐπὶ τὴν γῆν πέσῃ τότε νόμος ταύτην μὴ φυτεῦσαι εἰς μηδεμίαν
θηρείαν φύσιν ἐν τῇ πρώτῃ γενέσει· ἀλλὰ τὴν μὲν πλεῖστα ἰδοῦσαν
εἰς γονὴν ἀνδρὸς γενησομένου φιλοσόφου ἢ φιλοκάλου ἢ μουσι
κοῦ τινὸς καὶ ἐρωτικοῦ· τὴν δὲ δευτέραν εἰς βασιλέως ἐννόμου
ἢ πολεμικοῦ καὶ ἀρχικοῦ· τρίτην εἰς πολιτικοῦ ἤ τινος οἰκονο
μικοῦ ἢ χρηματιστικοῦ· τετάρτην εἰς φιλοπόνου γυμναστικοῦ ἢ
περὶ σώματος ἴασίν τινα ἐσομένου· πέμπτην μαντικὸν βίον ἤ τι
να τελεστικὸν ἕξουσαν· ἕκτῃ ποιητικὸς ἢ τῶν περὶ μίμησίν τις
ἄλλος ἁρμόσει· ἑβδόμῃ δημιουργικὸς ἢ γεωργικός· ὀγδόῃ
σοφιστικὸς ἢ δημοκοπικός· ἐνάτῃ τυραννικός· ἐν δὴ τούτοις
ἅπασιν ὃς μὲν ἂν δικαίως διαγάγῃ ἀμείνονος μοίρας μεταλαμ
βάνει· ὃς δ' ἂν ἀδίκως χείρονος· εἰς μὲν γὰρ τὸ αὐτὸ ὅθεν ἥκει ἡ
ψυχὴ ἑκάστη οὐκ ἀφικνεῖται ἐτῶν μυρίων· οὐ γὰρ πτεροῦται πρὸ
τοσούτου χρόνου· πλὴν ἡ τοῦ φιλοσοφήσαντος ἀδόλως ἢ παι
δεραστήσαντος μετὰ φιλοσοφίας· αὗται δὲ τρίτῃ περιόδῳ τῇ
χιλιετεῖ ἐὰν ἕλωνται τρὶς ἐφεξῆς τὸν βίον τοῦτον οὕτω πτερωθεῖ
σαι τρισχιλιοστῷ ἔτει ἀπέρχονται· αἱ δὲ ἄλλαι ὅταν τὸν πρῶτον βί
ον τελευτήσωσιν κρίσεως ἔτυχον· κριθεῖσαι δὲ αἱ μὲν εἰς τὰ ὑπὸ
γῆς δικαιωτήρια ἐλθοῦσαι δίκην ἐκτίνουσιν· αἱ δ' εἰς τοὐρανοῦ
τινα τόπον ὑπὸ τῆς δίκης κουφισθεῖσαι διάγουσιν ἀξίως οὗ
ἐν ἀνθρώπου εἴδει ἐβίωσαν βίου· τῷ δὲ χιλιοστῷ ἀμφότεραι ἀφι
κνούμεναι ἐπὶ κλήρωσίν τε καὶ αἵρεσιν τοῦ δευτέρου βίου αἱροῦνται
ὃν ἂν θέλῃ ἑκάστη· ἔνθα καὶ εἰς θηρίου βίον ἀνθρωπίνη ψυχὴ ἀφι
κνεῖται καὶ ἐκ θηρίου ὅς ποτε ἄνθρωπος ἦν· πάλιν εἰς ἄνθρω
πον· οὐ γὰρ ἥ γε μήποτε ἰδοῦσα τὴν ἀλήθειαν εἰς τόδε ἥξει τὸ σχῆ
μα· δεῖ γὰρ ἄνθρωπον ξυνιέναι κατ' εἶδος λεγόμενον ἐκ πολλῶν
ἰὸν αἰσθήσεων εἰς ἓν λογισμῷ ξυναιρούμενον· τοῦτο δ' ἐστὶν ἀνά
μνησις ἐκείνων ἅ ποτ' εἶδεν ἡμῶν ἡ ψυχὴ συμπορευθεῖσα θεῷ
καὶ ὑπεριδοῦσα ἃ νῦν εἶναί φαμεν καὶ ἀνακύψασα εἰς τὸ ὂν ὄντως·

διὸ δὴ δικαίως μόνη πτεροῦται ἡ τοῦ φιλοσόφου διάνοια· πρὸς
γὰρ ἐκείνοις ἀεί ἐστιν μνήμῃ κατὰ δύναμιν πρὸς οἷσπερ θεὸς
ὢν θεῖός ἐστιν· τοῖς δὲ δὴ τοιούτοις ἀνὴρ ὑπομνήμασιν ὀρθῶς
χρώμενος τελέους ἀεὶ τελετὰς τελούμενος· τέλεος ὄντως
μόνος γίγνεται· ἐξιστάμενος δὲ τῶν ἀνθρωπίνων σπουδα
σμάτων καὶ πρὸς τῷ θείῳ γιγνόμενος· νουθετεῖται μὲν ὑπὸ
τῶν πολλῶν ὡς παρακινῶν· ἐνθουσιάζων δὲ λέληθεν τοὺς πολ
λούς· ἔστιν δὴ οὖν δεῦρο ὁ πᾶς ἥκων λόγος περὶ τῆς τετάρτης μα
νίας ἣν ὅταν τὸ τῇδέ τις ὁρῶν κάλλος τοῦ ἀληθοῦς ἀναμιμνησκό
μενος πτερῶταί τε καὶ ἀναπτερούμενος προθυμούμενος ἀναπ
τέσθαι· ἀδυνατῶν δὲ ὄρνιθος δίκην βλέπων ἄνω, τῶν κάτω δὲ
ἀμελῶν, αἰτίαν ἔχει ὡς μανικῶς διακείμενος· ὡς ἄρα αὕτη πα
σῶν τῶν ἐνθουσιάσεων ἀρίστη τε καὶ ἐξ ἀρίστων τῷ τε ἔχοντι καὶ
τῷ κοινωνοῦντι αὐτῆς γίγνεται· καὶ ὅτι ταύτης μετέχων τῆς
μανίας ὁ ἐρῶν τῶν καλῶν ἐραστὴς καλεῖται· καθάπερ γὰρ εἴρηται
πᾶσα μὲν ἀνθρώπου ψυχὴ φύσει τεθέαται τὰ ὄντα· ἢ οὐκ ἂν ἦλθεν
εἰς τόδε τὸ ζῷον· ἀναμιμνήσκεσθαι δὲ ἐκ τῶνδε ἐκεῖνα οὐ ῥᾴδι
ον ἁπάσῃ· οὔτε ὅσαι βραχέως εἶδον τότε τἀκεῖ· οὔθ' αἳ δεῦρο πε
σοῦσαι ἐδυστύχησαν ὥστε ὑπό τινων ὁμιλιῶν ἐπὶ τὸ ἄδικον τρα
πόμεναι λήθην ὧν τότε εἶδον ἱερῶν ἔχειν· ὀλίγαι δὴ λείπονται·
αἷς τὸ τῆς μνήμης ἱκανῶς πάρεστιν· αὗται δὲ ὅταν τι τῶν ἐκεῖ
ὁμοίωμα ἴδωσιν ἐκπλήττονται καὶ οὐκέτ' αὐτῶν γίγνονται· ὃ
δ' ἐστὶ τὸ πάθος ἀγνοοῦσι διὰ τὸ μὴ ἱκανῶς διαισθάνεσθαι· δι
καιοσύνης μὲν οὖν καὶ σωφροσύνης καὶ ὅσα ἄλλα τίμια ψυχαῖς
οὐκ ἔνεστι φέγγος οὐδὲν ἐν τοῖς τῇδε ὁμοιώμασιν· ἀλλὰ δι' ἀμυδρῶν
ὀργάνων μόγις αὐτῶν καὶ ὀλίγοι ἐπὶ τὰς εἰκόνας ἰόντες· θεῶν
ται τὸ τοῦ εἰκασθέντος γένος· κάλλος δὲ τότ' ἦν ἰδεῖν λαμπρόν·
ὅτε σὺν εὐδαίμονι χορῷ μακαρίαν ὄψιν τε καὶ θέαν ἑπόμενοι
μετὰ μὲν Διὸς ἡμεῖς· ἄλλοι δὲ μετ' ἄλλου θεῶν εἶδόν τε καὶ ἐτελοῦντο
τῶν τελετῶν ἣν θέμις λέγειν μακαριωτάτην ἣν ὠργιάζομεν· ὁ
λόκληροι μὲν αὐτοὶ ὄντες καὶ ἀπαθεῖς κακῶν ὅσα ἡμᾶς ἐν ὑ
στέρῳ χρόνῳ ὑπέμενεν· ὁλόκληρα δὲ καὶ ἁπλᾶ καὶ ἀτρεμῆ καὶ
εὐδαίμονα φάσματα μυούμενοί τε καὶ ἐποπτεύοντες ἐν αὐγῇ
καθαρᾷ καθαροὶ ὄντες καὶ ἀσήμαντοι τούτου· ὃ νῦν σῶμα

περιφέροντες ὀνομάζομεν ὀστρέου τρόπον δεδεσμευμένοι·
ταῦτα μὲν οὖν μνήμῃ κεχαρίσθω δι' ἣν πόθῳ τῶν τότε νῦν μακρό-
τερα εἴρηται· περὶ δὲ κάλλους ὥσπερ εἴπομεν μετ' ἐκείνων τε ἔ-
λαμπεν ὄν, δεῦρό τ' ἐλθόντες κατειλήφαμεν αὐτὸ διὰ τῆς ἐναργε-
στάτης αἰσθήσεως τῶν ἡμετέρων στίλβον ἐναργέστατα· ὄψις γὰρ
ἡμῖν ὀξυτάτη τῶν διὰ τοῦ σώματος ἔρχεται αἰσθήσεων, ᾗ φρό-
νησις οὐχ ὁρᾶται· δεινοὺς γὰρ ἂν παρεῖχεν ἔρωτας εἴ τι τοιοῦ-
τον ἑαυτῆς ἐναργὲς εἴδωλον παρείχετο εἰς ὄψιν ἰόν· καὶ τἆλλα
ὅσα ἐραστά· νῦν δὲ κάλλος μόνον ταύτην ἔσχε μοῖραν, ὥστ' ἐκ-
φανέστατον εἶναι καὶ ἐρασμιώτατον· ὁ μὲν οὖν μὴ νεοτελὴς ἢ δι-
εφθαρμένος οὐκ ὀξέως ἐνθένδε ἐκεῖσε φέρεται πρὸς αὐτὸ
τὸ κάλλος, θεώμενος αὐτοῦ τὴν τῇδε ἐπωνυμίαν· ὥστ' οὐ σέβεται
προσορῶν, ἀλλ' ἡδονῇ παραδοὺς τετράποδος νόμον βαίνειν ἐπι-
χειρεῖ καὶ παιδοσπορεῖν· καὶ ὕβρει προσομιλῶν οὐ δέδοικεν
οὐδ' αἰσχύνεται παρὰ φύσιν ἡδονὴν διώκων· ὁ δὲ ἀρτιτελής
ὁ τῶν τότε πολυθεάμων, ὅταν θεοειδὲς πρόσωπον ἴδῃ κάλλος
εὖ μεμιμημένον ἤ τινα σώματος ἰδέαν, πρῶτον μὲν ἔφριξε καί
τι τῶν τότε ὑπῆλθεν αὐτὸν δειμάτων· εἶτα προσορῶν ὡς θεὸν
σέβεται, καὶ εἰ μὴ ἐδεδίει τὴν τῆς σφόδρα μανίας δόξαν, θύοι
ἂν ὡς ἀγάλματι καὶ θεῷ τοῖς παιδικοῖς· ἰδόντα δ' αὐτὸν οἷον
ἐκ τῆς φρίκης μεταβολή τε καὶ ἱδρὼς καὶ θερμότης ἀήθης
λαμβάνει· δεξάμενος γὰρ τοῦ κάλλους τὴν ἀπορροὴν διὰ τῶν
ὀμμάτων ἐθερμάνθη ᾗ ἡ τοῦ πτεροῦ φύσις ἄρδεται· θερμανθέν-
τος δὲ ἐτάκη τὰ περὶ τὴν ἔκφυσιν, ἃ πάλαι ὑπὸ σκληρότητος
συμμεμυκότα εἶργε μὴ βλαστάνειν· ἐπιρρυείσης δὲ τῆς τροφῆς
ᾤδησέ τε καὶ ὥρμησε φύεσθαι ἀπὸ τῆς ῥίζης ὁ τοῦ πτεροῦ καυ-
λὸς ὑπὸ πᾶν τὸ τῆς ψυχῆς εἶδος· πᾶσα γὰρ ἦν τὸ πάλαι πτε-
ρωτή· ζεῖ οὖν ἐν τούτῳ ὅλη καὶ ἀνακηκίει· καὶ ὅπερ τὸ τῶν ὀδον-
τοφυούντων πάθος περὶ τοὺς ὀδόντας γίγνεται ὅταν ἄρτι φύ-
ωσι, κνῆσίς τε καὶ ἀγανάκτησις περὶ τὰ οὖλα· ταὐτὸν δὴ πέ-
πονθεν ἡ τοῦ πτεροφυεῖν ἀρχομένου ψυχή· ζεῖ τε καὶ ἀγανακτεῖ
καὶ γαργαλίζεται φύουσα τὰ πτερά· ὅταν μὲν οὖν βλέπουσα πρὸς
τὸ τοῦ παιδὸς κάλλος, ἐκεῖθεν μέρη ἐπιόντα καὶ ῥέοντα, ἃ δὴ διὰ
ταῦτα ἵμερος καλεῖται, δεχομένη τὸν ἵμερον ἄρδηταί τε καὶ θερ-

μαίνηται· λωφᾷ τε τῆς ὀδύνης καὶ γέγηθεν· ὅταν δὲ χωρὶς γέ-
νηται καὶ αὐχμήσῃ, τὰ τῶν διεξόδων στόματα ᾗ τὸ πτερὸν ὁρμᾷ,
συναυαινόμενα μύσαντα ἀποκλείει τὴν βλάστην τοῦ πτεροῦ· ἡ δ' ἐν-
τὸς μετὰ τοῦ ἱμέρου ἀποκεκλειμένη πηδῶσα οἷον τὰ σφύζοντα,
τῇ διεξόδῳ ἐγχρίει ἑκάστη τῇ καθ' αὑτήν· ὥστε πᾶσα κεντου-
μένη κύκλῳ ἡ ψυχὴ οἰστρᾷ καὶ ὀδυνᾶται· μνήμην δ' αὖ ἔχουσα τοῦ
καλοῦ γέγηθεν· ἐκ δὲ ἀμφοτέρων μεμιγμένων ἀδημονεῖ τε τῇ
ἀτοπίᾳ τοῦ πάθους καὶ ἀποροῦσα λυττᾷ καὶ ἐμμανὴς οὖσα
οὔτε νυκτὸς δύναται καθεύδειν οὔτε μεθ' ἡμέραν οὗ ἂν ᾖ μένειν·
θεῖ δὲ ποθοῦσα ὅπου ἂν οἴηται ὄψεσθαι τὸν ἔχοντα τὸ κάλλος·
ἰδοῦσα δὲ καὶ ἐποχετευσαμένη ἵμερον ἔλυσε μὲν τὰ τότε συμπε-
φραγμένα· ἀναπνοὴν δὲ λαβοῦσα κέντρων τε καὶ ὠδίνων ἔλη-
ξεν· ἡδονὴν δ' αὖ ταύτην γλυκυτάτην ἐν τῷ παρόντι καρποῦται·
ὅθεν δὴ ἑκοῦσα εἶναι οὐκ ἀπολείπεται· οὐδέ τινα τοῦ καλοῦ περὶ
πλείονος ποιεῖται· ἀλλὰ μητέρων τε καὶ ἀδελφῶν καὶ ἑταίρων
πάντων λέλησται· καὶ οὐσίας δι' ἀμέλειαν ἀπολλυμένης παρ' οὐ-
δὲν τίθεται· νομίμων δὲ καὶ εὐσχημόνων οἷς πρὸ τοῦ ἐκαλλωπί-
ζετο πάντων καταφρονήσασα δουλεύειν ἑτοίμη καὶ κοιμᾶσθαι
ὅπου ἂν ἐᾷ τις ἐγγυτάτω τοῦ πόθου· πρὸς γὰρ τῷ σέβε-
σθαι τὸν τὸ κάλλος ἔχοντα ἰατρὸν ηὕρηκε μόνον τῶν μεγίστων πό-
νων· τοῦτο δὲ τὸ πάθος ὦ παῖ καλέ, πρὸς ὃν δή μοι ὁ λόγος·
ἄνθρωποι μὲν ἔρωτα ὀνομάζουσιν· θεοὶ δὲ ὃ καλοῦσιν ἀκούσας
εἰκότως διὰ νεότητα γελάσῃ· λέγουσι δὲ οἶμαί τινες ὁμηρι-
δῶν ἐκ τῶν ἀποθέτων ἐπῶν δύο ἔπη εἰς τὸν ἔρωτα· ὧν τὸ ἕτερον
ὑβριστικὸν πάνυ καὶ οὐ σφόδρα τι ἔμμετρον· ὑμνοῦσι δὲ ὧδε·
τὸν δ' ἤτοι θνητοὶ μὲν ἔρωτα καλοῦσι ποτηνόν· ἀθάνατοι δὲ
πτέρωτα διὰ πτεροφύτορ' ἀνάγκην· τούτοις δὴ ἔξεστι μὲν πεί-
θεσθαι· ἔξεστι δὲ μή· ὅμως δὲ ἥ γε αἰτία καὶ τὸ πάθος τῶν ἐρών-
των τοῦτο ἐκεῖνο τυγχάνει ὄν· τῶν μὲν οὖν διὸς ὀπαδῶν ὁ λη-
φθεὶς ἐμβριθέστερον δύναται φέρειν τὸ τοῦ πτερωνύμου ἄχθος·
ὅσοι δὲ ἄρεώς τε θεραπευταὶ καὶ μετ' ἐκείνου περιεπόλουν· ὅταν
ὑπ' ἔρωτος ἁλῶσι καί τι οἰηθῶσιν ἀδικεῖσθαι ὑπὸ τοῦ ἐρωμέ-
νου φονικοὶ καὶ ἕτοιμοι καθιερεύειν αὑτούς τε καὶ τὰ παιδικά· καὶ
οὕτω καθ' ἕκαστον θεὸν οὗ ἕκαστος ἦν χορευτὴς ἐκεῖνον τιμῶν τε

καὶ μιμούμενος εἰς τὸ δυνατὸν ζῆν ἕως ἂν ἢ ἀδιάφθορος καὶ τὴν
τῇδε πρώτην γένεσιν βιοτεύῃ καὶ τούτῳ τῷ τρόπῳ πρός τε τοὺς
ἐρωμένους καὶ τοὺς ἄλλους ὁμιλεῖ τε καὶ προσφέρεται· τόν τε οὖν
ἔρωτα τῶν καλῶν πρὸς τρόπου ἐκλέγεται ἕκαστος καὶ ὡς θεὸν αὐ-
τὸν ἐκεῖνον ὄντα ἑαυτῷ οἷον ἄγαλμα τεκταίνεταί τε καὶ κατακοσμεῖ
ὡς τιμήσων τε καὶ ὀργιάσων· οἱ μὲν δὴ οὖν διὸς δῖόν τινα εἶναι ζη-
τοῦσι τὴν ψυχὴν τὸν ὑφ' αὑτῶν ἐρώμενον· σκοποῦσιν οὖν εἰ φιλό-
σοφός τε καὶ ἡγεμονικὸς τὴν φύσιν· καὶ ὅταν αὐτὸν εὑρόντες ἐρα-
σθῶσι· πᾶν ποιοῦσιν ὅπως τοιοῦτος ἔσται· ἐὰν οὖν μὴ πρότερον
ἐμβεβῶσι τῷ ἐπιτηδεύματι· [illegible] χειρήσαντες μανθάνουσί
τε ὅθεν ἄν τι δύνωνται· καὶ αὐτοὶ [illegible]χονται· ἰχνεύοντες δὲ παρ' ἑαυ-
τῶν ἀνευρίσκειν τὴν τοῦ σφετέρου θεοῦ φύσιν· εὐποροῦσι διὰ τὸ
συντόνως ἠναγκάσθαι πρὸς τὸν θεὸν βλέπειν· καὶ ἐφαπτόμενοι
αὐτοῦ τῇ μνήμῃ ἐνθουσιῶντες· ἐξ ἐκείνου λαμβάνουσι τὰ ἔθη
καὶ τὰ ἐπιτηδεύματα καθόσον δυνατὸν θεοῦ ἀνθρώπῳ μετασχεῖν·
καὶ τούτων δὴ τὸν ἐρώμενον αἰτιώμενοι· ἔτι τε μᾶλλον ἀγαπῶσι κἂν
ἐκ διὸς ἀρύτωσιν ὥσπερ αἱ βάκχαι ἐπὶ τὴν τοῦ ἐρωμένου ψυχὴν
ἐπαντλοῦντες ποιοῦσιν ὡς δυνατὸν ὁμοιότατον τῷ σφετέρῳ
θεῷ· ὅσοι δ' αὖ μεθ' ἥρας εἵποντο βασιλικὸν ζητοῦσι καὶ εὑ-
ρόντες περὶ τοῦτον πάντα δρῶσι τὰ αὐτά· οἱ δὲ ἀπόλλωνός τε
καὶ ἑκάστου τῶν θεῶν· οὕτω κατὰ τὸν θεὸν ἰόντες ζητοῦσι τὸν σφέ-
τερον παῖδα πεφυκέναι· καὶ ὅταν κτήσωνται μιμούμενοι αὐτοί
τε καὶ τὰ παιδικὰ πείθοντες καὶ ῥυθμίζοντες εἰς τὸ ἐκείνου ἐπι-
τήδευμα καὶ ἰδέαν ἄγουσιν ὅσῃ ἑκάστῳ δύναμις· οὐ φθόνῳ
οὐδ' ἀνελευθέρῳ δυσμενείᾳ χρώμενοι πρὸς τὰ παιδικά· ἀλλ' εἰς
ὁμοιότητα αὐτοῖς καὶ τῷ θεῷ ὃν ἂν τιμῶσι πᾶσαν πάντως ὅτι
μάλιστα πειρώμενοι ἄγειν· οὕτω ποιοῦσι· προθυμία μὲν οὖν τῶν
ὡς ἀληθῶς ἐρώντων καὶ τελευτή· ἐάν γε διαπράξωνται ὃ προ-
θυμοῦνται ᾗ λέγω· οὕτω καλή τε καὶ εὐδαιμονικὴ ὑπὸ τοῦ δι' ἔ-
ρωτα μανέντος φίλου τῷ φιληθέντι γίγνεται· ἐὰν αἱρεθῇ· ἁλί-
σκεται δὲ δὴ ὁ αἱρεθεὶς τοιῷδε τρόπῳ· καθάπερ ἐν ἀρχῇ τοῦδε
τοῦ μύθου τριχῇ διείλομεν ψυχὴν ἑκάστην· ἱππομόρφω μὲν δύο
τινὲ εἴδη· ἡνιοχικὸν δὲ εἶδος τρίτον· καὶ νῦν ἔτι ἡμῖν ταῦτα μενέ-
τω· τῶν δὲ δὴ ἵππων ὁ μέν φαμεν ἀγαθὸς ὁ δ' οὔ· ἀρετὴ δὲ τίς τοῦ

γαθοῦ ἢ κακοῦ κακία, οὐ διείπομεν, νῦν δὲ λεκτέον· ὁ μὲν τοί-
νυν αὐτοῖν ἐν τῇ καλλίονι στάσει ὢν τό τε εἶδος ὀρθὸς καὶ διηρθρω-
μένος, ὑψαύχην, ἐπίγρυπος, λευκὸς ἰδεῖν, μελανόμματος, τι-
μῆς ἐραστὴς μετὰ σωφροσύνης τε καὶ αἰδοῦς, καὶ ἀληθινῆς δό-
ξης ἑταῖρος, ἄπληκτος, κελεύσματι μόνον καὶ λόγῳ ἡνιοχεῖ-
ται· ὁ δ' αὖ σκολιὸς, πολὺς, εἰκῇ συμπεφορημένος, κρατεραύ-
χην, βραχυτράχηλος, σιμοπρόσωπος, μελάγχρως, γλαυκόμ-
ματος, ὕφαιμος, ὕβρεως καὶ ἀλαζονείας ἑταῖρος, περὶ ὦτα
λάσιος, κωφὸς, μάστιγι μετὰ κέντρων μόγις ὑπείκων· ὅταν δ' οὖν
ὁ ἡνίοχος ἰδὼν τὸ ἐρωτικὸν ὄμμα, πᾶσαν αἰσθήσει διαθερμή-
νας τὴν ψυχὴν, γαργαλισμοῦ τε καὶ πόθου κέντρων ὑποπλη-
σθῇ, ὁ μὲν εὐπειθὴς τῷ ἡνιόχῳ τῶν ἵππων, ἀεί τε καὶ τότε
αἰδοῖ βιαζόμενος, ἑαυτὸν κατέχει μὴ ἐπιπηδᾶν τῷ ἐρωμέ-
νῳ· ὁ δὲ οὔτε κέντρων ἡνιοχικῶν οὔτε μάστιγος ἔτι ἐντρέπε-
ται, σκιρτῶν δὲ βίᾳ φέρεται, καὶ πάντα πράγματα παρέχων
τῷ σύζυγί τε καὶ ἡνιόχῳ, ἀναγκάζει ἰέναι τε πρὸς τὰ παιδικὰ
καὶ μνείαν ποιεῖσθαι τῆς τῶν ἀφροδισίων χάριτος· τὼ δὲ κα-
τ' ἀρχὰς μὲν ἀντιτείνετον ἀγανακτοῦντε, ὡς δεινὰ καὶ παράνο-
μα ἀναγκαζομένω· τελευτῶντε δὲ, ὅταν μηδὲν ᾖ πέρας κα-
κοῦ, πορεύεσθον ἀγομένω, εἴξαντε καὶ ὁμολογήσαντε ποιή-
σειν τὸ κελευόμενον· καὶ πρὸς αὐτῷ τ' ἐγένοντο· καὶ εἶδον τὴν
ὄψιν τὴν τῶν παιδικῶν ἀστράπτουσαν· ἰδόντος δὲ τοῦ ἡνιόχου
ἡ μνήμη πρὸς τὴν τοῦ κάλλους φύσιν ἠνέχθη· καὶ πάλιν εἶδεν
αὐτὴν μετὰ σωφροσύνης ἐν ἁγνῷ βάθρῳ βεβῶσαν· ἰδοῦσα
δὲ ἔδεισέ τε καὶ σεφθεῖσα ἀνέπεσεν ὑπτία· καὶ ἅμα ἠναγκά-
σθη εἰς τοὐπίσω ἑλκύσαι τὰς ἡνίας οὕτω σφόδρα, ὥστ' ἐπὶ
τὰ ἰσχία ἄμφω καθίσαι τὼ ἵππω, τὸν μὲν ἑκόντα διὰ τὸ μὴ
ἀντιτείνειν, τὸν δὲ ὑβριστὴν μάλ' ἄκοντα· ἀπελθόντε δὲ ἀπω-
τέρω, ὁ μὲν ὑπ' αἰσχύνης τε καὶ θάμβους ἱδρῶτι πᾶσαν ἔβρε-
ξε τὴν ψυχήν· ὁ δὲ λήξας τῆς ὀδύνης ἣν ὑπὸ τοῦ χαλινοῦ τε
ἔσχεν καὶ τοῦ πτώματος, μόγις ἐξαναπνεύσας, ἐλοιδόρη-
σεν ὀργῇ, πολλὰ κακίζων τόν τε ἡνίοχον καὶ τὸν ὁμόζυγα,
ὡς δειλίᾳ τε καὶ ἀνανδρίᾳ λιπόντε τὴν τάξιν καὶ ὁμολογί-
αν· καὶ πάλιν οὐκ ἐθέλοντας προσιέναι ἀναγκάζων μόγις·

συνεχώρησεν δεομένων εἰσαῦθις ὑπερβαλέσθαι. ἐλθόντος δὲ
τοῦ συντεθέντος χρόνου οὗ ἀμνημονεῖν προσποιουμένω ἀνα-
μιμνήσκων, βιαζόμενος, χρεμετίζων, ἕλκων ἠνάγκασεν αὖ προσελ-
θεῖν τοῖς παιδικοῖς ἐπὶ τοὺς αὐτοὺς λόγους· καὶ ἐπειδὴ ἐγγὺς
ἦσαν, ἐγκύψας καὶ ἐκτείνας τὴν κέρκον, ἐνδακὼν τὸν χαλινὸν, μετ᾽ ἀ-
ναιδείας ἕλκει. ὁ δ᾽ ἡνίοχος ἔτι μᾶλλον ταὐτὸν πάθος παθὼν
ὥσπερ ἀπὸ ὕσπληγος ἀναπεσὼν ἔτι μᾶλλον τοῦ ὑβριστοῦ ἵππου
ἐκ τῶν ὀδόντων βίαι ὀπίσω σπάσας τὸν χαλινὸν, τήν τε κακη-
γόρον γλῶτταν καὶ τὰς γνάθους καθῄμαξεν καὶ τὰ σκέλη τε
καὶ τὰ ἰσχία πρὸς τὴν γῆν ἐρείσας ὀδύναις ἔδωκεν. ὅταν δὲ
ταὐτὸν πολλάκις πάσχων ὁ πονηρὸς τῆς ὕβρεως λήξηι, τα-
πεινωθεὶς ἕπεται ἤδη τῆι τοῦ ἡνιόχου προνοίαι· καὶ ὅταν ἴδηι
τὸν καλὸν φόβωι διόλλυται· ὥστε ξυμβαίνει τότ᾽ ἤδη τὴν τοῦ ἐρα-
στοῦ ψυχὴν τοῖς παιδικοῖς αἰδουμένην καὶ δεδιυῖαν ἕπεσθαι. ἅτε
οὖν πᾶσαν θεραπείαν ὡς ἰσόθεος θεραπευόμενος οὐχ ὑπὸ σχηματιζο-
μένου τοῦ ἐρῶντος ἀλλ᾽ ἀληθῶς τοῦτο πεπονθότος, καὶ αὐ-
τὸς ὢν φύσει φίλος τῶι θεραπεύοντι, ἐὰν ἄρα καὶ ἐν τῶι πρόσθεν
ὑπὸ ξυμφοιτητῶν ἤ τινων ἄλλων διαβεβλημένος ἦι, λεγόντων
ὡς αἰσχρὸν ἐρῶντι πλησιάζειν, καὶ διὰ τοῦτο ἀπωθῆι τὸν ἐρῶ-
ντα, προϊόντος δὲ ἤδη τοῦ χρόνου ἥ τε ἡλικία καὶ τὸ χρεὼν ἤγα-
γεν εἰς τὸ προσέσθαι αὐτὸν εἰς ὁμιλίαν· οὐ γὰρ δήποτε εἵμαρται κα-
κὸν κακῶι φίλον οὐδ᾽ ἀγαθὸν μὴ φίλον ἀγαθῶι εἶναι. προσεμέ-
νου δὲ καὶ λόγον καὶ ὁμιλίαν δεξαμένου ἐγγύθεν ἡ εὔνοια γιγνο-
μένη τοῦ ἐρῶντος ἐκπλήττει τὸν ἐρώμενον διαισθανόμενον ὅτι
οὐδ᾽ οἱ ξύμπαντες ἄλλοι φίλοι τε καὶ οἰκεῖοι μοῖραν φιλίας οὐδε-
μίαν παρέχονται πρὸς τὸν ἔνθεον φίλον. ὅταν δὲ χρονίζηι τοῦτο
δρῶν καὶ πλησιάζηι μετὰ τοῦ ἅπτεσθαι ἔν τε γυμνασίοις καὶ ἐν
ταῖς ἄλλαις ὁμιλίαις, τότ᾽ ἤδη ἡ τοῦ ῥεύματος ἐκείνου πηγὴ
ὃν ἵμερον Ζεὺς Γανυμήδους ἐρῶν ὠνόμασε, πολλὴ φερομένη
πρὸς τὸν ἐραστὴν, ἡ μὲν εἰς αὐτὸν ἔδυ, ἡ δ᾽ ἀπομεστουμένου ἔξω
ἀπορρεῖ· καὶ οἷον πνεῦμα ἤ τις ἠχὼ ἀπὸ λείων τε καὶ στερεῶν ἀλ-
λομένη πάλιν ὅθεν ὡρμήθη φέρεται, οὕτω τὸ τοῦ κάλλους ῥεῦμα
πάλιν εἰς τὸν καλὸν διὰ τῶν ὀμμάτων ἰὸν, ἧι πέφυκεν ἐπὶ τὴν ψυχὴν
ἰέναι ἀφικόμενον καὶ ἀναπτερῶσαν τὰς διόδους τῶν πτερῶν,

ἄρδει τε καὶ ὥρμησε πτεροφυεῖν τε καὶ τὴν τοῦ ἐρωμένου αὖ ψυ-
χὴν ἔρωτος ἐνέπλησεν. ἐρᾷ μὲν οὖν ὅτου δὲ ἀπορεῖ· καὶ οὔθ' ὅ-
τι πέπονθεν οἶδεν οὐδ' ἔχει φράσαι· ἀλλ' οἷον ἀπ' ἄλλου ὀφθαλμί-
ας ἀπολελαυκὼς πρόφασιν εἰπεῖν οὐκ ἔχει· ὥσπερ δ' ἐν κατό-
πτρῳ ἐν τῷ ἐρῶντι ἑαυτὸν ὁρῶν λέληθεν· καὶ ὅταν μὲν ἐκεῖνος
παρῇ, λήγει κατὰ ταὐτὰ ἐκείνῳ τῆς ὀδύνης· ὅταν δὲ ἀπῇ,
κατὰ ταὐτὰ αὖ ποθεῖ καὶ ποθεῖται, εἴδωλον ἔρωτος ἀντέρωτα
ἔχων· καλεῖ δὲ αὐτὸν καὶ οἴεται οὐκ ἔρωτα ἀλλὰ φιλίαν εἶναι· ἐπι-
θυμεῖ δὲ ἐκείνῳ παραπλη[σίως] μὲν ἀσθενεστέρως δέ, ὁρᾶν, ἅ-
πτεσθαι, φιλεῖν, συγκατακεῖ[σθαι]· καὶ δὴ οἷον εἰκὸς ποιεῖ τὸ μετὰ
τοῦτο ταχὺ ταῦτα. ἐν οὖν τῇ [συγκοι]μήσει τοῦ μὲν ἐραστοῦ ὁ ἀκό-
λαστος ἵππος ἔχει ὅτι λέγει πρὸς τὸν ἡνίοχον καὶ ἀξιοῖ ἀντὶ πολ-
λῶν πόνων σμικρὰ ἀπολαῦσαι· ὁ δὲ τῶν παιδικῶν ἔχει μὲν οὐδὲν
εἰπεῖν, σπαργῶν δὲ καὶ ἀπορῶν περιβάλλει τὸν ἐραστὴν καὶ φιλεῖ,
ὡς σφόδρ' εὔνουν ἀσπαζόμενος· ὅταν τε συγκατακέωνται, οἷός
ἐστι μὴ ἀπαρνηθῆναι τὸ αὑτοῦ μέρος χαρίσασθαι τῷ ἐρῶντι
εἰ δεηθείη τυχεῖν· ὁ δὲ ὁμόζυξ αὖ μετὰ τοῦ ἡνιόχου πρὸς ταῦτα
μετ' αἰδοῦς καὶ λόγου ἀντιτείνει: ἐὰν μὲν δὴ οὖν εἰς τεταγμένην τε
δίαιταν καὶ φιλοσοφίαν νικήσῃ τὰ βελτίω τῆς διανοίας ἀγαγόν-
τα· μακάριον μὲν καὶ ὁμονοητικὸν τὸν ἐνθάδε βίον διάγουσιν, ἐγ-
κρατεῖς αὑτῶν καὶ κόσμιοι ὄντες· δουλωσάμενοι μὲν ᾧ κακία
ψυχῆς ἐνεγίγνετο· ἐλευθερώσαντες δὲ ᾧ ἀρετή· τελευτήσαντες
δὲ ὑπόπτεροι καὶ ἐλαφροὶ γεγονότες τῶν τριῶν παλαισμάτων
τῶν ὡς ἀληθῶς ὀλυμπιακῶν· ἓν νενικήκασιν· οὗ μεῖζον ἀγα-
θὸν οὔτε σωφροσύνη ἀνθρωπίνη οὔτε θεία μανία δυνατὴ πο-
ρίσαι ἀνθρώπῳ. ἐὰν δὲ δὴ διαίτῃ φορτικωτέρᾳ τε καὶ ἀφι-
λοσόφῳ, φιλοτίμῳ δὲ χρήσωνται· τάχ' ἄν που ἐν μέθαις ἤ τινι
ἄλλῃ ἀμελείᾳ τὼ ἀκολάστω αὐτοῖν ὑποζυγίω λαβόντε τὰς ψυ-
χὰς ἀφρούρους, συναγαγόντε εἰς ταὐτὸν τὴν ὑπὸ τῶν πολλῶν
μακαριστὴν αἵρεσιν εἱλέσθην τε καὶ διεπραξάσθην· καὶ διαπραξα-
μένω τὸ λοιπὸν ἤδη χρῶνται μὲν αὐτῇ, σπανίᾳ δέ, ἅτε οὐ πά-
σῃ δεδογμένα τῇ διανοίᾳ πράττοντες· φίλω μὲν οὖν καὶ τού-
τω, ἧττον δὲ ἐκείνων ἀλλήλοιν διά τε τοῦ ἔρωτος καὶ ἔξω γε-
νομένω διάγουσι, πίστεις τὰς μεγίστας ἡγουμένω ἀλλήλοιν·

δεδωκέναι τε καὶ δεδέχθαι ἃς οὐ θεμιτὸν εἶναι λύσαντας εἰς ἔχθραν
ποτὲ ἐλθεῖν. ἐν δὲ τῇ τελευτῇ ἄπτεροι μέν, ὡρμηκότες δὲ πτεροῦ-
σθαι ἐκβαίνουσι τοῦ σώματος· ὥστε οὐ σμικρὸν ἆθλον τῆς ἐρω-
τικῆς μανίας φέρονται· εἰς γὰρ σκότον καὶ τὴν ὑπὸ γῆς πορείαν
οὐ νόμος ἐστὶν ἔτι ἐλθεῖν τοῖς κατηργμένοις ἤδη τῆς ὑπουρα-
νίου πορείας, ἀλλὰ φανὸν βίον διάγοντας εὐδαιμονεῖν μετ' ἀλλή-
λων πορευομένους καὶ ὁμοπτέρους ἔρωτος χάριν ὅταν γένων-
ται γενέσθαι. ταῦτα τοσαῦτα, ὦ παῖ, καὶ θεῖα οὕτω σοι δωρήσεται
ἡ παρ' ἐραστοῦ φιλία· ἡ δὲ ἀπὸ τοῦ μὴ ἐρῶντος οἰκειότης σω-
φροσύνῃ θνητῇ κεκραμένη, θνητά τε καὶ φειδωλὰ οἰκονομοῦσα,
ἀνελευθερίαν ὑπὸ πλήθους ἐπαινουμένην ὡς ἀρετὴν τῇ φί-
λῃ ψυχῇ ἐντεκοῦσα, ἐννέα χιλιάδας ἐτῶν περὶ γῆν κυλινδουμέ-
νην αὐτὴν καὶ ὑπὸ γῆς ἄνουν παρέξει. αὕτη σοι, ὦ φίλε Ἔρως, εἰς
ἡμετέραν δύναμιν ὅτι καλλίστη καὶ ἀρίστη δέδοταί τε καὶ ἐκτέτεισται
παλινῳδία, τά τε ἄλλα καὶ τοῖς ὀνόμασιν ἠναγκασμένη ποιητικοῖς
τισιν διὰ Φαῖδρον εἰρῆσθαι. ἀλλὰ τῶν προτέρων τε συγγνώμην καὶ
τῶνδε χάριν ἔχων, εὐμενὴς καὶ ἵλεως τὴν ἐρωτικήν μοι τέχνην
ἣν ἔδωκας μήτε ἀφέλῃς μήτε πηρώσῃς δι' ὀργήν, δίδου δ' ἔτι μᾶλ-
λον ἢ νῦν παρὰ τοῖς καλοῖς τίμιον εἶναι. ἐν τῷ πρόσθεν δ' εἴ τι λόγῳ
σοι ἀπηνὲς εἴπομεν Φαῖδρός τε καὶ ἐγώ, Λυσίαν τὸν τοῦ λόγου πα-
τέρα αἰτιώμενος, παῦε τῶν τοιούτων λόγων, ἐπὶ φιλοσοφίαν
δέ, ὥσπερ ἀδελφὸς αὐτοῦ Πολέμαρχος τέτραπται, τέτραπται,
τρέψον, ἵνα καὶ ὁ ἐραστὴς ὅδε αὐτοῦ μηκέτι ἐπαμφοτερίζῃ καθάπερ
νῦν, ἀλλ' ἁπλῶς πρὸς Ἔρωτα μετὰ φιλοσόφων λόγων τὸν βίον
ποιῆται: συνεύχομαί σοι, ὦ Σώκρατες, εἴπερ ἄμεινον ταῦθ' ἡ-
μῖν εἶναι, ταῦτα γίγνεσθαι. τὸν λόγον δέ σου πάλαι θαυμάσας ἔχω,
ὅσῳ καλλίω τοῦ προτέρου ἀπηργάσω· ὥστε ὀκνῶ μή μοι ὁ Λυσί-
ας ταπεινὸς φανῇ, ἐὰν ἄρα καὶ ἐθελήσῃ πρὸς αὐτὸν ἄλλον ἀντι-
παρατεῖναι. καὶ γάρ τις αὐτόν, ὦ θαυμάσιε, ἔναγχος τῶν πολι-
τικῶν τοῦτ' αὐτὸ λοιδορῶν ὠνείδιζε, καὶ διὰ πάσης τῆς λοιδο-
ρίας ἐκάλει λογογράφον· τάχ' οὖν ἂν ὑπὸ φιλοτιμίας ἐπίσχοι
ἡμῖν ἂν τοῦ γράφειν: γελοῖόν γε, ὦ νεανία, τὸ δόγμα λέγεις, καὶ
τοῦ ἑταίρου συχνὸν διαμαρτάνεις, εἰ αὐτὸν οὕτως ἡγεῖ τινα ψοφο-
δεᾶ. ἴσως δὲ καὶ τὸν λοιδορούμενον αὐτῷ οἴει ὀνειδίζοντα

ζοντα λέγειν ἃ ἔλεγεν· ἐφαίνετο γὰρ ὦ σώκρατες· καὶ σύνοισ
θά που καὶ αὐτὸς ὅτι οἱ μέγιστον δυνάμενοί τε καὶ σεμνότατοι
ἐν ταῖς πόλεσιν αἰσχύνονται λόγους τε γράφειν καὶ καταλείπειν
συγγράμματα ἑαυτῶν δόξαν φοβούμενοι τοῦ ἔπειτα χρόνου
μὴ σοφισταὶ καλῶνται: γλυκὺς ἀγκὼν ὦ φαῖδρε λέληθέ σε ὅ
τι ἀπὸ τοῦ μακροῦ ἀγκῶνος τοῦ κατὰ νεῖλον ἐκλήθη· καὶ πρὸς
τῷ ἀγκῶνι λανθάνει σε ὅτι οἱ μέγιστον φρονοῦντες τῶν πολιτικῶν
μάλιστα ἐρῶσι λογογραφίας τε καὶ καταλείψεως συγγραμμά
των· οἵ γε καὶ ἐπειδάν τινα γράφωσι λόγον· οὕτως ἀγαπῶσι
τοὺς ἐπαινέτας· ὥστε προσπαραγράφουσι πρώτους οἳ ἂν
ἑκασταχοῦ ἐπαινῶσιν αὐτούς: πῶς λέγεις τοῦτο; οὐ γὰρ μανθάνω:
οὐ μανθάνεις ὅτι ἐν ἀρχῇ ἀνδρὸς πολιτικοῦ συγγράμματι πρῶ
τος ὁ ἐπαινέτης γέγραπται: πῶς: ἔδοξέ πού φησι τῇ βου
λῇ ἢ τῷ δήμῳ ἢ ἀμφοτέροις· καὶ ὃς εἶπε· τὸν αὐτὸν δὴ λέγων
μάλα σεμνῶς καὶ ἐγκωμιάζων ὁ συγγραφεύς· ἔπειτα λέγει δὴ
μετὰ τοῦτο ἐπιδεικνύμενος τοῖς ἐπαινέταις τὴν ἑαυτοῦ σο
φίαν· ἐνίοτε πάνυ μακρὸν ποιησάμενος σύγγραμμα· ἤ σοι ἄλλο
τι φαίνεται τὸ τοιοῦτον ἢ λόγος συγγεγραμμένος: οὐκ ἔμοιγε:
οὐκοῦν ἐὰν μὲν οὗτος ἐμμένῃ· γεγηθὼς ἀπέρχεται ἐκ τοῦ θε
άτρου ὁ ποιητής· ἐὰν δὲ ἐξαλειφθῇ καὶ ἄμοιρος γένηται λογο
γραφίας τε καὶ τοῦ ἄξιος εἶναι συγγράφειν· πενθεῖ αὐτός τε καὶ
οἱ ἑταῖροι: καὶ μάλα: δῆλόν γε ὅτι οὐχ ὡς ὑπερφρονοῦντες τοῦ
ἐπιτηδεύματος· ἀλλ' ὡς τεθαυμακότες: πάνυ μὲν οὖν: τί δέ ὅ
ταν ἱκανὸς γένηται ῥήτωρ ἢ βασιλεὺς ὥστε λαβὼν τὴν λυκούρ
γου ἢ σόλωνος ἢ δαρείου δύναμιν ἀθάνατος γενέσθαι λογο
γράφος ἐν πόλει· ἆρ' οὐκ ἰσόθεον ἡγεῖται αὐτός τε αὑτὸν ἔτι ζῶν
καὶ οἱ ἔπειτα γιγνόμενοι ταὐτὰ ταῦτα περὶ αὐτοῦ νομίζουσι
θεώμενοι αὐτοῦ τὰ συγγράμματα: καὶ μάλα: οἴει τινὰ οὖν τῶν
τοιούτων ὅστις καὶ ὁπωστιοῦν δύσνους λυσίᾳ ὀνειδίζειν αὐτὸ
τοῦτο ὅτι συγγράφει: οὔκουν εἰκός γε ἐξ ὧν σὺ λέγεις· καὶ γὰρ
ἂν τῇ ἑαυτοῦ ἐπιθυμίᾳ ὡς ἔοικεν ὀνειδίζοι: τοῦτο μὲν ἄρα
παντὶ δῆλον ὅτι οὐκ αἰσχρὸν αὐτό γε τὸ γράφειν λόγους: τί γάρ:
ἀλλ' ἐκεῖνο οἶμαι αἰσχρὸν ἤδη τὸ μὴ καλῶς λέγειν τε καὶ γράφειν
ἀλλ' αἰσχρῶς τε καὶ κακῶς: δῆλον δή: τίς οὖν ὁ τρόπος τοῦ

καλῶς τε καὶ μὴ γράφειν· δεόμεθά τι ὦ φαῖδρε λυσίαν τε περὶ τούτων
ἐξετάσαι καὶ ἄλλον ὅστις πώποτέ τι γέγραφεν ἢ γράψει εἴτε πολιτικὸν
σύγγραμμα εἴτε ἰδιωτικόν, ἐν μέτρῳ ὡς ποιητὴς ἢ ἄνευ μέτρου ὡς
ἰδιώτης: ἐρωτᾷς εἰ δεόμεθα; τίνος μὲν οὖν ἕνεκα κἄν τις
ὡς εἰπεῖν ζῴη ἀλλ' ἢ τῶν τοιούτων ἡδονῶν ἕνεκα; οὐ γάρ που ἐκεί-
νων γε ὧν προλυπηθῆναι δεῖ ἢ μηδὲ ἡσθῆναι, ὃ δὴ ὀλίγου πᾶσαι
αἱ περὶ τὸ σῶμα ἡδοναὶ ἔχουσι· διὸ καὶ δικαίως ἀνδραποδώδεις
κέκληνται. σχολὴ μὲν δὴ ὡς ἔοικε· καὶ ἅμα μοι δοκοῦσιν ὡς ἐν τῷ πνί-
γει ὑπὲρ κεφαλῆς ἡμῶν οἱ τέττιγες ᾄδοντες καὶ ἀλλήλοις διαλε-
γόμενοι καθορᾶν· εἰ οὖν ἴδοιεν καὶ νὼ καθάπερ τοὺς πολλοὺς
ἐν μεσημβρίᾳ μὴ διαλεγομένους ἀλλὰ νυστάζοντας καὶ κηλου-
μένους ὑφ' αὑτῶν δι' ἀργίαν τῆς διανοίας, δικαίως ἂν καταγε-
λῷεν ἡγούμενοι ἀνδράποδ' ἄττα σφίσιν ἐλθόντα εἰς τὸ καταγώ-
γιον ὥσπερ προβάτια μεσημβριάζοντα περὶ τὴν κρήνην εὕδειν·
ἐὰν δὲ ὁρῶσι διαλεγομένους καὶ παραπλέοντάς σφας ὥσ-
περ σειρῆνας ἀκηλήτους, ὃ γέρας παρὰ θεῶν ἔχουσιν ἀνθρώ-
ποις διδόναι, τάχ' ἂν δοῖεν ἀγασθέντες: ἔχουσι δὲ δὴ τί τοῦτο
ἀνήκοος γὰρ ὡς ἔοικε τυγχάνω ὤν: οὐ μὲν δὴ πρέπει γε φιλόμου-
σον ἄνδρα τῶν τοιούτων ἀνήκοον εἶναι. λέγεται δ' ὥς ποτ' ἦσαν
οὗτοι ἄνθρωποι τῶν πρὶν μούσας γεγονέναι· γενομένων δὲ
μουσῶν καὶ φανείσης ᾠδῆς οὕτως ἄρα τινὲς τῶν τότε ἐξε-
πλάγησαν ὑφ' ἡδονῆς· ὥστε ᾄδοντες ἠμέλησαν σίτων τε καὶ πο-
τῶν καὶ ἔλαθον τελευτήσαντες αὑτούς· ἐξ ὧν τὸ τεττίγων γένος
μετ' ἐκεῖνο φύεται γέρας τοῦτο παρὰ μουσῶν λαβὸν μηδὲν τροφῆς
δεῖσθαι γενόμενον ἀλλ' ἄσιτόν τε καὶ ἄποτον εὐθὺς ᾄδειν ἕως
ἂν τελευτήσῃ καὶ μετὰ ταῦτα ἐλθὸν παρὰ μούσας ἀπαγγέλλειν
τίς τίνα αὐτῶν τιμᾷ τῶν ἐνθάδε: τερψιχόρᾳ μὲν οὖν τοὺς
ἐν τοῖς χοροῖς τετιμηκότας αὐτὴν ἀπαγγέλλοντες ποιοῦσι
προσφιλεστέρους· τῇ δὲ ἐρατοῖ τοὺς ἐν τοῖς ἐρωτικοῖς· καὶ
ταῖς ἄλλαις οὕτως κατὰ τὸ εἶδος ἑκάστης τιμῆς· τῇ δὲ πρεσβυ-
τάτῃ καλλιόπῃ καὶ τῇ μετ' αὐτὴν οὐρανίᾳ τοὺς ἐν φιλοσοφίᾳ
διάγοντάς τε καὶ τιμῶντας τὴν ἐκείνων μουσικὴν ἀγγέλλουσιν αἳ
δὴ μάλιστα τῶν μουσῶν περί τε οὐρανὸν καὶ λόγους οὖσαι θείους
τε καὶ ἀνθρωπίνους ἱᾶσι καλλίστην φωνήν· πολλῶν δὴ οὖν ἕνεκεν

λεκτέον τι καὶ οὐ καθευδητέον ἐν τῇ μεσημβρίᾳ: λεκτέον γὰρ οὖν:
οὐκοῦν ὅπερ νῦν προὐθέμεθα σκέψασθαι τὸν λόγον ὅπῃ καλῶς
ἔχει λέγειν τε καὶ γράφειν καὶ ὅπῃ μὴ σκεπτέον: δῆλον. ἆρ' οὖν οὐ
χ ὑπάρχειν δεῖ τοῖς εὖ γε καὶ καλῶς ῥηθησομένοις τὴν τοῦ λέ
γοντος διάνοιαν εἰδυῖαν τὸ ἀληθὲς ὧν ἂν ἐρεῖν πέρι μέλλῃ: οὑ
τωσὶ περὶ τούτου ἀκήκοα ὦ φίλε σώκρατες οὐκ εἶναι ἀνάγκην
τῷ μέλλοντι ῥήτορι ἔσεσθαι τὰ τῷ ὄντι δίκαια μανθάνειν ἀλλὰ τὰ
δόξαντ' ἂν πλήθει οἵπερ δικάσουσιν· οὐδὲ τὰ ὄντως ἀγαθὰ ἢ κα
λά. ἀλλ' ὅσα δόξει· ἐκ γὰρ τούτων εἶναι τὸ πείθειν. ἀλλ' οὐκ ἐκ τῆς
ἀληθείας: οὔτοι ἀπόβλητον ἔπος εἶναι δεῖ ὦ φαῖδρε ὃ ἂν εἴ
πωσι σοφοί ἀλλὰ σκοπεῖν μή τι λέγωσι καὶ δὴ καὶ τὸ νῦν λεχθὲν οὐ
κ ἀφετέον: ὀρθῶς λέγεις: ὧδε δὴ σκοπῶμεν αὐτό: πῶς:
εἴ σε πείθοιμι ἐγὼ πολεμίους ἀμύνειν κτησάμενον ἵππον. ἄμφω
δὲ ἵππον ἀγνοοῖμεν τοσόνδε μέντοι τυγχάνοιμι εἰδὼς περὶ σοῦ
ὅτι φαῖδρος ἵππον ἡγεῖται τὸ τῶν ἡμέρων ζῴων μέγιστα ὦτα ἔχον
ζῷον. γελοῖόν γ' ἂν ὦ σώκρατες: οὔπω γε ἀλλ' ὅτε δὴ σπουδῇ σε πεί
θοιμι συντιθεὶς λόγον ἔπαινον κατὰ τοῦ ὄνου ἵππον ἐπονομάζων
καὶ λέγων ὡς παντὸς ἄξιον τὸ θρέμμα οἴκοι τε κεκτῆσθαι καὶ
ἐπὶ στρατιᾶς ἀποπολεμεῖν τε χρήσιμον καὶ προσενεγκεῖν δυνα
τὸν σκεύη καὶ ἄλλα πολλὰ ὠφέλιμον· παγγέλοιόν γ' ἂν ἤδη εἴη:
ἆρ' οὖν οὐ κρεῖττον γελοῖον ἢ δεινόν τε καὶ ἐχθρὸν εἶναι ἢ φίλον:
φαίνεται: ὅταν οὖν ὁ ῥητορικὸς ἀγνοῶν ἀγαθὸν καὶ κακὸν λα
βὼν πόλιν ὡσαύτως ἔχουσαν πείθῃ μὴ περὶ ὄνου σκιᾶς ὡς ἵπ
που τὸν ἔπαινον ποιούμενος ἀλλὰ περὶ κακοῦ ὡς ἀγαθοῦ δόξας
δὲ πλήθους μεμελετηκὼς πείσῃ κακὰ πράττειν ἀντ' ἀγαθῶν.
ποῖόν τινα οἴει μετὰ ταῦτα τὴν ῥητορικὴν καρπὸν ὧν ἔσπειρε θερί
ζειν: οὐ πάνυ γε ἐπιεικῆ: ἆρ' οὖν ὦ ἀγαθὲ ἀγροικότερον τοῦ
δέοντος λελοιδορήκαμεν τὴν τῶν λόγων τέχνην. ἡ δ' ἴσως ἂν εἴ
ποι τί ποτε ὦ θαυμάσιοι ληρεῖτε. ἐγὼ γὰρ οὐδέν' ἀγνοοῦντα
τἀληθὲς ἀναγκάζω μανθάνειν λέγειν. ἀλλ' εἴ τι ἐμὴ ξυμβουλὴ κτη
σάμενον ἐκεῖνο οὕτως ἐμὲ λαμβάνειν. τόδε δ' οὖν μέγα λέγω ὡς
ἄνευ ἐμοῦ τῷ τὰ ὄντα εἰδότι οὐδέν τι μᾶλλον ἔσται πείθειν τέχνῃ.
οὐκοῦν δίκαια ἐρεῖ λέγουσα ταῦτα: φημὶ ἐὰν οἵ γ' ἐπιόντες αὐ
τῇ λόγοι μαρτυρῶσιν εἶναι τέχνη. ὥσπερ γὰρ ἀκούειν δοκῶ τι

νῶν προσιόντων καὶ διαμαρτυρομένων λόγων ὅτι ψεύδεται καὶ οὐ
κ ἔστι τέχνη ἀλλ' ἄτεχνος τριβή· τοῦ δὲ λέγειν φησὶν ὁ λάκων ἔτυμος
ἄνευ τοῦ ἀληθείας ἧφθαι οὔτ' ἔστιν· οὔτε μή ποτε ὕστερον γένηται.
τούτων δεῖ τῶν λόγων ὦ σώκρατες· ἀλλὰ δεῦρο αὐτοὺς παράγων ἐ
ξέταζε τί καὶ πῶς λέγουσι: πάριτε δὴ θρέμματα γενναῖα καλ
λίπαιδά τε φαῖδρον πείθετε ὡς ἐὰν μὴ ἱκανῶς φιλοσοφήσῃ οὐ
δὲ ἱκανός ποτε λέγειν ἔσται περὶ οὐδενός· ἀποκρινέσθω δὴ ὁ φαῖ
δρος: ἐρωτᾶτε: ἆρ' οὖν οὐ τὸ μὲν ὅλον ἡ ῥητορικὴ ἂν εἴη τέχνη
ψυχαγωγία τις διὰ λόγων οὐ μόνον ἐν δικαστηρίοις καὶ ὅσοι ἄλ
λοι δημόσιοι σύλλογοι· ἀλλὰ καὶ ἐν ἰδίοις ἡ αὐτὴ σμικρῶν τε καὶ
μεγάλων πέρι· καὶ οὐδὲν ἐντιμότερον τό γε ὀρθὸν περὶ σπουδαῖα
ἢ περὶ φαῦλα γιγνόμενον· ἢ πῶς σὺ ταῦτ' ἀκήκοας: οὐ μὰ τὸν
δί' οὐ παντάπασιν οὕτως ἀλλὰ μάλιστα μέν πως περὶ τὰς δίκας
λέγεταί τε καὶ γράφεται τέχνῃ· λέγεται δὲ καὶ περὶ δημηγορίας·
ἐπὶ πλέον δὲ οὐκ ἀκήκοα· ἀλλ' ἢ τὰς νέστορος καὶ ὀδυσσέως τέχνας
μόνον περὶ λόγων ἀκήκοας ἃς ἐν ἰλίῳ σχολάζοντε συνεγρα
ψάτην· τῶν δὲ παλαμήδους ἀνήκοος γέγονας: καὶ ναὶ μὰ δί' ἔγω
γε τῶν νέστορος· εἰ μὴ γοργίαν νέστορά τινα κατασκευάζεις ἤ τι
να θρασύμαχόν τε καὶ θεόδωρον ὀδυσσέα: ἴσως· ἀλλὰ γὰρ τού
τους ἐῶμεν· σὺ δ' εἰπὲ ἐν δικαστηρίοις οἱ ἀντίδικοι τί δρῶσιν· οὐκ
ἀντιλέγουσι μέντοι ἢ τί φήσομεν: τοῦτ' αὐτό: περὶ τοῦ δικαί
ου τε καὶ ἀδίκου: ναί: οὐκοῦν ὁ τέχνῃ τοῦτο δρῶν ποιήσει φανῆ
ναι τὸ αὐτὸ τοῖς αὐτοῖς τοτὲ μὲν δίκαιον ὅταν δὲ βούληται ἄδικον:
τί μήν: καὶ ἐν δημηγορίᾳ δὴ τῇ πόλει δοκεῖν τὰ αὐτὰ τοτὲ μὲν
ἀγαθὰ τοτὲ δ' αὖ τἀναντία: οὕτως: τὸν οὖν ἐλεατικὸν πα
λαμήδην λέγοντα οὐκ ἴσμεν τέχνῃ ὥστε φαίνεσθαι τοῖς ἀκούου
σι τὰ αὐτὰ ὅμοια καὶ ἀνόμοια καὶ ἓν καὶ πολλά· μένοντά τε αὖ καὶ
φερόμενα: μάλα γε: οὐκ ἄρα μόνον περὶ δικαστήριά τε ἐστὶν ἡ ἀν
τιλογικὴ καὶ περὶ δημηγορίαν· ἀλλ' ὡς ἔοικε περὶ πάντα τὰ λεγό
μενα μία τις τέχνη εἴπερ ἔστιν αὕτη ἂν εἴη ᾗ τις οἷός τ' ἔσται πᾶν
παντὶ ὁμοιοῦν τῶν δυνατῶν καὶ οἷς δυνατόν· καὶ ἄλλου ὁμοιοῦν
τος καὶ ἀποκρυπτομένου εἰς φῶς ἄγειν: πῶς δὴ τὸ τοιοῦτον
λέγεις: τῇδε δοκῶ ζητοῦσι φανεῖσθαι· ἀπάτη πότερον ἐν
πολὺ διαφέρουσι γίγνεται μᾶλλον ἢ ὀλίγον: ἐν τοῖς ὀλίγον:

ἀλλά γε δὴ κατὰ σμικρὸν μεταβαίνων μᾶλλον λήσεις ἐλθὼν ἐπὶ τὸ ἐ-
ναντίον ἢ κατὰ μέγα: πῶς δ' οὔ: δεῖ ἄρα τὸν μέλλοντα ἀπατήσειν
μὲν ἄλλον αὐτὸν δὲ μὴ ἀπατήσεσθαι τὴν ὁμοιότητα τῶν ὄντων καὶ
ἀνομοιότητα ἀκριβῶς διειδέναι: ἀνάγκη μὲν οὖν: ἦ οὖν οἷός τε
ἔσται ἀλήθειαν ἀγνοῶν ἑκάστου τὴν τοῦ ἀγνοουμένου ὁμοιότη-
τα σμικράν τε καὶ μεγάλην ἐν τοῖς ἄλλοις διαγιγνώσκειν: ἀδύ-
νατον: οὐκοῦν τοῖς παρὰ τὰ ὄντα δοξάζουσι καὶ ἀπατωμέ-
νοις δῆλον ὡς τὸ πάθος τοῦτο δι' ὁμοιοτήτων τινῶν εἰσερρύη:
γίγνεται γοῦν οὕτω: ἔστιν οὖν ὅπως τεχνικὸς ἔσται μεταβιβάζειν
κατὰ σμικρὸν διὰ τῶν ὁμοιοτήτων ἀπὸ τοῦ ὄντος ἑκάστοτε
ἐπὶ τοὐναντίον ἀπάγων ἢ αὐτὸς τοῦτο διαφεύγειν ὁ μὴ ἐγνω-
ρικὼς ὃ ἔστιν ἕκαστον τῶν ὄντων: οὐ μή ποτε: λόγων ἄρα τέ-
χνην ὦ ἑταῖρε ὁ τὴν ἀλήθειαν μὴ εἰδὼς δόξας δὲ τεθηρευκὼς
γελοίαν τινὰ ὡς ἔοικε καὶ ἄτεχνον παρέξεται: κινδυνεύει:
βούλει οὖν ἐν τῷ λυσίου λόγῳ ὃν φέρεις καὶ ἐν οἷς ἡμεῖς εἴπο-
μεν ἰδεῖν τι ὧν φαμεν ἀτέχνων τε καὶ ἐντέχνων εἶναι: πάντων
γέ που μάλιστα ὡς νῦν γε ψιλῶς πως λέγομεν οὐκ ἔχοντες ἱκα-
νὰ παραδείγματα: καὶ μὴν κατὰ τύχην γέ τινα ὡς ἔοικεν ἐρ-
ρηθήτην τὼ λόγω ἔχοντέ τι παράδειγμα ὡς ἂν ὁ εἰδὼς τὸ ἀλη-
θὲς προσπαίζων ἐν λόγοις παράγοι τοὺς ἀκούοντας· καὶ ἔ-
γωγε ὦ φαῖδρε αἰτιῶμαι τοὺς ἐντοπίους θεούς· ἴσως δὲ
καὶ οἱ τῶν μουσῶν προφῆται οἱ ὑπὲρ κεφαλῆς ᾠδοὶ ἐπιπε-
πνευκότες ἂν ἡμῖν εἶεν τοῦτο τὸ γέρας· οὐ γάρ που ἔγωγε τέ-
χνης τινὸς τοῦ λέγειν μέτοχος: ἔστω ὡς λέγεις μόνον δήλωσον
ὃ φῄς: ἴθι δή μοι ἀνάγνωθι τὴν τοῦ λυσίου λόγου ἀρχήν·
περὶ μὲν τῶν ἐμῶν πραγμάτων ἐπίστασαι καὶ ὡς νομίζω συμφέ-
ρειν ἡμῖν τούτων γενομένων ἀκήκοας· ἀξιῶ δὲ μὴ διὰ τοῦτο ἀ-
τυχῆσαι ὧν δέομαι ὅτι οὐκ ἐραστὴς ὢν σου τυγχάνω ὡς ἐκεί-
νοις μὲν τότε μεταμέλει: παῦσαι: τί δὴ οὖν οὗτος ἁμαρτά-
νει καὶ ἄτεχνον ποιεῖ λεκτέον ἦ γάρ: ναί: ἆρ' οὖν οὐ παντὶ δῆλον
τό γε τοιόνδε ὡς περὶ μὲν ἔνια τῶν τοιούτων ὁμονοητικῶς
ἔχομεν περὶ δ' ἔνια στασιωτικῶς: δοκῶ μὲν ὃ λέγεις μανθά-
νειν ἔτι δ' εἰπὲ σαφέστερον: ὅταν τις ὄνομα εἴπῃ σιδήρου ἢ
ἀργύρου ἆρ' οὐ τὸ αὐτὸ πάντες διενοήθημεν: καὶ μάλα: τί

δ' ὅταν δίκαιον ἢ ἀγαθόν, οὐκ ἄλλος ἄλλῃ φέρεται καὶ ἀμφισβη-
ε· τοῦμεν ἀλλήλοις καὶ ἡμῖν αὐτοῖς; Πάνυ μὲν οὖν. Ἐν μὲν ἄρα τοῖς
συμφωνοῦμεν, ἐν δὲ τοῖς οὔ. Οὕτω. Ποτέρωθι οὖν εὐαπατη-
τότεροί ἐσμεν, καὶ ἡ ῥητορικὴ ἐν ποτέροις μεῖζον δύναται;
Δῆλον ὅτι ἐν οἷς πλανώμεθα. Οὐκοῦν τὸν μέλλοντα τέχνην
ῥητορικὴν μετιέναι πρῶτον μὲν δεῖ ταῦτα ὁδῷ διῃρῆσθαι καὶ
εἰληφέναι τινὰ χαρακτῆρα ἑκατέρου τοῦ εἴδους, ἐν ᾧ τε ἀνάγ-
κη τὸ πλῆθος πλανᾶσθαι καὶ ἐν ᾧ μή. Καλὸν γοῦν ἄν, ὦ Σώκρατες, εἶ-
δος εἴη κατανενοηκὼς ὁ τοῦτο λαβών. Ἔπειτά γε οἶμαι πρὸς ἑ-
κάστῳ γιγνόμενον μὴ λανθάνειν ἀλλ' ὀξέως αἰσθάνεσθαι περὶ οὗ
ἂν μέλλῃ ἐρεῖν, ποτέρου ὂν τυγχάνει τοῦ γένους. Τί μήν; Τί οὖν;
τὸν ἔρωτα πότερον φῶμεν εἶναι τῶν ἀμφισβητησίμων ἢ τῶν μή;
Τῶν ἀμφισβητησίμων δήπου· ἢ οἴει ἄν σοι συγχωρῆσαι ἃ νῦν
νῦν δὴ εἶπες περὶ αὐτοῦ, ὡς βλάβη τέ ἐστι τῷ ἐρωμένῳ καὶ ἐρῶν-
τι, καὶ αὖθις ὡς μέγιστον τῶν ἀγαθῶν τυγχάνει; Ἄριστα λέγεις·
ἀλλ' εἰπὲ καὶ τόδε· ἐγὼ γάρ τοι διὰ τὸ ἐνθουσιαστικὸν οὐ πάνυ μέ-
μνημαι, εἰ ὡρισάμην ἔρωτα ἀρχόμενος τοῦ λόγου. Νὴ Δία ἀ-
μηχάνως γε σφόδρα. Φεῦ, ὅσῳ λέγεις τεχνικωτέρας Νύμφας
τὰς Ἀχελῴου καὶ Πᾶνα τὸν Ἑρμοῦ Λυσίου τοῦ Κεφάλου πρὸς
λόγους εἶναι. ἢ οὐδὲν λέγω, ἀλλὰ καὶ ὁ Λυσίας ἀρχόμενος τοῦ ἐρω-
τικοῦ ἠνάγκασεν ἡμᾶς ὑπολαβεῖν τὸν ἔρωτα ἕν τι τῶν ὄντων
ὃ αὐτὸς ἐβουλήθη, καὶ πρὸς τοῦτο ἤδη συνταξάμενος πάντα
τὸν ὕστερον λόγον διεπεράνατο; Βούλει πάλιν ἀναγνῶμεν τὴν
ἀρχὴν αὐτοῦ; Εἰ σοί γε δοκεῖ· ὃ μέντοι ζητεῖς οὐκ ἔστ' αὐτόθι. Λέ-
γε, ἵνα ἀκούσω αὐτοῦ ἐκείνου. Περὶ μὲν τῶν ἐμῶν πραγμάτων
ἐπίστασαι, καὶ ὡς νομίζω συμφέρειν ἡμῖν τούτων γενομένων ἀ-
κήκοας· ἀξιῶ δὲ μὴ διὰ τοῦτο ἀτυχῆσαι ὧν δέομαι, ὅτι οὐκ ἐ-
ραστὴς ὢν σοῦ τυγχάνω· ὡς ἐκείνοις μὲν τότε μεταμέλει ὧν
ἂν εὖ ποιήσωσιν, ἐπειδὰν τῆς ἐπιθυμίας παύσωνται. Ἦ πολ-
λοῦ δεῖν ἔοικε ποιεῖν ὃ ζητοῦμεν ὃς οὐδὲ ἀπ' ἀρχῆς
ἀλλ' ἀπὸ τελευτῆς ἐξ ὑπτίας ἀνάπαλιν διανεῖν ἐπιχειρεῖ τὸν
λόγον, καὶ ἄρχεται ἀφ' ὧν πεπαυμένος ἂν ἤδη ὁ ἐραστὴς λέγοι
πρὸς τὰ παιδικά. ἢ οὐδὲν εἶπον, Φαῖδρε φίλη κεφαλή; Ἔστιν γέ τοι δή,
ὦ Σώκρατες, τελευτὴ περὶ οὗ τὸν λόγον ποιεῖται. Τί δὲ τἆλλα;

χύδην δοκεῖ βεβλῆσθαι τὰ τοῦ λόγου; ἢ φαίνεται τὸ δεύτερον εἰρη-
μένον ἔκ τινος ἀνάγκης δεύτερον δεῖν τεθῆναι, ἤ τι ἄλλο τῶν ῥη-
θέντων; ἐμοὶ μὲν γὰρ ἔδοξεν, ὡς μηδὲν εἰδότι, οὐκ ἀγεννῶς τὸ
ἐπιὸν εἰρῆσθαι τῷ γράφοντι. σὺ δ' ἔχεις τινὰ ἀνάγκην λογογρα-
φικὴν ᾗ ταῦτα ἐκεῖνος οὕτως ἐφεξῆς παρ' ἄλληλα ἔθηκεν;
χρηστὸς εἶ, ὅτι με ἡγῇ ἱκανὸν εἶναι τὰ ἐκείνου οὕτως ἀκριβῶς
διιδεῖν. ἀλλὰ τόδε γε οἶμαί σε φάναι ἄν, δεῖν πάντα λόγον ὥσπερ ζῷ-
ον συνεστάναι σῶμά τι ἔχοντα αὐτὸν αὑτοῦ, ὥστε μήτε ἀκέφαλον
εἶναι μήτε ἄπουν, ἀλλὰ μέσα τε ἔχειν καὶ ἄκρα, πρέποντα ἀλλή-
λοις καὶ τῷ ὅλῳ γεγραμμένα. πῶς γὰρ οὔ; σκέψαι τοίνυν τὸν
τοῦ ἑταίρου σου λόγον εἴτε οὕτως εἴτε ἄλλως ἔχει· καὶ εὑρήσεις τοῦ
ἐπιγράμματος οὐδὲν διαφέροντα, ὃ Μίδᾳ τῷ Φρυγί φασίν τινες
ἐπιγεγράφθαι. ποῖον τοῦτο, καὶ τί πεπονθός; ἔστι μὲν τοῦτο
τόδε· χαλκῆ παρθένος εἰμί, Μίδα δ' ἐπὶ σήματι κεῖμαι. ὄφρ' ἂν
ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ, αὐτοῦ τῇδε μένουσα
πολυκλαύτου ἐπὶ τύμβου, ἀγγελέω παριοῦσι Μίδας ὅτι τῇδε τέ-
θαπται. ὅτι δ' οὐδὲν διαφέρει αὐτοῦ πρῶτον ἢ ὕστατόν τι λέγε-
σθαι, ἐννοεῖς που, ὡς ἐγῷμαι. σκώπτεις τὸν λόγον ἡμῶν, ὦ Σώκρα-
τες. τοῦτον μὲν τοίνυν, ἵνα μὴ σὺ ἄχθῃ, ἐάσωμεν· καίτοι συχνά γε
ἔχειν μοι δοκεῖ παραδείγματα, πρὸς ἅ τις βλέπων ὀνίναιτ' ἄν, μι-
μεῖσθαι αὐτὰ ἐπιχειρῶν μὴ πάνυ τι· εἰς δὲ τοὺς ἑτέρους λόγους
ἴωμεν. ἦν γάρ τι ἐν αὐτοῖς, ὡς δοκῶ, προσῆκον ἰδεῖν τοῖς βουλο-
μένοις περὶ λόγων σκοπεῖν. τὸ ποῖον δὴ λέγεις; ἐναντίω που
ἤστην· ὁ μὲν γὰρ ὡς τῷ ἐρῶντι, ὁ δ' ὡς τῷ μὴ δεῖ χαρίζεσθαι, ἐλεγέτην.
καὶ μάλ' ἀνδρικῶς. ᾤμην σε τἀληθὲς ἐρεῖν, ὅτι μανικῶς· ὃ μέντοι
ἐζήτουν, ἐστὶν αὐτὸ τοῦτο. μανίαν γάρ τινα ἐφήσαμεν εἶναι τὸν
ἔρωτα· ἦ γάρ; ναί. μανίας δέ γε εἴδη δύο, τὴν μὲν ὑπὸ νοση-
μάτων ἀνθρωπίνων, τὴν δὲ ὑπὸ θείας ἐξαλλαγῆς τῶν εἰω-
θότων νομίμων γιγνομένην. πάνυ γε. τῆς δὲ θείας τεττάρων
θεῶν τέτταρα μέρη διελόμενοι, μαντικὴν μὲν ἐπίπνοιαν Ἀπόλλω-
νος θέντες, Διονύσου δὲ τελεστικήν, Μουσῶν δ' αὖ ποιητικήν,
τετάρτην δὲ Ἀφροδίτης καὶ Ἔρωτος, ἐρωτικὴν μανίαν ἐφή-
σαμέν τε ἀρίστην εἶναι, καὶ οὐκ οἶδ' ὅπῃ τὸ ἐρωτικὸν πάθος
ἀπεικάζοντες, ἴσως μὲν ἀληθοῦς τινος ἐφαπτόμενοι, τάχα

δὰν καὶ ἄλλος ἐπαραφερόμενοι κεράσαντες οὐ παντάπασιν ἀπι-
θανον λόγον μυθικόν τινα ὕμνον προσεπαίσαμεν μετρίως τε καὶ
εὐφήμως τὸν ἐμόν τε καὶ σὸν δεσπότην ἔρωτα ὦ φαῖδρε καλῶν
παίδων ἔφορον: καὶ μάλα ἔμοιγε οὐκ ἀηδῶς ἀκοῦσαι: τόδε
τοίνυν αὐτόθεν λάβωμεν ὡς ἀπὸ τοῦ ψέγειν πρὸς τὸ ἐπαινεῖν ἔσχεν
ὁ λόγος μεταβῆναι: πῶς δὴ οὖν αὐτὸ λέγεις: ἐμοὶ μὲν φαίνεται
τὰ μὲν ἄλλα τῷ ὄντι παιδιᾷ πεπαῖσθαι· τούτων δέ τινων ἐκ τύχης
ῥηθέντων δυοῖν εἰδοῖν εἰ αὐτοῖν τὴν δύναμιν τέχνῃ λαβεῖν δύναι-
το τίς οὐκ ἄχαρι: τίνων δή: εἰς μίαν τε ἰδέαν συνορῶντα ἄγειν
τὰ πολλαχῇ διεσπαρμένα ἵν᾽ ἕκαστον ὁριζόμενος δῆλον ποιῇ
περὶ οὗ ἂν ἀεὶ διδάσκειν ἐθέλῃ· ὥσπερ τὰ νῦν δὴ περὶ ἔρωτος
ὃ ἔστιν ὁρισθὲν εἴτ᾽ εὖ εἴτε κακῶς ἐλέχθη· τὸ γοῦν σαφὲς καὶ τὸ
αὐτὸ αὑτῷ ὁμολογούμενον διὰ ταῦτα ἔσχεν εἰπεῖν ὁ λόγος·
τὸ δ᾽ ἕτερον δὴ εἶδος τί λέγεις ὦ σώκρατες: τὸ πάλιν κατ᾽ εἴδη
δύνασθαι τέμνειν κατ᾽ ἄρθρα ᾗ πέφυκεν καὶ μὴ ἐπιχειρεῖν κατα-
γνύναι μέρος μηδὲν κακοῦ μαγείρου τρόπῳ χρώμενον ἀλλ᾽ ὥσ-
περ ἄρτι τὼ λόγω τὸ μὲν ἄφρον τῆς διανοίας ἕν τι κοινῇ εἶδος
ἐλαβέτην ὥσπερ δὲ σώματος ἐξ ἑνὸς διπλᾶ καὶ ὁμώνυμα πέ-
φυκε· καὶ σκαιὰ τὰ δὲ δεξιὰ κληθέντα οὕτω καὶ τὸ τῆς παρανοί-
ας ὡς ἓν ἐν ἡμῖν πεφυκὸς εἶδος ἡγησαμένω τὼ λόγω ὁ μὲν τὸ
ἐπ᾽ ἀριστερὰ τεμνόμενος μέρος πάλιν τοῦτο τέμνων οὐκ ἐπανῆ-
κεν πρὶν ἐν αὐτοῖς ἐφευρὼν ὀνομαζόμενον σκαιόν τινα ἔρωτα
ἐλοιδόρησεν μάλ᾽ ἐν δίκῃ· ὁ δ᾽ εἰς τὰ ἐν δεξιᾷ τῆς μανίας ἀγαγὼν
ἡμᾶς ὁμώνυμον μὲν ἐκείνῳ θεῖον δ᾽ αὖ τινα ἔρωτα ἐφευρὼν καὶ
προτεινάμενος ἐπῄνεσεν ὡς μεγίστων αἴτιον ἡμῖν ἀγαθῶν: ἀλη-
θέστατα λέγεις: τούτων δὴ ἔγωγε αὐτός τε ἐραστὴς ὦ φαῖδρε
τῶν διαιρέσεων καὶ συναγωγῶν ἵνα οἷός τε ὦ λέγειν τε καὶ φρονεῖν
ἐάν τέ τιν᾽ ἄλλον ἡγήσωμαι δυνατὸν εἰς ἓν καὶ ἐπὶ πολλὰ πεφυκὸς
ὁρᾶν τοῦτον διώκω κατόπισθε μετ᾽ ἴχνιον ὥστε θεοῖο· καὶ μέντοι
καὶ τοὺς δυναμένους αὐτὸ δρᾶν εἰ μὲν ὀρθῶς ἢ μὴ προσαγορεύ-
ω θεὸς οἶδε· καλῶ δὲ οὖν μέχρι τοῦδε διαλεκτικούς· τὰ δὲ
νῦν παρὰ σοῦ τε καὶ λυσίου μαθόντας εἰπὲ τί χρὴ καλεῖν· ἢ τοῦτο
ἐκεῖνό ἐστιν ἡ λόγων τέχνη· ᾗ θρασύμαχός τε καὶ οἱ ἄλλοι χρώ-
μενοι σοφοὶ μὲν αὐτοὶ λέγειν γεγόνασιν ἄλλους τε ποιοῦσιν οἳ ἂν

δωροφορεῖν αὐτοῖς ὡς βασιλεῦσιν ἐθέλωσιν: βασιλικοὶ μὲν ἄν-
δρες· οὐ μὲν δὴ ἐπιστήμονές γε ὧν ἐρωτᾷς: ἀλλὰ τοῦτο μὲν τὸ εἶδος
ὀρθῶς ἔμοιγε δοκεῖς καλεῖν διαλεκτικὸν καλῶν· τὸ δὲ ῥητορι-
κὸν δοκεῖ μοι διαφεύγειν ἔθ' ἡμᾶς: πῶς φῄς· καλόν πού τι ἂν εἴη
ὃ τούτων ἀπολειφθὲν ὅμως τέχνῃ λαμβάνεται· πάντως δ' οὐκ ἀ-
τιμαστέον αὐτὸ σοί τε καὶ ἐμοί· λεκτέον δὲ τί μέντοι καὶ ἔστι τὸ λειπό-
μενον τῆς ῥητορικῆς: καὶ μάλα που συχνὰ ὦ σώκρατες τά γ' ἐν
τοῖς βιβλίοις τοῖς περὶ λόγων τέχνης γεγραμμένοις: καλῶς
γε ὑπέμνησας· προοίμιον μὲν οἶμαι πρῶτον ὡς δεῖ τοῦ
λόγου λέγεσθαι ἐν ἀρχῇ· ταῦτα λέγεις· ἦ γάρ· τὰ κομψὰ τῆς τέχνης:
ναί: δεύτερον δὲ δὴ διήγησίν τινα μαρτυρίας τ' ἐπ' αὐτῇ· τρίτον
τεκμήρια· τέταρτον εἰκότα· καὶ πίστωσιν οἶμαι καὶ ἐπιπίστωσιν
λέγειν τόν γε βέλτιστον λογοδαίδαλον βυζάντιον ἄνδρα: τὸν χρη-
στὸν λέγεις θεόδωρον: τί μήν· καὶ ἔλεγχόν γε καὶ ἐπεξέλεγχον ὡς
ποιητέον ἐν κατηγορίᾳ τε καὶ ἀπολογίᾳ· τὸν δὲ κάλλιστον πάριον
εὐηνὸν εἰς μέσον οὐκ ἄγομεν· ὃς ὑποδήλωσίν τε πρῶτος εὗρε καὶ
παρεπαίνους: οἱ δ' αὐτὸν καὶ παραψόγους φασὶν ἐν μέτρῳ λέ-
γειν μνήμης χάριν· σοφὸς γὰρ ἁνήρ· τισίαν δὲ γοργίαν τε ἐάσο-
μεν εὕδειν· οἳ πρὸ τῶν ἀληθῶν τὰ εἰκότα εἶδον ὡς τιμητέα μᾶλλον
τά τε αὖ σμικρὰ μεγάλα καὶ τὰ μεγάλα σμικρὰ φαίνεσθαι ποιοῦσιν
διὰ ῥώμην λόγου· καινά τε ἀρχαίως· τά τ' ἐναντία καινῶς· συντο-
μίαν τε λόγων καὶ ἄπειρα μήκη περὶ πάντων ἀνεῦρον· ταῦτα δὲ
ἀκούων ποτέ μου πρόδικος ἐγέλασεν· καὶ μόνος αὐτὸς ηὑρη-
κέναι ἔφη ὧν δεῖ λόγων τέχνην· δεῖν δὲ οὔτε μακρῶν οὔτε βρα-
χέων ἀλλὰ μετρίων: σοφώτατά γε ὦ πρόδικε: ἱππίαν δὲ οὐ
λέγομεν· οἶμαι γὰρ ἂν σύμψηφον αὐτῷ καὶ τὸν ἠλεῖον ξένον γενέσθαι:
τί δ' οὔ: τὰ δὲ πώλου πῶς φράσωμεν αὖ μουσεῖα λόγων· ὡς δι-
πλασιολογίαν καὶ γνωμολογίαν καὶ εἰκονολογίαν· ὀνομάτων
τε λικυμνίων ἃ ἐκείνῳ ἐδωρήσατο πρὸς ποίησιν εὐεπείας:
πρωταγόρεια δὲ ὦ σώκρατες οὐκ ἦν μέντοι τοιαῦτ' ἄττα: ὀρθο-
έπειά γέ τις ὦ παῖ καὶ ἄλλα πολλὰ καὶ καλά· τῶν γε μὴν οἰκτρο-
γόων ἐπὶ γῆρας καὶ πενίαν ἑλκομένων λόγων κεκρατηκέναι
τέχνῃ μοι φαίνεται τὸ τοῦ χαλκηδονίου σθένος· ὀργίσαι τε αὖ
πολλοὺς ἅμα δεινὸς ἁνὴρ γέγονεν καὶ πάλιν ὠργισμένοις ἐ-

πάιδων κηλεῖν ὡς ἔφη· διαβάλλειν τε καὶ ἀπολύσασθαι διαβολὰς
ὁθενδὴ κράτιστος· τὸ δὲ δὴ τέλος τῶν λόγων κοινῇ πᾶσιν ἔοικε
συνδεδογμένον εἶναι· ᾧ τινες μὲν ἐπάνοδον, ἄλλοι δ' ἄλλο τίθενται
ὄνομα. τὸ ἐν κεφαλαίῳ ἕκαστα λέγεις ὑπομνῆσαι ἐπὶ τελευτῆς
τοὺς ἀκούοντας περὶ τῶν εἰρημένων· ταῦτα λέγω καὶ εἴ τι σὺ
ἄλλο ἔχεις εἰπεῖν λόγων τέχνης πέρι: σμικρά γε καὶ οὐκ ἄξια λέ-
γειν: ἐῶμεν δὴ τά γε σμικρά· ταῦτα δὲ ὑπ' αὐγὰς μᾶλλον ἴδωμεν
τίνα καὶ πότ' ἔχει τὴν τῆς τέχνης δύναμιν: καὶ μάλα ἐρρωμένην
ὦ Σώκρατες ἔν γε δὴ πλήθους συνόδοις. ἔχει γάρ· ἀλλ' ὦ δαιμόνιε
ἴδε καὶ σὺ εἰ ἄρα καὶ σοὶ φαίνεται διεστηκὸς αὐτῶν τὸ ἤτριον ὥσπερ
ἐμοί: δεῖκνυε μόνον: εἰπὲ δή μοι: εἴ τις προσελθὼν τῷ ἑταίρῳ
σου Ἐρυξιμάχῳ ἢ τῷ πατρὶ αὐτοῦ Ἀκουμενῷ εἴποι ὅτι ἐγὼ ἐ-
πίσταμαι τοιαῦτ' ἄττα σώμασι προσφέρειν ὥστε θερμαίνειν τ' ἐὰν
βούλωμαι καὶ ψύχειν· καὶ ἐὰν μὲν δόξῃ μοι ἐμεῖν ποιεῖν· ἐὰν δ' αὖ
κάτω διαχωρεῖν καὶ ἄλλα πάμπολλα τοιαῦτα· καὶ ἐπιστάμενος αὐ-
τὰ ἀξιῶ ἰατρικὸς εἶναι καὶ ἄλλον ποιεῖν ᾧ ἂν τὴν τούτων ἐπιστή-
μην παραδῶ· τί ἂν οἴει ἀκούσαντας εἰπεῖν· τί γε ἄλλο ἢ ἐρέσθαι εἰ
προσεπίσταται καὶ οὕστινας δεῖ καὶ ὁπότε ἕκαστα τούτων ποι-
εῖν καὶ μέχρι ὁπόσου: εἰ οὖν εἴποι ὅτι οὐδαμῶς ἀλλ' ἀξιῶ τὸν
ταῦτα παρ' ἐμοῦ μαθόντα αὐτὸν οἷόν τ' εἶναι ποιεῖν ἃ ἐρωτᾷς:
εἰπεῖν ἂν οἶμαι ὅτι μαίνεται ἄνθρωπος καὶ ἐκ βιβλίου ποθὲν ἀκού-
σας ἢ περιτυχὼν φαρμακίοις ἰατρὸς οἴεται γεγονέναι οὐδὲν
ἐπαΐων τῆς τέχνης: τί δ' εἰ Σοφοκλεῖ αὖ προσελθὼν καὶ Εὐριπί-
δῃ τις λέγοι ὡς ἐπίσταται περὶ σμικροῦ πράγματος ῥήσεις
παμμήκεις ποιεῖν καὶ περὶ μεγάλου πάνυ σμικράς· ὅταν τε βού-
ληται οἰκτρὰς καὶ τοὐναντίον αὖ φοβερὰς καὶ ἀπειλητικὰς
καὶ ὅσα τ' ἄλλα τοιαῦτα διδάσκων αὐτὰ τραγῳδίας ποίησιν
οἴεται παραδιδόναι: καὶ οὗτοι ἄν ὦ Σώκρατες οἶμαι καταγελῷεν
εἴ τις οἴεται τραγῳδίαν ἄλλο τι εἶναι ἢ τὴν τούτων σύστασιν πρέπου-
σαν ἀλλήλοις τε καὶ τῷ ὅλῳ συνισταμένην: ἀλλ' οὐκ ἂν ἀγροίκως
γε οἶμαι λοιδορήσειαν· ἀλλ' ὥσπερ ἂν μουσικὸς ἐντυχὼν ἀνδρὶ
οἰομένῳ ἁρμονικῷ εἶναι ὅτι δὴ τυγχάνει ἐπιστάμενος ὡς οἷόν
τε ὀξυτάτην καὶ βαρυτάτην χορδὴν ποιεῖν οὐκ ἀγρίως εἴποι
ἄν: ὦ μοχθηρέ μελαγχολᾷς· ἀλλ' ἅτε μουσικὸς ὢν πρᾳότε

ρονός; ὦ ἄριστε ἀνάγκη μὲν καὶ ταῦτ' ἐπίστασθαι τὸν μέλλοντα ἁρ
μονικὸν ἔσεσθαι οὐδὲν μὴν κωλύει μηδὲ σμικρὸν ἁρμονίας ἐπαΐ
ειν τὸν τὴν σὴν ἕξιν ἔχοντα· τὰ γὰρ πρὸ ἁρμονίας ἀναγκαῖα
μαθήματα ἐπίστασαι ἀλλ' οὐ τὰ ἁρμονικά: ὀρθότατά γε· οὐκοῦν
καὶ ὁ σοφοκλῆς τὸν σφίσιν ἐπιδεικνύμενον· τὰ πρὸ τραγῳδί
ας ἂν φαίη ἀλλ' οὐ τὰ τραγικά· καὶ ὁ ἀκουμενὸς τὰ πρὸ ἰατρι
κῆς ἀλλ' οὐ τὰ ἰατρικά: παντάπασι μὲν οὖν: τί δὲ τὸν μελίγη
ρυν ἄδραστον οἰόμεθα ἢ καὶ περικλέα εἰ ἀκούσειαν ὧν νῦν δὴ ἡ
μεῖς διῇμεν τῶν παγκάλων τεχνημάτων βραχυλογιῶν τε καὶ εἰ
κονολογιῶν· καὶ ὅσα ἄλλα διελθόντες ὑπ' αὐγὰς ἔφαμεν εἶναι
σκεπτέα πότερον χαλεπῶς ἂν αὐτοὺς ὥσπερ ἐγώ τε καὶ σὺ ὑπ'
ἀγροικίας ῥῆμά τι εἰπεῖν ἀπαίδευτον εἰς τοὺς ταῦτα γεγραφό
τας τε καὶ διδάσκοντας ὡς ῥητορικὴν τέχνην ἢ ἅτε ἡμῶν ὄντας
σοφωτέρους κἂν νῷν ἐπιπλῆξαι εἰπόντας ὦ φαῖδρέ τε καὶ σώ
κρατες οὐ χρὴ χαλεπαίνειν ἀλλὰ συγγιγνώσκειν εἴ τινες μὴ ἐπιστά
μενοι διαλέγεσθαι ἀδύνατοι ἐγένοντο ὁρίσασθαι τί ποτ' ἔστιν ῥη
τορική· ἐκ δὲ τούτου τοῦ πάθους τὰ πρὸ τῆς τέχνης ἀναγκαῖα
μαθήματα ἔχοντες ῥητορικὴν ᾠήθησαν ηὑρηκέναι· καὶ ταῦτα
δὴ διδάσκοντες ἄλλους ἡγοῦνταί σφισιν τελέως ῥητορικὴν δε
διδάχθαι· τὸ δὲ ἕκαστα τούτων πιθανῶς λέγειν τε καὶ τὸ ὅλον
συνίστασθαι οὐδὲν ἔργον αὐτοὺς δεῖν παρ' ἑαυτῶν τοὺς μαθη
τὰς σφῶν πορίζεσθαι ἐν τοῖς λόγοις: ἀλλὰ μὴν ὦ σώκρατες
κινδυνεύει τοιοῦτόν τι εἶναι τὸ τῆς τέχνης ἣν οὗτοι οἱ ἄνδρες ὡς
ῥητορικὴν διδάσκουσίν τε καὶ γράφουσιν· καὶ ἔμοιγε δοκεῖς ἀλη
θῆ εἰρηκέναι· ἀλλὰ δὴ τὴν τοῦ τῷ ὄντι ῥητορικοῦ τε καὶ πιθανοῦ
τέχνην πῶς καὶ πόθεν ἄν τις δύναιτο πορίσασθαι: τὸ μὲν δύνα
σθαι ὦ φαῖδρε ὥστε ἀγωνιστὴν τέλεον γενέσθαι εἰκὸς ἴσως δὲ
καὶ ἀναγκαῖον ἔχειν ὥσπερ τἆλλα· εἰ μέν σοι ὑπάρχει φύσει ῥητορι
κῷ εἶναι· ἔσῃ ῥήτωρ ἐλλόγιμος προσλαβὼν ἐπιστήμην τε καὶ
μελέτην ὅτου δ' ἂν ἐλλείπῃς τούτων ταύτῃ ἀτελὴς ἔσῃ· ὅσον δὲ
αὐτοῦ τέχνη οὐχ ᾗ λυσίας τε καὶ θρασύμαχος πορεύεται δοκεῖ
μοι φαίνεσθαι ἡ μέθοδος: ἀλλὰ πῇ δή: κινδυνεύει ὦ ἄριστε εἰ
κότως ὁ περικλῆς πάντων τελεώτατος εἰς τὴν ῥητορικὴν γε
νέσθαι: τί δή: πᾶσαι ὅσαι μεγάλαι τῶν τεχνῶν προσδέονται

ἀδολεσχίας καὶ μετεωρολογίας φύσεως πέρι· τὸ γὰρ ὑψηλόνουν
τοῦτο καὶ πάντῃ τελεσιουργὸν ἔοικεν ἐντεῦθέν ποθεν εἰσιέναι· ὃ
καὶ περικλῆς πρὸς τῷ εὐφυὴς εἶναι ἐκτήσατο· προσπεσὼν γὰρ
οἶμαι τοιούτῳ ὄντι ἀναξαγόρᾳ μετεωρολογίας ἐμπλησθεὶς καὶ ἐπὶ
φύσιν νοῦ τε καὶ ἀνοίας ἀφικόμενος ὧν δὴ πέρι τὸν πολὺν λόγον
ἐποιεῖτο ἀναξαγόρας· ἐντεῦθεν εἵλκυσεν ἐπὶ τὴν τῶν λόγων τέ
χνην τὸ πρόσφορον αὐτῇ: πῶς τοῦτο λέγεις: ὁ αὐτός που τρό
πος τέχνης ἰατρικῆς ὅσπερ καὶ ῥητορικῆς: πῶς δή: ἐν ἀμφοτέ
ραις δεῖ διελέσθαι φύσιν σώματος μὲν ἐν τῇ ἑτέρᾳ ψυχῆς δὲ ἐν τῇ
ἑτέρᾳ εἰ μέλλεις μὴ τριβῇ μόνον καὶ ἐμπειρίᾳ ἀλλὰ τέχνῃ τῷ μὲν
φάρμακα καὶ τροφὴν προσφέρων ὑγίειαν καὶ ῥώμην ἐμποιή
σειν· τῇ δὲ λόγους καὶ ἐπιτηδεύσεις νομίμους πειθὼ ἣν ἂν
βούλῃ καὶ ἀρετὴν παραδώσειν: τὸ γοῦν εἰκὸς ὦ σώκρατες οὕτως:
ψυχῆς οὖν φύσιν ἀξίως λόγου κατανοῆσαι οἴει δυνατὸν εἶναι ἄ
νευ τῆς τοῦ ὅλου φύσεως: εἰ μὲν ἱπποκράτει γε τῷ τῶν ἀσκληπι
αδῶν δεῖ τι πιθέσθαι οὐδὲ περὶ σώματος ἄνευ τῆς μεθόδου ταύ
της· καλῶς γὰρ ὦ ἑταῖρε λέγει· χρὴ μέντοι πρὸς τῷ ἱπποκράτει
τὸν λόγον ἐξετάζοντας σκοπεῖν εἰ συμφωνεῖ: φημί: τὸ τοίνυν περὶ
φύσεως σκόπει τί ποτε λέγει ἱπποκράτης καὶ ὁ ἀληθὴς λόγος·
ἆρ' οὐχ ὧδε δεῖ διανοεῖσθαι περὶ ὁτουοῦν φύσεως· πρῶτον μὲν
ἁπλοῦν ἢ πολυειδές ἐστιν οὗ πέρι βουλησόμεθα εἶναι αὐτοὶ τε
χνικοὶ καὶ ἄλλον δυνατοὶ ποιεῖν· ἔπειτα δὲ ἂν μὲν ἁπλοῦν ᾖ σκο
πεῖν τὴν δύναμιν αὐτοῦ τίνα πρὸς τί πέφυκεν εἰς τὸ δρᾶν ἔχον ἢ τί
να εἰς τὸ παθεῖν ὑπὸ τοῦ· ἐὰν δὲ πλείω εἴδη ἔχῃ ταῦτα ἀριθμη
σάμενον ὅπερ ἐφ' ἑνὸς τοῦτ' ἰδεῖν ἐφ' ἑκάστου τῷ τί ποιεῖν
αὐτὸ πέφυκεν ἢ τῷ τί παθεῖν ὑπὸ τοῦ: κινδυνεύει ὦ σώκρατες:
ἡ γοῦν ἄνευ τούτων μέθοδος ἐοίκοι ἂν ὥσπερ τυφλοῦ πορείᾳ· ἀλ
λ' οὐ μὴν ἀπεικαστέον τόν γε τέχνῃ μετιόντα ὁτιοῦν τυφλῷ οὐδὲ
κωφῷ· ἀλλὰ δῆλον ὡς ἄν τῳ τις τέχνῃ λόγους διδῷ· τὴν οὐσίαν
δείξει ἀκριβῶς τῆς φύσεως τούτου πρὸς ὃ τοὺς λόγους προσοί
σει· ἔσται δέ που ψυχὴ τοῦτο: τί μήν: οὐκοῦν ἡ ἅμιλλα αὐτῷ τέτα
ται πρὸς τοῦτο πᾶσα· πειθὼ γὰρ ἐν τούτῳ ποιεῖν ἐπιχειρεῖ· ἦ
γάρ: ναί: δῆλον ἄρα ὅτι ὁ θρασύμαχός τε καὶ ὃς ἂν ἄλλος σπου
δῇ τέχνην ῥητορικὴν διδῷ· πρῶτον πάσῃ ἀκριβείᾳ γράψει

ψυχὴν ποιήσει ἰδεῖν· πότερον ἓν καὶ ὅμοιον πέφυκεν· ἢ κατὰ
σώματος μορφὴν πολυειδές· τοῦτο γάρ φαμεν φύσιν εἶναι
δεικνύναι: Παντάπασι μὲν οὖν: Δεύτερον δέ γε ὅτῳ τί ποιεῖν ἢ παθεῖν
ὑπὸ τοῦ πέφυκε: Τί μήν: Τρίτον δὲ δὴ διαταξάμενος
τὰ λόγων τε καὶ ψυχῆς γένη καὶ τὰ τούτων παθήματα δίεισι
τὰς αἰτίας προσαρμόττων ἕκαστον ἑκάστῳ καὶ διδάσκων οἵα
οὖσα ὑφ' οἵων λόγων δι' ἣν αἰτίαν ἐξ ἀνάγκης ἡ μὲν πείθεται ἡ
δὲ ἀπειθεῖ: Κάλλιστ' ἂν γοῦν ὡς ἔοικεν ἔχοι οὕτως: Οὔτοι μὲν
οὖν ὦ φίλε ἄλλως ἐνδεικνύμενον ἢ λεγόμενον τέχνῃ ποτὲ λε-
χθήσεται ἢ γραφήσεται οὔτε τι ἄλλο οὔτε τοῦτο· ἀλλ' οἱ νῦν γράφον-
τες ὧν σὺ ἀκήκοας τέχνας λόγων· πανοῦργοί εἰσι καὶ ἀπο-
κρύπτονται εἰδότες ψυχῆς πέρι παγκάλως· πρὶν ἂν οὖν τὸν τρό-
πον τοῦτον λέγωσί τε καὶ γράφωσι· μὴ πειθώμεθα αὐτοῖς
τέχνῃ γράφειν: Τίνα τοῦτον: Αὐτὰ μὲν τὰ ῥήματα εἰπεῖν οὐ-
κ εὐπετές· ὡς δὲ δεῖ γράφειν εἰ μέλλει τεχνικῶς ἔχειν καθ' ὅσον
ἐνδέχεται λέγειν ἐθέλω: Λέγε δή: Ἐπειδὴ λόγου δύναμις τυγχά-
νει ψυχαγωγία οὖσα, τὸν μέλλοντα ῥητορικὸν ἔσεσθαι· ἀνάγκη
εἰδέναι ψυχὴ ὅσα εἴδη ἔχει· ἔστιν οὖν τόσα καὶ τόσα καὶ τοῖα καὶ
τοῖα· ὅθεν οἱ μὲν τοιοίδε· οἱ δὲ τοιοίδε γίγνονται· τούτων δὲ δὴ
διῃρημένων λόγων αὖ τόσα ἐστὶν εἴδη τοιόνδε ἕκα-
στον· οἱ μὲν τοιοίδε ὑπὸ τῶν τοιῶνδε λόγων διὰ τήνδε τὴν αἰτί-
αν ἐς τὰ τοιάδε εὐπειθεῖς· οἱ δὲ τοιοίδε διὰ τάδε δυσπειθεῖς·
Δεῖ δὴ ταῦτα ἱκανῶς νοήσαντα μετὰ ταῦτα θεώμενον αὐτὰ ἐν
ταῖς πράξεσιν ὄντα καὶ πραττόμενα ὀξέως τῇ αἰσθήσει
δύνασθαι ἐπακολουθεῖν· ἢ μηδὲν εἶναί πω πλέον αὐτῷ ὧν
τότε ἤκουε λόγων ξυνών· ὅταν δὲ εἰπεῖν τε ἱκανῶς ἔχῃ οἷος
ὑφ' οἵων πείθεται, παραγιγνόμενόν τε δυνατὸς ᾖ διαισθανό-
μενος ἑαυτῷ ἐνδείκνυσθαι ὅτι οὗτός ἐστι καὶ αὕτη ἡ φύσις
περὶ ἧς τότε ἦσαν οἱ λόγοι νῦν ἔργῳ παροῦσά οἱ ᾗ προσοι-
στέον τούσδε ὧδε τοὺς λόγους ἐπὶ τὴν τῶνδε πειθώ· ταῦ-
τα δ' ἤδη πάντα ἔχοντι προσλαβόντι καιροὺς τοῦ πότε λεκτέ-
ον καὶ ἐπισχετέον βραχυλογίας τε αὖ καὶ ἐλεεινολογίας καὶ
δεινώσεως ἑκάστων τε ὅσ' ἂν εἴδη μάθῃ λόγων τούτων τὴν
εὐκαιρίαν τε καὶ ἀκαιρίαν διαγνόντι καλῶς τε καὶ τελέως ἐστὶν ἡ τέχνη ἀπειρ-

γασμένη πρότερον δ᾽ οὔ· ἀλλ᾽ ὅτι ἂν αὐτῶν τις ἐλλείπη λέγων
ἢ διδάσκων ἢ γράφων· φῆ δὲ τέχνη λέγειν, ὁ μὴ πειθόμενος
κρατεῖ. τί δὴ οὖν; φήσει ἴσως ὁ συγγραφεύς· ὦ φαῖδρέ τε καὶ σώ-
κρατες· δοκεῖ οὕτως; ἢ ἄλλως πως ἀποδεκτέον λεγομένης
λόγων τέχνης: ἀδύνατόν που ὦ σώκρατες ἄλλως. καίτοι
οὐ σμικρόν γε φαίνεται ἔργον: ἀληθῆ λέγεις: τούτου τοι ἕνε-
κα χρὴ πάντας τοὺς λόγους ἄνω καὶ κάτω μεταστρέφοντα ἐπισκο-
πεῖν εἴ τίς πη ῥάων καὶ βραχυτέρα φαίνεται ἐπ᾽ αὐτὴν ὁδός· ἵνα
μὴ μάτην πολλὴν ἀπίη καὶ τραχεῖαν, ἐξὸν ὀλίγην τε καὶ λεί-
αν· ἀλλ᾽ εἴ τινα βοήθειαν ἔχεις· ἐπακηκοὼς λυσίου ἤ τινος
ἄλλου· πειρῶ λέγειν ἀναμιμνησκόμενος: ἕνεκα μὲν πείρας
ἔχοιμ᾽ ἄν· ἀλλ᾽ οὔτι νῦν γ᾽ οὕτως ἔχω: βούλει οὖν ἐγώ τιν᾽ εἴπω λό-
γον ὃν τῶν περὶ ταῦτά τινων ἀκήκοα: τί μήν: λέγεται γοῦν
ὦ φαῖδρε δίκαιον εἶναι καὶ τὸ τοῦ λύκου εἰπεῖν: καὶ σύ γε οὕ-
τω ποίει: φασὶ τοίνυν οὐδὲν οὕτω ταῦτα δεῖν σεμνύνειν οὐ-
δ᾽ ἀνάγειν ἄνω μακρὰν περιβαλλομένους· παντάπασι γὰρ
ὃ καὶ κατ᾽ ἀρχὰς εἴπομεν τοῦδε τοῦ λόγου, ὅτι οὐδὲν ἀληθείας
μετέχειν δέοι δικαίων ἢ ἀγαθῶν πέρι πραγμάτων ἢ καὶ ἀνθρώ-
πων γε τοιούτων φύσει ὄντων ἢ τροφῆ τὸν μέλλοντα ἱκανῶς ῥη-
τορικὸν ἔσεσθαι· τὸ παράπαν γὰρ οὐδὲν ἐν τοῖς δικαστηρίοις
τούτων ἀληθείας μέλειν οὐδενὶ ἀλλὰ τοῦ πιθανοῦ· τοῦτο δ᾽ εἶναι
τὸ εἰκός, ᾧ δεῖν προσέχειν τὸν μέλλοντα τέχνη ἐρεῖν· οὐδὲ γὰρ
αὐτὰ τὰ πραχθέντα δεῖν λέγειν ἐνίοτε, ἐὰν μὴ εἰκότως ἦ πεπρα-
γμένα, ἀλλὰ τὰ εἰκότα, ἔν τε κατηγορία καὶ ἀπολογία· καὶ πάν-
τως λέγοντα τὸ δὴ εἰκὸς διωκτέον εἶναι, πολλὰ εἰπόντα χαί-
ρειν τῶ ἀληθεῖ· τοῦτο γὰρ διὰ παντὸς τοῦ λόγου γιγνόμενον
τὴν ἅπασαν τέχνην πορίζειν: αὐτά γε ὦ σώκρατες διελή-
λυθας ἃ λέγουσιν οἱ περὶ τοὺς λόγους τεχνικοὶ προσποιούμε-
νοι εἶναι: ἀνεμνήσθην γὰρ ὅτι ἐν τῶ πρόσθεν βραχέως τοῦ
τοιούτου ἐφηψάμεθα· δοκεῖ δὲ τοῦτο πάμμεγα εἶναι τοῖς
περὶ ταῦτα: ἀλλὰ μὴν τόν γε τεισίαν αὐτὸν πεπάτηκας ἀκριβῶς·
εἰπέτω τοίνυν καὶ τόδε ἡμῖν ὁ τεισίας, μή τι ἄλλο λέγει τὸ εἰκὸς
ἢ τὸ τῶ πλήθει δοκοῦν: τί γὰρ ἄλλο τοῦτο δὴ ὡς ἔοικε σοφὸν εὑ-
ρὼν ἅμα καὶ τεχνικὸν ἔγραψεν ὡς ἐάν τις ἀσθενὴς καὶ ἀνδρι-

κὰν ἰσχυρὸν καὶ δειλὸν συγκόψας ἱμάτιον ἤ τι ἄλλο ἀφελόμενος
εἰς δικαστήριον ἄγηται· δεῖ δὴ τἀληθὲς μηδέτερον λέγειν· ἀλλὰ
τὸν μὲν δειλὸν μὴ ὑπὸ μόνου φάναι τοῦ ἀνδρικοῦ συγκεκόφθαι·
τὸν δὲ τοῦτο μὲν ἐλέγχειν ὡς μόνω ἤστην, ἐκείνῳ δὲ καταχρή-
σασθαι τῷ πῶς δ' ἂν ἐγὼ τοιόσδε τοιῷδε ἐπεχείρησα· ὁ δ' οὐκ
ἐρεῖ δὴ τὴν ἑαυτοῦ κάκην, ἀλλά τι ἄλλο ψεύδεσθαι ἐπιχειρῶν
τάχ' ἂν ἔλεγχόν πη παραδοίη τῷ ἀντιδίκῳ· καὶ περὶ τἆλλα δὴ
τοιαῦτ' ἄττα ἐστὶ τὰ τέχνῃ λεγόμενα· οὐ γάρ ὦ φαῖδρε: τί μήν:
φεῦ δεινῶς γ' ἔοικεν ἀποκεκρυμμένην τέχνην ἀνευρεῖν ὁ τισίας
ἢ ἄλλος ὅστις δή ποτ' ὢν τυγχάνει καὶ ὁπόθεν χαίρει ὀνομαζό-
μενος· ἀτὰρ ὦ ἑταῖρε τούτῳ ἡμεῖς πότερον λέγωμεν ἢ μή:
τὸ ποῖον: ὅτι ὦ τισία πάλαι ἡμεῖς πρὶν καὶ σὲ παρελθεῖν τυγ-
χάνομεν λέγοντες ὡς ἄρα τοῦτο τὸ εἰκὸς τοῖς πολλοῖς δι' ὁμοι-
ότητα τοῦ ἀληθοῦς τυγχάνει ἐγγιγνόμενον· τὰς δὲ ὁμοιό-
τητας ἄρτι διήλθομεν ὅτι πανταχοῦ ὁ τὴν ἀλήθειαν εἰδὼς
κάλλιστα ἐπίσταται εὑρίσκειν· ὥστ' εἰ μὲν ἄλλο τι περὶ τέχνης λό-
γων λέγεις, ἀκούοιμεν ἄν· εἰ δὲ μή, οἷς νῦν δὴ διήλθομεν πεισόμε-
θα· ὡς ἐὰν μή τις τῶν τε ἀκουσομένων τὰς φύσεις διαριθμή-
σηται καὶ κατ' εἴδη τε διαιρεῖσθαι τὰ ὄντα καὶ μιᾷ ἰδέᾳ δυνα-
τὸς ᾖ καθ' ἓν ἕκαστον περιλαμβάνειν, οὔ ποτ' ἔσται τεχνικὸς
λόγων πέρι καθ' ὅσον δυνατὸν ἀνθρώπῳ· ταῦτα δὲ οὐ μή
ποτε κτήσηται ἄνευ πολλῆς πραγματείας· ἣν οὐχ ἕνεκα τοῦ
λέγειν καὶ πράττειν πρὸς ἀνθρώπους δεῖ διαπονεῖσθαι τὸν
σώφρονα· ἀλλὰ τοῦ θεοῖς κεχαρισμένα μὲν λέγειν δύνασθαι·
κεχαρισμένως δὲ πράττειν τὸ πᾶν εἰς δύναμιν· οὐ γὰρ δὴ ἄρα
ὦ τισία φασὶν οἱ σοφώτεροι ἡμῶν ὁμοδούλοις δεῖ χαρίζεσθαι μελε-
τᾶν τὸν νοῦν ἔχοντα ὅτι μὴ πάρεργον· ἀλλὰ δεσπόταις ἀγαθοῖς
τε καὶ ἐξ ἀγαθῶν· ὥστ' εἰ μακρὰ ἡ περίοδος, μὴ θαυμάσῃς·
μεγάλων γὰρ ἕνεκα περιιτέον οὐχ ὡς σὺ δοκεῖς· ἔσται μὴν ὡς
ὁ λόγος φησὶν ἐάν τις ἐθέλῃ καὶ ταῦτα κάλλιστα ἐξ ἐκείνων γιγ-
νόμενα: παγκάλως ἔμοιγε δοκεῖ λέγεσθαι ὦ σώκρατες εἴ-
περ οἷός τέ τις εἴη· ἀλλὰ καὶ ἐπιχειροῦντί τοι τοῖς καλοῖς καλὸν καὶ
πάσχειν ὅτι ἄν τῳ συμβῇ παθεῖν: καὶ μάλα: οὐκοῦν τὸ μὲν
τέχνης τε καὶ ἀτεχνίας λόγων πέρι ἱκανῶς ἐχέτω: τί μήν:

τὸ δ' εὐπρεπείας δὴ γραφῆς πέρι καὶ ἀπρεπείας, πῆι γιγνόμενον
καλῶς ἂν ἔχοι καὶ ὅπηι ἀπρεπῶς, λοιπόν. ἦ γάρ: ναί: οἶσθ' οὖν ὅπη
μάλιστα θεῷ χαριῆ λόγων πέρι πράττων ἢ λέγων; οὐδαμῶς.
σὺ δέ: ἀκοήν γ' ἔχω λέγειν τῶν προτέρων, τὸ δ' ἀληθὲς αὐτοὶ ἴσα-
σιν. εἰ δὲ τοῦτο εὕροιμεν αὐτοί, ἆρά γ' ἂν ἔθ' ἡμῖν μέλοι τι τῶν ἀνθρω-
πίνων δοξασμάτων: γελοῖον ἤρου· ἀλλ' ἃ φὴς ἀκηκοέναι λέγε:
ἤκουσα τοίνυν περὶ Ναύκρατιν τῆς Αἰγύπτου γενέσθαι τῶν ἐκεῖ
παλαιῶν τινα θεῶν, οὗ καὶ τὸ ὄρνεον τὸ ἱερὸν ὃ δὴ καλοῦσιν ἶβιν·
αὐτῷ δὲ ὄνομα τῷ δαίμονι εἶναι Θεύθ. τοῦτον δὴ πρῶτον ἀρι-
θμόν τε καὶ λογισμὸν εὑρεῖν καὶ γεωμετρίαν καὶ ἀστρονομίαν, ἔτι
δὲ πεττείας τε καὶ κυβείας, καὶ δὴ καὶ γράμματα. βασιλέως δ' αὖ
τότε ὄντος Αἰγύπτου ὅλης Θαμοῦ περὶ τὴν μεγάλην πόλιν τοῦ
ἄνω τόπου ἣν οἱ Ἕλληνες Αἰγυπτίας Θήβας καλοῦσι, καὶ τὸν θεὸν
Ἄμμωνα, παρὰ τοῦτον ἐλθὼν ὁ Θεὺθ τὰς τέχνας ἐπέδειξεν,
καὶ ἔφη δεῖν διαδοθῆναι τοῖς ἄλλοις Αἰγυπτίοις· ὁ δὲ ἤρετο ἥν-
τινα ἑκάστη ἔχοι ὠφελίαν, διεξιόντος δέ, ὅτι καλῶς ἢ μὴ καλῶς
δοκοῖ λέγειν, τὸ μὲν ἔψεγεν, τὸ δ' ἐπῄνει. πολλὰ μὲν δὴ περὶ ἑκά-
στης τῆς τέχνης ἐπ' ἀμφότερα Θαμοῦν τῷ Θεὺθ λέγεται ἀπο-
φήνασθαι, ἃ λόγος πολὺς ἂν εἴη διελθεῖν· ἐπειδὴ δὲ ἐπὶ τοῖς
γράμμασιν ἦν, τοῦτο δέ, ὦ βασιλεῦ, τὸ μάθημα, ἔφη ὁ Θεύθ, σο-
φωτέρους Αἰγυπτίους καὶ μνημονικωτέρους παρέξει· μνή-
μης τε γὰρ καὶ σοφίας φάρμακον ηὑρέθη. ὁ δ' εἶπεν· ὦ τεχνικώ-
τατε Θεύθ, ἄλλος μὲν τεκεῖν δυνατὸς τὰ τῆς τέχνης, ἄλλος δὲ
κρῖναι τίν' ἔχει μοῖραν βλάβης τε καὶ ὠφελίας τοῖς μέλλουσι χρῆ-
σθαι· καὶ νῦν σύ, πατὴρ ὢν γραμμάτων, δι' εὔνοιαν τοὐναντίον εἶ-
πες ἢ δύναται. τοῦτο γὰρ τῶν μαθόντων λήθην μὲν ἐν ψυχαῖς
παρέξει μνήμης ἀμελετησίαι, ἅτε διὰ πίστιν γραφῆς ἔξωθεν
ὑπ' ἀλλοτρίων τύπων, οὐκ ἔνδοθεν αὐτοὺς ὑφ' αὑτῶν ἀναμιμνῃσκο-
μένους· οὔκουν μνήμης ἀλλὰ ὑπομνήσεως φάρμακον ηὗρες. σο-
φίας δὲ τοῖς μαθηταῖς δόξαν, οὐκ ἀλήθειαν πορίζεις· πολυήκο-
οι γάρ σοι γενόμενοι ἄνευ διδαχῆς πολυγνώμονες εἶναι δόξου-
σιν, ἀγνώμονες ὡς ἐπὶ τὸ πλῆθος ὄντες, καὶ χαλεποὶ συνεῖναι,
δοξόσοφοι γεγονότες ἀντὶ σοφῶν: ὦ Σώκρατες, ῥᾳδίως
σὺ Αἰγυπτίους καὶ ὁποδαποὺς ἂν ἐθέλῃς λόγους ποιεῖς: οἱ δέ

ὦ φίλε ἐν τῷ ἱερῷ τοῦ διὸς τοῦ δωδωναίου ἱεροῦ δρυὸς λόγους ἔ-
φησαν μαντικοὺς πρώτους γενέσθαι· τοῖς μὲν οὖν τότε ἅτε οὐκ
οὖσι σοφοῖς ὥσπερ ὑμεῖς οἱ νέοι ἀπέχρη δρυὸς καὶ πέτρας
ἀκούειν ὑπ' εὐηθείας εἰ μόνον ἀληθῆ λέγοιεν· σοὶ δ' ἴσως διαφέρει τίς
ὁ λέγων καὶ ποδαπός· οὐ γὰρ ἐκεῖνο μόνον σκοπεῖς εἴτε οὕτως
εἴτε ἄλλως ἔχει: ὀρθῶς ἐπέπληξας· καί μοι δοκεῖ περὶ γραμ-
μάτων ἔχειν ᾗπερ ὁ θηβαῖος λέγει: οὐκοῦν ὁ τέχνην οἰόμενος
ἐν γράμμασι καταλιπεῖν καὶ αὖ ὁ παραδεχόμενος ὥς τι σαφὲς καὶ
βέβαιον ἐκ γραμμάτων ἐσόμενον· πολλῆς ἂν εὐηθείας γέμοι καὶ
τῷ ὄντι τὴν ἄμμωνος μαντείαν ἀγνοοῖ πλέον τι οἰόμενος εἶναι
λόγους γεγραμμένους τοῦ τὸν εἰδότα ὑπομνῆσαι περὶ ὧν
ἂν ᾖ τὰ γεγραμμένα: ὀρθότατα: δεινὸν γάρ που ὦ φαῖδρε
τοῦτ' ἔχει γραφὴ καὶ ὡς ἀληθῶς ὅμοιον ζωγραφίᾳ· καὶ γὰρ τὰ
ἐκείνης ἔκγονα ἕστηκε μὲν ὡς ζῶντα· ἐὰν δ' ἀνέρῃ τι σεμνῶς
πάνυ σιγᾷ· ταὐτὸν δὲ καὶ οἱ λόγοι· δόξαις μὲν ἂν ὥς τι φρονοῦν-
τας αὐτοὺς λέγειν· ἐὰν δέ τι ἔρῃ τῶν λεγομένων βουλόμενος
μαθεῖν ἕν τι σημαίνει μόνον ταὐτὸν ἀεί· ὅταν δὲ ἅπαξ γραφῇ κυ-
λινδεῖται μὲν πανταχοῦ πᾶς λόγος ὁμοίως παρὰ τοῖς ἐπα-
ΐουσιν· ὡς δ' αὔτως παρ' οἷς οὐδὲν προσήκει καὶ οὐκ ἐπίστα-
ται λέγειν οἷς δεῖ γε καὶ μή· πλημμελούμενος δὲ καὶ οὐκ ἐν δίκῃ λοι-
δορηθεὶς τοῦ πατρὸς ἀεὶ δεῖται βοηθοῦ· αὐτὸς γὰρ οὔτ' ἀμύνα-
σθαι οὔτε βοηθῆσαι δυνατὸς αὑτῷ: καὶ ταῦτά σοι ὀρθότατα
εἴρηται: τί δ' ἄλλον ὁρῶμεν λόγον τούτου ἀδελφὸν γνήσιον τῷ
τρόπῳ τε γίγνεται καὶ ὅσῳ ἀμείνων καὶ δυνατώτερος τούτου
φύεται: τίνα τοῦτον καὶ πῶς λέγεις γιγνόμενον: ὃς μετ' ἐπιστή-
μης γράφεται ἐν τῇ τοῦ μανθάνοντος ψυχῇ· δυνατὸς μὲν ἀμῦ-
ναι ἑαυτῷ· ἐπιστήμων δὲ λέγειν τε καὶ σιγᾶν πρὸς οὓς δεῖ: τὸν
τοῦ εἰδότος λόγον λέγεις ζῶντα καὶ ἔμψυχον· οὗ ὁ γεγραμ-
μένος εἴδωλον ἄν τι λέγοιτο δικαίως: παντάπασι μὲν οὖν·
τόδε δή μοι εἰπέ· ὁ νοῦν ἔχων γεωργὸς ὧν σπερμάτων κήδοιτο
καὶ ἔγκαρπα βούλοιτο γενέσθαι· πότερα σπουδῇ ἂν θέρους
εἰς ἀδώνιδος κήπους ἀρῶν χαίροι θεωρῶν καλοὺς ἐν ἡμέ-
ραισιν ὀκτὼ γιγνομένους· ἢ ταῦτα μὲν δὴ παιδιᾶς τε καὶ ἑορ-
τῆς χάριν δρῴη ἄν ὅτε καὶ ποιοῖ· ἐφ' οἷς δὲ ἐσπούδακεν τῇ γε

ωργικῇ ἂν χρώμενος τέχνῃ, ἂν σπείρας εἰς τὸ προσῆκον ἀγαπ-
ῴη ἂν ἐν ὀγδόῳ μηνὶ ὅσα ἔσπειρεν τέλος λαβόντα· οὕτω που,
ὦ Σώκρατες, τὰ μὲν σπουδῇ, τὰ δὲ ὡς ἑτέρως ἂν ᾗ λέγεις ποιοῖ·
τὸν δὲ δικαίων τε καὶ καλῶν καὶ ἀγαθῶν ἐπιστήμας ἔχοντα τοῦ γε-
ωργοῦ φῶμεν ἧττον νοῦν ἔχειν εἰς τὰ ἑαυτοῦ σπέρματα· ἥκιστά
γε· οὐκ ἄρα σπουδῇ αὐτὰ ἐν ὕδατι γράψει μέλανι σπείρων διὰ
καλάμου μετὰ λόγων ἀδυνάτων μὲν αὑτοῖς λόγῳ βοηθεῖν, ἀδυ-
νάτων δὲ ἱκανῶς τἀληθῆ διδάξαι· οὔκουν δὴ τό γε εἰκός· οὐ γάρ·
ἀλλὰ τοὺς μὲν ἐν γράμμασι κήπους, ὡς ἔοικε, παιδιᾶς χάριν σπε-
ρεῖ τε καὶ γράψει· ὅταν δὲ γράφῃ, ἑαυτῷ τε ὑπομνήματα θη-
σαυριζόμενος εἰς τὸ λήθης γῆρας ἐὰν ἵκηται, καὶ παντὶ τῷ ταὐ-
τὸν ἴχνος μετιόντι, ἡσθήσεταί τε αὐτοὺς θεωρῶν φυομένους
ἁπαλούς· ὅταν δὲ ἄλλοι παιδιαῖς ἄλλαις χρῶνται, συμποσίοις τε
ἄρδοντες αὑτοὺς ἑτέροις τε ὅσα τούτων ἀδελφά, τότ᾽ ἐκεῖνος, ὡς ἔ-
οικεν, ἀντὶ τούτων οἷς λέγω παίζων διάξει· παγκάλην λέγεις
παρὰ φαύλην παιδιάν, ὦ Σώκρατες, τοῦ ἐν λόγοις δυναμένου
παίζειν, δικαιοσύνης καὶ ἄλλων ὧν λέγεις πέρι μυθολογοῦντα·
ἔστι γάρ, ὦ φίλε Φαῖδρε, οὕτω· πολὺ δ᾽ οἶμαι καλλίων σπουδὴ περὶ αὐ-
τὰ γίγνεται, ὅταν τις τῇ διαλεκτικῇ τέχνῃ χρώμενος, λαβὼν
ψυχὴν προσήκουσαν, φυτεύῃ τε καὶ σπείρῃ μετ᾽ ἐπιστήμης λό-
γους, οἳ ἑαυτοῖς τῷ τε φυτεύσαντι βοηθεῖν ἱκανοὶ καὶ οὐχὶ ἄ-
καρποι ἀλλὰ ἔχοντες σπέρμα, ὅθεν ἄλλοι ἐν ἄλλοις ἤθεσι φυό-
μενοι τοῦτ᾽ ἀεὶ ἀθάνατον παρέχειν ἱκανοί, καὶ τὸν ἔχοντα εὐδαι-
μονεῖν ποιοῦντες εἰς ὅσον ἀνθρώπῳ δυνατὸν μάλιστα· πολὺ
γὰρ τοῦτ᾽ ἔτι κάλλιον λέγεις· νῦν δὴ ἐκεῖνα ἤδη, ὦ Φαῖδρε, δυνά-
μεθα κρίνειν, τούτων ὡμολογημένων· τὰ ποῖα· ὧν δὴ πέρι βου-
λ ληθέντες ἰδεῖν ἀφικόμεθα εἰς τόδε, ὅπως τὸ Λυσίου τε ὄνειδος
ἐξετάσαιμεν τῆς τῶν λόγων γραφῆς πέρι, καὶ αὐτοὺς τοὺς λό-
γους οἳ τέχνῃ καὶ ἄνευ τέχνης γράφοιντο· τὸ μὲν οὖν ἔντεχνον
καὶ μὴ δοκεῖ μοι δεδηλῶσθαι μετρίως· ἔδοξέ γε δή· πάλιν δὲ
ὑπόμνησόν με πῶς· πρὶν ἄν τις τό τε ἀληθὲς ἑκάστων εἰδῇ
πέρι ὧν λέγει ἢ γράφει, κατ᾽ αὐτό τε πᾶν ὁρίζεσθαι δυνατὸς γέ-
νηται, ὁρισάμενός τε πάλιν κατ᾽ εἴδη μέχρι τοῦ ἀτμήτου τέμνειν
ἐπιστηθῇ, περί τε ψυχῆς φύσεως διιδὼν κατὰ ταὐτά, τὸ προσαρ-

ττον ἑκάστῃ φύσει εἶδος ἀνευρίσκων οὕτω τιθῇ καὶ διακοσμῇ
τὸν λόγον· ποικίλῃ μὲν ποικίλους ψυχῇ καὶ παναρμονίους διδοὺς
λόγους· ἁπλοῦς δὲ ἁπλῇ· οὐ πρότερον δυνατὸν τέχνῃ ἔσεσθαι
καθ' ὅσον πέφυκε μεταχειρισθῆναι τὸ λόγων γένος· οὔτε τι πρὸς
τὸ διδάξαι οὔτε τι πρὸς τὸ πεῖσαι ὡς ὁ ἔμπροσθεν πᾶς μεμήνυ-
κεν ἡμῖν λόγος: παντάπασι μὲν οὖν τοῦτό γε οὕτω πως ἐφάνη:
τί δ' αὖ περὶ τοῦ καλὸν ἢ αἰσχρὸν εἶναι τὸ λόγους λέγειν τε καὶ γρά-
φειν καὶ ὅπῃ γιγνόμενον ἐν δίκῃ λέγοιτ' ἂν ὄνειδος ἢ μή· ἆρα
οὐ δεδήλωκεν τὰ λεχθέντα ὀλίγον ἔμπροσθεν: τὰ ποῖα:
ὡς εἴτε Λυσίας ἤ τις ἄλλος πώποτε ἔγραψεν ἢ γράψει ἰδίᾳ ἢ
δημοσίᾳ νόμους τιθεὶς σύγγραμμα πολιτικὸν γράφων καὶ με-
γάλην τινὰ ἐν αὐτῷ βεβαιότητα ἡγούμενος καὶ σαφήνειαν
οὕτω μὲν ὄνειδος τῷ γράφοντι εἴτε τίς φησιν εἴτε μή· τὸ γὰρ ἀ-
γνοεῖν ὕπαρ τε καὶ ὄναρ δικαίων καὶ ἀδίκων πέρι καὶ κακῶν καὶ
ἀγαθῶν οὐκ ἐκφεύγει τῇ ἀληθείᾳ μὴ οὐκ ἐπονείδιστον εἶναι
οὐδὲ ἂν ὁ πᾶς ὄχλος αὐτὸ ἐπαινέσῃ: οὐ γὰρ οὖν: ὁ δέ γε ἐν μὲν
τῷ γεγραμμένῳ λόγῳ περὶ ἑκάστου παιδιάν τε ἡγούμενος
πολλὴν ἀναγκαῖον εἶναι καὶ οὐδένα πώποτε λόγον ἐν μέτρῳ
οὐδ' ἄνευ μέτρου μεγάλης ἄξιον σπουδῆς γραφῆναι οὐδὲ λε-
χθῆναι ὡς οἱ ῥαψῳδούμενοι ἄνευ ἀνακρίσεως καὶ διδαχῆς
πειθοῦς ἕνεκα ἐλέχθησαν· ἀλλὰ τῷ ὄντι αὐτῶν τοὺς βελτίστους
εἰδότων ὑπόμνησιν γεγονέναι· ἐν δὲ τοῖς διδασκομένοις καὶ
μαθήσεως χάριν λεγομένοις καὶ τῷ ὄντι γραφομένοις ἐν ψυ-
χῇ περὶ δικαίων τε καὶ καλῶν καὶ ἀγαθῶν ἐν μόνοις τό τε ἐναρ-
γὲς εἶναι καὶ τέλεον καὶ ἄξιον σπουδῆς· δεῖν δὲ τοὺς τοιούτους λό-
γους αὐτοῦ λέγεσθαι οἷον υἱεῖς γνησίους εἶναι· πρῶτον μὲν τὸν
ἐν αὐτῷ ἐὰν εὑρεθεὶς ἐνῇ· ἔπειτα εἴ τινες τούτου ἔκγονοί τε
καὶ ἀδελφοὶ ἅμα ἐν ἄλλαισιν ἄλλων ψυχαῖς κατ' ἀξίαν ἐνέφυσαν·
τοὺς δὲ ἄλλους χαίρειν ἐῶν· οὗτος δὲ ὁ τοιοῦτος ἀνὴρ κινδυνεύει
ὦ Φαῖδρε εἶναι οἷον ἐγώ τε καὶ σὺ εὐξαίμεθ' ἂν σέ τε καὶ ἐμὲ
γενέσθαι: παντάπασι μὲν οὖν ἔγωγε βούλομαί τε καὶ εὔχο-
μαι ἃ λέγεις: οὐκοῦν ἤδη πεπαίσθω μετρίως ἡμῖν τὰ περὶ λό-
γων· καὶ σύ τε ἐλθὼν φράζε Λυσίᾳ ὅτι νὼ καταβάντε ἐς τὸ νυμ-
φῶν νᾶμά τε καὶ μουσεῖον ἠκούσαμεν λόγων οἳ ἐπέστελλον λέ-

γειν λυσίᾳ τε καὶ εἴ τις ἄλλος συνέθηκε λόγους καὶ ὁμήρῳ καὶ εἴ τις
ἄλλος αὖ ποίησιν ψιλὴν ἢ ἐν ᾠδῇ συντέθεικε· τρίτον δὲ σόλωνι καὶ
ὅστις ἐν πολιτικοῖς λόγοις νόμους ὀνομάζων συγγράμματα ἔ-
γραψεν· εἰ μὲν εἰδὼς ᾗ τὸ ἀληθὲς ἔχει συνέθηκε ταῦτα καὶ ἔ-
χων βοηθεῖν εἰς ἔλεγχον ἰὼν περὶ ὧν ἔγραψε καὶ λέγων αὐτὸς
δυνατὸς τὰ γεγραμμένα φαῦλα ἀποδεῖξαι· οὔ τι τῶνδε ἐπωνυμί-
αν ἔχοντα δεῖ λέγεσθαι τὸν τοιοῦτον· ἀλλ' ἐφ' οἷς ἐσπούδακεν ἐκείνων·
τίνας οὖν τὰς ἐπωνυμίας αὐτῷ νέμεις· τὸ μὲν σοφὸν ὦ φαῖδρε
καλεῖν ἔμοιγε μέγα εἶναι δοκεῖ καὶ θεῷ μόνῳ πρέπειν· τὸ δὲ ἢ φι-
λόσοφον ἢ τοιοῦτόν τι μᾶλλόν τε ἂν αὐτῷ ἁρμόττοι καὶ ἐμμελεστέρως
ἔχοι· καὶ οὐδέν γε ἀπὸ τρόπου· οὐκοῦν αὖ τὸν μὴ ἔχοντα τιμιώτε-
ρα ὧν συνέθηκεν ἢ ἔγραψεν ἄνω κάτω στρέφων ἐν χρόνῳ πρὸς
ἄλληλα κολλῶν τε καὶ ἀφαιρῶν ἐν δίκῃ που ποιητὴν ἢ λόγων συγγρα-
φέα ἢ νομογράφον προσερεῖς· τί μήν· ταῦτα τοίνυν τῷ ἑταίρῳ
φράζε· τί δὲ σύ; πῶς ποιήσεις· οὐδὲ γὰρ οὐδὲ τὸν σὸν ἑταῖρον δεῖ πα-
ρελθεῖν· τίνα τοῦτον· ἰσοκράτη τὸν καλόν· ᾧ τί ἀπαγγελεῖς ὦ σώ-
κρατες· τίνα αὐτὸν φήσομεν εἶναι· νέος ἔτι ὦ φαῖδρε ἰσοκράτης·
ὃ μέντοι μαντεύομαι κατ' αὐτοῦ λέγειν ἐθέλω· τὸ ποῖον δή· δοκεῖ μοι
ἀμείνων ἢ κατὰ τοὺς περὶ λυσίαν εἶναι λόγους τὰ τῆς φύσεως·
ἔτι τε ἤθει γεννικωτέρῳ κεκρᾶσθαι· ὥστε οὐδὲν ἂν γένοιτο θαυμα-
στὸν προϊούσης τῆς ἡλικίας εἰ περὶ αὐτούς τε τοὺς λόγους οἷς νῦν ἐπι-
χειρεῖ πλέον ἢ παίδων διενέγκοι τῶν πώποτε ἁψαμένων λόγων·
ἔτι τε εἰ αὐτῷ μὴ ἀποχρήσαι ταῦτα ἐπὶ μείζω δέ τις αὐτὸν ἄγοι
ὁρμὴ θειοτέρα· φύσει γάρ ὦ φίλε ἔνεστί τις φιλοσοφία τῇ τοῦ ἀν-
δρὸς διανοίᾳ· ταῦτα δὴ οὖν ἐγὼ μὲν παρὰ τῶνδε τῶν θεῶν ὡς
ἐμοῖς παιδικοῖς ἰσοκράτει ἐξαγγέλλω· σὺ δ' ἐκεῖνα ὡς σοῖς λυ-
σίᾳ· ταῦτ' ἔσται· ἀλλὰ ἴωμεν ἐπειδὴ καὶ τὸ πνῖγος ἠπιώτερον γέγονεν·
οὐκοῦν εὐξαμένῳ πρέπει τοῖσδε πορεύεσθαι· τί μήν· ὦ φίλε πάν
τε καὶ ἄλλοι ὅσοι τῇδε θεοί· δοίητέ μοι καλῷ γενέσθαι τἄνδοθεν· ἔξω-
θεν δὲ ὅσα ἔχω τοῖς ἐντὸς εἶναί μοι φίλια· πλούσιον δὲ νομίζοι-
μι τὸν σοφόν· τὸ δὲ χρυσοῦ πλῆθος εἴη μοι ὅσον μήτε φέρειν μήτε
ἄγειν δύναιτο ἄλλος ἢ ὁ σώφρων· ἔτ' ἄλλου του δεόμεθα ὦ φαῖ-
δρε· ἐμοὶ μὲν γὰρ μετρίως ηὖκται· καὶ ἐμοὶ ταῦτα συνεύχου· κοι-
νὰ γὰρ τὰ τῶν φίλων· ἴωμεν·

φαῖδρος ἢ περὶ καλοῦ

ἀλκιβιάδης ἢ περὶ φύσεως ἀνθρώπου ... μαιευτικός

Ὦ παῖ κλεινίου οἶμαί σε θαυμάζειν ὅτι πρῶτος ἐραστής σου γενόμε-
νος τῶν ἄλλων πεπαυμένων μόνος οὐκ ἀπαλλάττομαι· καὶ ὅτι οἱ
μὲν ἄλλοι δι' ὄχλου ἐγένοντό σοι διαλεγόμενοι· ἐγὼ δὲ τοσούτων
ἐτῶν οὐδὲ προσεῖπον· τούτου δὲ τὸ αἴτιον γέγονεν οὐκ ἀνθρώπει-
ον· ἀλλά τι δαιμόνιον ἐναντίωμα· οὗ σὺ τὴν δύναμιν καὶ ὕστερον
πεύσῃ· νῦν δὲ ἐπειδὴ οὐκέτι ἐναντιοῦται· οὕτω προσελήλυθα·
εὔελπις δ' εἰμὶ καὶ τὸ λοιπὸν μὴ ἐναντιώσεσθαι αὐτό· σχεδὸν οὖν
κατανενόηκα ἐν τούτῳ τῷ χρόνῳ σκοπούμενος ὡς πρὸς
τοὺς ἐραστὰς ἔσχες· πολλῶν γὰρ γενομένων καὶ μεγαλοφρόνων οὐ-
δεὶς ὃς οὐχ ὑπερβληθεὶς τῷ φρονήματι ὑπὸ σοῦ πέφευγεν·
τὸν δὲ λόγον ᾧ ὑπερπεφρόνηκας ἐθέλω διελθεῖν· οὐδενὸς
φῂς ἀνθρώπων ἐνδεὴς εἶναι εἰς οὐδέν· τὰ γὰρ ὑπάρχοντά
σοι μεγάλα εἶναι· ὥστε μηδενὸς δεῖσθαι· ἀπὸ τοῦ σώματος ἀρ-
ξάμενα τελευτῶντα εἰς τὴν ψυχήν· οἴει γὰρ δὴ εἶναι πρῶτον μὲν κάλ-
λιστός τε καὶ μέγιστος· καὶ τοῦτο μὲν δὴ παντὶ δῆλον ἰδεῖν ὅτι οὐ ψεύ-
δει· ἔπειτα νεανικωτάτου γένους ἐν τῇ σεαυτοῦ πόλει οὔσῃ με-
γίστῃ τῶν ἑλληνίδων· καὶ ἐνταῦθα πρὸς πατρός τέ σοι φίλους καὶ
συγγενεῖς πλείστους εἶναι καὶ ἀρίστους· οἳ εἴ τι δέοι ὑπηρετοῖεν
ἄν σοι· τούτων δὲ τοὺς πρὸς μητρὸς οὐδὲν χείρους οὐδ' ἐλάτ-
τους· ξυμπάντων δὲ ὧν εἶπον μείζω οἴει σοι δύναμιν ὑπάρχειν
περικλέα τὸν ξανθίππου· ὃν ὁ πατὴρ ἐπίτροπον κατέλιπε σοί
τε καὶ τῷ ἀδελφῷ· ὃς οὐ μόνον ἐν τῇδε τῇ πόλει δύναται πράτ-
τειν ὅτι ἂν βούληται· ἀλλ' ἐν πάσῃ τῇ ἑλλάδι καὶ τῶν βαρβάρων ἐν
πολλοῖς καὶ μεγάλοις γένεσιν· προσθήσω δὲ καὶ ὅτι τῶν πλου-
σίων· δοκεῖς δέ μοι ἐπὶ τούτῳ ἥκιστα μέγα φρονεῖν· κατὰ πάν-
τα δὴ ταῦτα σύ τε μεγαλαυχούμενος κεκράτηκας τῶν ἐραστῶν·
ἐκεῖνοί τε ὑποδεέστεροι ὄντες ἐκρατήθησαν· καὶ σὲ ταῦτ' οὐ λέλη-
θεν· ὅθεν δὴ εὖ οἶδ' ὅτι θαυμάζεις τί διανοούμενός ποτε
οὐκ ἀπαλλάττομαι τοῦ ἔρωτος· καὶ ἥντιν' ἔχων ἐλπίδα ὑπο-
μένω τῶν ἄλλων πεφευγότων: καὶ ἴσως γε ὦ σώκρατες οὐ-
κ οἶσθ' ὅτι σμικρόν με ἔφθης· ἐγὼ γάρ τοι ἐν νῷ εἶχον πρότε-
ρός σοι προσελθὼν ταῦτ' ἐρέσθαι τί ποτε βούλει· καὶ εἰς τίνα
ἐλπίδα βλέπων ἐνοχλεῖς με ἀεὶ ὅπου ἂν ὦ ἐπιμελέστατα παρών·
τῷ ὄντι γὰρ θαυμάζω ὅτι ποτ' ἐστὶ τὸ σὸν πρᾶγμα· καὶ ἥδιστ' ἂν

[illegible]

πυθοίμην: ἀκούσῃ μὲν ἄρα μου ὡς τὸ εἰκὸς προθύμως· εἴπερ ὡς
ἔφης ἐπιθυμεῖς εἰδέναι καὶ ἀκοῦσαι τί διανοοῦμαι· καὶ ὡς ἀκου-
σομένῳ καὶ περιμενοῦντι λέγω: πάνυ μὲν οὖν· ἀλλὰ λέγε: ὅρα δή·
οὐ γάρ τοι ἂν εἴη θαυμαστὸν εἰ ὥσπερ μόγις ἠρξάμην· οὕτω καὶ μό-
γις παυσαίμην: ὠγαθὲ λέγε· ἀκούσομαι γάρ: λεκτέον ἂν εἴη·
χαλεπὸν μὲν οὖν πρὸς ἄνδρα οὐχ ἥττονα ἐραστῶν προσφέρεσθαι
ἐραστῇ· ὅμως δὲ τολμητέον φράσαι τὴν ἐμὴν διάνοιαν· ἐγὼ γὰρ
ὦ Ἀλκιβιάδη εἰ μέν σε ἑώρων ἃ νυνδὴ διῆλθον ἀγαπῶντα καὶ
οἰόμενον δεῖν ἐν τούτοις καταβιῶναι· πάλαι ἂν ἀπηλλάγμην τοῦ
ἔρωτος, ὥς γε δὴ ἐμαυτὸν πείθω· νῦν δ' ἕτερα αὖ κατηγορήσω
διανοήματα σὰ πρὸς αὐτὸν σέ· ᾧ καὶ γνώσῃ, ὅτι προσέχων γέ
σοι τὸν νοῦν διατετέλεκα· δοκεῖς γάρ μοι, εἴ τίς σοι εἴποι θεῶν· ὦ
Ἀλκιβιάδη· πότερον βούλει ζῆν, ἔχων ἃ νῦν ἔχεις· ἢ αὐτίκα τε-
θνάναι, εἰ μή σοι ἐξέσται μείζω κτήσασθαι· δοκεῖς ἄν μοι ἑλέσθαι τε-
θνάναι· ἀλλὰ νῦν, ἐπὶ τίνι δή ποτε ἐλπίδι ζῇς· ἐγὼ φράσω· ἡγεῖ,
ἐὰν θᾶττον εἰς τὸν Ἀθηναίων δῆμον παρέλθῃς· τοῦτο δ' ἔσεσθαι
μάλα ὀλίγων ἡμερῶν· παρελθὼν οὖν ἐνδείξεσθαι Ἀθηναίοις,
ὅτι ἄξιος εἶ τιμᾶσθαι ὡς οὔτε Περικλῆς, οὔτ' ἄλλος οὐδεὶς τῶν
πώποτε γενομένων· καὶ τοῦτ' ἐνδειξάμενος· μέγιστον δυνήσε-
σθαι ἐν τῇ πόλει· ἐὰν δ' ἐνθάδε μέγιστος ᾖς· καὶ ἐν τοῖς ἄλλοις Ἕλ-
λησι· καὶ οὐ μόνον ἐν Ἕλλησιν· ἀλλὰ καὶ ἐν τοῖς βαρβάροις, ὅσοι ἐν
τῇ αὐτῇ ἡμῖν οἰκοῦσιν ἠπείρῳ· καὶ εἰ αὖ σοι εἴποι ὁ αὐτὸς οὗτος
θεός, ὅτι αὐτοῦ σε δεῖ δυναστεύειν ἐν τῇ Εὐρώπῃ, διαβῆναι δὲ
εἰς τὴν Ἀσίαν οὐκ ἐξέσται σοι οὐδὲ ἐπιθέσθαι τοῖς ἐκεῖ πράγμα-
σιν· οὐκ ἂν αὖ μοι δοκεῖς ἐθέλειν, οὐδ' ἐπὶ τούτοις μόνοις ζῆν, εἰ
μὴ ἐμπλήσεις τοῦ σοῦ ὀνόματος, καὶ τῆς σῆς δυνάμεως, πάντας
ὡς ἔπος εἰπεῖν ἀνθρώπους· καὶ οἶμαί σε πλὴν Κύρου καὶ Ξέρ-
ξου ἡγεῖσθαι οὐδένα ἄξιον λόγου γεγονέναι· ὅτι μὲν οὖν ἔ-
χεις ταύτην τὴν ἐλπίδα· εὖ οἶδα καὶ οὐκ εἰκάζω· ἴσως ἂν οὖν
εἴποις ἅτε εἰδὼς ὅτι ἀληθῆ λέγω· τί δὴ οὖν ὦ Σώκρατες·
τοῦτ' ἐστί σοι πρὸς λόγον ὃν ἔφησθα ἐρεῖν· διὸ ἐμοῦ οὐκ ἀπαλλάτ-
τῃ: ἐγὼ δέ σοί γε ἐρῶ, ὦ φίλε παῖ Κλεινίου καὶ Δεινομάχης· τού-
των γάρ σοι ἁπάντων, τῶν διανοημάτων τέλος ἐπιτεθῆναι ἄ-
νευ ἐμοῦ ἀδύνατον· τοσαύτην ἐγὼ δύναμιν οἶμαι ἔχειν εἰς τὰ σὰ

πράγματα καὶ τῆς σῆς· ἐγὼ δ᾽ ἤδη καὶ πάλαι οἶμαι με τὸν θεὸν οὐκ ἐᾶν
διαλέγεσθαί σοι· ὃν ἐγὼ περιέμενον ὁπηνίκα ἐάσει· ὥσπερ γὰρ
σὺ ἐλπίδας ἔχεις ἐν τῇ πόλει· οὕτω κἀγὼ παρὰ σοὶ ἐλπίζω
μέγιστον δυνήσεσθαι ἐνδειξάμενος ὅτι παντὸς ἄξιός εἰμι σοὶ
καὶ οὔτε ἐπίτροπος οὔτε συγγενὴς οὔτε ἄλλος οὐδεὶς ἱκανὸς
παραδοῦναι τὴν δύναμιν ἧς ἐπιθυμεῖς· πλὴν ἐμοῦ μετὰ τοῦ θε-
οῦ μέντοι· νεωτέρῳ μὲν οὖν ὄντι σοι καὶ πρὶν τοσαύτης ἐλπίδος
γέμειν ὡς ἐμοὶ δοκεῖ οὐκ εἴα ὁ θεὸς διαλέγεσθαι ἵνα μὴ μάτην
διαλεγοίμην· νῦν δ᾽ ἐφῆκεν· νῦν γὰρ ἄν μου ἀκούσαις· πολύ γέ μοι
ὦ Σώκρατες νῦν ἀτοπώτερος αὖ φαίνει ἐπειδὴ ἤρξω λέγειν ἢ
ὅτε σιγῶν εἵπου· καίτοι σφόδρα γε ἦσθα ἰδεῖν καὶ τότε τοιοῦτος·
εἰ μὲν οὖν ἐγὼ ταῦτα διανοοῦμαι ἢ μή ὡς ἔοικε διέγνωκας· καὶ
ἐὰν μὴ φῶ· οὐδέν μοι ἔσται πλέον πρὸς τὸ πείθειν σε· εἶεν· εἰ δὲ δὴ
ὅτι μάλιστα ταῦτα διανενόημαι· πῶς διὰ σοῦ μοι ἔσται καὶ ἄνευ σοῦ
οὐκ ἂν γένοιτο· ἔχεις λέγειν: ἆρ᾽ ἐρωτᾷς εἴ τιν᾽ ἔχω εἰπεῖν λόγον
μακρὸν οἵους δὴ ἀκούειν εἴθισαι· οὐ γάρ ἐστι τοιοῦτον τὸ ἐμόν· ἀλλ᾽ ἐν-
δείξασθαι μέν σοι ὡς ἐγῷμαι οἷός τ᾽ ἂν εἴην ὅτι ταῦτα οὕτως ἔ-
χει ἐὰν ἓν μόνον μοι ἐθελήσῃς βραχὺ ὑπηρετῆσαι: ἀλλ᾽ εἴ γε δὴ μὴ
χαλεπόν τι λέγεις τὸ ὑπηρέτημα ἐθέλω: ἦ χαλεπὸν δοκεῖ τὸ ἀπο-
κρίνεσθαι τὰ ἐρωτώμενα: οὐ χαλεπόν: ἀποκρίνου δή: ἐρώτα:
οὐκοῦν ὡς διανοουμένου σου ταῦτα ἐρωτῶ ἅ φημί σε διανοεῖ-
σθαι: ἔστω εἰ βούλει οὕτως ἵνα καὶ εἰδῶ ὅτι ἐρεῖς: φέρε δή· δια-
νοεῖ γάρ ὡς ἐγώ φημι παριέναι συμβουλεύσων Ἀθηναίοις ἐντὸς
οὐ πολλοῦ χρόνου· εἰ οὖν μέλλοντός σου ἰέναι ἐπὶ τὸ βῆμα λαβό-
μενος ἐροίμην· ὦ Ἀλκιβιάδη ἐπειδὴ περὶ τίνος Ἀθηναῖοι δια-
νοοῦνται βουλεύεσθαι ἀνίστασαι συμβουλεύσων· ἆρ᾽ ἐπειδὴ περὶ
ὧν σὺ ἐπίστασαι βέλτιον ἢ οὗτοι· τί ἂν ἀποκρίναιο: εἴποιμ᾽ ἂν δή-
που περὶ ὧν οἶδα βέλτιον ἢ οὗτοι: περὶ ὧν ἄρα εἰδὼς τυγχάνεις
ἀγαθὸς σύμβουλος εἶ: πῶς γὰρ οὔ: οὐκοῦν ταῦτα μόνον οἶ-
σθα ἃ παρ᾽ ἄλλων ἔμαθες ἢ αὐτὸς ἐξηῦρες: ποῖα γὰρ ἄλλα: ἔστιν
οὖν ὅπως ἄν ποτε ἔμαθες ἂν ἢ ἐξηῦρες μήτε μανθάνειν ἐθέλων
μήτ᾽ αὐτὸς ζητεῖν: οὐκ ἔστιν: τί δέ· ἠθέλησας ἂν ζητῆσαι ἢ μα-
θεῖν ἃ ᾤου ἐπίστασθαι: οὐ δῆτα: ἃ ἄρα νῦν τυγχάνεις ἐπιστά-
μενος ἦν χρόνος ὅτε οὐχ ἡγοῦ εἰδέναι: ἀνάγκη: ἀλλὰ μὴν ἅ γε

μὲν ἃ μάθηκας σχεδόν τι καὶ ἐγὼ οἶδα· εἰ δέ τι ἐμὲ λέληθεν, εἰπέ· ἔμαθες
γὰρ δὴ σύ γε κατὰ μνήμην τὴν ἐμὴν γράμματα καὶ κιθαρίζειν καὶ
παλαίειν· οὐ γὰρ δὴ αὐλεῖν γε ἤθελες μαθεῖν· ταῦτ' ἐστὶν ἃ σὺ ἐπί-
στασαι, εἰ μή πού τι μανθάνων ἐμὲ λέληθας· οἶμαι δέ γε οὔτε νύκτωρ
οὔτε μεθ' ἡμέραν ἐξιὼν ἔνδοθεν: ἀλλ' οὐ πεφοίτηκα εἰς ἄλλων ἢ τού-
των: πότερον οὖν ὅταν περὶ γραμμάτων Ἀθηναῖοι βουλεύωνται
πῶς ἂν ὀρθῶς γράφοιεν, τότε ἀναστήσῃ αὐτοῖς συμβουλεύσων:
μὰ Δί' οὐκ ἔγωγε: ἀλλ' ὅταν περὶ κρουμάτων ἐν λύρᾳ: οὐδαμῶς:
οὐδὲ μὴν οὐδὲ περὶ παλαισμάτων γε εἰώθασι βουλεύεσθαι ἐν τῇ ἐκ-
κλησίᾳ: οὐ μέντοι: ὅταν οὖν περὶ τίνος βουλεύωνται; οὐ γάρ που ὅ-
ταν γε περὶ οἰκοδομίας: οὐ δῆτα: οἰκοδόμος γὰρ ταῦτά γε σοῦ
βέλτιον συμβουλεύσει: ναί: οὐδὲ μὴν ὅταν περὶ μαντικῆς βουλεύ-
ωνται: οὔ: μάντις γὰρ αὖ ταῦτα ἄμεινον ἢ σύ: ναί: ἐάν τέ γε σμικρὸς
καὶ μέγας ᾖ· ἐάν τε καλὸς καὶ αἰσχρὸς, ἔτι τε γενναῖος ἢ ἀγεννής:
πῶς γὰρ οὔ: ἑκάστου γὰρ οἶμαι περὶ εἰδότος ἡ συμβουλὴ καὶ οὐ πλου-
τοῦντος: πῶς γὰρ οὔ: ἀλλ' ἐάν τε πένης ἐάν τε πλούσιος ᾖ ὁ πα-
ραινῶν, οὐδὲν διοίσει Ἀθηναίοις ὅταν περὶ τῶν ἐν τῇ πόλει βου-
λεύωνται, πῶς ἂν ὑγιαίνοιεν, ἀλλὰ ζητήσουσιν ἰατρὸν εἶναι τὸν σύμ-
βουλον: εἰκότως γε: ὅταν οὖν περὶ τίνος σκοπῶνται, τότε σὺ
ἀνιστάμενος ὡς συμβουλεύσων ὀρθῶς ἀναστήσῃ: ὅταν περὶ
τῶν ἑαυτῶν πραγμάτων ὦ Σώκρατες: τῶν περὶ ναυπηγίας
λέγεις, ὁποίας τινὰς χρὴ αὐτοὺς τὰς ναῦς ναυπηγεῖσθαι; οὐ-
κ ἔγωγε ὦ Σώκρατες· ναυπηγεῖν γὰρ οἶμαι οὐκ ἐπίστασαι· τοῦτ' αἴ-
τιον ἢ ἄλλο τι: οὐκ ἀλλὰ τοῦτο: ἀλλὰ περὶ ποίων τῶν ἑαυτῶν λέ-
γεις πραγμάτων ὅταν βουλεύωνται: ὅταν περὶ πολέμου ὦ Σώ-
κρατες ἢ περὶ εἰρήνης ἢ ἄλλου του τῶν τῆς πόλεως πραγμάτων:
ἆρα λέγεις ὅταν βουλεύωνται πρὸς τίνας χρὴ εἰρήνην ποιεῖσθαι·
καὶ τίσι πολεμεῖν καὶ τίνα τρόπον; ναί: χρὴ δ' οὐχ οἷς βέλτι-
ον: ναί: καὶ τότε ὁπότε βέλτιον; πάνυ γε: καὶ τοσοῦτον χρόνον
ὅσον ἄμεινον; ναί: εἰ οὖν βουλεύοιντο Ἀθηναῖοι, τίσι χρὴ προσ-
παλαίειν καὶ τίσιν ἀκροχειρίζεσθαι καὶ τίνα τρόπον, σὺ ἄμεινον
ἂν συμβουλεύοις ἢ ὁ παιδοτρίβης: ὁ παιδοτρίβης δήπου:
ἔχεις οὖν εἰπεῖν πρὸς τί βλέπων ὁ παιδοτρίβης συμβουλεύσειεν
οἷς δεῖ προσπαλαίειν καὶ οἷς μή, καὶ ὁπότε καὶ ὅντινα τρόπον·

λεληθότως ὁ Σωκράτης διορθοῦν μὲν
Ἀλκιβιάδην, παράδειγμα γυμναστικῆς
φέρει· ἔχει διαφορὰν τό τε ἀκροχειρίζε-
σθαι καὶ παλαίειν· [illegible]
[illegible] πόλεμος καὶ εἰρήνη [illegible]
[illegible] γυμναστικῆς καὶ μουσικῆς προφέ-
ρει Σωκράτης [illegible] Ἀλκιβιάδης
[illegible]
πόλεμος τῇ γυμναστικῇ, ἡ δὲ εἰρήνη
τῇ μουσικῇ [illegible]

[illegible]

μόνον δὲ τὸ τοιόνδε· ἆρ' οὐ τούτοις δεῖ προσπαλαίειν ὁπότε βέλτιον ἢ
οὔ; ναί. ἆρα καὶ τοσαῦτα ὅσα ἄμεινον; τοσαῦτα. οὐκοῦν καὶ τό-
τε ὅτε ἄμεινον; πάνυ γε. ἀλλὰ μὴν καὶ τὸ ᾄδοντα δεῖ κιθαρίζειν
ποτὲ πρὸς τὴν ᾠδὴν καὶ βαίνειν; δεῖ γάρ. οὐκοῦν τότε ὁπότε
βέλτιον; ναί. καὶ τοσαῦθ' ὅσα βέλτιον; φημί. τί οὖν ἐπειδὴ βέλτιον
μὲν ὠνόμαζες ἐπ' ἀμφοτέροις, τῷ τε κιθαρίζειν πρὸς τὴν ᾠδήν,
καὶ τῷ προσπαλαίειν· τί καλεῖς τὸ ἐν τῷ κιθαρίζειν βέλτιον, ὥσπερ
ἐγὼ τὸ ἐν τῷ παλαίειν καλῶ γυμναστικόν· σὺ δ' ἐκεῖνο τί καλεῖς; οὐ
κ ἐννοῶ. ἀλλὰ πειρῶ ἐμὲ μιμεῖσθαι· ἐγὼ γάρ που ἀπεκρινάμην
τὸ διὰ παντὸς ὀρθῶς ἔχον· ὀρθῶς δὲ δήπου ἔχει τὸ κατὰ τὴν
τέχνην γιγνόμενον· ἢ οὔ; ναί. ἡ δὲ τέχνη, οὐ γυμναστικὴ ἦν; πῶς δ' οὔ;
ἐγὼ δ' εἶπον τὸ ἐν τῷ παλαίειν βέλτιον, γυμναστικόν; εἶπες γάρ. οὐ
κοῦν καλῶς; ἔμοιγε δοκεῖ. ἴθι δὴ καὶ σύ, πρέποι γὰρ ἄν που καὶ σοὶ,
τὸ καλῶς διαλέγεσθαι· εἰπὲ πρῶτον τίς ἡ τέχνη, ἧς τὸ κιθαρί-
ζειν, καὶ τὸ ᾄδειν, καὶ τὸ ἐμβαίνειν ὀρθῶς; συνάπασα τίς καλεῖ-
ται; οὔπω δύνασαι εἰπεῖν; οὐ δῆτα. ἀλλ' ὧδε πειρῶ· τίνες αἱ θεαί,
ὧν ἡ τέχνη; τὰς μούσας ὦ Σώκρατες λέγεις; ἔγωγε. ὅρα δὴ
τίνα ἀπ' αὐτῶν ἐπωνυμίαν ἡ τέχνη ἔχει; μουσικήν μοι δοκεῖς
λέγειν. λέγω γάρ. τί οὖν τὸ κατὰ ταύτην ὀρθῶς γιγνόμενόν ἐστιν;
ὥσπερ ἐκεῖ ἐγώ σοι, τὸ κατὰ τὴν τέχνην ἔλεγον ὀρθῶς, τὴν γυ-
μναστικήν· καὶ σὺ δ' οὖν, οὕτως ἐνταῦθα, τί φῄς; πῶς γίγνεσθαι;
μουσικῶς μοι δοκεῖ. εὖ λέγεις. ἴθι δὴ καὶ τὸ ἐν τῷ πολεμεῖν βέλ-
τιον καὶ τὸ ἐν τῷ εἰρήνην ἄγειν· τοῦτο τὸ βέλτιον, τί ὀνομάζεις; ὥσ-
περ ἐκεῖ ἐφ' ἑκάστῳ ἔλεγες τῷ ἀμείνονι, ὅτι μουσικώτερον, καὶ
ἐπὶ τῷ ἑτέρῳ, ὅτι γυμναστικώτερον· πειρῶ δὴ καὶ ἐνταῦθα λέ-
γειν τὸ βέλτιον. ἀλλ' οὐ πάνυ τι ἔχω. ἀλλὰ μέντοι, αἰσχρόν γε· εἰ μέν τις
σε λέγοντα καὶ συμβουλεύοντα περὶ σιτίων ὅτι βέλτιον τόδε τοῦδε,
καὶ νῦν καὶ τοσοῦτον· ἔπειτα ἐρωτήσειεν· τί τὸ ἄμεινον λέγεις
ὦ Ἀλκιβιάδη; περὶ μὲν τούτων ἔχειν εἰπεῖν, ὅτι τὸ ὑγιεινότερον
καίτοι οὐ προσποιεῖ ἰατρὸς εἶναι· περὶ δὲ οὗ προσποιεῖ ἐπι-
στήμων εἶναι, καὶ συμβουλεύσεις ἀνιστάμενος ὡς εἰδώς· τού-
του δ' ὡς ἔοικας περὶ ἐρωτηθείς, ἐὰν μὴ ἔχῃς εἰπεῖν, οὐ
κ αἰσχύνῃ; ἢ οὐκ αἰσχρὸν φαίνεται; πάνυ γε. σκόπει δὴ καὶ
προθυμοῦ εἰπεῖν πρὸς τί τείνει, τὸ ἐν τῷ εἰρήνην τε ἄγειν ἄμεινον

νον, καὶ τὸ ἐν τῷ πολεμεῖν οἷς δεῖ: ἀλλὰ σκοπῶν οὐ δύναμαι ἐννοῆσαι:
οὐδ' οἶσθα, ἐπειδὰν πόλεμον ποιώμεθα, ὅ τι ἐγκαλοῦντες ἀλλήλοις πά-
θημα ἐρχόμεθα εἰς τὸ πολεμεῖν· καὶ ὅ τι αὐτὸ ὀνομάζοντες ἐρχό-
μεθα: ἔγωγε, ὅτι ἐξαπατώμενοί τι ἢ βιαζόμενοι ἢ ἀποστερού-
μενοι: ἔχε, πῶς ἕκαστα τούτων πάσχοντες; πειρῶ εἰπεῖν τί δια-
φέρει τὸ ὡδὶ ἢ ὡδί: ἦ τὸ ὡδὶ λέγεις ὦ σώκρατες, τὸ δικαίως
ἢ τὸ ἀδίκως: αὐτὸ τοῦτο: ἀλλὰ μὴν τοῦτό γε διαφέρει ὅλον τε καὶ
πᾶν: τί οὖν ἀθηναίοις σὺ πρὸς ποτέρους συμβουλεύσεις πολε-
μεῖν τοῖς ἀδικοῦσιν ἢ τοῖς τὰ δίκαια πράττουσι: δεινὸν τοῦ-
τό γε ἐρωτᾷς· εἰ γὰρ καὶ διανοεῖταί τις ὡς δεῖ πρὸς τοὺς τὰ δίκαι-
α πράττοντας πολεμεῖν, οὐκ ἂν ὁμολογήσειέν γε: οὐ γὰρ νόμι-
μον τοῦτο ὡς ἔοικεν: οὐ δῆτα: οὐδέ γε καλὸν δοκεῖ εἶναι: πρὸς
ταῦτ' ἄρα καὶ σὺ τὸ δίκαιον τοὺς λόγους ποιήσῃ: ἀνάγκη: ἄλλο τι
οὖν ὃ νῦν δὴ ἐγὼ ἠρώτων βέλτιον πρὸς τὸ πολεμεῖν καὶ μή, καὶ
οἷς δεῖ καὶ οἷς μή, καὶ ὁπότε καὶ μή, τὸ δικαιότερον τυγχάνει
ὂν ἢ οὔ: φαίνεταί γε: πῶς οὖν ὦ φίλε ἀλκιβιάδη; πότερον σαυ-
τὸν λέληθας ὅτι οὐκ ἐπίστασαι τοῦτο, ἢ ἐμὲ ἔλαθες μανθάνων
καὶ φοιτῶν εἰς διδασκάλου ὅς σε ἐδίδασκε διαγιγνώσκειν
τὸ δικαιότερόν τε καὶ ἀδικώτερον· καὶ τίς ἐστιν οὗτος; φράσον
καὶ ἐμοί, ἵνα καὶ αὐτῷ φοιτητὴν προξενήσῃς καὶ ἐμέ: σκώ-
πτεις ὦ σώκρατες: μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν, ὃν ἐγὼ
ἥκιστ' ἂν ἐπιορκήσαιμι· ἀλλ' εἴπερ ἔχεις, εἰπὲ τίς ἐστιν: τί δ' εἰ μὴ
ἔχω; οὐκ ἂν οἴει με ἄλλως εἰδέναι περὶ τῶν δικαίων καὶ ἀδίκων;
ναί, εἴ γε εὕροις: ἀλλ' οὐκ ἂν εὑρεῖν με ἡγῇ; καὶ μάλα γ' εἰ ζητή-
σαις: εἶτα ζητῆσαι οὐκ ἂν οἴει με; ἔγωγε, εἰ οἰηθείης γε μὴ
εἰδέναι: εἶτ' οὐκ ἦν ὅτ' εἶχες οὕτως; καλῶς λέγεις· ἔχεις οὖν
εἰπεῖν τοῦτον τὸν χρόνον ὅτε οὐκ ᾤου εἰδέναι τὰ δίκαια καὶ
τὰ ἄδικα; φέρε, πέρυσιν ἐζήτεις τε καὶ οὐκ ᾤου εἰδέναι; ἢ ᾤ-
ου; καὶ τἀληθῆ ἀποκρίνου, ἵνα μὴ μάτην οἱ διάλογοι γίγνωνται:
ἀλλ' ᾤμην εἰδέναι: τρίτον δὲ ἔτος καὶ τέταρτον καὶ πέμπτον οὐ-
χ οὕτως; ἔγωγε: ἀλλὰ μὴν τό γε πρὸ τοῦ παῖς ἦσθα.
ἦ γάρ; ναί: τότε μὲν τοίνυν εὖ οἶδα ὅτι ᾤου εἰδέναι: πῶς
εὖ οἶσθα: πολλάκις σου ἐν διδασκάλων ἤκουον παιδὸς ὄν-
τος καὶ ἄλλοθι, καὶ ὁπότε ἀστραγαλίζοις, ἢ ἄλλην τινὰ παι-

διὰν παίζοις· οὐχ ὡς ἀποροῦντος περὶ τῶν δικαίων καὶ ἀδίκων.
ἀλλὰ μάλα μέγα καὶ θαρραλέως λέγοντος περὶ ὅτου τύχοις τῶν παί
δων ὡς πονηρός τε καὶ ἄδικος εἴη καὶ ὡς ἀδικοῖ· ἢ οὐκ ἀληθῆ λέ
γω· ἀλλὰ τί ἔμελλον ποιεῖν ὦ Σώκρατες ὁπότε τίς με ἀδικοῖ· σὺ
δ' εἰ τύχοις ἀγνοῶν εἴτε ἀδικοῖο εἴτε μή· τότε ἔλεγες τί σε χρὴ
ποιεῖν· μὰ Δί' ἀλλ' οὐκ ἠγνόουν ἔγωγε ἀλλὰ σαφῶς ἐγίγνω
σ σκον ὅτι ἠδικούμην· ᾤου ἄρα ἐπίστασθαι καὶ παῖς ὢν ὡς ἔ
οικε τὰ δίκαια καὶ τὰ ἄδικα· ἔγωγε καὶ ἠπιστάμην γε· ἐν ὁ
ποίῳ χρόνῳ ἐξευρών· οὐ γὰρ δήπου ἐν ᾧ γε ᾤου εἰδέναι·
οὐ δῆτα· πότε οὖν ἡγνόεις σκόπει· οὐ γὰρ εὑρήσεις
τοῦτον τὸν χρόνον· μὰ τὸν Δία ὦ Σώκρατες οὐκ οὖν ἔχω γε εἰπεῖν·
εὑρὼν μὲν ἄρ' οὐκ οἶσθα αὐτά· οὐ πάνυ φαίνομαι· ἀλλὰ μὴν ἄρ
τι γε οὐδὲ μαθὼν ἔφησθα εἰδέναι· εἰ δὲ μήτε ηὗρες μήτ' ἔμαθες·
πῶς οἶσθα καὶ πόθεν· ἀλλ' ἴσως τοῦτό σοι οὐκ ὀρθῶς ἀπε
κρινάμην τὸ φάναι εἰδέναι αὐτὸς ἐξευρών· τὸ δὲ πῶς εἶχεν·
ἔμαθον οἶμαι καὶ ἐγὼ ὥσπερ καὶ οἱ ἄλλοι· πάλιν εἰς τὸν αὐτὸν
ἥκομεν λόγον παρὰ τοῦ φράζε κἀμοί· παρὰ τῶν πολλῶν·
οὐκ εἰς σπουδαίους γε διδασκάλους καταφεύγεις εἰς τοὺς πολλοὺς
ἀναφέρων· τί δέ οὐχ ἱκανοὶ διδάξαι οὗτοι· οὔκουν τά γε πετ
τευτικὰ καὶ τὰ μή· καίτοι φαυλότερα αὐτὰ οἶμαι τῶν δικαίων
εἶναι· τί δέ σὺ οὐχ οὕτως οἴει· ναί· εἶτα τὰ μὲν φαυλότερα
οὐχ οἷοί τε διδάσκειν τὰ δὲ σπουδαιότερα· οἶμαι ἔγωγε· ἀλλὰ
γοῦν πολλὰ οἷοί τ' εἰσὶν διδάσκειν σπουδαιότερα τοῦ πεττεύειν·
ποῖα ταῦτα· οἷον καὶ τὸ ἑλληνίζειν παρὰ τούτων ἔγωγ' ἔμα
θον καὶ οὐκ ἂν ἔχοιμι εἰπεῖν ἐμαυτοῦ διδάσκαλον· ἀλλ' εἰς τοὺς α
ὐτοὺς ἀναφέρω· οὓς σὺ φῄς οὐ σπουδαίους εἶναι διδασκά
λους· ἀλλ' ὦ γενναῖε τούτου μὲν ἀγαθοὶ διδάσκαλοι οἱ πολλοὶ
καὶ δικαίως ἐπαινοῖντ' ἂν αὐτῶν εἰς διδασκαλίαν· τί δή· ὅτι
ἔχουσι περὶ αὐτὰ ἃ χρὴ τοὺς ἀγαθοὺς διδασκάλους ἔχειν·
τί τοῦτο λέγεις· οὐκ οἶσθ' ὅτι χρὴ τοὺς μέλλοντας διδάσκειν ὁ
τιοῦν αὐτοὺς πρῶτον εἰδέναι ἢ οὔ· πῶς γὰρ οὔ· οὐκοῦν τοὺς
εἰδότας ὁμολογεῖν τε ἀλλήλοις καὶ μὴ διαφέρεσθαι· ναί· ἐν
οἷς δ' ἂν διαφέρωνται ταῦτα φήσεις εἰδέναι αὐτούς· οὐ δῆτα·
τούτων οὖν διδάσκαλοι πῶς ἂν εἶεν· οὐδαμῶς· τί οὖν δοκοῦ

σι διαφέρεσθαι οἱ πολλοὶ ποῖόν ἐστι λίθος ἢ ξύλον· καὶ ἐάν τι-
να ἐρωτᾷς, ἆρ' οὐ ταὐτὰ ὁμολογοῦσιν καὶ ἐπὶ ταὐτὰ ὁρμῶ-
σιν ὅταν βούλωνται λαβεῖν λίθον ἢ ξύλον· ὡσαύτως καὶ πάν-
θ' ὅσα τοιαῦτα· σχεδὸν γάρ τι μανθάνω τὸ ἑλληνίζειν ἐπίστασθαι
ὅτι τοῦτο λέγεις ἢ οὔ: ναί: οὐκοῦν εἰς μὲν ταῦθ' ὥσπερ εἴπο-
μεν ἀλλήλοις τε ὁμολογοῦσι καὶ αὐτοὶ ἑαυτοῖς ἰδίᾳ καὶ δημοσίᾳ αἱ
πόλεις πρὸς ἀλλήλας οὐκ ἀμφισβητοῦσιν· αἱ μὲν ταῦθ' αἱ δ' ἄλ-
λα φάσκουσιν: οὐ γάρ: εἰκότως ἂν ἄρα τούτων γε καὶ διδάσκα-
λοι εἶεν ἀγαθοί: ναί: οὐκοῦν εἰ μὲν βουλοίμεθα ποιῆσαί τινα
περὶ αὐτῶν εἰδέναι. ὀρθῶς ἂν αὐτὸν πέμποιμεν εἰς διδασκαλί-
αν τούτων τῶν πολλῶν: πάνυ γε: τί δ' εἰ βουληθεῖμεν εἰδέναι
μὴ μόνον ποῖοι ἄνθρωποί εἰσιν ἢ ποῖοι ἵπποι. ἀλλὰ καὶ τίνες αὐ-
τῶν δρομικοί τε καὶ μή· ἆρ' ἔτι οἱ πολλοὶ τοῦθ' ἱκανοὶ διδάξαι: οὐ
δῆτα: ἱκανὸν δέ σοι τεκμήριον ὅτι οὐκ ἐπίστανται οὐδέ εἰσι κρήγυοι
διδάσκαλοι εἰσὶν τούτων ἐπειδὴ οὐδὲν ὁμολογοῦσιν ἑαυτοῖς
περὶ αὐτῶν: ἔμοιγε: τί δ' εἰ βουληθεῖμεν εἰδέναι μὴ μόνον ποῖ-
οι ἄνθρωποί εἰσιν, ἀλλ' ὁποῖοι ὑγιεινοὶ ἢ νοσώδεις· ἆρ' ἱκανοὶ
ἂν ἡμῖν ἦσαν διδάσκαλοι οἱ πολλοί: οὐ δῆτα: ἦν δ' ἄν σοι τε-
κμήριον ὅτι μοχθηροί εἰσι τούτων διδάσκαλοι, εἰ ἑώρας αὐτοὺς
διαφερομένους: ἔμοιγε: τί δὲ δὴ νῦν; περὶ τῶν δικαίων καὶ
ἀδίκων ἀνθρώπων καὶ πραγμάτων οἱ πολλοὶ δοκοῦσί σοι ὁμο-
λογεῖν αὐτοὶ ἑαυτοῖς ἢ ἀλλήλοις: ἥκιστα νὴ Δία ὦ Σώκρατες: τί
δέ; μάλιστα περὶ αὐτῶν διαφέρεσθαι: πολύ γε: οὐκοῦν οἴομαί
γε πώποτέ σε ἰδεῖν οὐδ' ἀκοῦσαι σφόδρα οὕτω διαφερομέ-
νους ἀνθρώπους περὶ ὑγιεινῶν καὶ μή, ὥστε διὰ ταῦτα μάχε-
σθαί τε καὶ ἀποκτεινύναι ἀλλήλους: οὐ δῆτα: ἀλλὰ περὶ τῶν
δικαίων καὶ ἀδίκων ἔγωγ' οἶδ' ὅτι καὶ εἰ μὴ ἑόρακας, ἀκήκοας
γοῦν ἄλλων τε πολλῶν καὶ Ὁμήρου. καὶ Ὀδυσσείας γὰρ καὶ Ἰλιάδος
ἀκήκοας: πάντως δήπου ὦ Σώκρατες: οὐκοῦν ταῦτα ποι-
ήματά ἐστι περὶ διαφορᾶς δικαίων τε καὶ ἀδίκων: ναί: καὶ αἱ μά-
χαι γε καὶ οἱ θάνατοι διὰ ταύτην τὴν διαφορὰν τοῖς τε Ἀχαιοῖς
καὶ τοῖς ἄλλοις Τρωσὶν ἐγένοντο καὶ τοῖς μνηστῆρσι τοῖς τῆς Πηνε-
λόπης καὶ τῷ Ὀδυσσεῖ: ἀληθῆ λέγεις: οἶμαι δὲ καὶ τοῖς ἐν Τανά-
γρᾳ Ἀθηναίων τε καὶ Λακεδαιμονίων καὶ Βοιωτῶν ἀποθανοῦσι

καὶ τοῖς ὕστερον ἐν κορωνείᾳ, ἐν οἷς καὶ ὁ σὸς πατὴρ κλεινίας
ἐτελεύτησεν, οὐδὲ περὶ ἑνὸς ἄλλου ἡ διαφορὰ ἢ περὶ τοῦ δικαίου
καὶ ἀδίκου τοὺς θανάτους καὶ τὰς μάχας πεποίηκεν· ἦ γάρ;
ἀλκ. ἀληθῆ λέγεις. τούτους οὖν φῶμεν ἐπίστασθαι περὶ ὧν οὕτως
σφόδρα διαφερόμενοι, ὥστε ἀμφισβητοῦντες ἀλλήλοις τὰ ἔσχα-
τα σφᾶς αὐτοὺς ἐργάζονται; οὐ φαίνεταί γε. οὐκοῦν εἰς τοὺς
τοιούτους διδασκάλους ἀναφέρεις, οὓς ὁμολογεῖς αὐτὸς
μὴ εἰδέναι; ἔοικα. πῶς οὖν εἰκὸς σὲ εἰδέναι τὰ δίκαια καὶ τὰ
ἄδικα, περὶ ὧν οὕτω πλανᾷ καὶ ὃν οὔτε μαθὼν φαίνῃ παρ' οὐδενὸς
οὔτ' αὐτὸς ἐξευρών; ἐκ μὲν ὧν σὺ λέγεις οὐκ εἰκός. ὁρᾷς
αὖ τοῦθ' ὡς οὐ καλῶς εἶπες, ὦ ἀλκιβιάδη; τὸ ποῖον; ὅτι ἐμὲ
φῂς ταῦτα λέγειν. τί δέ; οὐ σὺ λέγεις ὡς ἐγὼ οὐκ ἐπίσταμαι
περὶ τῶν δικαίων καὶ ἀδίκων; οὐ μέντοι. ἀλλ' ἐγώ; ναί. πῶς δή;
ὧδ' εἴσῃ. ἐάν σε ἔρωμαι τὸ ἓν καὶ τὰ δύο πότερα πλείω, φήσεις
ὅτι τὰ δύο; ἔγωγε. πόσῳ; ἑνί. πότερος οὖν ἡμῶν ὁ λέγων ὅ-
τι τὰ δύο τοῦ ἑνὸς ἑνὶ πλέω; ἐγώ. οὐκοῦν ἐγὼ μὲν ἠρώτων,
σὺ δὲ ἀπεκρίνου; ναί. περὶ δὴ τούτων μῶν ἐγὼ φαίνομαι λέγων,
ὁ ἐρωτῶν, ἢ σὺ ὁ ἀποκρινόμενος; ἐγώ. τί δ' ἂν ἐγὼ μὲν ἔρω-
μαι ποῖα γράμματα σωκράτους, σὺ δ' εἴπῃς, πότερος ὁ λέγων;
ἐγώ. ἴθι δὴ ἑνὶ λόγῳ εἰπέ· ὅταν ἐρώτησίς τε καὶ ἀπόκρισις
γίγνηται, πότερος ὁ λέγων, ὁ ἐρωτῶν ἢ ὁ ἀποκρινόμενος; ὁ
ἀποκρινόμενος, ἔμοιγε δοκεῖ, ὦ σώκρατες. οὐκοῦν ἄρτι διὰ
παντὸς τοῦ λόγου ἐγὼ μὲν ἦ ὁ ἐρωτῶν; ναί. σὺ δὲ ὁ ἀποκρινό-
μενος; πάνυ γε. τί οὖν; τὰ λεχθέντα πότερος ἡμῶν εἴρηκεν;
φαίνομαι μέν, ὦ σώκρατες, ἐκ τῶν ὁμολογημένων ἐγώ. οὐκοῦν
ἐλέχθη περὶ δικαίων καὶ ἀδίκων ὅτι ἀλκιβιάδης ὁ καλὸς ὁ κλει-
νίου οὐκ ἐπίσταιτο, οἴοιτο δέ, καὶ μέλλοι εἰς ἐκκλησίαν ἐλθὼν συμ-
βουλεύσειν ἀθηναίοις περὶ ὧν οὐδὲν οἶδεν· οὐ ταῦτ' ἦν; φαίνεται.
τὸ τοῦ εὐριπίδου ἄρα συμβαίνει, ὦ ἀλκιβιάδη· σοῦ τάδε κινδυνεύ-
εις, ἀλλ' οὐκ ἐμοῦ ἀκηκοέναι, οὐδ' ἐγώ εἰμι ὁ ταῦτα λέγων, ἀλλὰ
σύ, ἐμὲ δ' αἰτιᾷ μάτην. καὶ μέντοι καὶ εὖ λέγεις. μανικὸν γὰρ ἐν
νῷ ἔχεις ἐπιχείρημα ἐπιχειρεῖν, ὦ βέλτιστε, διδάσκειν ἃ οὐ-
κ οἶσθα, ἀμελήσας μανθάνειν. οἶμαι μέν, ὦ σώκρατες, ὀλιγά-
κις ἀθηναίους βουλεύεσθαι καὶ τοὺς ἄλλους ἕλληνας πότε-

ἰσ(τέον) ὁ ἀκαδημαϊκὸς φιλότιμος ... τὸ ἀποκρίνεται

ἀρχ(ὴ) τοῦ ...

ρα δικαιότερα ἢ ἀδικώτερα· τὰ μὲν γὰρ τοιαῦτα ἡγοῦνται δῆ
λα εἶναι· ἐάσαντες οὖν περὶ αὐτῶν σκοποῦσιν ὁπότερα συνοί
σει πράξασιν. οὐ γὰρ ταὐτά οἶμαι ἐστὶν τά τε δίκαια καὶ τὰ συμ
φέροντα· ἀλλὰ πολλοῖς δὴ ἐλυσιτέλησεν ἀδικήσασι μεγάλα
ἀδικήματα καὶ ἑτέροις γε οἶμαι δίκαια ἐργασαμένοις οὐ συ
νήνεγκεν: τί οὖν; εἰ ὅτι μάλιστα ἕτερα μὲν τὰ δίκαια τυγχάνει
ὄντα ἕτερα δὲ τὰ συμφέροντα οὔ τί που αὖ σὺ οἴει ταῦτ' εἰδέναι
ἃ συμφέρει τοῖς ἀνθρώποις καὶ διότι: τί γὰρ κωλύει ὦ σώ
κρατες; εἰ μή με αὖ ἐρήσῃ παρ' ὅτου ἔμαθον ἢ ὅπως αὐτὸς εὗ
ρον: οἷον τοῦτο ποιεῖς. εἴ τι μὴ ὀρθῶς λέγεις τυγχάνει δὲ
δυνατὸν ὂν ἀποδεῖξαι δι' οὗπερ καὶ τὸ πρότερον λόγου, οἴει
δὴ καινὰ ἄττ' ἀκούσεσθαι ἀποδείξεις ἑτέρας ὡς τῶν προ
τέρων οἷον σκευαρίων κατατετριμμένων καὶ οὐκέτ' ἂν σὺ αὐτὰ
ἀμπίσχοιο, εἰ μή τίς σοι τεκμήριον καθαρὸν καὶ ἄχραντον
οἴσει. ἐγὼ δὲ χαίρειν ἐάσας τὰς σὰς προδρομὰς τοῦ λόγου·
οὐδὲν μὴ ἧττον ἐρήσομαι πόθεν μαθὼν αὖ τὰ συμφέροντα ἐπίστα
σαι καὶ ὅστις ἐστὶν ὁ διδάσκαλος καὶ πάντα ἐκεῖνα τὰ πρότερον
ἐρωτῶ μιᾷ ἐρωτήσει. ἀλλὰ γὰρ δῆλον ὡς ἐν τῷ αὐτῷ ἥξεις καὶ
οὐχ ἕξεις ἀποδεῖξαι οὔθ' ὡς ἐξευρὼν οἶσθα τὰ συμφέροντα
οὔθ' ὡς μαθών· ἐπειδὴ δὲ τρυφᾷς καὶ οὐκέτ' ἂν ἡδέως τοῦ
αὐτοῦ γεύσαιο λόγου· τοῦτον μὲν ἐῶ χαίρειν εἴτ' οἶσθα εἴτε μὴ
τὰ ἀθηναίοις συμφέροντα· πότερον δὲ ταὐτά ἐστι δίκαιά τε
καὶ συμφέροντα ἢ ἕτερα, τί οὐκ ἀπέδειξας; εἰ μὲν βούλει ἐρωτῶν
με ὥσπερ ἐγὼ σέ· εἰ δὲ καὶ αὐτὸς ἐπὶ σεαυτοῦ λόγῳ διέξελθε·
ἀλλ' οὐκ οἶδ' εἰ οἷός τ' ἂν εἴην ὦ σώκρατες πρὸς σὲ διελθεῖν: ἀλλ' ὦ
γαθὲ ἐμὲ ἐκκλησίαν νόμισον καὶ δῆμον· καὶ ἐκεῖ τοί σε δεήσει ἕ
να ἕκαστον πείθειν· ἦ γάρ: ναί: οὐκοῦν τοῦ αὐτοῦ ἕνα τε οἷόν
τε εἶναι κατὰ μόνας πείθειν καὶ συμπολλοὺς περὶ ὧν ἂν εἰδῇ,
ὥσπερ ὁ γραμματιστὴς ἕνα τέ που πείθει περὶ γραμμάτων
καὶ πολλούς: ναί: ἆρ' οὖν οὐ καὶ περὶ ἀριθμοῦ ὁ αὐτὸς ἕνα τε
καὶ πολλοὺς πείσει: ναί: οὗτος δ' ἔσται ὁ εἰδὼς ὁ ἀριθμητικός:
πάνυ γε: οὐκοῦν σὺ ἅπερ καὶ πολλοὺς οἷός τε πείθειν εἶ ταῦτα
καὶ ἕνα: εἰκός γε: ἔστι δὲ ταῦτα δῆλον ὅτι ἃ οἶσθα: ναί: ἄλλο
τι οὖν τοσοῦτον μόνον διαφέρει τοῦ ἐν τῷ δήμῳ ῥήτορος ὁ ἐν

ἐν τοιᾷδε συνουσίᾳ· ὅτι ὁ μὲν ἀθρόους πείθει τοὺς αὐτούς· ὁ δὲ
καθ' ἕνα: κινδυνεύει: ἴθι νῦν ἐπειδὴ τοῦ αὐτοῦ φαίνεται πολλούς
τε καὶ ἕνα πείθειν· ἐν ἐμοὶ ἐμμελέτησον καὶ ἐπιχείρησον ἐπιδεῖξαι
ὡς τὸ δίκαιον ἐνίοτε οὐ συμφέρει: ὑβριστὴς εἶ ὦ σώκρατες: νῦν
γοῦν ὑφ' ὕβρεως μέλλω σε πείθειν τἀναντία οἷς σὺ ἐμὲ οὐκ ἐ-
θέλεις: λέγε δή: ἀποκρίνου μόνον τὰ ἐρωτώμενα: μή, ἀλλὰ
σὺ αὐτὸς λέγε: τί δ' οὐχ ὅτι μάλιστα βούλει πεισθῆναι: πάντως
δήπου: οὐκοῦν εἰ λέγοις ὅτι ταῦθ' οὕτως ἔχει· μάλιστ' ἂν εἴης
πεπεισμένος: ἔμοιγε δοκεῖ: ἀποκρίνου δή· καὶ ἐὰν μὴ αὐ-
τὸς σὺ ἀκούσῃς ὅτι τὰ δίκαια συμφέροντά ἐστιν· ἄλλῳ γε λέγον-
τι μὴ πιστεύσῃς· οὔτοι, ἀλλ' ἀποκριτέον· καὶ γὰρ οὐδὲν οἴομαι
βλαβήσεσθαι: μαντικὸς γὰρ εἶ· καί μοι λέγε· τῶν δικαίων φῂς ἔ-
νια μὲν συμφέρειν ἔνια δ' οὔ; ναί: τί δαί· τὰ μὲν καλὰ αὐτῶν εἶναι τὰ δ' οὔ;
πῶς τοῦτο ἐρωτᾷς: εἴ τις ἤδη σοι ἔδοξεν αἰσχρὰ μὲν δίκαια
δὲ πράττειν: οὐκ ἔμοιγε: ἀλλὰ πάντα τὰ δίκαια καλά: ναί:
τί δ' αὖ τὰ καλά· πότερον πάντα ἀγαθὰ· ἢ τὰ μὲν τὰ δ' οὔ: οἴομαι
ἔγωγε ὦ σώκρατες ἔνια τῶν καλῶν κακὰ εἶναι: ἦ καὶ αἰσχρὰ
ἀγαθά: ναί: ἆρα λέγεις τὰ τοιάδε· οἷον πολλοὶ ἐν πολέμῳ βο-
ηθήσαντες ἑταίρῳ ἢ οἰκείῳ τραύματα ἔλαβον καὶ ἀπέθανον· οἳ
δ' οὐ βοηθήσαντες δέον, ὑγιεῖς ἀπῆλθον: πάνυ μὲν οὖν: οὐ-
κοῦν τὴν τοιαύτην βοήθειαν καλὴν μὲν λέγεις κατὰ τὴν ἐπιχεί-
ρησιν τοῦ σῶσαι οὓς ἔδει· τοῦτο δ' ἐστὶν ἀνδρεία· ἢ οὔ: ναί: κα-
κὴν δέ γε κατὰ τοὺς θανάτους τε καὶ τὰ ἕλκη· ἦ γάρ: ναί: ἆρ' οὖν
οὐκ ἄλλο μὲν ἡ ἀνδρεία, ἄλλο δὲ ὁ θάνατος: πάνυ γε: οὐκ ἄρα κατὰ ταὐ-
τόν γ' ἐστὶ καλὸν καὶ κακὸν τὸ τοῖς φίλοις βοηθεῖν: οὐ φαίνεται:
ὅρα τοίνυν εἰ ἧ γε καλὸν καὶ ἀγαθὸν ὥσπερ καὶ ἐνταῦθα· κατὰ
τὴν ἀνδρείαν γὰρ ὡμολόγεις καλὸν εἶναι τὴν βοήθειαν· τοῦτο οὖν
αὐτὸ σκόπει τὴν ἀνδρείαν ἀγαθὸν ἢ κακόν· ὧδε δὲ σκόπει πό-
τερ' ἂν δέξαιο σοὶ εἶναι ἀγαθὰ ἢ κακά: ἀγαθά: οὐκοῦν τὰ μέ-
γιστα μάλιστα καὶ ἥκιστα τῶν τοιούτων δέξαι' ἂν στέρεσθαι: πῶς γὰρ
οὔ: πῶς οὖν λέγεις περὶ ἀνδρείας ἐπὶ πόσῳ ἂν αὐτοῦ δέξαιο
στέρεσθαι: οὐδὲ ζῆν ἂν ἐγὼ δεξαίμην δειλὸς ὤν: ἔσχατον ἄρα
κακῶν εἶναί σοι δοκεῖ ἡ δειλία: ἔμοιγε: ἐξ ἴσου τῷ τεθνάναι
ὡς ἔοικε: φημί: οὐκοῦν θανάτῳ τε καὶ δειλίᾳ ἐναντιώτατον

ζωὴ καὶ ἀνδρεία: ναί: καὶ τὰ μὲν μάλιστ' ἂν εἶναί σοι βούλοιο, τὰ δὲ ἥ-
κιστα: ναί: ἆρ' ὅτι τὰ μὲν ἄριστα ἡγεῖ, τὰ δὲ κάκιστα; ἔγωγε: τὸ ἄ-
ρα βοηθεῖν ἐν πολέμῳ τοῖς φίλοις, ᾗ μὲν καλόν, κατὰ τὴν ἀγαθοῦ πρᾶ-
ξιν τὴν τῆς ἀνδρείας, καλὸν αὐτὸ προσεῖπες: φαίνομαί γε: κα-
τὰ δὲ κακοῦ πρᾶξιν τὴν τοῦ θανάτου κακόν: ναί: οὐκοῦν ὧδε
δίκαιον προσαγορεύειν ἑκάστην τῶν πράξεων· εἴπερ ᾗ κακὸν
ἀπεργάζεται κακὴν καλεῖς, καὶ ᾗ ἀγαθὸν ἀγαθὴν κλητέον:
ἔμοιγε δοκεῖ: ἆρ' οὖν καὶ ᾗ ἀγαθὸν καλόν, ᾗ δὲ κακὸν αἰσχρόν:
ναί: τὴν ἄρ' ἐν τῷ πολέμῳ τοῖς φίλοις βοήθειαν λέγων καλὴν
μὲν εἶναι κακὴν δέ, οὐδὲν διαφερόντως λέγεις ἢ εἰ προσεῖπες
αὐτὴν ἀγαθὴν μὲν κακὴν δέ: ἀληθῆ μοι δοκεῖς λέγειν ὦ σώκρα-
τες: οὐδὲν ἄρα τῶν καλῶν καθ' ὅσον καλὸν κακόν· οὐδὲ τῶν αἰσχρῶν
καθ' ὅσον αἰσχρὸν ἀγαθόν: οὐ φαίνεται: ἔτι τοίνυν καὶ ὧδε σκέ-
ψαι. ὅστις καλῶς πράττει οὐχὶ καὶ εὖ πράττει: ναί: οἱ δὲ εὖ πράτ-
τοντες οὐκ εὐδαίμονες: πῶς γὰρ οὔ: οὐκοῦν εὐδαίμονες δι' ἀ-
γαθῶν κτῆσιν: μάλιστα: κτῶνται δὲ ταῦτα τῷ εὖ καὶ καλῶς
πράττειν: ναί: τὸ εὖ ἄρα πράττειν ἀγαθόν: πῶς δ' οὔ: οὐκοῦν
καλὸν ἡ εὐπραγία: ναί: ταὐτὸν ἄρα ἐφάνη ἡμῖν πάλιν αὖ καλόν
τε καὶ ἀγαθόν: φαίνεται: ὅ τι ἂν ἄρα εὕρωμεν καλὸν καὶ ἀγαθὸν
εὑρήσομεν ἔκ γε τούτου τοῦ λόγου: ἀνάγκη: τί δέ; τὰ ἀγαθὰ συμ-
φέρει ἢ οὔ: συμφέρει: μνημονεύεις οὖν περὶ τῶν δικαίων πῶς
ὡμολογήσαμεν: οἶμαί γε τοὺς τὰ δίκαια πράττοντας ἀναγ-
καῖον εἶναι καλὰ πράττειν: οὐκοῦν καὶ τοὺς τὰ καλὰ ἀγαθά: ναί:
τὰ δὲ ἀγαθὰ συμφέρειν: ναί: τὰ δίκαια ἄρα ὦ ἀλκιβιάδη συμ-
φέροντά ἐστιν: ἔοικεν: τί οὖν; ταῦτα οὐ σὺ ὁ λέγων, ἐγὼ δὲ ὁ ἐρω-
τῶν: φαίνομαι ὡς ἔοικα: εἰ οὖν τις ἀνίσταται συμβουλεύσων
εἴτε ἀθηναίοις εἴτε πεπαρηθίοις, οἰόμενος γιγνώσκειν
τὰ δίκαια καὶ τὰ ἄδικα· φήσει δ' εἶναι τὰ δίκαια κακὰ ἐνίο-
τε, ἄλλο τι ἢ καταγελῴης ἂν αὐτοῦ ἐπειδήπερ τυγχάνεις καὶ
σὺ λέγων ὅτι ταὐτά ἐστι δίκαιά τε καὶ συμφέροντα: ἀλλὰ μὰ
τοὺς θεοὺς ὦ σώκρατες οὐκ οἶδ' ἔγωγε οὐδ' ὅτι λέγω ἀλλ' ἀτε-
χνῶς ἔοικα ἀτόπως ἔχοντι. τοτὲ μὲν γάρ μοι ἕτερα δοκεῖ σοῦ
ἐρωτῶντος· τοτὲ δ' ἄλλα: εἶτα τοῦτο ὦ φίλε ἀγνοεῖς τὸ πάθη-
μα τί ἐστιν: πάνυ γε: οἴει ἂν οὖν εἴ τις ἐρωτῴη σε δύο ὀφθαλ-

τὸ εὖ μέσον τοῦ ἀγαθοῦ καὶ καλ(οῦ)

+ μοὺς ἢ τρεῖς ἔχεις καὶ δύο χεῖρας ἢ τέτταρας ἢ ἄλλο τι τῶν τοιού-
των· τότε μὲν ἕτερα ἂν ἀποκρίνασθαι τότε δ' ἄλλα ἢ ἀεὶ τὰ αὐτά:
δέδοικα μὲν ἔγωγε ἤδη περὶ ἐμαυτοῦ· οἶμαι μέντοι τὰ αὐτά·
οὐκοῦν ὅτι οἶσθα τοῦτ' αἴτιον: οἶμαι ἔγωγε: περὶ ὧν ἄρα ἄ-
κων τἀναντία ἀποκρίνῃ· δῆλον ὅτι περὶ τούτων οὐκ οἶσθα:
εἰκός γε: οὐκοῦν καὶ περὶ τῶν δικαίων καὶ ἀδίκων· καὶ καλῶν
καὶ αἰσχρῶν· καὶ κακῶν καὶ ἀγαθῶν· καὶ συμφερόντων καὶ μή· ἀπο-
κρινόμενος φῂς πλανᾶσθαι· εἶτ' οὐ δῆλον ὅτι διὰ τὸ μὴ εἰδέ-
ναι περὶ αὐτῶν διὰ ταῦτα πλανᾷ: ἔμοιγε: ἆρ' οὖν οὕτω καὶ ἔ-
χει· ἐπειδάν τίς τι μὴ εἰδῇ ἀναγκαῖον περὶ τούτου πλανᾶσθαι τὴν
ψυχήν: πῶς γὰρ οὔ: τί οὖν οἶσθα ὅντινα τρόπον ἀναβήσῃ εἰς
τὸν οὐρανόν: μὰ Δί' οὐκ ἔγωγε: ἢ καὶ πλανᾶταί σου ἡ δόξα περὶ
ταῦτα: οὐ δῆτα: τὸ δ' αἴτιον οἶσθα ἢ ἐγὼ φράσω: φράσον: ὅτι ὦ
φίλε οὐκ οἴει αὐτὸ ἐπίστασθαι οὐκ ἐπιστάμενος: πῶς αὖ τοῦτο
λέγεις: ὅρα καὶ σὺ κοινῇ· ἃ μὴ ἐπίστασαι γιγνώσκεις δὲ ὅτι
οὐκ ἐπίστασαι πλανᾷ περὶ τὰ τοιαῦτα· ὥσπερ περὶ ὄψου σκευ-
ασίας οἶσθα δήπου ὅτι οὐκ οἶσθα: πάνυ γε: πότερον οὖν
αὐτὸς περὶ ταῦτα δοξάζεις ὅπως χρὴ σκευάζειν καὶ πλανᾷ·
\+ ἢ τῷ ἐπισταμένῳ ἐπιτρέπεις: οὕτως: τί δ' εἰ ἐν νηῒ πλέοις
ἆρα δοξάζοις ἂν πότερον χρὴ τὸν οἴακα εἴσω ἄγειν ἢ ἔξω·
καὶ ἅτε οὐκ εἰδὼς πλανῷο ἄν· ἢ τῷ κυβερνήτῃ ἐπιτρέψας
ἂν ἡσυχίαν ἄγοις: τῷ κυβερνήτῃ: οὐκ ἄρα περὶ ἃ μὴ οἶσθα
πλανᾷ ἄνπερ εἰδῇς ὅτι οὐκ οἶσθα: οὐκ ἔοικα: ἐννοεῖς
οὖν ὅτι καὶ τὰ ἁμαρτήματα ἐν τῇ πράξει διὰ ταύτην τὴν ἄ-
γνοιάν ἐστι τὴν τοῦ μὴ εἰδότα οἴεσθαι εἰδέναι: πῶς αὖ λέγεις
τοῦτο: τότε που ἐπιχειροῦμεν πράττειν ὅταν οἰώμεθα εἰ-
δέναι ὅτι πράττομεν: ναί: ὅταν δέ γέ πού τινες μὴ οἴωνται
εἰδέναι ἄλλοις παραδιδόασι: πῶς δ' οὔ: οὐκοῦν οἱ τοιοῦτοι
τῶν μὴ εἰδότων ἀναμάρτητοι ζῶσι διὰ τὸ ἄλλοις περὶ αὐ-
τῶν ἐπιτρέπειν: ναί: τίνες οὖν οἱ ἁμαρτάνοντες· οὐ γάρ που
οἵ γε εἰδότες: οὐ δῆτα: ἐπειδὴ δ' οὔθ' οἱ εἰδότες οὔθ' οἱ τῶν
μὴ εἰδότων εἰδότες ὅτι οὐκ ἴσασιν· ἢ ἄλλοι λείπονται ἢ οἱ μὴ
εἰδότες οἰόμενοι δ' εἰδέναι: οὐκ ἀλλ' οὗτοι: αὕτη ἄρα ἡ ἄ-
γνοια τῶν κακῶν αἰτία καὶ ἡ ἐπονείδιστος ἀμαθία: ναί: οὐ

καὶ ὅταν ἢ περὶ τὰ μέγιστα· τότε κακουργοτάτη καὶ αἰσχίστη·
πολύ γε· τί οὖν; ἔχεις μείζω τῶν δικαίων τε καὶ καλῶν καὶ ἀγα-
θῶν καὶ συμφερόντων· οὐ δῆτα· οὐκοῦν περὶ ταῦτα σὺ φῂς
πλανᾶσθαι· ναί· εἰ δὲ πλανᾷ, ἆρ' οὐ δῆλον ἐκ τῶν ἔμπροσθεν
ὅτι οὐ μόνον ἀγνοεῖς τὰ μέγιστα ἀλλὰ καὶ οὐκ εἰδὼς οἴει αὐτὰ εἰδέ-
ναι· κινδυνεύω· παπαῖ ἄρα ὦ ἀλκιβιάδη οἷον πάθος πέπον-
θας· ὃ ἐγὼ ὀνομάζειν μὲν ὀκνῶ· ὅμως δὲ ἐπειδὴ μόνω ἐσμέν· ῥη-
τέον· ἀμαθίαι γὰρ συνοικεῖς ὦ βέλτιστε τῆι ἐσχάτηι· ὡς ὁ λό-
γος σου κατηγορεῖ καὶ σὺ σαυτοῦ· διὸ καὶ ἄττεις ἄρα πρὸς τὰ
πολιτικὰ πρὶν παιδευθῆναι· πέπονθας δὲ τοῦτο· οὐ σὺ μόνος·
ἀλλὰ καὶ οἱ πολλοὶ τῶν πραττόντων τὰ τῆσδε τῆς πόλεως πλὴν
ὀλίγων γε καὶ ἴσως τοῦ σοῦ ἐπιτρόπου περικλέους· λέγεταί
γέ τοι ὦ σώκρατες οὐκ ἀπὸ τοῦ αὐτομάτου σοφὸς γεγονέναι·
ἀλλὰ πολλοῖς καὶ σοφοῖς συγγεγονέναι καὶ πυθοκλείδηι καὶ ἀ-
ναξαγόραι· καὶ νῦν ἔτι τηλικοῦτος ὢν δάμωνι σύνεστιν αὐτοῦ
τούτου ἕνεκα· τί οὖν; ἤδη τινὰ εἶδες σοφὸν ὁτιοῦν ἀδυνατοῦντα ποι-
ῆσαι ἄλλον σοφὸν ἅπερ αὐτός· ὥσπερ ὅς σε ἐδίδαξεν γράμματα·
αὐτός τε ἦν σοφὸς καὶ σὲ ἐποίησε τῶν τε ἄλλων ὅντιν' ἐβούλετο· ἦ γάρ·
ναί· οὐκοῦν καὶ σὺ ὁ παρ' ἐκείνου μαθὼν ἄλλον οἷός τε ἔσῃ· ναί·
καὶ ὁ κιθαριστὴς δὲ καὶ ὁ παιδοτρίβης ὡσαύτως· πάνυ γε· κα-
λὸν γὰρ δήπου τεκμήριον τοῦτο τῶν ἐπισταμένων ὁτιοῦν ὅτι ἐ-
πίστανται ἐπειδὰν καὶ ἄλλον οἷοί τε ὦσιν ἀποδεῖξαι ἐπιστάμενον·
ἔμοιγε δοκεῖ· τί οὖν; ἔχεις εἰπεῖν περικλῆς τίνα ἐποίησεν
σοφὸν ἀπὸ τῶν υἱέων ἀρξάμενος· τί δ' εἰ τὼ περικλέους υἱέε
ἠλιθίω ἐγενέσθην ὦ σώκρατες· ἀλλὰ κλεινίαν τὸν σὸν ἀδελ-
φόν· τί δ' ἂν αὖ κλεινίαν λέγοις μαινόμενον ἄνθρωπον· ἐπει-
δὴ τοίνυν κλεινίας μὲν μαίνεται· τὼ δὲ περικλέους υἱέε ἠλιθίω
ἐγενέσθην· σοὶ τίνα αἰτίαν ἀναθῶμεν δι' ὅτι σε οὕτως ἔχον-
τα περιορᾶι· ἐγὼ οἶμαι αἴτιος οὐ προσέχων τὸν νοῦν· ἀλλὰ
τῶν ἄλλων ἀθηναίων ἢ τῶν ξένων· δοῦλον ἢ ἐλεύθερον· εἰπὲ
ὅστις αἰτίαν ἔχει διὰ τὴν περικλέους συνουσίαν σοφώτερος
γεγονέναι· ὥσπερ ἐγὼ ἔχω σοι εἰπεῖν διὰ τὴν ζήνωνος πυθό-
δωρον τὸν ἰσολόχου καὶ καλλίαν τὸν καλλιάδου· ὧν ἑκάτερος
ζήνωνι ἑκατὸν μνᾶς τελέσας σοφός τε καὶ ἐλλόγιμος γέγο-

τὸ ὁμηρικὸν παραφράζειν ἦν·
νήπιοι οἱ [illegible] ὃν ἢ
χαλίφρων ἐκ [illegible] · [illegible]
[illegible] · ἀφυ[illegible] ἀπρατ-
τους [illegible] σχεῖ [illegible] · καὶ ὁ τοι-
οῦτος νήπιος καὶ ἠλίθιος· ἢ ἀδύνατος [illegible]
[illegible] δὲ [illegible] ὠφελεῖν τὰ [illegible]
φαινόμενα· καὶ [illegible] τοῦ [illegible]
νετη πρὸς αὐτά· καὶ ὁ τοιοῦτος χαλί-
φρων καὶ [illegible] · ἢ οἴεται [illegible] ὠφε-
λιμα εἶναι [illegible] καὶ βλα-
κεύει· καὶ ὁ τοιοῦτος [illegible]
μὴ προσέχων τὸν νοῦν:~

μεν· ἀλλὰ μὰ Δί' οὐκ ἔχω: τί οὖν διανοῇ περὶ σαυτοῦ; πότε-
ρον ἐᾶν ὡς νῦν ἔχεις, ἢ τινὰ ἐπιμέλειαν ποιεῖσθαι: κοινῇ σκο-
λ πῶμεν ὦ Σώκρατες· καίτοι ἐννοῶ σου εἰπόντος καὶ συγχωρῶ· δο-
κοῦσι γάρ μοι οἱ τὰ τῆς πόλεως πράττοντες ἐκτὸς ὀλίγων
ἀπαίδευτοι εἶναι: εἶτα τί δὴ τοῦτο: εἰ μέν που ἦσαν πεπαιδευ-
μένοι, ἔδει αὐτὸν τὸν ἐπιχειροῦντα αὐτοῖς ἀνταγωνίζεσθαι
μαθόντα καὶ ἀσκήσαντα ἰέναι ὡς ἐπ' ἀθλητάς· νῦν δὲ ἐπειδὴ
καὶ οὗτοι ἰδιωτικῶς ἔχοντες ἐληλύθασιν ἐπὶ τὰ τῆς πόλεως·
τί δεῖ ἀσκεῖν καὶ μανθάνοντα πράγματα ἔχειν· ἐγὼ γὰρ εὖ οἶ-
+ δ' ὅτι τούτων τῇ γε φύσει πάνυ πολὺ περιέσομαι: βαβαὶ οἷον ὦ
ἄριστε τοῦτ' εἴρηκας· ὡς ἀνάξιον τῆς ἰδέας καὶ τῶν ἄλλων τῶν
σοι ὑπαρχόντων: τί μάλιστα καὶ πρὸς τί τοῦτο λέγεις ὦ Σώκρα-
τες: ἀγανακτῶ ὑπέρ τε σοῦ καὶ τοῦ ἐμαυτοῦ ἔρωτος:
τί δή: εἰ ἠξίωσας τὸν ἀγῶνά σοι εἶναι πρὸς τοὺς ἐνθάδε ἀν-
θρώπους: ἀλλὰ πρὸς τίνας μήν: ἄξιον τοῦτό γε καὶ ἐρέσθαι
ἄνδρα οἰόμενον μεγαλόφρονα εἶναι: πῶς λέγεις· οὐ πρὸς
+ τούτους μοι ὁ ἀγών: ἆρα κἂν εἰ τριήρη διενοοῦ κυβερνᾶν μέλ-
λουσαν ναυμαχεῖν, ἤρκει ἄν σοι τῶν συνναυτῶν βελτίστῳ εἶναι
τὰ κυβερνητικά· ἢ ταῦτα μὲν ᾤου ἂν δεῖν ὑπάρχειν, ἀποβλέ-
πες δ' ἂν εἰς τοὺς ὡς ἀληθῶς ἀνταγωνιστάς· ἀλλ' οὐχ ὥσπερ νῦν εἰς
τοὺς συναγωνιστάς· ὧν δήπου περιγενέσθαι σε δεῖ τοσοῦτον.
ὥστε μὴ ἀξιοῦν ἀνταγωνίζεσθαι· ἀλλὰ καταφρονηθέντας συ-
ναγωνίζεσθαί σοι πρὸς τοὺς πολεμίους· εἰ δὴ τῷ ὄντι γε καλόν
τι ἔργον ἀποδείξασθαι διανοῇ καὶ ἄξιον σαυτοῦ τε καὶ τῆς
πόλεως: ἀλλὰ μὲν δὴ διανοοῦμαί γε: πάνυ σοι ἄρα ἄξιον
ἀγαπᾶν εἰ τῶν στρατιωτῶν βελτίων εἶ· ἀλλ' οὐ πρὸς τοὺς τῶν ἀντι-
πάλων ἡγεμόνας ἀποβλέπειν, εἴ ποτε ἐκείνων βελτίων γέ-
νοιο, σκοποῦντα καὶ ἀσκοῦντα πρὸς ἐκείνους: λέγεις
δὲ τίνας τούτους ὦ Σώκρατες: οὐκ οἶσθ' ἡμῶν τὴν πόλιν
Λακεδαιμονίοις τε καὶ τῷ μεγάλῳ βασιλεῖ πολεμοῦσαν ἑκά-
στοτε: ἀληθῆ λέγεις: οὐκοῦν εἴπερ ἐν νῷ ἔχεις ἡγεμὼν
εἶναι τῆσδε τῆς πόλεως πρὸς τοὺς Λακεδαιμονίων βασιλέας
καὶ τοὺς Περσῶν τὸν ἀγῶνα ἡγούμενός σοι εἶναι ὀρθῶς ἂν
εἰρωνικῶς ἡγοῖο; κινδυνεύεις ἀληθῆ λέγειν: οὔκ ὠγαθέ· ἀλλὰ πρὸς

[illegible] δὲ τὸν ὀρτυγοτρόφον ἀποβλέπειν καὶ ἄλλους τοιούτους
οἳ τὰ τῆς πόλεως πράττειν ἐπιχειροῦσιν· ἔτι τὴν ἀνδραποδώδη
φαῖεν ἂν αἱ γυναῖκες τρίχα ἔχοντες ἐν τῇ ψυχῇ ὑπὸ ἀμουσίας
καὶ οὔπω ἀποβεβληκότες· ἔτι δὲ βαρβαρίζοντες ἐληλύθασι κο-
λακεύσοντες τὴν πόλιν ἀλλ' οὐκ ἄρξοντες· πρὸς τούτους σε δεῖ
ὅνπερ λέγω βλέποντα σαυτοῦ δὲ ἀμελεῖν καὶ μήτε μανθάνειν ὅ-
σα μαθήσεως ἔχεται μέλλοντα τοσοῦτον ἀγῶνα ἀγωνίζεσθαι·
μήτε ἀσκεῖν ὅσα δεῖται ἀσκήσεως· καὶ πᾶσαν παρασκευὴν πα-
ρασκευασάμενον οὕτως ἰέναι ἐπὶ τὰ τῆς πόλεως· ἀλλ' ὦ σώκρα-
τες δοκεῖς μέν μοι ἀληθῆ λέγειν· οἶμαι μέντοι τούς τε λακεδαιμονί-
ων στρατηγοὺς καὶ τὸν περσῶν βασιλέα οὐδὲν διαφέρειν τῶν
ἄλλων· ἀλλ' ὦ ἄριστε τὴν οἴησιν ταύτην σκόπει οἵαν ἔχεις· τοῦ πέ-
ρι· πρῶτον μὲν ποτέρως ἂν οἴει σαυτοῦ μᾶλλον ἐπιμεληθῆναι
φοβούμενός τε καὶ οἰόμενος δεινοὺς αὐτοὺς εἶναι ἢ μή· δῆλον
ὅτι εἰ δεινοὺς οἰοίμην· μῶν οὖν οἴει τι βλαβήσεσθαι ἐπιμεληθεὶς
σαυτοῦ· οὐδαμῶς· ἀλλὰ καὶ μεγάλα ὀνήσεσθαι· οὐκοῦν ἓν μὲν
τοῦτο τοσοῦτον κακὸν ἔχει ἡ οἴησις αὕτη· ἀληθῆ λέγεις· τὸ δεύ-
τερον τοίνυν ὅτι καὶ ψευδής ἐστιν ἐκ τῶν εἰκότων σκέψαι· πῶς δή·
πότερον εἰκὸς ἀμείνους γίγνεσθαι φύσεις ἐν γενναίοις γένε-
σιν ἢ μή· δῆλον ὅτι ἐν τοῖς γενναίοις· οὐκοῦν τοὺς εὖ φύντας
ἐὰν καὶ εὖ τραφῶσιν οὕτω τελέους γίγνεσθαι πρὸς ἀρετήν·
ἀνάγκη· σκεψώμεθα δὴ τοῖς ἐκείνων τὰ ἡμέτερα ἀντιτιθέντες
πρῶτον μὲν εἰ δοκοῦσι φαυλοτέρων γενῶν εἶναι οἱ λακεδαιμο-
νίων καὶ περσῶν βασιλῆς· ἢ οὐκ ἴσμεν ὡς οἱ μὲν ἡρακλέους οἱ δὲ ἀχαιμένους ἔκγονοι· τὸ δ' ἡρακλέους τε γένος
τὸ ἀχαιμένους εἰς περσέα τὸν διὸς ἀναφέρεται· καὶ γὰρ τὸ
ἡμέτερον ὦ σώκρατες εἰς εὐρυσάκη· τὸ δ' εὐρυσάκους εἰς δία·
καὶ γὰρ τὸ ἡμέτερον ὦ γενναῖε ἀλκιβιάδη εἰς δαίδαλον· ὁ δὲ δαίδα-
λος εἰς ἥφαιστον τὸν διός· ἀλλὰ τὰ μὲν τούτων ἀπ' αὐτῶν ἀρξάμε-
να βασιλῆς εἰσιν ἐκ βασιλέων μέχρι διός· οἱ μὲν ἄργους καὶ
λακεδαίμονος· οἱ δὲ τῆς περσίδος τὸ ἀεί· πολλάκις δὲ καὶ
τῆς ἀσίας ὥσπερ καὶ νῦν· ἡμεῖς δὲ αὐτοί τε ἰδιῶται καὶ οἱ πατέ-
ρες· εἰ δὲ καὶ τοὺς προγόνους σε δέοι καὶ τὴν πατρίδα εὐρυσά-
κους ἐπιδεῖξαι ἀρτοξέρξῃ τῷ ξέρξου πόσον ἂν οἴει γέλωτα ὀφλεῖν· ἀλλ'

ρᾳ μὴ τοῦ γενομένου· ὅ γε καὶ ἐπισκεψόμεθα τῶν ἀνδρῶν καὶ τὴν ἄλ-
λην τροφήν· ἢ οὐκ ᾔσθησαι τὰ τῶν Λακεδαιμονίων βασιλέων ὡς
μεγάλα τὰ ὑπάρχοντα, ὧν αἱ γυναῖκες δημοσίᾳ φυλάττονται
ὑπὸ τῶν ἐφόρων, ὅπως εἰς δύναμιν μὴ λάθῃ ἐξ ἄλλου γενό-
μενος ὁ βασιλεύς, ἢ ἐξ Ἡρακλειδῶν· ὁ δὲ Περσῶν τοσοῦτον
ὑπερβάλλει, ὥστ' οὐδεὶς ὑποψίαν ἔχει ὡς ἐξ ἄλλου ἂν βασιλεὺς
γένοιτο ἢ ἐξ αὐτοῦ· διὸ οὐ φρουρεῖται ἡ βασιλέως γυνὴ ἀλλ' ἢ
ὑπὸ φόβου· ἐπειδὰν δὲ γένηται ὁ παῖς ὁ πρεσβύτατος, οὗ-
περ ἡ ἀρχή, πρῶτον μὲν ἑορτάζουσι πάντες οἱ ἐν τῇ βασι-
λέως, ὧν ἂν ἄρχῃ· εἶτα τὸν ἄλλον χρόνον ταύτῃ τῇ ἡμέρᾳ
βασιλέως γενέθλια ἅπασα θύει καὶ ἑορτάζει ἡ Ἀσία· ἡμῶν
δὲ γενομένων, τὸ τοῦ κωμῳδοποιοῦ, οὐδ' οἱ γείτονες σφό-
δρα αἰσθάνονται, ὦ Ἀλκιβιάδη· μετὰ τοῦτο τρέφεται ὁ παῖς, οὐ
Χ ὑπὸ γυναικὸς τροφοῦ ὀλίγου ἀξίας, ἀλλ' ὑπ' εὐνούχων
οἳ ἂν δοκῶσι τῶν περὶ βασιλέα ἄριστοι εἶναι· οἷς τά τε ἄλλα προστέ-
τακται ἐπιμελεῖσθαι τοῦ γενομένου καὶ ὅπως κάλλιστος ἔσται μη-
χανᾶσθαι, ἀναπλάττοντας τὰ μέλη τοῦ παιδὸς καὶ κατορ-
θοῦντας· καὶ ταῦτα δρῶντες ἐν μεγάλῃ τιμῇ εἰσιν· ἐπειδὰν
δὲ ἑπταέτεις γένωνται οἱ παῖδες, ἐπὶ τοὺς ἵππους καὶ ἐπὶ τοὺς
τούτων διδασκάλους φοιτῶσιν, καὶ ἐπὶ τὰς θήρας ἄρχονται
ἰέναι· δὶς ἑπτὰ δὲ γενόμενον ἐτῶν, τὸν παῖδα παραλαμβάνου-
σιν οὓς ἐκεῖνοι βασιλείους παιδαγωγοὺς ὀνομάζουσιν·
εἰσὶ δὲ ἐξειλεγμένοι Περσῶν οἱ ἄριστοι δόξαντες ἐν ἡλικίᾳ
τέτταρες· ὅ τε σοφώτατος καὶ ὁ δικαιότατος καὶ ὁ σωφρο-
α νέστατος καὶ ὁ ἀνδρειότατος· ὧν ὁ μὲν μαγείαν τε διδάσκει
τὴν Ζωροάστρου τοῦ Ὡρομάζου· ἔστι δὲ τοῦτο θεῶν θερα-
β γ πεία· διδάσκει δὲ καὶ τὰ βασιλικά· ὁ δὲ δικαιότατος ἀληθεύ-
δ ειν διὰ παντὸς τοῦ βίου· ὁ δὲ σωφρονέστατος μηδὲ ὑπὸ μιᾶς
ἄρχεσθαι τῶν ἡδονῶν, ἵν' ἐλεύθερος εἶναι ἐθίζηται καὶ ὄντως
ε βασιλεύς, ἄρχων πρῶτον τῶν ἐν αὑτῷ, ἀλλὰ μὴ δουλεύων· ὁ
δὲ ἀνδρειότατος ἄφοβον καὶ ἀδεᾶ παρασκευάζων, ὡς ὅταν
δείσῃ δοῦλον ὄντα· σοὶ δ', ὦ Ἀλκιβιάδη, Περικλῆς ἐπέστησε
παιδαγωγὸν τῶν οἰκετῶν τὸν ἀχρειότατον ὑπὸ γήρως, Ζώ-
πυρον τὸν Θρᾷκα· διῆλθον δὲ καὶ τὴν ἄλλην ἄν σοι τῶν ἀντα-

γονιμιαν τροφήν τε καὶ παιδείαν· εἰ μὴ πολὺ ἔργον ἦν· καὶ ἂν
ταῦθ' ἡ καὶ ἂν δηλῶσαι καὶ τἄλλα ὅσα τούτοις ἀκόλουθα·
τὴν δὲ σὴν γένεσιν ὦ ἀλκιβιάδη καὶ τροφὴν καὶ παιδείαν
ἢ ἄλλου ὁτουοῦν ἀθηναίων ὡς ἔπος εἰπεῖν οὐδενὶ μέλει εἰ μὴ
εἴ τις ἐραστής σου τυγχάνει ὤν· εἰ δ' αὖ ἐθέλοις εἰς πλούτους
ἀποβλέψαι καὶ τρυφὰς καὶ ἐσθῆτας ἱματίων θ' ἕλξεις καὶ μύ-
ρων ἀλοιφὰς καὶ θεραπόντων πλήθους ἀκολουθίας· τήν τε
ἄλλην ἁβρότητα τὴν περσῶν· αἰσχυνθείης ἂν ἐπὶ σεαυτῷ αἰ-
σθανόμενος ὅσον αὐτῶν ἐλλείπεις· εἰ δ' αὖ ἐθελήσεις εἰς σω-
φροσύνην τε καὶ κοσμιότητα ἀποβλέψαι καὶ εὐχέρειαν καὶ εὐ-
κολίαν καὶ μεγαλοφροσύνην καὶ εὐταξίαν καὶ ἀνδρείαν καὶ καρ-
τερίαν καὶ φιλοπονίαν καὶ φιλονεικίαν καὶ φιλοτιμίας τὰς
λακεδαιμονίων· παῖδ' ἂν ἡγήσαιο σαυτὸν πᾶσι τοῖς τοιούτοις·
εἰ δ' αὖ τι καὶ πλούτῳ προσέχεις καὶ κατὰ τοῦτο οἴει τι εἶναι· μη-
δὲ τοῦθ' ἡμῖν ἄρρητον ἔστω ἐάν πως αἴσθῃ οὗ εἶ· τοῦτο μὲν γὰρ εἰ
ἐθέλεις τοὺς λακεδαιμονίων πλούτους ἰδεῖν· γνώσει ὅτι πο-
λὺ τἀνθάδε τῶν ἐκεῖ ἐλλείπει· γῆν μὲν γὰρ ὅσην ἔχουσιν τῆς
θ' ἑαυτῶν καὶ μεσσήνης· οὐδ' ἂν εἷς ἀμφισβητήσειε τῶν τῇδε
πλήθει οὐδ' ἀρετῇ· οὐδ' αὖ ἀνδραπόδων κτήσει τῶν τε ἄλλων
καὶ τῶν εἱλωτικῶν· οὐδὲ μὴν ἵππων γε οὐδ' ὅσα ἄλλα βοσκή-
ματα κατὰ μεσσήνην νέμεται· ἀλλὰ ταῦτα μὲν πάντα ἐῶ χαί-
ρειν· χρυσίον δὲ καὶ ἀργύριον οὐκ ἔστιν ἐν πᾶσιν ἕλλησιν ὅσον
ἐν λακεδαίμονι ἰδίᾳ· πολλὰς γὰρ ἤδη γενεὰς εἰσέρχεται μὲν
αὐτόσε ἐξ ἁπάντων τῶν ἑλλήνων· πολλάκις δὲ καὶ ἐκ τῶν βαρ-
βάρων· ἐξέρχεται δὲ οὐδαμόσε· ἀλλ' ἀτεχνῶς κατὰ τὸν αἰσώ-
που μῦθον ὃν ἡ ἀλώπηξ πρὸς τὸν λέοντα εἶπεν καὶ τοῦ εἰς λα-
κεδαίμονα νομίσματος εἰσιόντος μὲν τὰ ἴχνη τὰ ἐκεῖσε τε-
τραμμένα δῆλα· ἐξιόντος δὲ οὐδαμῇ ἄν τις ἴδοι· ὥστ' εὖ χρὴ
εἰδέναι ὅτι καὶ χρυσῷ καὶ ἀργύρῳ οἱ ἐκεῖ πλουσιώτατοί εἰ-
σιν τῶν ἑλλήνων· καὶ αὐτῶν ἐκείνων ὁ βασιλεύς· ἐκ πλείστων
γὰρ καὶ μεγίστων λήψεις μὲν τοιούτων εἰσὶ τοῖς βασιλεῦσιν·
ἔτι δὲ καὶ ὁ βασιλικὸς φόρος οὐκ ὀλίγος γίγνεται ὃν τελοῦσιν
οἱ λακεδαιμόνιοι τοῖς βασιλεῦσιν· καὶ τὰ μὲν λακεδαιμονίων
ὡς πρὸς ἑλληνικοὺς μὲν πλούτους μεγάλα· ὡς δὲ πρὸς

ἀνθρώποις καὶ τοῦ ἐκείνων βασιλέως οὐδέν· ἐπεί ποτ᾽ ἐ-
γὼ ἤκουσα ἀνδρὸς ἀξιοπίστου τῶν ἀναβεβηκότων παρὰ βα-
σιλέα, ὃς ἔφη παρελθεῖν χώραν πάνυ πολλὴν καὶ ἀγαθὴν ἐγ-
γὺς ἡμερησίαν ὁδόν, ἣν καλεῖν τοὺς ἐπιχωρίους ζώνην τῆς
βασιλέως γυναικός· εἶναι δὲ καὶ ἄλλην ἣν αὖ καλεῖσθαι καλύ-
πτραν· καὶ ἄλλους πολλοὺς τόπους καλοὺς καὶ ἀγαθοὺς εἰς τὸν
κόσμον ἐξῃρημένους τὸν τῆς γυναικός· καὶ ὀνόματα ἔχειν ἑ-
κάστους τῶν τόπων ἀπὸ ἑκάστου τῶν κόσμων. ὥστ᾽ οἶμαι ἐγώ, εἴ
τις εἴποι τῇ βασιλέως μητρί, Ξέρξου δὲ γυναικὶ Ἀμήστριδι, ὅ-
τι ἐν νῷ ἔχει σου τῷ ὑεῖ ἀντιτάττεσθαι ὁ Δεινομάχης ὑός, ᾗ
ὁ κόσμος ἴσως ἄξιος μνῶν πεντήκοντα εἰ πάνυ πολλοῦ·
τῷ δ᾽ ὑεῖ αὐτῆς γῆς πλέθρα Ἐρχιᾶσιν οὐδὲ τριακόσια, θαυμά-
σαι ἂν ὅτῳ ποτὲ πιστεύων ἐν νῷ ἔχει οὗτος ὁ Ἀλκιβιάδης τῷ
Ἀρτοξέρξῃ διαγωνίζεσθαι· καὶ οἶμαι ἂν αὐτὴν εἰπεῖν ὅτι οὐ-
κ ἔσθ᾽ ὅτῳ ἄλλῳ πιστεύων οὗτος ἀνὴρ ἐπιχειρεῖ πλὴν ἐπιμελεί-
ᾳ τε καὶ σοφίᾳ· ταῦτα γὰρ μόνα ἄξια λόγου ἐν Ἕλλησιν. ἐπεὶ
Εἴ γε πύθοιτο ὅτι ὁ Ἀλκιβιάδης οὗτος νῦν ἐπιχειρεῖ πρῶτον μὲν
ἔτη οὐδέπω γεγονὼς σφόδρα εἴκοσι· ἔπειτα παντάπασιν ἀ-
παίδευτος· πρὸς δὲ τούτοις τοῦ ἐραστοῦ αὐτῷ λέγοντος ὅ-
τι χρὴ πρῶτον μαθόντα καὶ ἐπιμεληθέντα αὑτοῦ καὶ ἀσκήσαν-
τα οὕτως ἰέναι διαγωνιούμενον βασιλεῖ, οὐκ ἐθέλει, ἀλλὰ φησὶν
ἐξαρκεῖν καὶ ὡς ἔχει· οἶμαι ἂν αὐτὴν θαυμάσαι τε καὶ ἐρέσθαι·
τί οὖν ποτ᾽ ἔστιν ὅτῳ πιστεύει τὸ μειράκιον; εἰ οὖν λέγοιμεν ὅτι
κάλλει τε καὶ μεγέθει καὶ γένει καὶ πλούτῳ καὶ φύσει τῆς ψυχῆς,
ἡγήσαιτ᾽ ἂν ἡμᾶς, ὦ Ἀλκιβιάδη, μαίνεσθαι πρὸς τὰ παρὰ σφίσιν
ἀποβλέψασα πάντα τὰ τοιαῦτα. οἶμαι δὲ κἂν Λαμπιδὼ τὴν Λεω-
τυχίδου μὲν θυγατέρα, Ἀρχιδάμου δὲ γυναῖκα, Ἄγιδος δὲ μη-
τέρα, οἳ πάντες βασιλῆς γεγόνασιν, θαυμάσαι ἂν καὶ ταύτην
εἰς τὰ παρὰ σφίσιν ὑπάρχοντα ἀποβλέψασαν, εἰ σὺ ἐν νῷ ἔχεις
τῷ ὑεῖ αὐτῆς διαγωνίζεσθαι οὕτω κακῶς ἠγμένος. καίτοι
οὐκ αἰσχρὸν δοκεῖ εἰ αἱ τῶν πολεμίων γυναῖκες βέλτιον περὶ
ἡμῶν διανοοῦνται οἵους χρὴ ὄντας σφίσιν ἐπιχειρεῖν ἢ ἡμεῖς
περὶ ἡμῶν αὐτῶν; ἀλλ᾽, ὦ μακάριε, πειθόμενος ἐμοί τε καὶ τῷ
ἐν Δελφοῖς γράμματι, γνῶθι σαυτόν, ὅτι οὗτοι εἰσὶν ἀντίπαλοι

ἄλλου χρόνου σὺ οἶσθα· ὡς ἄλλοι μὲν οὐδ' ἂν ἑνὶ περιγενοίμεθα· ἀλλ' εἴ-
περ ἐπιμελείᾳ τε ἂν καὶ τέχνῃ· ὧν σὺ εἰ ἀπολειφθήσῃ καὶ τοῦ ὀ-
νομαστὸς γενέσθαι ἀπολειφθήσῃ ἐν Ἕλλησί τε καὶ βαρβάροις· οὗ
μοι δοκεῖς ἐρᾶν ὡς οὐδεὶς ἄλλος ἄλλου. τίνα οὖν χρὴ τὴν ἐπιμέ-
λειαν ὦ Σώκρατες ποιεῖσθαι; ἔχεις ἐξηγήσασθαι; παντὸς γὰρ
μᾶλλον ἔοικας ἀληθῆ εἰρηκότι. ναί· ἀλλὰ γὰρ κοινὴ βουλὴ ᾗ τινι
τρόπῳ ἂν ὅτι βέλτιστοι γενοίμεθα· ἐγὼ γάρ τοι οὐ περὶ μὲν σοῦ
λέγω ὡς χρὴ παιδευθῆναι, περὶ ἐμοῦ δ' οὔ· οὐ γὰρ ἔσθ' ὅτῳ σου δια-
φέρω πλήν γ' ἑνί. τίνι; ὁ ἐπίτροπος ὁ ἐμὸς βελτίων ἐστὶ καὶ σοφώ-
τερος ἢ Περικλῆς ὁ σός. τίς οὗτος ὦ Σώκρατες; θεὸς ὦ Ἀλκι-
βιάδη ὅσπερ σοί με οὐκ εἴα πρὸ τῆσδε τῆς ἡμέρας διαλεχθῆναι·
ᾧ καὶ πιστεύων λέγω ὅτι ἡ ἐπιφάνεια δι' οὐδενὸς ἄλλου σοι ἔσται
ἢ δι' ἐμοῦ. παίζεις ὦ Σώκρατες. ἴσως· λέγω μέντοι ἀληθῆ ὅ-
τι ἐπιμελείας δεόμεθα, μᾶλλον μὲν πάντες ἄνθρωποι, ἀτὰρ νώ γε
καὶ μάλα σφόδρα. ὅτι μὲν ἐγώ, οὐ ψεύδῃ. οὐδὲ μὴν ὅτι γ' ἐγώ.
τί οὖν ἂν ποιοῖμεν; οὐκ ἀποκνητέον οὐδὲ μαλακιστέον ὦ ἑταῖρε.
οὔτοι δὴ πρέπει γ' ὦ Σώκρατες. οὐ γάρ· ἀλλὰ σκεπτέον κοινῇ· καί
μοι λέγε· φαμὲν γὰρ δὴ ὡς ἄριστοι βούλεσθαι γενέσθαι· ἦ γάρ; ναί.
τίνα ἀρετήν; δῆλον ὅτι ἥνπερ οἱ ἄνδρες οἱ ἀγαθοί. οἱ τί ἀγαθοί;
δῆλον ὅτι οἱ πράττειν τὰ πράγματα. ποῖα; ἆρα τὰ ἱππικά;
οὐ δῆτα. παρὰ τοὺς ἱππικοὺς γὰρ ἂν ᾖμεν. ναί. ἀλλὰ τὰ ναυ-
τικὰ λέγεις; οὔ. παρὰ τοὺς ναυτικοὺς γὰρ ἂν ᾖμεν. ναί. ἀλλὰ
ποῖα; ἃ τίνες πράττουσιν; ἅπερ Ἀθηναίων οἱ καλοὶ καὶ ἀγα-
θοί. καλοὺς δὲ κἀγαθοὺς λέγεις τοὺς φρονίμους ἢ τοὺς ἄφρο-
νας; τοὺς φρονίμους. οὐκοῦν ὃ ἕκαστος φρόνιμος, τοῦτ' ἀ-
γαθός; ναί. ὃ δὲ ἄφρων, πονηρός; πῶς γὰρ οὔ; ἆρ' οὖν ὁ σκυ-
τοτόμος φρόνιμος εἰς ὑποδημάτων ἐργασίαν; πάνυ γε. ἀγα-
θὸς ἄρ' εἰς αὐτά; ἀγαθός. τί δέ; εἰς ἱματίων ἐργασίαν οὐκ ἄ-
φρων ὁ σκυτοτόμος; ναί. κακὸς ἄρα εἰς τοῦτο; ναί. ὁ αὐτὸς
ἄρα τούτῳ γε τῷ λόγῳ κακός τε καὶ ἀγαθός. φαίνεται. ἦ οὖν
λέγεις τοὺς ἀγαθοὺς ἄνδρας εἶναι καὶ κακούς; οὐ δῆτα. ἀλ-
λὰ τίνας ποτὲ τοὺς ἀγαθοὺς λέγεις; τοὺς δυναμένους ἔ-
γωγε ἄρχειν ἐν τῇ πόλει. οὐ δήπου ἵππων γε; οὐ δῆτα. ἀλλ' ἀν-
θρώπων; ναί. ἆρα καμνόντων; οὔ. ἀλλὰ πλεόντων; οὔ φημι.

αἰνίσσει ἑαυτὸν ὁ Σωκράτης ἐν ἤθει ἀστεϊσμοῦ

τοῦ Ἀλκιβιάδου τὰ πολιτικὰ τὰ πρακτέα λέγει

ἐπὶ μὲν τῶν βαναύσων τὸν αὐτὸν οὐκ ἄτοπον· ἐπὶ δὲ τοῦ πολιτικοῦ ἀνδρὸς ἄτοπον τὸν αὐτὸν σοφὸν καὶ πονηρὸν καὶ ἀγαθόν

ἀλλὰ θεριζόντων: οὔ: ἀλλ' οὐδὲν ποιούντων ἢ ποιούντων:
ποιούντων λέγω: τί; πειρῶ καὶ ἐμοὶ δηλῶσαι: οὐκοῦν τῶν
καὶ συμβαλλόντων ἑαυτοῖς καὶ χρωμένων ἀλλήλοις ὥσπερ ἡ
μεῖς ζῶμεν ἐν ταῖς πόλεσιν:- οὐκοῦν ἀνθρώπων λέγεις ἄρ
χειν ἀνθρώποις χρωμένων: ναί: ἆρα κελευστῶν χρωμένων
ἐρέταις: οὐ δῆτα: κυβερνητικὴ γὰρ αὕτη γε ἀρετή: ναί: ἀλ
λ' ἀνθρώπων λέγεις ἄρχειν αὐλητῶν ἀνθρώποις ἡγουμέ
νων ᾠδῆς καὶ χρωμένων χορευταῖς: οὐ δῆτα: χοροδιδα
σκαλικὴ γὰρ αὕτη γ' αὖ: πάνυ γε: ἀλλὰ τί ποτε λέγεις χρω
μένων ἀνθρώπων ἀνθρώποις οἷόν τ' εἶναι ἄρχειν: κοινωνού
των ἔγωγε λέγω πολιτείας καὶ συμβαλλόντων πρὸς ἀλλή
λους τούτων ἄρχειν τῶν ἐν τῇ πόλει: τίς οὖν αὕτη ἡ τέχνη
ὥσπερ ἂν εἴ σε ἐροίμην πάλιν τὰ νῦν δή κοινωνούντων ναυτιλί
ας ἐπίστασθαι ἄρχειν τίς ποιεῖ τέχνη: κυβερνητική: κοινω
νούντων δ' ᾠδῆς ὡς νῦν δὴ ἐλέγετο τίς ἐπιστήμη ποιεῖ ἄρχειν:
ἥνπερ σὺ ἄρτι ἔλεγες ἡ χοροδιδασκαλία: τί δέ πολιτείας
κοινωνούντων τίνα καλεῖς ἐπιστήμην: εὐβουλίαν ἔγωγε
ὦ σώκρατες: τί δέ; μῶν ἀβουλία δοκεῖ εἶναι ἡ τῶν κυβερνητῶν;
οὐ δῆτα: ἀλλ' εὐβουλία; ἔμοιγε δοκεῖ εἴς γε τὸ σῴζεσθαι πλέ
οντας: καλῶς λέγεις: τί δέ ἣν σὺ λέγεις εὐβουλίαν εἰς τί
ἐστιν: εἰς τὸ ἄμεινον τὴν πόλιν διοικεῖν καὶ σῴζεσθαι: ἄμεινον
δὲ διοικεῖται καὶ σῴζεται τίνος παραγιγνομένου ἢ ἀπο
γιγνομένου· ὥσπερ ἂν εἰ σύ με ἔροιο ἄμεινον διοικεῖται σῶ
μα καὶ σῴζεται τίνος παραγιγνομένου ἢ ἀπογιγνομένου.
εἴποιμ' ἂν ὅτι ὑγιείας μὲν παραγιγνομένης. νόσου δὲ ἀπο
γιγνομένης· οὐ καὶ σὺ οἴει οὕτως; ναί: καὶ εἴ μ' αὖ ἔροιο τί
νος δὲ παραγιγνομένου ἄμεινον ὄμματα· ὡσαύτως εἴποιμ' ἂν
ὅτι ὄψεως μὲν παραγιγνομένης· τυφλότητος δὲ ἀπογι
γνομένης· καὶ ὦτα δὲ κωφότητος μὲν ἀπογιγνομένης·
ἀκοῆς δὲ ἐγγιγνομένης, βελτίω τε γίγνεται καὶ ἄμεινον θερα
πεύεται: ὀρθῶς: τί δὲ δὴ πόλις· τίνος παραγιγνομένου καὶ
ἀπογιγνομένου βελτίων τε γίγνεται καὶ ἄμεινον θεραπεύ
εται καὶ διοικεῖται: ἐμοὶ μὲν δοκεῖ ὦ σώκρατες ὅταν φιλία μὲν
αὐτοῖς γίγνηται πρὸς ἀλλήλους· τὸ μισεῖν δὲ καὶ στασιάζειν

ἀπογίγνηται· ἆρ' οὖν φιλίαν λέγεις ὁμόνοιαν ἢ διχόνοιαν·
ὁμόνοιαν· διὰ τίν' οὖν τέχνην ὁμονοοῦσιν αἱ πόλεις περὶ ἀρι-
θμούς· διὰ τὴν ἀριθμητικήν· τί δὲ οἱ ἰδιῶται· οὐ διὰ τῆς αὐ-
τῆς· ναί· οὐκοῦν καὶ αὐτὸς αὑτῷ ἕκαστος· ναί· διὰ τίνα δὲ
τέχνην ἕκαστος αὐτὸς αὑτῷ ὁμονοεῖ περὶ σπιθαμῆς καὶ πή-
χεος ὁπότερον μεῖζον· οὐ διὰ τὴν μετρητικήν· τί μήν· οὐκοῦν
καὶ οἱ ἰδιῶται ἀλλήλοις καὶ αἱ πόλεις· ναί· τί δὲ περὶ σταθμοῖς·
οὐχ ὡσαύτως· φημί· ἣν δὲ δὴ σὺ λέγεις ὁμόνοιαν, τίς ἐστι
περὶ τοῦ καὶ τίς αὐτὴν τέχνη παρασκευάζει· καὶ ἆρα ἥπερ
πόλει αὐτὴ καὶ ἰδιώτῃ αὐτῷ τε πρὸς αὑτὸν καὶ πρὸς ἄλλον·
εἰκός γέ τοι· τίς οὖν ἐστι· μὴ κάμῃς ἀποκρινόμενος· ἀλλὰ προ-
θυμοῦ εἰπεῖν· ἐγὼ μὲν οἶμαι φιλίαν τε λέγειν καὶ ὁμόνοιαν ἥν-
περ πατήρ τε υἱὸν φιλῶν ὁμονοεῖ· καὶ μήτηρ· καὶ ἀδελφὸς ἀδελ-
φῷ· καὶ γυνὴ ἀνδρί· οἴει ἂν οὖν ὦ Ἀλκιβιάδη ἄνδρα γυναικὶ περὶ
ταλασιουργίας δύνασθαι ὁμονοεῖν, τὸν μὴ ἐπιστάμενον τῇ ἐ-
πισταμένῃ· οὐ δῆτα· οὐδέ γε δεῖ οὐδέν· γυναικεῖον γὰρ
τοῦτό γε μάθημα· ναί· τί δὲ γυνὴ ἀνδρὶ περὶ ὁπλιτικῆς
δύναιτ' ἂν ὁμονοεῖν μὴ μαθοῦσα· οὐ δῆτα· ἀνδρεῖον γὰρ τοῦ-
τό γε ἴσως αὖ φαίης ἂν εἶναι· ἔγωγε· ἔστιν ἄρα τὰ μὲν γυ-
ναικεῖα, τὰ δὲ ἀνδρεῖα μαθήματα κατὰ τὸν σὸν λόγον· πῶς
δ' οὔ· οὐκ ἄρ' ἔν γε τούτοις ἐστὶν ὁμόνοια γυναιξὶ πρὸς ἄνδρας·
οὔ· οὐδ' ἄρα φιλία, εἴπερ ἡ φιλία ὁμόνοια ἦν· οὐ φαίνεται· ἧι
ἄρα αἱ γυναῖκες τὰ αὑτῶν πράττουσιν οὐ φιλοῦνται ὑπὸ τῶν
ἀνδρῶν· οὐκ ἔοικεν· οὐδ' ἄρα οἱ ἄνδρες ὑπὸ τῶν γυναικῶν
ἧι τὰ αὑτῶν· οὔ· οὐδ' εὖ ἄρα ταύτῃ οἰκοῦνται αἱ πόλεις ὅταν
τὰ αὑτῶν ἕκαστοι πράττωσιν· οἶμαι ἔγωγε ὦ Σώκρατες· πῶς
λέγεις· φιλίας μὴ παρούσης, ἧς ἔφαμεν ἐγγιγνομένης εὖ οἰ-
κεῖσθαι τὰς πόλεις, ἄλλως δ' οὔ· ἀλλά μοι δοκεῖ καὶ κατὰ τοῦτ' αὐ-
τοῖς φιλίαν ἐγγίγνεσθαι ὅτι τὰ αὑτῶν ἑκάτεροι πράττουσιν·
οὐκ ἄρτι γε· νῦν δὲ πῶς αὖ λέγεις· ὁμονοίας μὴ ἐγγιγνομέ-
νης φιλία ἐγγίγνεται· ἢ οἷόν τε ὁμόνοιαν γίγνεσθαι περὶ τού-
των ὧν οἱ μὲν ἴσασι περὶ τούτων, οἱ δ' οὔ· ἀδύνατον· δίκαια δὲ
πράττουσιν ἢ ἄδικα ὅταν τὰ αὑτῶν ἕκαστοι πράττωσιν·
δίκαια· πῶς γὰρ οὔ· τὰ δίκαια οὖν πραττόντων ἐν τῇ πόλει

ὡς πολλὰ ἐρωτήσας λέγει
τὸν νεανίσκον προτρέπει
μὴ ἀποκάμνειν

ἴσως τὸ προσεχέστερον
οὐχ ὁμονοεῖ ἀνὴρ καὶ
γυνή, ἀλλὰ κατὰ τὸ πόρρω

τὸ κατὰ τὸν σὸν λόγον· ἀναγκάζει γὰρ ἐκεῖ-
νος τὰ ἐν τῇ πολιτείᾳ ἀπο-
δεδειγμένα· καὶ διαφέρει
καὶ τὰ πολεμικὰ τὸ θῆλυ τοῦ
ἄρρενος

τῶν πολιτῶν φιλία οὐκ ἐγγίγνεται πρὸς ἀλλήλους: ἀναγκαῖον μοι
δοκεῖ εἶναι ὦ σώκρατες: τί οὖν ποτε λέγεις τὴν φιλίαν ἢ ὁμό-
νοιαν περὶ ἧς δεῖ ἡμᾶς σοφούς τε εἶναι καὶ εὐβούλους ἵνα ἀγαθοὶ
ἄνδρες ὦμεν· οὐ γὰρ δύναμαι μαθεῖν οὔθ' ἥτις οὔτ' ἐν οἷστισιν·
τοτὲ μὲν γὰρ ἐν τοῖς αὐτοῖς φαίνεται ἐνοῦσα· τοτὲ δ' οὔ ὡς ἐκ
τοῦ σοῦ λόγου: ἀλλὰ μὰ τοὺς θεοὺς ὦ σώκρατες οὐδ' αὐτὸς
οἶδ' ὅτι λέγω· κινδυνεύω δὲ καὶ πάλαι λεληθέναι ἐμαυτὸν αἴσχι-
στα ἔχων: ἀλλὰ χρὴ θαρρεῖν· εἰ μὲν γὰρ αὐτὸ ᾔσθου πεπονθὼς
πεντηκονταέτης· χαλεπὸν ἂν ἦν σοι ἐπιμεληθῆναι σαυτοῦ·
νῦν δ' ἣν ἔχεις ἡλικίαν αὕτη ἐστὶν ἐν ᾗ δεῖ αὐτὸ αἰσθέσθαι: τί οὖν
τὸν αἰσθόμενον χρὴ ποιεῖν ὦ σώκρατες: ἀποκρίνεσθαι τὰ
ἐρωτώμενα ὦ ἀλκιβιάδη· καὶ ἐὰν τοῦτο ποιῇς ἂν θεὸς ἐ-
θέλῃ εἴ τι δεῖ καὶ τῇ ἐμῇ μαντείᾳ πιστεύειν· σύ τε κἀγὼ βέλτι-
ον σχήσομεν: ἔσται ταῦτ' ἕνεκά γε τοῦ ἐμὲ ἀποκρίνεσθαι:
φέρε δὴ τί ἐστιν τὸ ἑαυτοῦ ἐπιμελεῖσθαι· μὴ πολλάκις λάθω-
μεν οὐχ ἡμῶν αὐτῶν ἐπιμελούμενοι οἰόμενοι δέ· καὶ πότ' ἄρα
αὐτὸ ποιεῖ ἄνθρωπος· ἆρ' ὅταν τῶν αὑτοῦ ἐπιμελῆται τότε
καὶ αὑτοῦ: ἐμοὶ γοῦν δοκεῖ: τί δέ· ποδῶν ἄνθρωπος πότε ἐ-
πιμελεῖται· ἆρ' ὅταν ἐκείνων ἐπιμελῆται ἅ ἐστι τῶν ποδῶν: οὐ
μανθάνω: καλεῖς δέ τι χειρός· οἷον δακτύλιον ἔστιν ὅτου ἂν ἄλλου
τῶν τοῦ ἀνθρώπου φαίης ἢ δακτύλου: οὐ δῆτα: οὐκοῦν
καὶ ποδὸς ὑπόδημα τὸν αὐτὸν τρόπον: ναί: ἆρ' οὖν ὅταν ὑ-
ποδημάτων ἐπιμελώμεθα τότε ποδῶν ἐπιμελούμεθα: οὐ
πάνυ μανθάνω ὦ σώκρατες: τί δὲ ὦ ἀλκιβιάδη· ὀρθῶς ἐπι-
μελεῖσθαι καλεῖς τι ὁτουοῦν πράγματος: ἔγωγε: ἆρ' οὖν ὅ-
ταν τίς τι βέλτιον ποιῇ τότε ὀρθὴν λέγεις ἐπιμέλειαν: ναί:
τίς οὖν τέχνη ὑποδήματα βελτίω ποιεῖ: σκυτική: σκυτικῇ
ἄρα ὑποδημάτων ἐπιμελούμεθα: ναί: ἦ καὶ ποδὸς σκυτι-
κῇ· ἢ ἐκείνῃ ᾗ πόδας βελτίους ποιοῦμεν: ἐκείνῃ: βελτίους
δὲ πόδας οὐχ ᾗπερ καὶ τὸ ἄλλο σῶμα: ἔμοιγε δοκεῖ: αὕτη
δ' οὐ γυμναστική: μάλιστα: γυμναστικῇ μὲν ἄρα ποδὸς ἐπιμε-
λούμεθα· σκυτικῇ δὲ τῶν τοῦ ποδός: πάνυ γε: καὶ γυμναστι-
κῇ μὲν χειρῶν· δακτυλογλυφίᾳ δὲ τῶν τῆς χειρός: ναί: καὶ
γυμναστικῇ μὲν σώματος· ὑφαντικῇ δὲ καὶ ταῖς ἄλλαις τῶν

τοῦ στόματος: παντάπασι μὲν οὖν: ἄλλῃ μὲν ἄρα τέχνῃ αὐτοῦ ἑκά-
στου ἐπιμελούμεθα. ἄλλῃ δὲ τῶν αὐτοῦ: φαίνεται: οὐκ ἄρα ὅταν τῶν
ἑαυτοῦ ἐπιμελῇ, σαυτοῦ ἐπιμελῇ: οὐδαμῶς: οὐ γὰρ ἡ αὐτὴ τέχνη
ὡς ἔοικεν ᾗ τις ἂν αὑτοῦ τε ἐπιμελοῖτο καὶ τῶν αὑτοῦ: οὐ φαίνεται:
φέρε δὴ ποίᾳ ποτ' ἂν ἡμῶν αὐτῶν ἐπιμεληθεῖμεν: οὐκ ἔχω λέγειν: ἀλλὰ
τοσόνδε γε ὡμολόγηται ὅτι οὐχ ᾗ ἂν τῶν ἡμετέρων μηδ' ὁτιοῦν βελ-
τίον ποιοῖμεν ἀλλ' ᾗ ἡμᾶς αὐτούς: ἀληθῆ λέγεις: ἆρ' οὖν ἔγνωμεν
ἄν ποτε τίς τέχνη ὑπόδημα βελτίον ποιεῖ μὴ εἰδότες ὑπόδη-
μα: ἀδύνατον: οὐδέ γε τίς τέχνη δακτυλίους βελτίους ποιεῖ ἀ-
γνοοῦντες δακτύλιον: ἀληθῆ: τί δέ· τίς τέχνη βελτίω ποιεῖ αὐτόν·
ἆρ' ἄν ποτε γνοῖμεν ἀγνοοῦντες τί ποτ' ἐσμὲν αὐτοί: ἀδύνατον:
πότερον οὖν δὴ ῥᾴδιον τυγχάνει τὸ γνῶναι ἑαυτὸν καί τις ἦν
φαῦλος ὁ τοῦτ' ἀναθεὶς εἰς τὸν ἐν πυθοῖ νεὼν ἢ χαλεπόν τι καὶ οὐ-
χὶ παντός: ἐμοὶ μὲν ὦ σώκρατες πολλάκις μὲν ἔδοξε παντὸς
εἶναι. πολλάκις δὲ παγχάλεπον: ἀλλ' ὦ ἀλκιβιάδη εἴτε ῥᾴδιον εἴτε
μή ἐστιν. ὅμως γε ἡμῖν ὧδ' ἔχει. γνόντες μὲν αὐτὸ τάχ' ἂν γνοῖμεν
τὴν ἐπιμέλειαν ἡμῶν αὐτῶν. ἀγνοοῦντες δὲ οὐκ ἄν ποτε: ἔστι
ταῦτα: φέρε δὴ τίν' ἂν τρόπον εὑρεθείη αὐτὸ ταὐτό: οὕτω μὲν
γὰρ ἂν τάχ' εὕροιμεν τί ποτ' ἐσμὲν αὐτοί. τούτου δ' ἔτι ὄντες ἐν ἀ-
γνοίᾳ. ἀδύνατοί που: ἔχε οὖν πρὸς διός τῷ διαλέγῃ σὺ νῦν
ἄλλο τι ἢ ἐμοί: ναί: οὐκοῦν καὶ ἐγὼ σοί: ναί: σωκράτης ἄρ' ἐστὶν
ὁ διαλεγόμενος: πάνυ γε: ἀλκιβιάδης δ' ὁ ἀκούων: ναί: οὐκοῦν
λόγῳ διαλέγεται ὁ σωκράτης: τί μήν: τὸ δὲ διαλέγεσθαι καὶ τὸ λό-
γῳ χρῆσθαι ταὐτόν που καλεῖς: πάνυ γε: ὁ δὲ χρώμενος καὶ
ᾧ χρῆται οὐκ ἄλλο: πῶς λέγεις: ὥσπερ σκυτοτόμος τέμνει που
τομεῖ καὶ σμίλῃ καὶ ἄλλοις ὀργάνοις; ναί: οὐκοῦν ἄλλο μὲν ὁ τέ-
μνων καὶ ὁ χρώμενος. ἄλλο δὲ οἷς τέμνων χρῆται: πῶς γὰρ οὔ:
ἆρ' οὖν οὕτως καὶ οἷς ὁ κιθαριστὴς κιθαρίζει καὶ αὐτὸς ὁ κιθα-
ριστὴς ἄλλο ἂν εἴη; ναί: τοῦτο τοίνυν ἄρτι ἠρώτων εἰ ὁ
χρώμενος καὶ ᾧ χρῆται ἀεὶ δοκεῖ ἕτερον εἶναι: δοκεῖ: τί οὖν φῶ-
μεν τὸν σκυτοτόμον. τέμνειν ὀργάνοις μόνον ἢ καὶ χερσίν:
καὶ χερσίν: χρῆται ἄρα καὶ ταύταις; ναί: ἦ καὶ τοῖς ὀφθαλ-
μοῖς χρώμενος, σκυτοτομεῖ: ναί: τὸν δὲ χρώμενον καὶ οἷς
χρῆται ἕτερα ὁμολογοῦμεν; ναί: ἕτερον ἄρα σκυτοτόμος

καὶ κιθαριστὴς χερσὶ καὶ ὀφθαλμοῖς οἷς ἐργάζονται: φαίνε
ται: οὐκοῦν καὶ παντὶ τῷ σώματι χρῆται ἄνθρωπος: πάνυ
γε: ἕτερον δ' ἦν τό τε χρώμενον καὶ ᾧ χρῆται: ναί: ἕτερον ἄρ' ἄν
θρωπός ἐστι τοῦ σώματος τοῦ ἑαυτοῦ: ἔοικεν: τί ποτ' οὖν ὁ
ἄνθρωπος: οὐκ ἔχω λέγειν: ἔχεις μὲν οὖν ὅτι γε τὸ τῷ σώμα
τι χρώμενον: ναί: ἦ οὖν ἄλλο τι χρῆται αὐτῷ ἢ ἡ ψυχή: οὐκ ἄλλο:
Ὁ οὐκοῦν ἄρχουσα: ναί: καὶ μὴν τόδε γ' οἶμαι οὐδένα ἂν ἄλλως
οἰηθῆναι: τὸ ποῖον: μὴ οὐ τριῶν ἕν γέ τι εἶναι τὸν ἄνθρωπον:
τίνων: ψυχὴν ἢ σῶμα ἢ συναμφότερον τὸ ὅλον τοῦτο: τί μήν:
ἀλλὰ μὴν αὐτό γε τὸ τοῦ σώματος ἄρχον ὡμολογήσαμεν
ἄνθρωπον εἶναι: ὡμολογήσαμεν: ἆρ' οὖν σῶμα αὐτὸ αὑ
τοῦ ἄρχει: οὐδαμῶς: ἄρχεσθαι γὰρ αὐτὸ εἴπομεν: ναί:
οὐκ ἂν δὴ τοῦτό γε εἴη ὃ ζητοῦμεν: οὐκ ἔοικεν: ἀλλ' ἆρα τὸ συ
ναμφότερον τοῦ σώματος ἄρχει καὶ ἔστι δὴ τοῦτο ἄνθρω
πος: ἴσως δῆτα: πάντων γε ἥκιστα: μὴ γὰρ συνάρχοντος
τοῦ ἑτέρου. οὐδεμία που μηχανὴ τὸ συναμφότερον ἄρχειν:
ὀρθῶς: ἐπεὶ δ' οὔτε σῶμα οὔτε τὸ συναμφότερόν ἐστιν
ἄνθρωπος λείπεται οἶμαι ἢ μηδὲν αὔτ' εἶναι ἢ εἴπερ τί ἐστι μηδὲν
ἄλλο τὸν ἄνθρωπον συμβαίνειν ἢ ψυχήν: κομιδῇ μὲν οὖν: ἔτι
οὖν τι σαφέστερον δεῖ ἀποδειχθῆναί σοι ὅτι ἡ ψυχή ἐστιν ἄνθρω
πος: μὰ δία ἀλλ' ἱκανῶς μοι δοκεῖ ἔχειν: εἰ δέ γε μὴ ἀκριβῶς.
ἐξαρκεῖ ἡμῖν: ἀκριβῶς μὲν γὰρ τότε εἰσόμεθα ὅταν εὕρωμεν
ὃ νῦν δὴ παρήλθομεν διὰ τὸ πολλῆς εἶναι σκέψεως: τί τοῦτο:
Ὃ ἄρτι οὕτω πως ἐρρήθη ὅτι πρῶτον σκεπτέον εἴη αὐτὸ τὸ αὐ
τό. νῦν δὲ ἀντὶ τοῦ αὐτοῦ αὐτὸν ἕκαστον ἐσκέμμεθα ὅτι ἐστί. καὶ
ἴσως ἐξαρκέσει. οὐ γάρ που κυριώτερόν γε οὐδὲν ἂν ἡμῶν
αὐτῶν φήσαιμεν ἢ τὴν ψυχήν: οὐ δῆτα: οὐκοῦν καλῶς ἔχει
οὕτω νομίζειν ἐμὲ καὶ σὲ προσομιλεῖν ἀλλήλοις τοῖς λόγοις
χρωμένους τῇ ψυχῇ πρὸς τὴν ψυχήν: πάνυ μὲν οὖν: τοῦτο
ἄρ' ἦν ὃ καὶ ὀλίγῳ ἔμπροσθεν εἴπομεν ὅτι σωκράτης ἀλκι
βιάδῃ διαλέγεται χρώμενος οὐ πρὸς τὸ σὸν πρόσωπον ὡς ἔ
οικεν ἀλλὰ πρὸς τὸν ἀλκιβιάδην ποιούμενος τοὺς λόγους.
τοῦτο δέ ἐστιν ἡ ψυχή: ἔμοιγε δοκεῖ: ψυχὴν ἄρα ἡμᾶς κελεύει
γνωρίσαι ὁ ἐπιτάττων γνῶναι ἑαυτόν: ἔοικεν: ὅστις ἄρα

ὅτι ἀνελλειπῆ τὸν ὅρον σωκρ(άτης)

ὁρᾷ [illegible] ἀλκιβιάδης [illegible] λέγει:-

τῶν τοῦ σώματος γιγνώσκει· τὰ αὑτοῦ ἀλλ' οὐχ αὑτὸν ἐγίγνωσκεν·
οὕτως· οὐδεὶς ἄρα τῶν ἰατρῶν ἑαυτὸν γιγνώσκει καθ' ὅσον
ἰατρός· οὐδὲ τῶν παιδοτριβῶν καθ' ὅσον παιδοτρίβης· οὐκ ἔοι-
κεν· πολλοῦ ἄρα δέουσιν οἱ γεωργοὶ καὶ οἱ ἄλλοι δημιουργοὶ
γιγνώσκειν ἑαυτούς· οὐδὲ γὰρ τὰ ἑαυτῶν οὗτοί γε ὡς ἔοι-
κεν ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτῶν κατά γε τὰς τέχνας ἃς ἔχου-
σιν· τὰ γὰρ τοῦ σώματος γιγνώσκουσιν οἷς τοῦτο θεραπεύ-
εται· ἀληθῆ λέγεις· εἰ ἄρα σωφροσύνη ἐστὶ τὸ ἑαυτὸν γιγνώ-
σκειν, οὐδεὶς τούτων σώφρων κατὰ τὴν τέχνην· οὔ μοι δοκεῖ·
διὰ ταῦτα δὴ καὶ βάναυσοι αὗται αἱ τέχναι δοκοῦσιν εἶναι καὶ οὐκ ἀν-
δρὸς ἀγαθοῦ μαθήματα· πάνυ μὲν οὖν· οὐκοῦν πάλιν ὅστις
αὖ σῶμα θεραπεύει, τὰ ἑαυτοῦ ἀλλ' οὐκ αὑτὸν θεραπεύει· κινδυ-
νεύει· ὅστις δέ γε τὰ χρήματα, οὔθ' ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ, ἀλλ' ἔ-
τι πορρωτέρω τῶν ἑαυτοῦ· ἔμοιγε δοκεῖ· οὐ τὰ αὑτοῦ ἄρα ἔτι
πράττει ὁ χρηματιστής· ὀρθῶς· εἰ ἄρα τις γέγονεν ἐρα-
στὴς τοῦ Ἀλκιβιάδου σώματος, οὐκ Ἀλκιβιάδου ἠράσθη ἀλλά τι-
νος τῶν Ἀλκιβιάδου· ἀληθῆ λέγεις· ὅστις δέ σου τῆς ψυχῆς
ἐρᾷ· ἀνάγκη φαίνεται ἐκ τοῦ λόγου· οὐκοῦν ὁ μὲν τοῦ σώμα-
τός σου ἐρῶν ἐπειδὴ λήγει ἀνθοῦν ἀπιὼν οἴχεται· φαίνεται· ὁ δέ
γε τῆς ψυχῆς ἐρῶν οὐκ ἄπεισιν ἕως ἂν ἐπὶ τὸ βέλτιον ἴῃ· εἰ-
κός γε· οὐκοῦν ἐγώ εἰμι ὁ οὐκ ἀπιὼν ἀλλὰ παραμένων λήγον-
τος τοῦ σώματος, τῶν ἄλλων ἀπεληλυθότων· εὖ γε ποιῶν ὦ σώ-
κρατες· καὶ μὴ ἀπέλθοις· προθυμοῦ τοίνυν ὅτι κάλλιστος εἶ-
ναι· ἀλλὰ προθυμήσομαι· ὡς οὕτω γέ σοι ἔχει· οὔτ' ἐγένεθ' ὡς
ἔοικεν Ἀλκιβιάδῃ τῷ Κλεινίου ἐραστὴς οὔτ' ἔστιν, ἀλλ' ἢ εἷς μόνος,
καὶ οὗτος ἀγαπητός, Σωκράτης ὁ Σωφρονίσκου καὶ Φαιναρ-
έτης· ἀληθῆ· οὐκοῦν ἔφησθα σμικρὸν φθῆναί με προσελθ-
όντα σοι, ἐπεὶ πρότερος ἄν μοι προσελθεῖν βουλόμενος
πυθέσθαι δι' ὅτι μόνος οὐκ ἀπέρχομαι· ἦν γὰρ οὕτω· τοῦτο
τοίνυν αἴτιον, ὅτι μόνος ἐραστὴς ἦν σός, οἱ δ' ἄλλοι τῶν σῶν·
τὰ δὲ σὰ λήγει ὥρας, σὺ δ' ἄρχῃ ἀνθεῖν· καὶ νῦν γε ἂν μὴ δια-
φθαρῇς ὑπὸ τοῦ Ἀθηναίων δήμου καὶ αἰσχίων γένῃ, οὐ
μή σε ἀπολίπω· τοῦτο γὰρ δὴ μάλιστα ἐγὼ φοβοῦμαι, μὴ δη-
μεραστὴς ἡμῖν γενόμενος διαφθαρῇς· πολλοὶ γὰρ ἤδη

σωφροσύνη ...
φρόνησις ... χειρ...
τὰ κρείττω ἐπιστρέψα-
σαν· καὶ ἄλλως· ἀντιστρέ-
φουσιν ἀλλήλαις
αἱ πολιτικαὶ ἀρε-
ταί·

καὶ ἀγαθοὶ αὐτὸ πεπόνθασιν ἀθηναίων· εὐπρόσωπος γὰρ ὁ τοῦ
μεγαλήτορος δῆμος ἐρεχθέως· ἀλλ' ἀποδύντα χρὴ αὐτὸν θεά-
σασθαι· εὐλαβοῦ οὖν τὴν εὐλάβειαν ἣν ἐγὼ λέγω· τίνα· γύ-
μνασαι πρῶτον ὦ μακάριε καὶ μάθε ἃ δεῖ μαθόντα ἰέναι ἐπὶ τὰ
τῆς πόλεως πρότερον δὲ μή· ἵν' ἀλεξιφάρμακα ἔχων ἴῃς
καὶ μηδὲν πάθῃς δεινόν· εὖ μοι δοκεῖς λέγειν ὦ σώκρατες·
ἀλλὰ πειρῶ ἐξηγεῖσθαι ὅντινα τρόπον ἐπιμεληθεῖμεν ἡμῶν
αὐτῶν· οὐκοῦν τοσοῦτον μὲν ἡμῖν εἰς τὸ πρόσθεν διωμολόγηται·
ὃ γὰρ ἐσμὲν ἐπιεικῶς ὡμολόγηται· φοβούμεθα δὲ μὴ τούτου
σφαλέντες λάθωμεν ἑτέρου τινὸς ἐπιμελόμενοι ἀλλ' οὐχ ἡμῶν·
ἔστι ταῦτα· καὶ μετὰ τοῦτο ἤδη ὅτι ψυχῆς ἐπιμελητέον καὶ εἰς
τοῦτο βλεπτέον· δῆλον· σωμάτων δὲ καὶ χρημάτων τὴν ἐπι-
μέλειαν ἑτέροις παραδοτέον· τί μήν· τίν' οὖν ἂν τρόπον γνοίη-
μεν αὐτὸ ἐναργέστατα· ἐπειδὴ τοῦτο γνόντες ὡς ἔοικεν ἡμᾶς
αὐτοὺς γνωσόμεθα· ἆρα πρὸς θεῶν εὖ λέγοντος οὗ νῦν δὴ ἐ-
μνήσθημεν τοῦ δελφικοῦ γράμματος οὐ ξυνίεμεν· τὸ ποῖον
τι διανοούμενος λέγεις ὦ σώκρατες· ἐγώ σοι φράσω ὅ γε
ὑποπτεύω λέγειν καὶ συμβουλεύειν ἡμῖν τοῦτο τὸ γράμμα· κιν-
δυνεύει γὰρ οὐδὲ πολλαχοῦ εἶναι παράδειγμα αὐτοῦ ἀλλὰ κατὰ
τὴν ὄψιν μόνον· πῶς τοῦτο λέγεις· σκόπει καὶ σύ· εἰ ἡμῶν τῷ
ὄμματι ὥσπερ ἀνθρώπῳ συμβουλεῦον εἶπεν ἰδὲ σαυτόν·
πῶς ἂν ὑπελάβομεν τί παραινεῖν· ἆρα οὐχὶ εἰς τοῦτο βλέπειν εἰς ὃ
βλέπων ὁ ὀφθαλμὸς ἔμελλεν αὑτὸν ἰδεῖν· δῆλον· ἐννοῶμεν
δὴ εἰς τί βλέποντες τῶν ὄντων ἐκεῖνό τε ὁρῷμεν ἅμα ἂν καὶ ἡμᾶς
αὐτούς· δῆλον δὴ ὦ σώκρατες ὅτι εἰς κάτοπτρά τε καὶ τὰ τοι-
αῦτα· ὀρθῶς λέγεις· οὐκοῦν καὶ τῷ ὀφθαλμῷ ᾧ ὁρῶμεν
ἔνεστί τι τῶν τοιούτων· πάνυ γε· ἐννενόηκας οὖν ὅτι τοῦ ἐμ-
βλέποντος εἰς τὸν ὀφθαλμὸν τὸ πρόσωπον ἐμφαίνεται ἐν τῇ τοῦ
καταντικρὺ ὄψει ὥσπερ ἐν κατόπτρῳ ὃ δὴ καὶ κόρην καλοῦμεν
εἴδωλον ὂν τοῦ ἐμβλέποντος· ἀληθῆ λέγεις· ὀφθαλμὸς
ἄρα ὀφθαλμὸν θεώμενος καὶ ἐμβλέπων εἰς τοῦτο ὅπερ βέλτιστον
αὐτοῦ καὶ ᾧ ὁρᾷ· οὕτως ἂν αὑτὸν ἴδοι· φαίνεται· εἰ δέ γε εἰς
ἄλλο τῶν τοῦ ἀνθρώπου βλέποι ἤ τι τῶν ὄντων πλὴν εἰς ἐκεῖ-
νο ᾧ τοῦτο τυγχάνει ὅμοιον· οὐκ ὄψεται ἑαυτόν· ἀληθῆ λέγεις·

ὀφθαλμὸς ἄρ' εἰ μέλλει ἰδεῖν αὑτόν, εἰς ὀφθαλμὸν αὐτῷ βλεπτέον καὶ
τοῦ ὄμματος εἰς ἐκεῖνον τὸν τόπον ἐν ᾧ τυγχάνει ἡ ὀφθαλμοῦ ἀρε-
τὴ ἐγγιγνομένη· ἔστι δὲ τοῦτό που ἡ ὄψις· οὕτως· ἆρ' οὖν ὦ φίλε
Ἀλκιβιάδη καὶ ψυχὴ εἰ μέλλει γνώσεσθαι αὑτήν, εἰς ψυχὴν αὐτῇ βλεπτέ-
ον· καὶ μάλιστ' εἰς τοῦτον αὐτῆς τὸν τόπον ἐν ᾧ ἐγγίγνεται ἡ ψυχῆς
ἀρετὴ σοφία, καὶ εἰς ἄλλο ᾧ τοῦτο τυγχάνει ὅμοιον ὄν· ἔμοιγε δο-
κεῖ ὦ Σώκρατες· ἔχομεν οὖν εἰπεῖν ὅτι ἐστὶ τῆς ψυχῆς θειότε-
ρον ἢ τοῦτο περὶ ὃ τὸ εἰδέναι τε καὶ φρονεῖν ἐστιν· οὐκ ἔχομεν·
τῷ θεῷ ἄρα τοῦτ' ἔοικεν αὐτῆς· καί τις εἰς τοῦτο βλέπων καὶ πᾶν
τὸ θεῖον γνούς, θεόν τε καὶ φρόνησιν, οὕτω καὶ ἑαυτὸν ἂν γνοίη
μάλιστα· φαίνεται· τὸ δὲ γιγνώσκειν αὑτὸν ὡμολογοῦμεν σω-
φροσύνην εἶναι· πάνυ γε· ἆρ' οὖν μὴ γιγνώσκοντες ἡμᾶς αὐ-
τοὺς μηδὲ σώφρονες ὄντες δυναίμεθ' ἂν εἰδέναι τὰ ἡμέτερα αὐ-
τῶν κακά τε καὶ ἀγαθά· καὶ πῶς ἂν τοῦτο γένοιτο ὦ Σώκρατες·
ἀδύνατον γὰρ ἴσως σοι φαίνεται μὴ γιγνώσκοντα Ἀλκιβιάδην τὰ Ἀλκι-
βιάδου γιγνώσκειν ὅτι Ἀλκιβιάδου ἐστίν· ἀδύνατον μέντοι νὴ
Δία· οὐδ' ἄρα τὰ ἡμέτερα ὅτι ἡμέτερα, εἰ μὴ ἡμᾶς αὐτούς· πῶς γάρ· εἰ δ' ἄ-
ρα τὰ ἡμέτερα, οὐδὲ τὰ τῶν ἡμετέρων· οὐ φαίνεται· οὐκ ἄρα πάνυ
τι ὀρθῶς ὁμολογοῦμεν ὁμολογοῦντες ἄρτι εἶναί τινας οἳ
ἑαυτοὺς μὲν οὐ γιγνώσκουσι, τὰ δ' αὑτῶν· ἄλλους δὲ τὰ τῶν ἑαυ-
τῶν· ἔοικε γὰρ πάντα ταῦτ' εἶναι κατιδεῖν ἑνὸς καὶ μιᾶς τέ-
χνης· αὑτόν, τὰ αὑτοῦ, τὰ τῶν ἑαυτοῦ· κινδυνεύει· ὅστις δὲ
τὰ αὑτοῦ ἀγνοεῖ· καὶ τὰ τῶν ἄλλων που ἀγνοοῖ κατὰ ταὐτά· τί
μήν· οὐκοῦν εἰ τὰ τῶν ἄλλων, καὶ τὰ τῶν πόλεων ἀγνοήσει· ἀνάγ-
κη· οὐκ ἄρ' ἂν γένοιτο ὁ τοιοῦτος ἀνὴρ πολιτικός· οὐ δῆτα·
οὐ μὴν οὐδ' οἰκονομικός γε· οὐ δῆτα· οὐδὲ εἴσεται ὅ τι πράτ-
τει· οὐ γὰρ οὖν· ὁ δὲ μὴ εἰδὼς οὐχ ἁμαρτήσεται· πάνυ γε· ἐ-
ξαμαρτάνων δὲ οὐ κακῶς πράξει ἰδίᾳ τε καὶ δημοσίᾳ· πῶς
δ' οὔ· κακῶς δὲ πράττων οὐκ ἄθλιος· σφόδρα γε· τί δ' οἷς
οὗτος πράττει· καὶ οὗτοι· οὐκ ἄρα οὐδὲ πλουτήσας ἀθλι-
ότητος ἀπαλλάττεται, ἀλλὰ σωφρονήσας· φαίνεται· οὐκ ἄ-
ρα τειχῶν οὐδὲ τριήρων οὐδὲ νεωρίων δέονται αἱ πόλεις ὦ Ἀλ-
κιβιάδη εἰ μέλλουσιν εὐδαιμονήσειν, οὐδὲ πλήθους οὐδὲ μεγέ-
θους ἄνευ ἀρετῆς· οὐ μέντοι· εἰ δὴ μέλλεις τὰ τῆς πόλεως

πράξειν ὀρθῶς καὶ καλῶς ἀρετῆς σοι μεταδοτέον τοῖς πολίταις:
πῶς γὰρ οὔ: δύναιτο δ' ἄν τις μεταδιδόναι ὃ μὴ ἔχει: καὶ πῶς:
αὐτῷ ἄρα σοὶ πρῶτον κτητέον ἀρετὴν καὶ ἄλλῳ ὃς μέλλει μὴ ἰδίᾳ
μόνον αὐτοῦ τε καὶ τῶν αὐτοῦ ἄρξειν καὶ ἐπιμελήσεσθαι ἀλλὰ πό
λεως καὶ τῶν τῆς πόλεως: ἀληθῆ λέγεις: οὐκ ἄρα ἐξουσίαν
σοι οὐδ' ἀρχὴν παρασκευαστέον σαυτῷ ποιεῖν ὅ τι ἂν βούλῃ
οὐδὲ τῇ πόλει ἀλλὰ δικαιοσύνην καὶ σωφροσύνην: φαίνεται:
δικαίως μὲν γὰρ πράττοντες καὶ σωφρόνως σύ τε καὶ ἡ πόλις
θεοφιλῶς πράξετε: εἰκός γε: καὶ ὅπερ γε ἐν τοῖς πρόσθεν
ἐλέγομεν εἰς τὸ θεῖον καὶ λαμπρὸν ὁρῶντες πράξετε: φαίνεται:
ἀλλὰ μὴν ἐνταῦθά γε βλέποντες ὑμᾶς τε αὐτοὺς καὶ τὰ ὑμέτερα
ἀγαθὰ κατόψεσθε καὶ γνώσεσθε: ναί: οὐκοῦν ὀρθῶς τε καὶ
εὖ πράξετε: ναί: ἀλλὰ μὴν οὕτω γε πράττοντας ὑμᾶς ἐθέ
λω ἐγγυήσασθαι ἦ μὴν εὐδαιμονήσειν: ἀσφαλὴς γὰρ εἶ ἐγ
γυητής: ἀδίκως δέ γε πράττοντες εἰς τὸ ἄθεον καὶ τὸ σκοτεινὸν
βλέποντες ὡς τὸ εἰκὸς ὅμοια τούτοις πράξετε ἀγνοοῦντες
ὑμᾶς αὐτούς: ἔοικεν: ὧι γὰρ ὦ φίλε ἀλκιβιάδη ἐξουσία μὲν
ἢ ποιεῖν ὃ βούλεται νοῦν δὲ μὴ ἔχει· τί τὸ εἰκὸς συμβαίνειν ἰδι
ώτῃ ἢ καὶ πόλει· οἷον νοσοῦντι ἐξουσίας οὔσης δρᾶν ὃ βού
λεται· νοῦν ἰατρικὸν μὴ ἔχοντι τυραννοῦντι δὲ ὡς μηδ' ἐπιπλήτ
τοντι ἑαυτῷ τί τὸ συμβησόμενον· ἆρ' οὐχ ὡς τὸ εἰκὸς διαφθα
ρῆναι τὸ σῶμα: ἀληθῆ λέγεις: τί δ' ἐν νηὶ εἴ τῳ ἐξουσία εἴη
ποιεῖν ὃ δοκεῖ· νοῦ τε καὶ ἀρετῆς κυβερνητικῆς ἐστερημένῳ
καθορᾷς ἃ ἂν ξυμβαίη αὐτῷ τε καὶ τοῖς ξυνναύταις:
ἔγωγε ὅτι γε ἀπόλοιντο πάντες: οὐκοῦν ὡσαύτως ἐν πό
λει τε καὶ πάσαις ἀρχαῖς καὶ ἐξουσίαις ἀπολειπομέναις
ἀρετῆς ἕπεται τὸ κακῶς πράττειν: ἀνάγκη: οὐκ ἄρα τυραννίδα
χρὴ ὦ ἄριστε ἀλκιβιάδη παρασκευάζεσθαι οὔθ' αὑτῷ οὔτε τῇ
πόλει εἰ μέλλετε εὐδαιμονεῖν ἀλλ' ἀρετήν: ἀληθῆ λέγεις: πρὶν
δέ γε ἀρετὴν ἔχειν τὸ ἄρχεσθαι ἄμεινον ὑπὸ τοῦ βελτίονος ἢ
τὸ ἄρχειν ἀνδρὶ οὐ μόνον παιδί: φαίνεται: οὐκοῦν τό γ' ἄμεινον,
καὶ κάλλιον: ναί: τὸ δὲ κάλλιον πρεπωδέστερον: πῶς δ' οὔ: πρέ
πει ἄρα τῷ κακῷ δουλεύειν· ἄμεινον γάρ: ναί: δουλοπρεπὲς
ἄρ' ἡ κακία: φαίνεται: ἐλευθεροπρεπὲς δὲ ἡ ἀρετή: ναί: οὐ

κοῦν φεύγειν χρὴ ὦ ἑταῖρε τὴν δουλοπρέπειαν: μάλιστά γε ὦ Σώ-
κρατες: αἰσθάνῃ δὲ νῦν πῶς ἔχεις· ἐλευθεροπρεπῶς ἢ οὔ:
δοκῶ μοι καὶ μάλα σφόδρα αἰσθάνεσθαι: οἶσθ' οὖν πῶς ἀποφεύ-
ξῃ τοῦτο τὸ περὶ σὲ νῦν· ἵνα μὴ ὀνομάζωμεν αὐτὸ ἐπὶ καλῷ ἀν-
δρί: ἔγωγε: πῶς: ἐὰν βούλῃ σὺ ὦ Σώκρατες: οὐ καλῶς
λέγεις ὦ Ἀλκιβιάδη: ἀλλὰ πῶς χρὴ λέγειν: ὅτι ἐὰν θεὸς ἐ-
θέλῃ: λέγω δή· καὶ πρὸς τούτοις μέντοι τόδε λέγω· ὅτι κινδυ-
νεύσομεν μεταβαλεῖν τὸ σχῆμα ὦ Σώκρατες· τὸ μὲν σὸν ἐγώ·
σὺ δὲ τοὐμόν· οὐ γὰρ ἔστιν ὅπως οὐ παιδαγωγήσω σε ἀπὸ τῆσδε
τῆς ἡμέρας· σὺ δὲ ὑπ' ἐμοῦ παιδαγωγήσει: ὦ γενναῖε πε-
λαργοῦ ἄρα ὁ ἐμὸς ἔρως οὐδὲν διοίσει, εἰ παρὰ σοὶ ἐννεοττεύ-
σας ἔρωτα ὑπόπτερον ὑπὸ τούτου πάλιν θεραπεύσεται:
ἀλλ' οὕτως ἔχει· καὶ ἄρξομαί γε ἐντεῦθεν τῆς δικαιοσύνης
ἐπιμελεῖσθαι: βουλοίμην ἄν σε καὶ διατελέσαι· ὀρρωδῶ δέ·
οὔ τι τῇ σῇ φύσει ἀπιστῶν· ἀλλὰ τὴν τῆς πόλεως ὁρῶν ῥώμην·
μὴ ἐμοῦ τε καὶ σοῦ κρατήσῃ: ~ Ἀλκιβιάδης ἢ περὶ φύσεως ἀνθρώπου

Ἀλκιβιάδης β ※ ἢ ※ περὶ προσευχῆς ※ μαιευτικός

ια Ὦ Ἀλκιβιάδη· ἆρά γε πρὸς τὸν θεὸν πορευόμενος προσεύξῃ:
πάνυ μὲν οὖν ὦ Σώκρατες: φαίνει γέ τοι σκυθρωπάζειν,
καὶ ἐς γῆν βλέπειν ὥσπερ τι συννοούμενος: καὶ τί ἄν τις συννοοῖτο
ὦ Σώκρατες: τὴν μεγίστην ὦ Ἀλκιβιάδη σύννοιαν ὥς γ' ἐμοὶ
δοκεῖ· ἐπεὶ φέρε πρὸς Διός· οὐκ οἴει τοὺς θεοὺς ἃ τυγχάνο-
μεν εὐχόμενοι καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἐνίοτε τούτων τὰ μὲν
διδόναι τὰ δ' οὔ· καὶ ἔστιν οἷς μὲν αὐτῶν, ἐνίοις δ' οὔ: πάνυ μὲν
οὖν: οὐκοῦν δοκεῖ σοι πολλῆς προμηθείας γε προσδεῖσθαι
ὅπως μὴ λήσεται αὐτὸν εὐχόμενος μεγάλα κακά, δοκῶν δὲ ἀ-
γαθά· οἱ δὲ θεοὶ τύχωσιν ἐν ταύτῃ ὄντες τῇ ἕξει ἐν ᾗ διδόα-
σιν αὐτοὶ ἅπερ εὐχόμενος τυγχάνει· ὥσπερ τὸν Οἰδίπουν αὐτί-
κα φασὶν εὔξασθαι χαλκῷ διελέσθαι τὰ πατρῷα τοὺς υἱεῖς·

ἐξ ὧν αὐτῷ τῶν παρόντων αὐτῷ κακῶν ἀποτροπήν τινα εὔξα
σθαι ἕτερα προσηύξατο· τοιγαροῦν ταῦτα
ἐξετελέσθη καὶ ἐκ τούτων ἄλλα πολλὰ καὶ δεινά. ἀτὰρ τί δεῖ καθ' ἕ
καστα λέγειν: ἀλλὰ σύ μοι ὦ σώκρατες μαινόμενον ἄνθρωπον
εἴρηκας: ἐπεὶ τίς ἄν σοι δοκεῖ τολμῆσαι ὑγιαίνων τοιαῦτα εὔ
ξασθαι: τὸ μαίνεσθαι ἆρα ὑπεναντίον σοι δοκεῖ τῷ φρονεῖν:
πάνυ μὲν οὖν: ἄφρονας δὲ καὶ φρονίμους δοκοῦσιν ἄνθρωποι
εἶναί τινες σοί: εἶναι μὲν οὖν: φέρε δὴ ἐπισκεψώμεθα τίνες ποτ'
εἰσὶν οὗτοι. ὅτι μὲν γὰρ εἰσί τινες ὡμολόγηται ἄφρονές τε
καὶ φρόνιμοι καὶ μαινόμενοι ἕτεροι: ὡμολόγηται γάρ: ἔτι δὲ
ὑγιαίνοντές εἰσί τινες: εἰσίν: οὐκοῦν καὶ ἀσθενοῦντες ἕτε
ροι: πάνυ γε: οὐκοῦν οὐχ οἱ αὐτοί: οὐ γάρ: ἆρ' οὖν καὶ ἕτεροί
τινές εἰσιν οἳ μηδέτερα τούτων πεπόνθασιν: οὐ δῆτα:
ἀνάγκη ἄρ' ἐστὶν ἄνθρωπον ὄντα ἢ νοσεῖν ἢ μὴ νοσεῖν: ἔμοιγε
δοκεῖ: τί δαὶ περὶ φρονήσεως καὶ ἀφροσύνης ἆρά γε τὴν αὐ
τὴν ἔχεις γνώμην: πῶς λέγεις: εἰ δοκεῖ σοι οἷόν τε εἶναι ἢ
φρόνιμον ἢ ἄφρονα ἢ ἔστι τι διὰ μέσου τρίτον πάθος ὃ ποιεῖ
τὸν ἄνθρωπον μήτε φρόνιμον μήτε ἄφρονα: οὐ δῆτα: ἀνάγ
κη ἄρ' ἐστὶ τὸ ἕτερον τούτων πεπονθέναι: ἔμοιγε δοκεῖ: οὐ
κοῦν μέμνησαι ὁμολογήσας ὑπεναντίον εἶναι μανίαν φρονή
σει: ἔγωγε: οὐκοῦν καὶ μηδὲν εἶναι διὰ μέσου τρίτον πάθος
ὃ ποιεῖ τὸν ἄνθρωπον μήτε φρόνιμον μήτε ἄφρονα εἶναι: ὡ
μολόγησα γάρ: καὶ μὴν δύο γε ὑπεναντία ἑνὶ πράγματι πῶς
ἂν εἴη: οὐδαμῶς: ἀφροσύνη ἄρα καὶ μανία κινδυνεύει ταὐ
τὸν εἶναι: φαίνεται: [illegible] οὖν ἂν φαίην ὦ ἀλκιβιάδη τοὺς
ἄφρονας μαίνεσθαι ὀρθῶς ἂν φαίημεν. αὐτίκα τῶν σῶν ἡλικι
ωτῶν εἴ τινες τυγχάνουσιν ἄφρονες ὄντες ὥσπερ εἰσί καὶ τῶν
ἔτι πρεσβυτέρων: ἐπεὶ φέρε πρὸς διός οὐκ οἴει τῶν ἐν τῇ πό
λει ὀλίγους μὲν εἶναι τοὺς φρονίμους ἄφρονας δὲ δὴ τοὺς
πολλούς. οὓς δὴ σὺ μαινομένους καλεῖς: ἔγωγε: οἴει ἂν οὖν
χαίροντας ἡμᾶς εἶναι μετὰ τοσούτων μαινομένων πολιτευο
μένους, καὶ οὐ παιομένους καὶ βαλλομένους καὶ ἅπερ
εἰώθασιν οἱ μαινόμενοι διαπράττεσθαι πάλαι δὴ δίκην δεδω
κέναι; ἀλλ' ὅρα ὦ μακάριε μὴ οὐχ οὕτως ταῦτ' ἔχει: πῶς ἂν

οἴομαί ποτε ἔχοι ὦ σώκρατες· κινδυνεύει γὰρ οὐχ οὕτως ἔχειν ὡς
περ ᾠήθην· οὐδ' ἐμοὶ δοκεῖ· ἀλλ' ἔτι ἴδε δὴ καὶ ἄθρει τόδε· πῆ ποτε
λέγεις· ἐγὼ δή σοι γε ἐρῶ· ὑπολαμβάνομέν τινας εἶναι νοσοῦν
τας ἢ οὔ· πάνυ μὲν οὖν· ἆρ' οὖν δοκεῖ σοι ἀναγκαῖον εἶναι τὸν νο
σοῦντα ποδαγρᾶν ἢ πυρέττειν ἢ ὀφθαλμιᾶν; ἢ οὐκ ἂν δοκεῖ σοι
καὶ μηδὲν τούτων πεπονθὼς ἕτερον νόσημα νοσεῖν· πολλαὶ γὰρ
δή που εἰσὶ καὶ οὐ ταῦται μόναι· ἔμοιγε δοκοῦσιν· ὀφθαλ
μία σοι οὖν δοκεῖ πᾶσα νόσος εἶναι; ναί· ἆρ' οὖν καὶ πᾶσα νόσος
ὀφθαλμία; οὐ δῆτα ἔμοιγε· ἀπορῶ μέντοι πῶς λέγω· ἀλλ' ἐάν
μοί γε προσέχῃς τὸν νοῦν, σύνδυο σκοπούμενοι τυχὸν εὑρήσο
μεν· ἀλλὰ προσέχω ὦ σώκρατες εἰς δύναμιν τὴν ἐμήν· οὐ
κοῦν ὡμολογήθη ἡμῖν ὀφθαλμία μὲν πᾶσα νόσος εἶναι· νόσος
μέντοι οὐκέτι πᾶσα ὀφθαλμία· ὡμολογήθη· καὶ ὀρθῶς γέ
μοι δοκεῖ ὁμολογηθῆναι· καὶ γὰρ οἱ πυρέττοντες πάντες νο
σοῦσιν, οὐ μέντοι οἱ νοσοῦντες πάντες πυρέττουσιν οὐδὲ ποδα
γρῶσιν οὐδέ γε ὀφθαλμιῶσιν οἶμαι· ἀλλὰ νόσος μὲν πάντα τοι
αῦτά ἐστι· διαφέρειν δέ φασιν οὓς δὴ καλοῦμεν ἰατροὺς τὴν ἀπ
εργασίαν αὐτῶν· οὐ γὰρ πάντα οὔτε ὅμοια οὔτε ὁμοίως δια
πράττονται, ἀλλὰ κατὰ τὴν αὐτῆς δύναμιν ἑκάστη· νόσοι μέν
τοι πᾶσαί εἰσιν· ὥσπερ δημιουργούς τινας ὑπολαμβάνομεν
ἢ οὔ· πάνυ μὲν οὖν· οὐκοῦν τοὺς σκυτοτόμους καὶ τέκτονας
καὶ ἀνδριαντοποιοὺς καὶ ἑτέρους παμπληθεῖς· οὓς τί δεῖ καθ' ἕ
καστον λέγειν· ἔχουσι δ' οὖν διειληφότες δημιουργίας μέρη·
καὶ πάντες οὗτοί εἰσι δημιουργοί· οὐ μέντοι εἰσὶ τέκτονές γε
καὶ σκυτοτόμοι οὐδ' ἀνδριαντοποιοὶ οἱ ξύμπαντες οἵ εἰσι δημιουρ
γοί· οὐ δῆτα· οὕτω μὲν τοίνυν καὶ τὴν ἀφροσύνην διειλη
φότες εἰσί· καὶ τοὺς μὲν πλεῖστον αὐτῆς μέρος ἔχοντας μαινο
μένους καλοῦμεν· τοὺς δ' ὀλίγον ἔλαττον ἠλιθίους τε καὶ ἐμ
βροντήτους· οἱ δ' ἐν εὐφημοτάτοις ὀνόμασι βουλόμενοι κα
τονομάζειν οἱ μὲν μεγαλοψύχους, οἱ δὲ εὐήθεις· ἕτεροι δὲ ἀ
κάκους καὶ ἀπείρους καὶ ἐνεούς· εὑρήσεις δὲ καὶ ἕτερα πολ
λὰ ἂν ζητῇς ὀνόματα· πάντα δὲ ταῦτα ἀφροσύνη ἐστίν· δια
φέρει δὲ ὥσπερ τέχνη τέχνης ἡμῖν κατεφαίνετο καὶ νόσος νό
σου ἢ πῶς σοι δοκεῖ· ἐμοὶ μὲν οὕτως· οὐκοῦν ἀπ' ἐκείνου πάλιν

λιν ἐπανερώμεθα· ἦν γὰρ δή που καὶ ἐν ἀρχῇ τοῦ λόγου σκε-
πτέον εἶναι τοὺς ἄφρονας καὶ φρονίμους τίνες ποτέ εἰσιν·
ὡμολόγητο γὰρ εἶναί τινας· ἦ γὰρ οὔ; ναὶ ὡμολόγηται· ἆρ' οὖν
τούτους φρονίμους ὑπολαμβάνεις οἳ ἂν εἰδῶσιν ἅττα δεῖ
πράττειν καὶ λέγειν; ἔγωγε· ἄφρονας δὲ ποτέρους; ἆρα
γε τοὺς μηδέτερα τούτων εἰδότας τούτους· οὐκοῦν οἵ γε μὴ
εἰδότες μηδέτερα τούτων λήσουσιν αὑτοὺς καὶ λέγοντας καὶ
πράττοντας ἅττ' ἂν μὴ δέῃ· φαίνεται· τούτων μέντοι ἔλεγον
ὦ Ἀλκιβιάδη καὶ τὸν Οἰδίπουν εἶναι τῶν ἀνθρώπων· εὑρήσεις
δὲ καὶ τῶν νῦν πολλοὺς οὐκ ὀργῇ κεχρημένους ὥσπερ ἐκεῖ-
νον· οὐδ' οἰομένους κακά σφισιν εὔχεσθαι ἀλλ' ἀγαθά· ἐκεῖ-
νος μὲν ὥσπερ οὐδ' ηὔχετο οὐδ' ᾤετο· ἕτεροι δέ εἰσιν οἳ τὰ
ἐναντία τούτων πεπόνθασιν· ἐγὼ μὲν γὰρ οἶμαί σε πρῶτον
εἴ σοι ἐμφανὴς γενόμενος ὁ θεὸς πρὸς ὃν τυγχάνεις πο-
ρευόμενος ἐρωτήσειεν πρὶν ὁτιοῦν εὔξασθαί σε εἰ ἐξαρ-
κέσει σοι τύραννον γενέσθαι τῆς Ἀθηναίων πόλεως· εἰ δὲ
τοῦτο φαῦλον ἡγήσαιο καὶ μὴ μέγα τι προσθείη· καὶ πάντων
τῶν Ἑλλήνων· εἰ δὲ ὁρῴη ἔλαττον δοκοῦντά σε ἔχειν· εἰ
μὴ καὶ πάσης Εὐρώπης, ὑπόσχοιτο σοι καὶ τοῦτο μὴ μόνον
ὑπόσχοιτο αὐθημερόν σου βουλομένου ὡς πάντας αἰσθήσε-
σθαι ὅτι Ἀλκιβιάδης ὁ Κλεινίου τύραννός ἐστιν· αὐτὸν οἶμαι
ἄν σε ἀπιέναι περιχαρῆ γενόμενον ὡς τῶν μεγίστων ἀγαθῶν
κεκυρηκότα· ἐγὼ μὲν οἶμαι ὦ Σώκρατες κἂν ἄλλον ὁντινοῦν
εἴπερ τοιαῦτα ξυμβαίη αὐτῷ· ἀλλὰ μέντοι ἀντί γε τῆς σῆς
ψυχῆς· οὐδ' ἂν τὴν πάντων Ἑλλήνων τε καὶ βαρβάρων χώραν
τε καὶ τυραννίδα βουληθείης σοι γενέσθαι· οὐκ οἶμαι ἔγω-
γε· πῶς γὰρ ἂν μηδέν γε μέλλων αὐτοῖς χρήσεσθαι· τί δ' εἰ
μέλλοις κακῶς τε καὶ βλαβερῶς χρῆσθαι οὐδ' ἂν οὕτως; οὐ
δῆτα· ὁρᾷς οὖν ὡς οὐκ ἀσφαλὲς οὔτε τὰ διδόμενα εἰκῇ δέ-
χεσθαί τε οὐδὲ αὐτὸν εὔχεσθαι γενέσθαι· εἴ γέ τις βλάπτεσθαι
μέλλοι διὰ ταῦτα ἢ τὸ παράπαν τοῦ βίου ἀπαλλαγῆναι· πολ-
λοὺς δ' ἂν ἔχοιμεν εἰπεῖν ὅσοι τυραννίδος ἐπιθυμήσαντες
ἤδη καὶ σπουδάσαντες τοῦτ' αὐτοῖς παραγενέσθαι ὡς ἀγα-
θόν τι πράξαντες διὰ τὴν τυραννίδα ἐπιβουλευθέντες τὸν

κίον ἀφῃρέθησαν· οἶμαι δέ σε οὐκ ἀνήκοον εἶναι ἔνιά γε χθι
ζά τε καὶ πρωϊζὰ γεγενημένα, ὅτε Ἀρχέλαον τὸν μακεδό
να τύραννον τὰ παιδικά, ἐρασθέντα τῆς τυραννίδος οὐ
δὲν ἧττον ἤπερ ἐκεῖνος τῶν παιδικῶν, ἀπέκτεινε τὸν ἐρα
στὴν ὡς τύραννός τε καὶ εὐδαίμων ἀνὴρ ἐσόμενος· κατασχὼν
δὲ τρεῖς ἢ τέτταρας ἡμέρας τὴν τυραννίδα, πάλιν αὐτὸς
ἐπιβουλευθεὶς ὑφ' ἑτέρων τινῶν ἐτελεύτησεν· ὁρᾷς δὲ καὶ
τῶν ἡμετέρων πολιτῶν· ταῦτα γὰρ οὐκ ἄλλων ἀκηκόαμεν, ἀλλ' αὐ
τοὶ παρόντες οἴδαμεν, ὅσοι στρατηγίας ἐπιθυμήσαντες ἤδη
καὶ τυχόντες αὐτῆς· οἱ μὲν ἔτι καὶ νῦν φυγάδες τῆσδε τῆς πόλε
ώς εἰσιν· οἱ δὲ τὸν βίον ἐτελεύτησαν· οἱ δὲ ἄριστα δοκοῦντες
αὐτῶν πράττειν, διὰ πολλῶν κινδύνων ἐλθόντες καὶ φόβων,
οὐ μόνον ἐν αὐτῇ τῇ στρατηγίᾳ ἀλλ' ἐπεὶ εἰς τὴν ἑαυτῶν κατῆλ
θον, ὑπὸ τῶν συκοφαντῶν πολιορκούμενοι πολιορκίαν οὐδὲν
ἐλάττω τὴν ὑπὸ τῶν πολεμίων διετέλεσαν· ὥστε ἐνίους αὐ
τῶν εὔχεσθαι ἀστρατηγήτους εἶναι μᾶλλον ἢ ἐστρατηγηκέναι·
εἰ μὲν οὖν ἦσαν οἱ κίνδυνοί τε καὶ οἱ πόνοι φέροντες εἰς ὠφέ
λειαν, εἶχεν ἄν τινα λόγον· νῦν δὲ καὶ πολὺ τοὐναντίον. εὑρή
σεις δὲ καὶ περὶ τέκνων τὸν αὐτὸν τρόπον εὐξαμένους τινὰς
ἤδη γενέσθαι· καὶ γενομένων εἰς συμφοράς τε καὶ λύπας
τὰς μεγίστας καταστάντας· οἱ μὲν γὰρ μοχθηρῶν διατελού
ντων τῶν τέκνων ὅλον τὸν βίον λυπούμενοι διήγαγον· τοὺς
δὲ χρηστῶν μὲν γενομένων συμφοραῖς δὲ χρησαμένων, ὥστε
στερηθῆναι καὶ τούτους, οὐδὲν ἐλάττονας δυστυχίας
καθεστηκότας ἤπερ ἐκείνους· βουλομένους ἂν ἀγέννητα
μᾶλλον ἢ γενέσθαι· ἀλλ' ὅμως τούτων τε καὶ ἑτέρων πολλῶν
ὁμοιοτρόπων τούτοις, οὕτω σφόδρα καταδήλων ὄντων, σπα
νίον εὕροις ἂν ὅστις ἂν ἢ διδομένων ἀπόσχοιτο ἢ μέλλων δι' εὐ
χῆς τεύξεσθαι, παύσαιτο ἂν εὐχόμενος· οἱ δὲ πολλοὶ οὔτε
ἂν τυραννίδος διδομένης ἀπόσχοιντο ἂν, οὔτε στρατηγίας,
οὐδ' ἑτέρων πολλῶν ἃ παρόντα βλάπτει μᾶλλον ἢ ὠφελεῖ· ἀλλὰ
κἂν εὔξαιντο ἂν γενέσθαι, εἴ τῳ μὴ παρόντα τυγχάνει· ὀλίγον
δὲ ἐπισχόντες ἐνίοτε παλινῳδοῦσιν ἀνευχόμενοι ἅττ' ἂν
τὸ πρῶτον εὔξωνται· ἐγὼ μὲν οὖν ἀπορῶ μὴ ὡς ἀληθῶς

μάτην θεοὺς ἄνθρωποι αἰτιῶνται· ἐξ ἐκείνων φάμενοι κακὰ
σφίσιν εἶναι· οἱ δὲ καὶ αὐτοὶ φησὶν εἴτε ἀτασθαλίαισιν εἴτε ἀ-
φροσύναισιν χρὴ εἰπεῖν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν: κινδυνεύει
οὖν ὦ Ἀλκιβιάδη φρόνιμός τις εἶναι ἐκεῖνος ὁ ποιητὴς ὃς δο-
κεῖ μοι φίλοις ἀνοήτοις τισὶ χρησάμενος ὁρῶν αὐτοὺς καὶ
πράττοντας καὶ εὐχομένους ἅπερ οὐ βέλτιον ἦν· ἐκείνοις
δὲ ἐδόκει κοινῇ ὑπὲρ ἁπάντων αὐτῶν εὐχὴν ποιήσασθαι·
λέγει δέ πως ὡδί· Ζεῦ βασιλεῦ τὰ μὲν ἐσθλὰ φησὶ καὶ εὐχομέ-
νοις καὶ ἀνεύκτοις ἄμμι δίδου· τὰ δὲ δεινὰ καὶ εὐχομένοις ἀ-
παλέξειν κελεύει· ἐμοὶ μὲν οὖν καλῶς δοκεῖ καὶ ἀσφαλῶς λέ-
γειν ὁ ποιητής· σὺ δ' εἴ τι ἐν νῷ ἔχεις πρὸς ταῦτα μὴ σιώπα:
χαλεπὸν ὦ Σώκρατες ἐστὶν ἀντιλέγειν πρὸς τὰ καλῶς εἰρημένα·
ἐκεῖνο δ' οὖν ἐννοῶ ὅσων κακῶν αἰτία ἡ ἄγνοια τοῖς ἀνθρώ-
ποις· ὁπότε ὡς ἔοικε λελήθαμεν ἡμᾶς αὐτοὺς διὰ ταύ-
την καὶ πράττοντες καὶ τό γε ἔσχατον εὐχόμενοι ἡμῖν αὐτοῖς
τὰ κάκιστα· ὅπερ οὖν οὐδεὶς ἂν οἰηθείη· ἀλλὰ τοῦτό γε πᾶς ἂν
οἴοιτο ἱκανὸς εἶναι αὐτὸς αὑτῷ τὰ βέλτιστα εὔξασθαι ἀλλ' οὐ
τὰ κάκιστα· τοῦτο μὲν γὰρ ὡς ἀληθῶς κατάρᾳ τινὶ ἀλλ' οὐκ εὐ-
χῇ ὅμοιον ἂν εἴη: ἀλλ' ἴσως ὦ βέλτιστε φαίη ἄν τις ἀνὴρ ὃς
ἐμοῦ τε καὶ σοῦ σοφώτερος ὢν τυγχάνει οὐκ ὀρθῶς ἡμᾶς λέ-
γειν οὕτως εἰκῇ ψέγοντας ἄγνοιαν εἴ γε μὴ προσθείημεν τήν
ἔστιν ὧν ἄγνοιαν καὶ ἔστιν οἷς καὶ ἔχουσί πως ἀγαθόν ὥσ-
περ ἐκείνοις κακόν: πῶς λέγεις· ἔστι γάρ τι ὁτιοῦν πρᾶγμα
ὅτῳ δή· ὁπωσοῦν ἔχοντι ἄμεινον ἀγνοεῖν ἢ γιγνώσκειν:
ἔμοιγε δοκεῖ· σοὶ δ' οὔ: οὐ μέντοι μὰ Δία: ἀλλὰ μὴν οὐδὲ ἐκεῖ-
νό σου καταγνώσομαι ἐθέλειν· ἂν σε πρὸς τὴν ἑαυτοῦ μητέρα
διαπεπρᾶχθαι ἅπερ Ὀρέστην φασὶ καὶ τὸν Ἀλκμαίωνα· καὶ εἰ
δή τινες ἄλλοι ἐκείνοις τυγχάνουσι ταῦτα διαπεπραγμένοι:
εὐφήμει πρὸς Διὸς ὦ Σώκρατες: οὔτοι τὸν λέγοντα ὦ Ἀλκι-
βιάδη ὡς οὐκ ἂν ἐθέλοις σοι ταῦτα πεπρᾶχθαι εὐφημεῖν με δεῖ σε κε-
λεύειν· ἀλλὰ μᾶλλον πολὺ εἴ τις τἀναντία λέγοι· ἐπεὶ δὴ οὕ-
τως σοι δοκεῖ σφόδρα δεινὸν εἶναι τὸ πρᾶγμα· ὥστ' οὐδὲ ῥητέ-
ον εἶναι οὕτως εἰκῇ· δοκεῖς δ' ἂν τὸν Ὀρέστην εἰ ἐτύγχανε φρόνι-
μος ὢν καὶ εἰδὼς ὅ τι βέλτιστον ἦν αὐτῷ πράττειν τολμῆσαι

ἄρτι τούτων διαπράξασθαι: οὐ δῆτα: οὐδένα γε ἄλλον οἶμαι οὐδ' ἐ-
μαι: οὐ μέντοι: κακὸν ἄρα ὡς ἔοικεν ἐστὶν ἡ τοῦ βελτίστου ἄγνοι-
α καὶ τὸ ἀγνοεῖν τὸ βέλτιστον: ἔμοιγε δοκεῖ: οὐκοῦν καὶ ἐκεί-
νοις καὶ τοῖς ἄλλοις ἅπασι: φημί: ἔτι τοίνυν καὶ τόδε ἐπισκεψώ-
μεθα· εἴ σοι αὐτίκα μάλα παρασταίη οἰηθέντι βέλτιον εἶναι Περι-
κλέα τὸν σεαυτοῦ ἐπίτροπόν τε καὶ φίλον ἐγχειρίδιον λαβόντα,
ἐλθόντα ἐπὶ τὰς θύρας, εἰ ἔνδον εἴη ἐπικουλόμενον(?) ἀπο-
κτεῖναι αὐτὸν ἐκεῖνον, ἄλλον δὲ μηδένα· οἱ δὲ φαῖεν ἔνδον εἶναι·
καὶ οὐ λέγω ὡς ἐθελήσαις ἂν τούτων τι πράττειν· ἀλλ' οἶμαι δό-
ξαι σοι, ὅπερ οὐθὲν κωλύει δήπου τῷ γε ἀγνοοῦντι τὸ βέλτιστον,
παραστῆναί ποτε δόξαν, ὥστε οἰηθῆναι καὶ τὸ κάκιστόν ποτε
βέλτιστον εἶναι· ἢ οὐκ ἂν δοκεῖ σοι: πάνυ μὲν οὖν: εἰ οὖν παρελ-
θὼν εἴσω, καὶ ἰδὼν αὐτὸν ἐκεῖνον ἀγνοήσαις τε καὶ οἰηθείης ἂν
ἄλλον εἶναί τινα, ἆρ' ἔτι ἂν αὐτὸν τολμήσαις ἀποκτεῖναι; οὐ μὰ
τὸν Δία: οὐ γὰρ δήπου τὸν ἐντυχόντα, ἀλλ' αὐτὸν ἐκεῖνον ὃν ἠβού-
λου· ἦ γάρ: ναί: οὐκοῦν καὶ εἰ πολλάκις ἐγχειροῖς· ἀεὶ δὲ
ἀγνοοῖς τὸν Περικλέα ὁπότε μέλλοις τοῦτο πράττειν, οὔποτε
ἂν ἐπίθοιο αὐτῷ: οὐ δῆτα: τί δέ; τὸν Ὀρέστην δοκεῖς ἄν ποτε
τῇ μητρὶ ἐπιθέσθαι, εἰ δὲ ὡσαύτως ἠγνόησεν; οὐκ οἶμαι ἔγω-
γε: οὐ γὰρ δήπου οὐδ' ἐκεῖνος τὴν προστυχοῦσαν γυναῖκα οὐ-
δὲ τὴν ὁτουοῦν μητέρα διενοεῖτο ἀποκτεῖναι, ἀλλὰ τὴν αὑ-
τὸς αὐτοῦ: ἔστι ταῦτα: ἀγνοεῖν ἄρα τά γε τοιαῦτα βέλτιον
τοῖς οὕτω διακειμένοις καὶ τοιαύτας δόξας ἔχουσιν: φαί-
νεται: ὁρᾷς οὖν ὅτι ἡ ἐνίων ἄγνοια καὶ ἐνίοις, καὶ ἔ-
χουσί πως, ἀγαθόν, ἀλλ' οὐ κακὸν ὥσπερ ἄρτι σοι ἐδόκει: ἔ-
οικεν: ἔτι τοίνυν εἰ βούλει τὸ μετὰ τοῦτο ἐπισκοπεῖν, ἄτοπον
ἂν ἴσως ἄν σοι δόξειεν εἶναι: τί μάλιστα ὦ Σώκρατες: ὅτι ὡς
ἔπος εἰπεῖν κινδυνεύει τό γε τῶν ἄλλων ἐπιστημῶν κτῆμα· ἐ-
άν τις ἄνευ τοῦ βελτίστου κεκτημένος ᾖ ὀλιγάκις μὲν ὠφε-
λεῖν, βλάπτειν δὲ τὰ πλείω τὸν ἔχοντα αὐτό· σκόπει δὲ ὧδε·
ἆρ' οὐκ ἀναγκαῖον σοι δοκεῖ εἶναι, ὁπόταν τι μέλλωμεν ἤτοι πράτ-
τειν ἢ λέγειν, οἰηθῆναι δεῖν πρῶτον ἡμᾶς εἰδέναι· ἢ τῷ ὄν-
τι εἰδέναι τοῦτο ὃ ἂν προχειρότερον μέλλωμεν ἢ λέγειν ἢ
πράττειν; ἔμοιγε δοκεῖ: οὐκοῦν οἱ ῥήτορες αὐτίκα ἤτοι

ἃ δ' ὅτε ξυμβουλεύουσιν οἱ ῥήτορες; ἃ δέ γε ξυμβουλεύου-
σιν ἡμῖν ἑκάστοτε· οἱ μὲν περὶ πολέμου τε καὶ εἰρήνης· οἱ δὲ
περὶ τειχῶν οἰκοδομίας ἢ λιμένων κατασκευῆς· ἑνὶ δὲ λόγῳ
ὅσα δή ποτε ἡ πόλις πράττει πρὸς ἄλλην πόλιν ἢ αὐτὴ καθ'
αὑτήν. ἀπὸ τῆς τῶν ῥητόρων ξυμβουλῆς ἅπαντα γίγνεται:
ἀληθῆ λέγεις: ὅρα τοίνυν καὶ τὰ ἐπὶ τούτοις ἂν δύνῃ: κα-
λεῖς γὰρ δήπου φρονίμους τε καὶ ἄφρονας: ἔγωγε: οὐκοῦν
τοὺς μὲν πολλοὺς ἄφρονας τοὺς δ' ὀλίγους φρονίμους: οὕ-
τως: οὐκοῦν πρός τι ἀποβλέπων ἀμφοτέρους: ναί: ἆρ' οὖν τὸν
τοιοῦτο ξυμβουλεύειν ἐπιστάμενον· χωρὶς τοῦ ὁπότερον βέλτιον
καὶ ὁπότε βέλτιον φρόνιμον καλεῖς: οὐ δῆτα: οὐδέ γε οἶμαι ὅστις
τὸ πολεμεῖν αὐτὸ οἶδε χωρὶς τοῦ ὁπότε βέλτιον· καὶ τοσοῦ-
τον χρόνον ὅσον βέλτιον· ἢ γάρ: ναί: οὐκοῦν οὐδὲ εἴ τις τινὰ
ἀποκτιννύναι οἶδεν οὐδὲ χρήματα ἀφαιρεῖσθαι καὶ φυγάδα
ποιεῖν τῆς πατρίδος χωρὶς τοῦ ὁπότε βέλτιον καὶ ὅντινα βέλ-
τιον: οὐ μέντοι: ὅστις ἄρα τι τῶν τοιούτων οἶδεν· ἐὰν μὲν παρέ-
πηται αὐτῷ ἡ τοῦ βελτίστου ἐπιστήμη· αὕτη δ' ἦν ἡ αὐτὴ δήπου
ἥπερ καὶ ἡ τοῦ ὠφελίμου· ἦ γάρ: ναί: φρόνιμον δέ γε αὐτὸν φή-
σομεν καὶ ἀποχρῶντα ξύμβουλον καὶ τῇ πόλει καὶ αὐτὸν αὑτῷ·
τὸν δὲ μὴ τοιοῦτον τἀναντία τούτων· ἢ πῶς δοκεῖ: ἐμοὶ μὲν
οὕτως: τί δ' εἴ τις ἱππεύειν ἢ τοξεύειν οἶδεν· ἢ αὖ πυκτεύειν ἢ
παλαίειν ἢ τι τῆς ἄλλης ἀγωνίας ἢ καὶ ἄλλο τι τῶν τοιούτων ὅσα
τέχνῃ οἴδαμεν· τί καλεῖς ὃς ἂν εἰδῇ τὸ κατὰ ταύτην τὴν τέχνην
βέλτιον γιγνόμενον· οὐ τὸν κατὰ τὴν ἱππικὴν ἱππικόν: ἔγωγε:
τὸν δέ γε οἶμαι κατὰ τὴν πυκτικὴν πυκτικόν· τὸν δὲ κατ' αὐ-
λητικὴν αὐλητικόν. καὶ τἆλλα δήπου ἀνὰ λόγον τούτοις· ἢ ἄλ-
λως πως: οὐκ ἀλλ' οὕτως: δοκεῖ οὖν σοι ἀναγκαῖον εἶναι τὸν
περὶ τούτων ἐπιστήμονα εἶναι ὄντα ἄρα καὶ ἄνδρα φρόνιμον εἶ-
ναι. ἢ πολλοῦ φήσομεν ἐνδεῖν: πολλοῦ μέντοι νὴ Δία: ποί-
αν οὖν οἴει πολιτείαν εἶναι τοξοτῶν τε ἀγαθῶν καὶ αὐλητῶν·
ἔτι δὲ ἀθλητῶν καὶ τῶν ἄλλων τεχνιτῶν· ἀναμεμιγμένων δ' ἐν
τοιούτοις οἷς ἄρτι εἴρηκα μὲν τῶν τε αὐτὸ τὸ πολεμεῖν εἰδό-
των καὶ αὐτὸ τὸ ἀποκτιννύναι· πρὸς δὲ καὶ ἀνδρῶν ῥητορικῶν
πολιτικὸν φύσημα φυσώντων· ἁπάντων δὲ τούτων ὄντων ἀ-

μὲν τῆς τοῦ βελτίστου ἐπιστήμης καὶ τοῦ αὐτοῦ τούτου ὁπότε βέλτιον
ἑκατέρῳ τούτων χρῆσθαι καὶ πρὸς τίνα: φαύλως νὴ δία
ἔγωγε ὦ σώκρατες· φαίης γε ἂν οἶμαι ὁπόταν ὁρᾷς ἕνα
καὶ ἕκαστον αὐτῶν φιλοτιμούμενόν τε καὶ νέμοντα τὸ πλεῖστον
τῆς πολιτείας τούτῳ μέρος ἵν᾽ αὐτὸς αὐτοῦ τυγχάνῃ
κράτιστος ὤν· λέγω δὲ τὸ κατὰ τὴν τέχνην βέλτιστον
γιγνόμενον· τοῦ δὲ τῇ πόλει τε καὶ αὐτὸν αὑτῷ βελτίστου οὕτως
τὰ πολλὰ διημαρτηκότα ἅτε οἶμαι ἄνευ νοῦ δόξῃ πεπιστευ-
κότα· οὕτως δὲ τούτων ἐχόντων· ἆρ᾽ οὐ καὶ ὀρθῶς λέγοι-
μεν φάντες πολλῆς ταραχῆς καὶ ἀνομίας μεστὴν εἶναι τὴν
τοιαύτην πολιτείαν: ὀρθῶς μέντοι νὴ δία: οὐκοῦν ἀνα-
γκαῖον ἡμῖν ἔδοξεν οἴεσθαι δεῖν πρῶτον ἡμᾶς ἢ εἰδέναι ἢ τῷ
ὄντι εἰδέναι τοῦτο ὃ ἂν προχείρως μέλλωμεν ἢ πράττειν ἢ λέ-
γειν: ἔδοξεν: οὐκοῦν κἂν μὲν πράττῃ ἅ τις οἶδεν ἢ δοκεῖ
εἰδέναι παρέπηται δὲ τὸ ὠφελίμως καὶ λυσιτελούντως ἡμᾶς
ἕξειν καὶ τῇ πόλει καὶ αὐτὸν αὑτῷ: πῶς γὰρ οὔ: ἐὰν δέ γ᾽ οἶ-
μαι τὰ ἐναντία τούτων οὔτε τῇ πόλει οὔτ᾽ αὐτὸν αὑτῷ: οὐ δῆτα:
τί δὲ καὶ νῦν ἔτι ὡσαύτως σοι δοκεῖ ἢ ἄλλως πως: οὐκ ἀλλ᾽ οὕτως:
ἆρ᾽ οὖν ἔφησθα καλεῖν τοὺς μὲν πολλοὺς ἄφρονας τοὺς δ᾽ ὀλί-
γους φρονίμους: ἔγωγε: οὐκοῦν φαμὲν πάλιν τοὺς πολλοὺς
διημαρτηκέναι τοῦ βελτίστου ὡς τὰ πολλά γε οἶμαι ἄνευ νοῦ δό-
ξῃ πεπιστευκότας: φαμὲν γάρ: λυσιτελεῖ ἄρα τοῖς πολλοῖς
μήτε εἰδέναι μηδὲν μήτε οἴεσθαι εἰδέναι εἴπερ γε μᾶλλον προθυ-
μήσονται πράττειν μὲν ταῦτα ἅττ᾽ ἂν εἰδῶσιν ἢ οἰηθῶσιν εἰ-
δέναι· πράττοντες δὲ βλάπτεσθαι τὰ πλείω ἢ ὠφελεῖ-
σθαι: ἀληθέστατα λέγεις: ὁρᾷς οὖν ὅτε ἔφην κινδυνεύειν τό
γε τῶν ἄλλων ἐπιστημῶν κτῆσιν ἐάν τις ἄνευ τῆς τοῦ βελτίστου
ἐπιστήμης κεκτημένος ᾖ ὀλίγα μὲν ὠφελεῖν βλάπτειν δὲ
τὰ πλείω τὸν ἔχοντα αὐτό· ἆρ᾽ οὐχὶ τῷ ὄντι ὀρθῶς ἐφαινό-
μην λέγων· καὶ εἰ μὴ τότε ἀλλὰ νῦν μοι δοκεῖ ὦ σώκρατες: δεῖ
ἄρα καὶ πόλιν καὶ ψυχὴν τὴν μέλλουσαν ὀρθῶς βιώσεσθαι ταύ-
της τῆς ἐπιστήμης ἀντέχεσθαι ἀτεχνῶς ὥσπερ ἀσθενοῦντα
ἰατροῦ ἤ τινος κυβερνήτου τὸν ἀσφαλῶς μέλλοντα πλεῖν· ὅ-
σῳ περ ἂν μεῖζον ὅτερον ἐπουρίσῃ τὸ τῆς τύχης· ἄνευ γὰρ

φαι

ταύτης ἢ περὶ χρημάτων κτῆσιν ἢ σώματος ῥώμην ἢ καὶ ἄλλο τι
τῶν τοιούτων τοσούτῳ μείζω ἁμαρτήματα ἀπ' αὐτῶν ἀνάγκη καὶ ὁμ' εἶν
ὥς ἔοικε γίγνεσθαι. οὐδὲ δὴ τὴν καλουμένην φιλομάθειάν τε καὶ
πολυτεχνίαν κεκτημένος. ὀρφανὸς δὲ ὢν ταύτης τῆς ἐπι-
στήμης. ἀγόμενος δὲ ὑπὸ μιᾶς ἑκάστης τῶν ἄλλων ἆρ' οὐχὶ τῷ
ὄντι δὴ καὶ ὡς πολλῷ χειμῶνι χρήσεται ἅτε οἶμαι ἄνευ κυβερ-
νήτου διατελῶν ἐν πελάγει χρόνον οὐ μακρὸν βίου θέων. ὥστε
ξυμβαίνειν μοι δοκεῖ καὶ ἐνταῦθα τὸ τοῦ ποιητοῦ ὃ λέγει κα-
τηγορῶν πού τινος· ὡς ἄρα πολλὰ μὲν ἠπίστατο ἔργα κα-
κῶς δέ φησιν ἠπίστατο πάντα: Καὶ τί δή ποτε ξυμβαίνει τὸ
τοῦ ποιητοῦ ὦ Σώκρατες. ἐμοὶ μὲν γὰρ οὐδ' ὁτιοῦν δοκεῖ πρὸς
λόγον εἰρῆσθαι: καὶ μάλα γε πρὸς λόγον: ἀλλ' αἰνίττεται ὦ βέλ-
τιστε καὶ οὗτος καὶ ἄλλοι δὲ ποιηταὶ σχεδὸν ἅπαντες. ἔστιν τε
γὰρ φύσει ποιητικὴ ἡ ξύμπασα αἰνιγματώδης καὶ οὐ τοῦ
προστυχόντος ἀνδρὸς γνωρίσαι. ἔτι τε πρὸς τῷ φύσει τοιαύ-
την εἶναι ὅταν λάβηται ἀνδρὸς φθονεροῦ τε καὶ μὴ βουλομέ-
νου ἡμῖν ἐνδείκνυσθαι ἀλλ' ἀποκρύπτεσθαι ὅτι μάλιστα τὴν αὑτοῦ
σοφίαν. ὑπερφυῶς δὴ τὸ χρῆμα ὡς δύσγνωστον φαίνεται
ὅτι ποτὲ νομίζει ἕκαστος αὐτῶν. οὐ γὰρ δή που Ὅμηρόν γε
τὸν θειότατόν τε καὶ σοφώτατον ποιητὴν ἀγνοεῖν δοκεῖς
ὡς οὐχ οἷόν τε ἦν ἐπίστασθαι κακῶς. ἐκεῖνος γάρ ἐστιν ὁ λέ-
γων τὸν Μαργίτην πολλὰ μὲν ἐπίστασθαι κακῶς δέ φησι πάν-
τα ἐπίστασθαι. ἀλλ' αἰνίττεται οἶμαι παράγων τὸ κακῶς μὲν ἀντὶ
τοῦ κακοῦ. τὸ δὲ ἠπίστατο ἀντὶ τοῦ ἐπίστασθαι. γίνεται οὖν
συντεθὲν ἔξω μὲν τοῦ μέτρου. ἔστι δ' ὅ γε βούλεται ὡς πολλὰ μὲν
ἠπίστατο ἔργα. κακὸν δ' ἦν ἐπίστασθαι αὐτῷ πάντα ταῦτα.
δῆλον οὖν ὅτι εἴπερ ἦν αὐτῷ κακὸν τὸ πολλὰ εἰδέναι. φαῦλός
τις ὢν ἐτύγχανεν εἴπερ γε πιστεύσαιμεν τοῖς προειρημένοις
λόγοις: ἀλλ' ἐμοὶ μὲν δοκεῖ ὦ Σώκρατες ἢ χαλεπῶς γ' ἂν ἄλλοις
τισὶ πιστεύσαιμι λόγοις εἴπερ μηδὲ τούτοις: καὶ ὀρθῶς γε σοὶ
δοκεῖ: πάλιν αὖ μοι δοκεῖ: ἀλλὰ φέρε πρὸς Διός. ὁρᾷς γὰρ
δή που τὴν ἀπορίαν ὅση τε καὶ οἵα. ταύτης δὴ καὶ σύ μοι
δοκεῖς κεκοινωνηκέναι. μεταστρεφόμενος γέ τοι ἄνω καὶ κάτω
οὐδ' ὁτιοῦν παύσει. ἀλλ' ὅτι ἂν μάλιστα σοι δόξηι. τοῦτο καὶ ἐκδέ-

δυνήσομαι ἂν καὶ οὐκ ἔστι φῶς αὐτὸς δοκεῖ μοι· ἀλλ' οὖν σοί γε καὶ νῦν ἐμφα-
νὴς γενόμενος ὁ θεὸς πρὸς ὃν τυγχάνεις πορευόμενος· ἐ-
ρωτήσειεν πρὶν ὁτιοῦν εὔξασθαί σε, εἰ ἐξαρκέσει σοι ἐκείνων
τι γενέσθαι ὧν πρότερον καὶ ἐν ἀρχῇ τι ἐλέγετο· ἢ εἰ αὐτῷ σοι ἐπιτρέ-
ψειεν εὔξασθαι, τί ποτ' ἂν οἴει ἢ τῶν παρ' ἐκείνου διδομένων λαμ-
βάνων ἢ αὐτὸς εὐξάμενος γενέσθαι τοῦ καιροῦ τυχεῖν: ἀλλὰ μὰ
τοὺς θεοὺς ἔγωγε μὲν οὐδὲν ἂν ἔχοιμί σοι εἰπεῖν ὦ σώκρατες οὕ-
τως· ἀλλὰ μάταιόν γέ τί μοι δοκεῖ εἶναι καὶ ὡς ἀληθῶς πολλῆς
φυλακῆς, ὅπως μὴ λήσει τις αὐτὸν εὐχόμενος μὲν κακά, δο-
κῶν δὲ τἀγαθά· εἶτα ὀλίγον ἐπισχὼν ὅπερ καὶ σὺ ἔλε-
γες παλινῳδίαν εὐχόμενος ἅττ' ἂν τὸ πρῶτον εὔξηται· ἆ-
ρ' οὖν οὐχὶ διὰ τοῦτο ὁ ποιητής, οὗ καὶ ἐν ἀρχῇ τοῦ
λόγου ἐπεμνήσθην, τὰ δεινὰ καὶ εὐχομένοις ἀπαλέξειν ἐ-
κέλευεν: ἐμοί γε δοκεῖ: τοῦτον μὲν τοίνυν ὦ ἀλκιβιάδη καὶ
λακεδαιμόνιοι τὸν ποιητὴν ἐζηλωκότες, εἴτε καὶ αὐτοὶ οὕ-
τως ἐντεθυμημένοι ἰδίᾳ καὶ δημοσίᾳ ἑκάστοτε παραπλη-
σίαν εὐχὴν εὔχονται, τὰ καλὰ ἐπὶ τοῖς ἀγαθοῖς τοὺς θε-
οὺς διδόναι κελεύοντες αὖ σφίσιν αὐτοῖς· πλέον δ' οὐδεὶς
ἂν ἐκείνων εὐξαμένων ἀκούσειεν· τοιγαροῦν εἰς τὸν παρή-
κοντα χρόνον οὐδένων ἧττον εὐτυχεῖς εἰσὶν ἄνθρωποι·
εἰ δ' ἄρα καὶ ξυμβέβηκεν αὐτοῖς ὥστε μὴ πάντα εὐτυχεῖν· ἀλ-
λ' οὖν διὰ τὴν ἐκείνων εὐχὴν ἐπὶ τοῖς θεοῖς δ' ἐστίν· ὥστε
οἶμαι καὶ διδόναι ἅττ' ἂν ἀεί τις εὐχόμενος τυγχάνῃ καὶ τἀ-
ναντία τούτων· βούλομαι δέ σοι καὶ ἕτερόν τι διηγήσασθαι ὅ
ποτε ἤκουσά τινων πρεσβυτέρων, ὅτι γενομένης ἀθηναίοις καὶ
λακεδαιμονίοις διαφορᾶς γενομένης ξυνέβαινεν ἀεὶ
τῇ πόλει ἡμῶν, ὥστε καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὁπότε
μάχη γένοιτο δυστυχεῖν καὶ μηδέποτε δύνασθαι κρατῆσαι· τοὺς
οὖν ἀθηναίους ἀγανακτοῦντας τῷ πράγματι καὶ ἀπορου-
μένους τίνι χρὴ μηχανῇ τῶν παρόντων κακῶν ἀποτροπὴν
εὑρεῖν, βουλευομένους αὐτοῖς δοκεῖν κράτιστον εἶναι· πέμ-
ψαντας πρὸς ἄμμωνα ἐκεῖνον ἐπερωτᾶν· τί δή ποτε ἀεὶ τοῖς
τάδε καὶ ἀθηναίοις λακεδαιμονίοις οἱ θεοὶ μᾶλλον νίκην διδό-
ασιν ἢ σφίσιν αὐτοῖς· οἳ πλείστας φασὶ μὲν θυσίας καὶ καλλί-

γας τῶν ἑλλήνων ἄγομεν ἀναθήμασί τε κεκοσμήκαμεν τὰ ἱε
ρὰ αὐτῶν· ὅσα οὐδένες ἄλλοι· πομπάς τε πολυτελεστάτας καὶ
σεμνοτάτας ἐδωρούμεθα τοῖς θεοῖς ἀν' ἕκαστον ἔτος καὶ ἐ
τελοῦμεν χρήματα ὅσα οὐδ' ἄλλοι ξύμπαντες ἕλληνες· λακε
δαιμονίοις δὲ φάναι οὐδενὶ πώποτε ἐμέλησεν οὐδὲν τούτων·
ἀλλ' οὕτως ὀλιγώρως διάκεινται πρὸς τοὺς θεούς· ὥστε καὶ
ἀνάπηρα θύουσιν ἑκάστοτε· καὶ τἆλλα πάντα οὐκ ὀλίγῳ
ἐνδεέστερον τιμῶσιν ἤπερ ἡμεῖς· χρήματα οὐδὲν ἐλάττω
κεκτημένοι τῆς ἡμετέρας πόλεως· ἐπειδὴ δὲ εἰρήκεσαν ταῦτα
καὶ ἐπήροντο τί χρὴ πράττοντας αὐτοὺς τῶν παρόντων
κακῶν ἀπαλλαγὴν εὑρεῖν· ἄλλο μὲν οὐδὲν ἀποκρίνασθαι τὸν
προφήτην· τὸν γὰρ θεὸν οὐκ ἐᾶν δῆλον ὅτι· καλέσαντα δὲ αὐ
τὸν φάναι ἀθηναίοις· τάδε λέγει ἄμμων φησὶν ἂν βούλεσθαι αὐ
τῷ τὴν λακεδαιμονίων εὐφημίαν εἶναι μᾶλλον ἢ τὰ ξύμπαν
τα τῶν ἑλλήνων ἱερά· τοσαῦτα εἰπεῖν καὶ οὐδὲν περαιτέρω·
τήν γ' οὖν εὐφημίαν οὐκ ἄλλην τινά μοι δοκεῖ λέγειν ὁ θεὸς ἢ
τὴν εὐχὴν αὐτῶν· ἔστι γὰρ τῷ ὄντι πολὺ διαφέρουσα τῶν ἄλ
λων· οἱ μὲν γὰρ ἄλλοι ἕλληνες οἱ μὲν χρυσοκέρως βοῦς πα
ραστησάμενοι· ἕτεροι δ' ἀναθήμασι δωρούμενοι τοὺς θε
ούς· εὔχονται ἅττ' ἂν τύχῃ ταῦτα· ἄν τε ἀγαθὰ ἄν τε κακά·
βλασφημούντων οὖν αὐτῶν ἀκούοντες οἱ θεοὶ οὐκ ἀποδέ
χονται τὰς πολυτελεῖς ταυτασὶ πομπάς τε καὶ θυσίας· ἀλλὰ
δοκεῖ μοι πολλῆς φυλακῆς δεῖσθαι καὶ σκέψεως ὅτι ποτὲ
ῥητέον ἐστὶ καὶ μή· εὑρήσεις δὲ καὶ παρ' ὁμήρῳ ἕτερα παρα
πλήσια τούτοις εἰρημένα· φησὶν γὰρ τοὺς τρῶας ἔπαυ
λιν ποιουμένους· ἔρδειν ἀθανάτοισι τεληέσσας ἑκατόμ
βας· τὴν δὲ κνίσαν ἐκ τοῦ πεδίου τοὺς ἀνέμους φέρειν
οὐρανὸν εἴσω ἡδεῖαν· τῆς δ' οὔ τι θεοὺς μάκαρας δατέεσθαι
οὐδ' ἐθέλειν· μάλα γάρ σφιν ἀπήχθετο ἴλιος ἱρή· καὶ πρία
μος καὶ λαὸς ἐϋμμελίω πριάμοιο· ὥστε οὐδὲν αὐτοῖς ἦν
προὔργου θύειν τε καὶ δῶρα τελεῖν μάτην θεοῖς ἀπηχθη
μένοις· οὐ γὰρ οἶμαι τοιοῦτόν ἐστι τὸ τῶν θεῶν· ὥστε ὑπὸ
δώρων παράγεσθαι οἷον κακὸν τοκιστήν· ἀλλὰ καὶ ἡμεῖς εὐή
θη λόγον λέγομεν ἀξιοῦντες λακεδαιμονίων ταύτῃ περι

εἶναι· καὶ γὰρ ἂν δεινὸν εἴη, εἰ πρὸς τὰ δῶρα καὶ τὰς θυσίας ἀπο
βλέπουσιν ἡμῶν οἱ θεοί· ἀλλὰ μὴ πρὸς τὴν ψυχήν, ἄν τις ὅσιος καὶ
δίκαιος ὢν τυγχάνῃ· πολλῷ γε μᾶλλον οἶμαι ἢ πρὸς τὰς πολυτε
λεῖς ταύτας πομπάς τε καὶ θυσίας, ἃς οὐδὲν κωλύει πολλὰ
μὲν εἰς θεούς, πολλὰ δὲ εἰς ἀνθρώπους ἡμαρτηκότας καὶ
ἰδιώτην καὶ πόλιν ἔχειν ἀν' ἕκαστον ἔτος τελεῖν· οἱ δὲ ἅτε οὐ
δωροδόκοι ὄντες, καταφρονοῦσιν ἁπάντων τούτων, ὥς φησιν
ὁ θεὸς καὶ θεῶν προφῆται. κινδυνεύει γοῦν καὶ παρὰ θε
οῖς καὶ παρὰ ἀνθρώποις τοῖς νοῦν ἔχουσι δικαιοσύνη τε καὶ
φρόνησις διαφερόντως τετιμῆσθαι· φρόνιμοι δὲ καὶ δίκαιοι
οὐκ ἄλλοι τινές εἰσιν ἢ τῶν εἰδότων ἃ δεῖ πράττειν καὶ λέγειν
πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους. βουλοίμην δ' ἂν καὶ σοῦ
πυθέσθαι ὅ τι ποτὲ ἐν νῷ ἔχεις περὶ τούτων: ἀλλ' ἔμοιγε ὦ σώκρα
τες οὐκ ἄλλῃ πῃ δοκεῖ ἢ ᾗπερ σοί τε καὶ τῷ θεῷ· οὐδὲ γὰρ ἂν
εἰκὸς εἴη ἀντίψηφον ἐμὲ τῷ θεῷ γενέσθαι: οὐκοῦν μέμνη
σαι ἐν πολλῇ ἀπορίᾳ φάσκων εἶναι ὅπως μὴ λάθῃς σε
αυτὸν εὐχόμενος κακά, δοκῶν δὲ ἀγαθά: ἔγωγε: ὁρᾷς
οὖν ὡς οὐκ ἀσφαλές σοι ἐλθόντι πρὸς τὸν θεὸν εὔχεσθαι, μὴ
καὶ τύχῃ βλασφημοῦντός σου ἀκούσας οὐδὲν ἀπο
δέξηται τῆς θυσίας ταύτης, τυχὸν δὲ καὶ ἑτέρου τινὸς προσαπο
λαύσῃς. ἐμοὶ μὲν οὖν δοκεῖ βέλτιστον εἶναι ἡσυχίαν ἄγειν. τῇ
μὲν γὰρ λακεδαιμονίων εὐχῇ διὰ τὴν μεγαλοψυχίαν τοῦτο γὰρ
κάλλιστον τῶν ἐν ἀφροσύνῃ ὀνομάτων οὐκ ἂν οἶμαί σε ἐθέ
λειν χρῆσθαι. ἀνάγκη οὖν ἐστι περιμένειν ἕως ἄν τις μάθῃ
ὡς δεῖ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους διακεῖσθαι:
πότε οὖν παρέσται ὁ χρόνος οὗτος ὦ σώκρατες, καὶ τίς ὁ παι
δεύσων· ἥδιστα γὰρ ἄν μοι δοκῶ ἰδεῖν τοῦτον τὸν ἄνθρωπον
τίς ἐστιν. οὗτος ᾧ μέλει περὶ σοῦ. ἀλλὰ δοκεῖ μοι ὥσπερ τῷ διο
μήδει φησὶ τὴν ἀθηνᾶν ὅμηρος ἀπὸ τῶν ὀφθαλμῶν ἀφελεῖν
τὴν ἀχλὺν ὄφρ' εὖ γιγνώσκοι ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα· οὕτω
καὶ σοὶ δεῖν ἀπὸ τῆς ψυχῆς πρῶτον τὴν ἀχλὺν ἀφελόντα
ἣ νῦν παροῦσα τυγχάνει, τὸ τηνικαῦτα ἤδη προσφέρειν δι'
ὧν μέλλεις γνώσεσθαι ἠμὲν κακὸν ἠδὲ καὶ ἐσθλόν. νῦν μὲν γὰρ
οὐκ ἄν μοι δοκεῖς δυνηθῆναι: ἀφαιρείτω εἴτε βούλεται τὴν

ἀχλύν. ΑΛ. Ἀφαιρείτω, εἴτε βούλεται τὴν ἀχλὺν εἴτε ἄλλο τι· ὡς ἐγὼ παρεσκεύασμαι μηδὲν ἂν φυγεῖν
τῶν ὑπ᾽ ἐκείνου προσταττομένων, ὅστις ποτ᾽ ἐστὶν ὁ ἄνθρωπος, εἴ
γε μέλλοιμι βελτίων γενέσθαι: ΣΩ. Ἀλλὰ μὴν κἀκεῖνος θαυμαστὴν
ὅσην περὶ σὲ προθυμίαν ἔχει. ΑΛ. Εἰς τότε τοίνυν καὶ τὴν θυσίαν ἀνα-
βάλλεσθαι κράτιστον εἶναί μοι δοκεῖ. ΣΩ. Καὶ ὀρθῶς γέ σοι δοκεῖ·
ἀσφαλέστερον γάρ ἐστιν ἢ παρακινδυνεύειν τοσοῦτον κίνδυνον:
ΑΛ. Ἀλλὰ πῶς, ὦ Σώκρατες; καὶ μὴν τουτονὶ τὸν στέφανον, ἐπειδή
μοι δοκεῖς καλῶς συμβεβουλευκέναι, σοὶ περιθήσω· τοῖς
θεοῖς δὲ καὶ στεφάνους καὶ τἆλλα πάντα τὰ νομιζόμενα τότε
δώσομεν, ὅταν ἐκείνην τὴν ἡμέραν ἐλθοῦσαν ἴδω. ἥξει δ᾽ οὐ
διὰ μακροῦ τούτων θελόντων. ΣΩ. Ἀλλὰ δέχομαι καὶ τοῦτο· καὶ ἄλλο
δὲ ἀντὶ τῶν παρὰ σοῦ δοθέντων ἡδέως ἴδοιμι δεξάμενον ἐ-
μαυτόν. ὥσπερ δὲ καὶ ὁ Κρέων Εὐριπίδῃ πεποίηται, τὸν Τειρε-
σίαν ἰδὼν ἔχοντα τὰ στέφη καὶ ἀκούσας ὅτι τῶν πολεμίων
ἀπαρχὰς αὐτὸν λάβοι διὰ τὴν τέχνην· οἰωνὸν ἐθέμην
φησὶ καλλίνικα στέφη· ἐν γὰρ κλύδωνι κείμεθ᾽, ὥσπερ οἶσθα
σύ. οὕτω δὲ κἀγὼ παρὰ σοῦ τὴν δόξαν ταύτην οἰωνὸν τίθε-
μαι· δοκῶ δέ μοι οὐκ ἐλάττονι κλύδωνι τοῦ Κρέοντος εἶναι·
καὶ βουλοίμην ἂν καλλίνικος γενέσθαι τῶν σῶν ἐραστῶν: ~

β' ἀλκιβιάδης ἢ περὶ προσευχῆς

Ἵππαρχος ※ ἢ ※ φιλοκερδής ~ ἠθικός

ΣΩ. / ἑταῖρ.

Τί γὰρ τὸ φιλοκερδές; τί ποτέ ἐστι, καὶ τίνες οἱ φιλοκερδεῖς:
ΕΤ. Ἐμοὶ μὲν δοκοῦσιν οἳ ἂν κερδαίνειν ἀξιῶσιν ἀπὸ τῶν μηδε-
νὸς ἀξίων. ΣΩ. Πότερόν σοι δοκοῦσι γιγνώσκοντες ὅτι οὐ-
δενός ἐστιν ἄξια, ἢ ἀγνοοῦντες; εἰ γὰρ ἀγνοοῦντες, ἀνοή-
τους λέγεις τοὺς φιλοκερδεῖς. ΕΤ. Ἀλλ᾽ οὐκ ἀνοήτους λέγω, ἀλλὰ
πανούργους καὶ πονηροὺς καὶ ἥττους τοῦ κέρδους,
γιγνώσκοντας ὅτι οὐδενὸς ἄξιά ἐστιν ἀφ᾽ ὧν τολμῶσι κερ-
δαίνειν, ὅμως τολμᾶν φιλοκερδεῖν δι᾽ ἀναισχυντίαν. ΣΩ. Ἆρ᾽ οὖν
τοιόνδε λέγεις τὸν φιλοκερδῆ, οἷον εἰ ἂν φυτεύων γεωργὸς

ἀνὴρ, καὶ γιγνώσκων ὅτι οὐδενὸς ἄξιον τὸ φυτόν, ἀξιοῖ ἀπὸ τού-
του ἐκτραφέντος κερδαίνειν· ἆρ' οὐ τοιοῦτον αὐτὸν λέγεις; ΙΠ. ἀπὸ
παντὸς ὅ γε φιλοκερδὴς ὦ σώκρατες· οἴεται δεῖν κερδαίνειν·
ΣΩ. μή μοι οὕτως εἰκῆ, ὥσπερ τι ἠδικημένος ὑπό τινος· ἀλλὰ προσ-
έχων μοι τὸν νοῦν ἀπόκριναι ὥσπερ ἂν εἰ ἐξ ἀρχῆς πάλιν ἠρώ-
των· οὐχ ὁμολογεῖς τὸν φιλοκερδῆ ἐπιστήμονα εἶναι περὶ τῆς
ἀξίας τούτου, ὅθεν κερδαίνειν ἀξιοῖ; ΙΠ. ἔγωγε. ΣΩ. τίς οὖν ἐπι-
στήμων περὶ φυτῶν τῆς ἀξίας, ἐν ὁποίᾳ ἄξια φυτευθῆναι καὶ
ὥρᾳ καὶ χώρᾳ· ἵνα τι καὶ ἡμεῖς τῶν σοφῶν ῥημάτων ἐμβαλώ-
μεν ὧν οἱ δεξιοὶ περὶ τὰς δίκας καλλιεποῦνται. ΙΠ. ἐγὼ μὲν οἶμαι
γεωργόν. ΣΩ. τὸν οὖν ἀξιοῦν κερδαίνειν ἄλλο τι λέγεις ἢ οἴεσθαι
δεῖν κερδαίνειν; ΙΠ. τοῦτο λέγω. ΣΩ. μὴ τοίνυν με ἐπιχείρει ἐξα-
πατᾶν, ἄνδρα πρεσβύτερον ἤδη, οὕτω νέος ὤν, ἀποκρινόμενος
ὥσπερ νυνδὴ ἃ οὐδ' αὐτὸς οἴει· ἀλλ' ὡς ἀληθῶς εἰπὲ, ἔστιν ὅν-
τινα οἴει γεωργικὸν ἄνδρα γιγνόμενον καὶ γιγνώσκοντα ὅτι
οὐδενὸς ἄξιον φυτεύει τὸ φυτόν, οἴεσθαι ἀπὸ τούτου κερδαί-
νειν; ΙΠ. μὰ Δί' οὐκ ἔγωγε. ΣΩ. τί δαί; ἱππικὸν ἄνδρα γιγνώσκοντα
ὅτι οὐδενὸς ἄξια σιτία τῷ ἵππῳ παρέχει, ἀγνοεῖν αὐτὸν οἴει
ὅτι τὸν ἵππον διαφθείρει; ΙΠ. οὐκ ἔγωγε. ΣΩ. οὐκ ἄρα οἴεταί γε ἀπὸ
τούτων κερδαίνειν τῶν σιτίων, τῶν μηδενὸς ἀξίων. ΙΠ. οὐχί. ΣΩ.
τί δαί; κυβερνήτην μηδενὸς ἄξια ἱστία καὶ πηδάλια τῇ νηῒ ἐπα-
ρεσκευασμένον ἀγνοεῖν οἴει ὅτι ζημιωθήσεται, καὶ κινδυνεύ-
σει καὶ αὐτὸς ἀπολέσθαι, καὶ τὴν ναῦν ἀπολέσαι, καὶ ἃ ἂν ἄγῃ
πάντα; ΙΠ. οὐκ ἔγωγε. ΣΩ. οὐκ ἄρα οἴεταί γε κερδαίνειν ἀπὸ τῶν
σκευῶν, τῶν μηδενὸς ἀξίων. ΙΠ. οὐ γάρ. ΣΩ. ἀλλὰ στρατηγός, γιγνώ-
σκων ὅτι ἡ στρατιὰ αὐτῷ οὐδενὸς ἄξια ὅπλα ἔχει, οἴεται ἀπὸ
τούτων κερδαίνειν, καὶ ἀξιοῖ κερδαίνειν; ΙΠ. οὐδαμῶς. ΣΩ. ἀλλ' αὐ-
λητὴς αὐλοὺς οὐδενὸς ἀξίους ἔχων, ἢ κιθαριστὴς λύραν,
ἢ τοξότης τόξον, ἢ ἄλλος ὁστισοῦν συλλήβδην τῶν δημιουρ-
γῶν, ἢ τῶν ἄλλων τῶν ἐμφρόνων ἀνδρῶν, μηδενὸς ἄξια ὄργα-
να ἢ ἄλλην παρασκευὴν ἡντιναοῦν ἔχων, ἀπὸ τούτων οἴεται
κερδαίνειν; ΙΠ. οὐκ οὖν φαίνεταί γε. ΣΩ. τίνας οὖν ποτε λέγεις τοὺς
φιλοκερδεῖς; οὐ γάρ που τούτους γε οὓς διεξήλθομεν, οἵτινες
γιγνώσκοντες τὰ οὐδενὸς ἄξια, ἀπὸ τούτων οἴονται δεῖν

λείπει τὸ εἰπ
ὁ πρ γ πάλε
στε
ον

κερδαίνειν· ἀλλ' οὐ τούτους μὲν ἔγωγε ὦ θαυμάσιε ὡς σὺ λέγεις· οὐκ ἀνθρώ-
πων οὐδένας φιλοκερδεῖς· ἀλλ' ἐγὼ ὦ σώκρατες βούλομαι λέ-
γειν τούτους φιλοκερδεῖς εἶναι· οἳ ἑκάστοτε ὑπὸ ἀπληστίας·
καὶ πάνυ σμικρὰ καὶ ὀλίγου ἄξια καὶ οὐδενὸς γλίχονται ὑπερ-
φυῶς καὶ φιλοκερδοῦσιν· οὐκοῦν που ὦ βέλτιστε γιγνώσκον-
τες ὅτι οὐδενὸς ἄξιά ἐστιν· τοῦτο μὲν γὰρ ἤδη ἡμᾶς αὐτοὺς
τῷ λόγῳ ἐξηλέγξαμεν ὅτι ἀδύνατον· ἔμοιγε δοκεῖ· οὐ-
κοῦν εἰ μὴ γιγνώσκοντες δῆλον ὅτι ἀγνοοῦντες· οἰόμενοι
δὲ τὰ οὐδενὸς ἄξια πολλοῦ ἄξια εἶναι· φαίνεται· ἄλλο τι
οὖν οἵ γε φιλοκερδεῖς, φιλοῦσι τὸ κέρδος· ναί· κέρδος δὲ
λέγεις ἐναντίον τῇ ζημίᾳ· ἔγωγε· ἔστιν οὖν ὅτῳ ἀγαθὸν
ἐστὶ ζημιοῦσθαι· οὐδενί· ἀλλὰ κακόν· ναί· βλάπτονται ὑπὸ τῆς
ζημίας ἄρα ἄνθρωποι· βλάπτονται· κακὸν ἄρα ἡ ζημία· ναί·
ἐναντίον δὲ ἐστὶ ζημίᾳ τὸ κέρδος· ἐναντίον· ἀγαθὸν ἄρα τὸ
κέρδος· ναί· τοὺς οὖν τὸ ἀγαθὸν φιλοῦντας φιλοκερδεῖς
καλεῖς· ἔοικεν· οὐ μανικούς γε ὦ ἑταῖρε λέγεις τοὺς φιλο-
κερδεῖς· ἀλλὰ σὺ αὐτὸς πότερον φιλεῖς ὃ ἂν ἀγαθὸν ᾖ ἢ οὐ
φιλεῖς· ἔγωγε· ἔστι δέ τι ἀγαθὸν ὃ οὐ φιλεῖς ἀλλὰ κακόν;
μὰ Δί' οὐκ ἔγωγε· ἀλλὰ πάντα τὰ ἀγαθὰ ἴσως φιλεῖς· ναί·
ἐροῦ δὴ καὶ ἐμέ, εἰ οὐ καὶ ἐγώ· ὁμολογήσω γὰρ καὶ ἐγώ σοι φι-
λεῖν τἀγαθά· ἀλλὰ πρὸς ἐμοὶ καὶ σοὶ οἱ ἄλλοι ἄνθρωποι ἅπαν-
τες· οὐ δοκοῦσί σοι τἀγαθὰ φιλεῖν, τὰ δὲ κακὰ μισεῖν· ἔμοιγε
φαίνεται· τὸ δὲ κέρδος ἀγαθὸν ὡμολογήσαμεν· ναί· πάν-
τες αὖ φιλοκερδεῖς φαίνονται τοῦτον τὸν τρόπον· ὃν δὲ τὸ πρό-
τερον ἐλέγομεν, οὐδεὶς ἦν φιλοκερδής· ποτέρῳ οὖν ἄν τις
τῷ λόγῳ χρώμενος οὐκ ἂν ἐξαμαρτάνοι· εἴ τις ὦ σώκρα-
τες οἶμαι ὀρθῶς λαμβάνοι τὸν φιλοκερδῆ· ὀρθῶς δ' ἐστὶ τοῦ-
τον ἡγεῖσθαι φιλοκερδῆ· ὃς ἂν σπουδάζῃ ἑκάστοτε ἐπὶ τούτοις, καὶ
ἀξιοῖ κερδαίνειν ἀπ' αὐτῶν ἀφ' ὧν οἱ χρηστοὶ οὐ τολμῶσι κερδαί-
νειν· ἀλλ' ὁρᾷς ὦ γλυκύτατε τὸ κερδαίνειν ἄρτι ὡμολογήσα-
μεν βούλεσθαι τὰ ἀγαθὰ πάντας καὶ ἀεί· ναί· οὐκοῦν καὶ οἱ ἀ-
γαθοὶ πάντα τὰ κέρδη βούλονται ἔχειν εἴπερ ἀγαθά γέ ἐστιν·
οὐ γὰρ ἀφ' ὧν γε μέλλουσιν ὦ σώκρατες βλαβήσεσθαι τῶν κερδῶν·
βλαβήσεσθαι δὲ λέγεις ζημιώσεσθαι ἢ ἄλλο τι· οὐκ ἀλλὰ ζημιώ-

εἶναι ὠφελεῖσθαι· τί
οὖν δὴ τοῦτο· ὅτι καὶ τοῦτο
προσωμολογή-
σαμεν.

σθαι λέγω: ὑπὸ τοῦ κέρδους οὖν ζημιοῦνται· ἢ ὑπὸ τῆς ζη-
μίας ἄνθρωποι: ὑπ' ἀμφοτέρων· καὶ γὰρ ὑπὸ τῆς ζημίας ζη-
μιοῦνται καὶ ὑπὸ τοῦ κέρδους τοῦ πονηροῦ: ἡ δοκεῖ οὖν τί σοι
χρηστὸν καὶ ἀγαθὸν πρᾶγμα πονηρὸν εἶναι: οὐκ ἔμοιγε: οὐ-
κοῦν ὡμολογήσαμεν ὀλίγον πρότερον τὸ κέρδος τῇ ζημίᾳ κα-
κῷ ὄντι ἐναντίον εἶναι: φημί: ἐναντίον δὲ ὂν κακῷ ἀγαθὸν
εἶναι: ὡμολογήσαμεν γάρ: ὁρᾷς οὖν ἐπιχειρεῖς με ἐξα-
πατᾶν ἐπίτηδες ἐναντία λέγων οἷς ἄρτι ὡμολογήσαμεν:
οὐ μὰ Δία ὦ Σώκρατες ἀλλὰ τοὐναντίον σύ με ἐξαπατᾷς·
καὶ οὐκ οἶδα ὅπῃ ἐν τοῖς λόγοις ἄνω καὶ κάτω στρέφεις:
εὐφήμει· οὐ μέντ' ἂν καλῶς ποιοίην, οὐ πειθόμενος ἀνδρὶ ἀγα-
θῷ καὶ σοφῷ: τίνι τούτῳ καὶ τί μάλιστα: πολίτῃ μὲν ἐμῷ τε
καὶ σῷ πεισιστράτου δὲ υἱεῖ τοῦ ἐκ φιλαϊδῶν ἱππάρχῳ· ὃς
τῶν πεισιστράτου παίδων ἦν πρεσβύτατος, καὶ σοφώτα-
τος· ὃς ἄλλα τε πολλὰ καὶ καλὰ ἔργα σοφίας ἀπεδείξατο·
καὶ τὰ ὁμήρου ἔπη πρῶτος ἐκόμισεν εἰς τὴν γῆν ταυτηνί·
καὶ ἠνάγκασε τοὺς ῥαψῳδοὺς παναθηναίοις ἐξ ὑπολή-
ψεως ἐφεξῆς αὐτὰ διιέναι· ὥσπερ νῦν ἔτι οἵδε ποιοῦσιν·
καὶ ἐπ' ἀνακρέοντα τὸν τήιον πεντηκόντορον στείλας· ἐκό-
μισεν εἰς τὴν πόλιν· σιμωνίδην δὲ τὸν κεῖον ἀεὶ περὶ αὑτὸν εἶ-
χεν μεγάλοις μισθοῖς καὶ δώροις πείθων· ταῦτα δ' ἐποίει
βουλόμενος παιδεύειν τοὺς πολίτας· ἵν' ὡς βελτίστων ὄντων
αὐτῶν ἄρχοι· οὐκ οἰόμενος δεῖν οὐδενὶ σοφίας φθονεῖν·
ἅτε ὢν καλός τε καὶ ἀγαθός· ἐπειδὴ δὲ αὐτῷ οἱ περὶ τὸ ἄστυ
τῶν πολιτῶν πεπαιδευμένοι ἦσαν καὶ ἐθαύμαζον αὐτὸν ἐ-
πὶ σοφίᾳ· ἐπιβουλεύων αὖ τοὺς ἐν τοῖς ἀγροῖς παιδεῦσαι·
ἔστησεν αὐτοῖς ἑρμᾶς κατὰ τὰς ὁδούς· ἐν μέσῳ τοῦ ἄστεος·
καὶ τῶν δήμων ἑκάστων· κἄπειτα τῆς σοφίας τῆς αὑτοῦ ἥν
τε ἔμαθεν καὶ ἣν αὐτὸς ἐξηῦρεν ἐκλεξάμενος· ἃ ἡγεῖτο
σοφώτατα εἶναι ταῦτα αὐτὸς ἐντείνας εἰς ἐλεγεῖον αὑτοῦ
ποιήματα καὶ ἐπιδείγματα τῆς σοφίας· ἐπέγραψεν· ἵνα
πρῶτον μὲν τὰ ἐν δελφοῖς γράμματα τὰ σοφὰ ταῦτα μὴ
θαυμάζοιεν οἱ πολῖται αὐτοῦ· τό τε γνῶθι σαυτὸν καὶ τὸ μη-
δὲν ἄγαν καὶ τὰ ἄλλα τὰ τοιαῦτα· ἀλλὰ τὰ ἱππάρχου ῥήματα

μᾶλλον σοφὰ ἡγοῖντο· ἔπειτα παριόντες ἄνω καὶ κάτω καὶ ἀναγι-
γνώσκοντες, καὶ γεῦμα λαμβάνοντες αὐτοῦ τῆς σοφίας· φοι-
τῷεν ἐκ τῶν ἀγρῶν· καὶ ἐπὶ τὰ λοιπὰ παιδευθησόμενοι· ἔστον
δὲ δύο τὼ ἐπιγράμματε· ἐν μὲν τοῖς ἐπ' ἀριστερὰ τοῦ ἑρμοῦ ἑ-
κάστου ἐπιγέγραπται λέγων ὁ ἑρμῆς ὅτι ἐν μέσῳ τοῦ ἄστε-
ος καὶ τοῦ δήμου ἕστηκεν· ἐν δὲ τοῖς ἐπὶ δεξιᾷ· μνῆμα τόδ' ἱπ-
πάρχου· στεῖχε δίκαια φρονῶν φησίν· ἔστι τῶν ποιημάτων δὲ καὶ
ἄλλα ἐν ἄλλοις ἑρμαῖς· πολλὰ καὶ καλὰ ἐπιγεγραμμένα· ἔστι
δὲ δὴ καὶ τοῦτο ἐπὶ τῇ στειριακῇ ὁδῷ, ἐν ᾧ λέγει· μνῆμα τόδ' ἱπ-
πάρχου· μὴ φίλον ἐξαπάτα· ἐγὼ οὖν σὲ ἐμοὶ ὄντα φίλον.
οὐ δήπου τολμῴην ἂν ἐξαπατᾶν, καὶ ἐκείνῳ τοιούτῳ ὄντι
ἀπιστεῖν· οὗ καὶ ἀποθανόντος, τρία ἔτη ἐτυραννεύθησαν ἀ-
θηναῖοι ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ ἱππίου· καὶ πάντων ἂν τῶν
παλαιῶν ἤκουσας· ὅτι ταῦτα μόνον τὰ ἔτη τυραννὶς ἐγένετο
ἐν ἀθήναις· τὸν δ' ἄλλον χρόνον ἐγγύς τι ἔζων ἀθηναῖοι ὥσ-
περ ἐπὶ κρόνου βασιλεύοντος· λέγεται δὲ ὑπὸ τῶν χαριεστέ-
ρων ἀνθρώπων καὶ ὁ θάνατος αὐτοῦ γενέσθαι· οὐ δι' ἃ οἱ πολ-
λοὶ ᾠήθησαν διὰ τὴν τῆς ἀδελφῆς ἀτιμίαν τῆς κανηφορίας·
ἐπεὶ τοῦτό γε εὔηθες· ἀλλὰ τὸν μὲν ἁρμόδιον γεγονέναι παι-
δικὰ τοῦ ἀριστογείτονος, καὶ πεπαιδεῦσθαι ὑπ' ἐκείνου· μέ-
γα δ' ἐφρόνει ἄρα καὶ ὁ ἀριστογείτων ἐπὶ τῷ παιδεῦσαι ἄνθρω-
πον· καὶ ἀνταγωνιστὴν ἡγεῖτο εἶναι τὸν ἵππαρχον· ἐν ἐκεί-
νῳ δὲ τῷ χρόνῳ αὐτὸν τὸν ἁρμόδιον τυγχάνειν ἐρῶντά τινος
τῶν νέων τε καὶ καλῶν καὶ γενναίων τῶν τότε· καὶ λέγουσι
τοὔνομα αὐτοῦ· ἐγὼ δὲ οὐ μέμνημαι· τὸν οὖν νεανίσκον τοῦ-
τον τέως μὲν θαυμάζειν τόν τε ἁρμόδιον καὶ τὸν ἀριστογεί-
τονα ὡς σοφούς· ἔπειτα συγγενόμενον τῷ ἱππάρχῳ, κατα-
φρονῆσαι ἐκείνων· καὶ τοὺς περιαλγήσαντας ταύτῃ τῇ ἀτι-
μίᾳ, οὕτως ἀποκτεῖναι τὸν ἵππαρχον: κινδυνεύεις τοίνυν
ὦ σώκρατες· ἢ οὐ φίλον με ἡγεῖσθαι· ἢ εἰ φίλον, οὐ πείθεσθαι
ἱππάρχῳ· ἐγὼ γὰρ ὅπως οὐ σύ με ἐξαπατᾷς· οὐκ οἶ-
δ' ὅντινα τρόπον ἐν τοῖς λόγοις, οὐ δύναμαι πεισθῆ-
ναι· ἀλλὰ μὴν καὶ ὥσπερ πεττεύων, ἐθέλω σοι ἐν τοῖς λόγοις
ἀναθέσθαι, ὅ τι βούλει τῶν εἰρημένων, ἵνα μὴ οἴῃ ἐξαπατᾶσθαι.

πότερον γὰρ τοῦ ὁπόσου ἂν ἀγαθοῦ μή, ὡς οὐχὶ τῶν ἀγαθῶν πάντων
ἐπιθυμοῦσιν ἄνθρωποι; μὴ μοί γε: ἄλλως τὸ ζημιοῦσθαι καὶ ἡ
ζημία, οὐ κακόν; μὴ μοί γε: ἄλλως οὖν τῇ ζημίᾳ καὶ τῷ ζημιοῦ
σθαι· τὸ κέρδος, καὶ τὸ κερδαίνειν ἐναντίον; μὴ δὲ τοῦτο: ἄλλως
ἐναντίον τῷ κακῷ οὐ κἀγαθόν ἐστι τὸ κερδαίνειν; ὅτι πάντη γε· του
τί μοι ἀγαθοῦ: δοκεῖ ἄρα σοι ὥσπερ οἰκεῖ, τοῦ κέρδους· τὸ μέν τι ἀγαθὸν
εἶναι τὸ δέ τι κακόν; ἔμοιγε: ἀνατίθεμαι τοίνυν σοι τοῦτο· ἔστω γὰρ
δὴ κέρδος τι ἀγαθὸν καὶ ἕτερον κέρδος τι κακόν· κέρδος δέ γε οὐδὲν
μᾶλλόν ἐστιν αὐτῶν τὸ ἀγαθὸν ἢ τὸ κακόν. ἢ γάρ: πῶς μὲν ἐρωτᾷς:
ἐγὼ φράσω· σιτίον ἐστὶν ἀγαθόν τε καὶ κακόν; ναί: ἆρ' οὖν μᾶλλόν τι
αὐτῶν ἐστι, τὸ ἕτερον τοῦ ἑτέρου σιτίον· ἢ ὁμοίως ταὐτά γε, σιτία
ἐστὸν ἀμφότερα, καὶ ταύτῃ γε οὐδὲν διαφέρει τὸ ἕτερον τοῦ ἑτέρου,
κατὰ τὸ σιτίον εἶναι. ἀλλ' ἢ τὸ μὲν αὐτῶν ἀγαθόν· τὸ δὲ κακόν: ναί:
οὐκοῦν καὶ ποτόν· καὶ τἆλλα πάντα, ὅσα τῶν ὄντων ταὐτὰ ὄντα
τὰ μὲν πέπονθεν ἀγαθὰ εἶναι. τὰ δὲ κακά· οὐδὲν ἐκεῖνα μή τι γε δια
φέρει τὸ ἕτερον τοῦ ἑτέρου. ἢ τὸ αὐτό ἐστιν, ὥσπερ ἄνθρωπος δή
που· ὁ μὲν χρηστός ἐστιν. ὁ δὲ πονηρός: ναί: ἀλλ' ἄνθρωπός γε
οἶμαι· οὐδ' ἕτερος οὐδ' ἑτέρου· οὔτε μᾶλλον, οὔτε ἧττόν ἐστιν· οὔτε
ὁ χρηστὸς τοῦ πονηροῦ· οὔτε ὁ πονηρὸς τοῦ χρηστοῦ: ἀληθῆ λέ
γεις: οὐκοῦν οὕτω καὶ περὶ τοῦ κέρδους διανοώμεθα· ὡς κέρ
δος γε ὁμοίως ἐστί, καὶ τὸ πονηρὸν καὶ τὸ χρηστόν: ἀνάγκη: οὐδὲν
ἄρα μᾶλλον κερδαίνει, ὁ τὸ χρηστὸν κέρδος ἔχων ἢ τὸ πονηρόν· οὐ
κοῦν μᾶλλόν γε κέρδος φαίνεται οὐδέτερον ὂν ὡς ὁμολογοῦμεν;
ναί: οὐδετέρῳ γὰρ αὐτῶν οὔτε τὸ μᾶλλον, οὔτε τὸ ἧττον πρόσεστιν;
οὐ γὰρ δή: τῷ δὴ τοιούτῳ πράγματι. πῶς ἄν τις, μᾶλλον ἢ ἧτ
τον ὁτιοῦν ἂν ποιοῖ ἢ πάσχοι, ᾧ μηδέτερον τούτων προσείη:
ἀδύνατον: ἐπεὶ δὴ τοίνυν κέρδη μὲν ὁμοίως ἐστὶν ἀμφότερα
καὶ κερδαίνειν. τουτὶ δὴ δεῖ ἡμᾶς ἐπισκέψασθαι· διὰ τί ποτε ἀμ
φότερα αὐτὰ κέρδος καλεῖς. τί ταὐτὸν ἐν ἀμφοτέροις ὁρῶν·
ὥσπερ ἂν εἰ σύ με ἠρώτας τὸ νῦν δή· διὰ τί ποτε καὶ τὸ ἀγαθὸν
σιτίον καὶ τὸ κακὸν σιτίον ὁμοίως ἀμφότερα σιτία καλῶ. εἶπον
ἄν σοι· διότι ἀμφότερα ξηρὰ τροφὴ σώματός ἐστιν, διὰ τοῦτο
ἔγωγε· τοῦτο γὰρ εἶναι σιτίον καὶ σύ που κἂν ὁμολογεῖς. ἢ γάρ:
ἔγωγε: καὶ περὶ ποτοῦ οὖν, ὁ αὐτὸς ἂν τρόπος εἴη τῆς ἀ

ποκρίσεσθαι· ὅτι τῇ τοῦ σώματος ὑγρᾷ τροφῇ· ἐάν τε χρηστὴ
ἐάν τε πονηρὰ ᾖ· τοῦτο τὸ ὄνομα ἐστὶ ποτόν· καὶ τοῖς ἄλλοις ὡσ-
αύτως· πειρῶ οὖν καὶ σὺ ἐμὲ μιμήσασθαι, οὕτως ἀποκρινόμενον·
τὸ χρηστὸν κέρδος καὶ τὸ πονηρὸν κέρδος· κέρδος φὴς ἀμφότε-
ρον εἶναι; τί τὸ αὐτὸ ἐν αὐτοῖς ὁρῶν· ὅτι δὴ καὶ τοῦτο κέρδος ἐστίν·
εἰ δ' αὖ μὴ αὐτὸς ἔχεις ἀποκρίνασθαι· ἀλλ' ἐμοῦ λέγοντος, σκόπει·
ἆρα κέρδος λέγεις πᾶν κτῆμα, ὃ ἄν τις κτήσηται· ἢ μηδὲν ἀνα-
λώσας ἢ ἔλαττον ἀναλώσας, πλέον λάβῃ; ἔμοιγε δοκῶ· τοῦ-
το καλεῖν κέρδος: ἆρα καὶ τὰ τοιάδε λέγεις· ἐάν τις ἑστιαθεὶς
μηδὲν ἀναλώσας ἀλλ' εὐωχηθεὶς νόσον κτήσηται; μὰ Δί' οὐκ ἔ-
γωγε: ὑγίειαν δ' ἐπικτησάμενος ἀπὸ ἑστιάσεως· κέρδος ἂν κτή-
σαιτο ἢ ζημίαν: κέρδος: οὐκ ἄρα τοῦτό γε ἐστὶ κέρδος, τὸ ὁτι-
οῦν κτῆμα κτήσασθαι: οὐ μέντοι: πότερον οὐκ ἐὰν κακὸν ᾖ· ἢ οὐδ' ἂν
ἀγαθὸν ὁτιοῦν κτήσηται· οὐ κέρδος κτήσεται: φαίνεται· ἐάν γε
ἀγαθόν: ἐὰν δὲ κακόν, οὐ ζημίαν κτήσεται; ἔμοιγε δοκεῖ: ὁρᾷς
οὖν, ὡς πάλιν αὖ περιτρέχεις εἰς τὸ αὐτό· τὸ μὲν κέρδος ἀγαθὸν φαί-
νεται, ἡ δὲ ζημία κακόν: ἀπορῶ ἔγωγε, ὅτι εἴπω: οὐκ ἀδίκως
γε σὺ ἀπορῶν· ἔτι γὰρ καὶ τόδε ἀπόκριναι· ἐάν τις ἔλαττον ἀνα-
λώσας κτήσηται, φὴς κέρδος εἶναι, οὔτι κακόν γε λέγω· ἀλλ' ἐὰν
χρυσίον ἢ ἀργύριον ἔλαττον ἀναλώσας πλέον λάβῃ: καὶ ἐ-
γὼ μέλλω τοῦτο ἐρήσεσθαι· φέρε γάρ· ἐάν τις χρυσίου σταθμὸν
ἥμισυ ἀναλώσας, διπλάσιον λάβῃ ἀργυρίου· κέρδος ἢ ζημίαν
εἴληφεν: ζημίαν δήπου ὦ Σώκρατες· ἀντὶ δωδεκαστασίου γάρ.
διστάσιον αὐτῷ καθίσταται τὸ χρυσίον: καὶ μὴν πλέον γ' εἴληφεν·
ἢ οὐ πλέον ἐστὶ τὸ διπλάσιον τοῦ ἡμίσεος: οὔτι τῇ ἀξίᾳ γε ἀρ-
γύριον χρυσίου: δεῖ ἄρα ὡς ἔοικε τῷ κέρδει τοῦτο προσεῖναι,
τὴν ἀξίαν· νῦν γοῦν τὸ μὲν ἀργύριον πλέον ὂν τοῦ χρυσίου οὐ
σὺ φὴς ἄξιον εἶναι· τὸ δὲ χρυσίον ἔλαττον ὂν ἄξιον φὴς εἶναι:
σφόδρα· ἔχει γὰρ οὕτως: τὸ μὲν ἄξιον ἄρα κερδαλέον ἐστὶν ἐάν
τε σμικρὸν ᾖ ἐάν τε μέγα· τὸ δὲ ἀνάξιον ἀκερδές: ναί: τὸ δὲ
ἄξιον λέγεις, ἄξιον εἶναι ἄλλο τι ἢ κεκτῆσθαι: ναὶ κεκτῆσθαι:
τὸ δὲ ἄξιον αὖ λέγεις κεκτῆσθαι, τὸ ἀνωφελὲς ἢ τὸ ὠφέλι-
μον: τὸ ὠφέλιμον δήπου: οὐκοῦν τὸ ὠφέλιμον ἀγαθόν ἐστιν;
ναί: οὐκοῦν ὦ ἀνδρειότατε, οὐ τὸ κερδαλέον ἀγαθόν

ἀνάγκην, τρίτον ἢ τέταρτον ἤδη ἡμῖν ὁμολογούμενον; ἔοικεν: μνη
μονεύεις οὖν ὅθεν ἡμῖν οὗτος ὁ λόγος γέγονεν; οἶμαί γε: ἀ
δ' εἰ μή· ἐγώ σε ὑπομνήσω· ἠμφισβήτεις μοι τοὺς ἀγαθοὺς
μὴ πάντα τὰ κέρδη βούλεσθαι κερδαίνειν· ἀλλὰ τῶν κερδῶν ὅσα ἀ
γαθά· τὰ δὲ πονηρὰ μή: ναίχι: οὐκοῦν νῦν πάντα τὰ κέρδη
ὁ λόγος ἡμᾶς ἠνάγκακε καὶ σμικρὰ καὶ μεγάλα ὁμολογεῖν ἀγα
θὰ εἶναι: ἠνάγκακε γὰρ ὦ Σώκρατες μᾶλλον ἔμε γε ἢ πέπεικεν:
ἀλλ' ἴσως μετὰ τοῦτο καὶ πείσειεν ἄν· νῦν δ' οὖν εἴτε πέπεισαι, εἴτε
ὅπως δὴ ἔχεις· συμφῄς γοῦν ἡμῖν πάντα τὰ κέρδη ἀγαθὰ
εἶναι, καὶ σμικρὰ καὶ μεγάλα; ὁμολογῶ γὰρ οὖν: τοὺς δὲ χρη
στοὺς ἀνθρώπους, βούλεσθαι τἀγαθὰ ὁμολογεῖς ἅπαντα
ἅπαντας ἢ οὔ: ὁμολογῶ: ἀλλὰ μὲν δὴ τούς γε πονηροὺς αὐτὸς
εἶπες ὅτι καὶ σμικρὰ καὶ μεγάλα κέρδη φιλοῦσιν: εἶπον: οὐ
κ οὖν κατὰ τὸν σὸν λόγον. πάντες ἄνθρωποι φιλοκερδεῖς ἂν
εἶεν καὶ οἱ χρηστοὶ καὶ οἱ πονηροί: φαίνεται: οὐκ ἄρα ὀρθῶς
ὀνειδίζει εἴ τις τῷ ὀνειδίζει φιλοκερδεῖ εἶναι· τυγχάνει γὰρ
καὶ ὁ ταῦτα ὀνειδίζων αὐτὸς τοιοῦτος ὤν: ~ Ἵππαρχος ἢ φιλοκερδής

※ Ἐρασταὶ ※ ἢ ※ περὶ φιλοσοφίας ※ ἠθικός

ἀντερασταί

Εἰς Διονυσίου τοῦ γραμματιστοῦ εἰσῆλθον καὶ εἶδον αὐτόθι, τῶν τε
νέων τούς τε ἐπιεικεστάτους δοκοῦντας εἶναι τὴν ἰδέαν καὶ πα
τέρων εὐδοκίμων· καὶ τούτων ἐραστάς· ἐτυγχανέτην οὖν δύο
τῶν μειρακίων ἐρίζοντε· περὶ ὅτου δέ, οὐ σφόδρα κατήκου
ον· ἐφαινέσθην μέντοι ἢ περὶ Ἀναξαγόρου ἢ περὶ Οἰνοπίδου
ἐρίζειν· κύκλους γοῦν γράφειν ἐφαινέσθην· καὶ ἐγκλίσεις τινὰς
ἐμιμοῦντο τοῖν χεροῖν ἐπικλίνοντε καὶ μάλ' ἐσπουδακότε· κἀγώ.
καθήμην γὰρ παρὰ τὸν ἐραστὴν τοῦ ἑτέρου αὐτοῖν· κινήσας οὖν
αὐτὸν τῷ ἀγκῶνι. ἠρόμην ὅτι ποτὲ οὕτως ἐσπουδακότε τὼ μει
ρακίω εἴτην· καὶ εἶπον ἦ που μέγα τι καὶ καλόν ἐστι, περὶ ὃ το
σαύτην σπουδὴν πεποιημένω ἐστόν: ὁ δ' εἶπε: ποῖον ἔφη μέγα

καὶ καλόν· ἀδολεσχοῦσι μὲν οὖν οὗτοι περὶ τῶν μετεώρων καὶ φλυ
αροῦσι φιλοσοφοῦντες· καὶ ἐγὼ θαυμάσας αὐτοῦ τὴν ἀπόκρι
σιν εἶπον· ὦ νεανία αἰσχρὸν δοκεῖ σοι εἶναι τὸ φιλοσοφεῖν; ἢ τί οὕ
τως χαλεπῶς λέγεις; καὶ ὁ ἕτερος πλησίον γὰρ καθήμενος ἐτύγ
χανεν αὐτοῦ ἀντεραστὴς ὤν· ἀκούσας ἐμοῦ τε ἐρομένου κἀκεί
νου ἀποκρινομένου· οὐ πρὸς σοῦ γε ἔφη ὦ Σώκρατες ποιεῖς·
τὸ καὶ ἀνερέσθαι τοῦτον εἰ αἰσχρὸν ἡγεῖται φιλοσοφίαν εἶναι· ἢ
οὐκ οἶσθα τοῦτον ὅτι τραχηλιζόμενος καὶ ἐμπιπλάμενος καὶ
καθεύδων πάντα τὸν βίον διατετέλεκεν· ὥστε σὺ τί αὐτὸν ᾤου
ἀποκρινεῖσθαι ἀλλ' ἢ ὅτι αἰσχρόν ἐστι φιλοσοφία· ἦν δὲ οὗτος
μὲν τοῖν ἐρασταῖν περὶ μουσικὴν διατετριφώς· ὁ δ' ἕτερος ὃν ἐ
λοιδόρει περὶ γυμναστικήν· καί μοι ἔδοξε χρῆναι τὸν μὲν ἕτερον
ἀφιέναι τὸν ἐρόμενον ὅτι οὐδ' αὐτὸς προσεποιεῖτο περὶ λό
γων ἔμπειρος εἶναι ἀλλὰ περὶ ἔργων· τὸν δὲ σοφώτερον προσ
ποιούμενον εἶναι διερωτῆσαι· ἵνα καὶ εἴ τι δυναίμην παρ' αὐτοῦ
ὠφεληθείην· εἶπον οὖν ὅτι εἰς κοινὸν μὲν τὸ ἐρώτημα ἠρό
μην· εἰ δὲ σὺ οἴει τοῦδε κάλλιον ἀποκρινεῖσθαι, σὲ ἐρωτῶ τὸ αὐ
τὸ ὅπερ καὶ τοῦτον· δοκεῖ σοι τὸ φιλοσοφεῖν καλὸν εἶναι ἢ οὔ;
σχεδὸν οὖν ταῦτα λεγόντων ἡμῶν ἐπακούσαντε τὼ μειρακίω ἐσι
γησάτην· καὶ αὐτὼ παυσαμένω τῆς ἔριδος ἡμῶν ἀκροαταὶ
ἐγενέσθην· καὶ ὅτι μὲν οἱ ἐρασταὶ ἔπαθον οὐκ οἶδα· αὐτὸς γοῦν
ἐξεπλάγην· ἀεὶ γάρ ποτε ὑπὸ τῶν νέων τε καὶ καλῶν ἐκπλήτ
τομαι· ἐδόκει μέντοι μοι καὶ ὁ ἕτερος οὐχ ἥκιστα ἐμοῦ ἀγωνιᾶν·
οὐ μὴν ἀλλ' ἀπεκρίνατό μοι καὶ μάλα φιλοτίμως· ὁπότε γάρ
τοι ἔφη ὦ Σώκρατες τὸ φιλοσοφεῖν αἰσχρὸν ἡγησαίμην εἶναι,
οὐδ' ἂν ἄνθρωπον νομίσαιμι ἐμαυτὸν εἶναι οὐδ' ἄλλον τὸν οὕτω
διακείμενον· ἐνδεικνύμενος εἰς τὸν ἀντεραστήν· καὶ λέγων με
γάλῃ τῇ φωνῇ ἵν' αὐτοῦ κατακούοι τὰ παιδικά· κἀγὼ
εἶπον· καλὸν ἄρα δοκεῖ σοι εἶναι τὸ φιλοσοφεῖν; πάνυ μὲν
οὖν ἔφη· τί οὖν ἐγὼ ἔφην· ἦ δοκεῖ σοι οἷόν τ' εἶναι πρα
γμα ὅτι οὖν εἶναι καλὸν εἴτε αἰσχρόν ἐστιν εἰ μὴ εἰδείη τις ὅ τι ἐστὶ τὴν
ἀρχὴν ὅ τι ἐστίν; οὐκ ἔφη· οἶσθα ἄρα ἦν δ' ἐγὼ ὅ τι ἐστὶ τὸ φιλο
σοφεῖν; πάνυ γε· τί οὖν ἐστιν ἔφην ἐγώ; τί δ' ἄλλο γε ἢ κατὰ τὸ
Σόλωνος· Σόλων γάρ που εἶπε· γηράσκω δ' αἰεὶ πολλὰ διδα

σκόμενος· καὶ ἐμοὶ δοκεῖ οὕτω ἀεὶ χρῆναι ἔτι γέ τι μανθάνειν
τὸν μέλλοντα φιλοσοφήσειν, καὶ νεώτερον ὄντα καὶ πρεσβύτε-
ρον· ἵν' ὡς πλεῖστα ἐν τῷ βίῳ μάθῃ· καί μοι τὸ μὲν πρῶτον ἔ-
δοξέ τι εἰπεῖν· ἔπειτα δέ πως ἐννοήσας ἠρόμην αὐτὸν εἰ τὴν
φιλοσοφίαν πολυμαθίαν ἡγεῖται εἶναι· κἀκεῖνος πάνυ γ' ἔφη·
ἡγῇ δὲ δὴ καλὸν εἶναι μόνον τὴν φιλοσοφίαν ἢ καὶ ἀγαθὸν ἦν
δ' ἐγώ· καὶ ἀγαθὸν ἔφη πάνυ· πότερον οὖν ἐν φιλοσοφίᾳ τι
τοῦτο ἴδιον ἐνορᾷς, ἢ καὶ ἐν τοῖς ἄλλοις οὕτως σοι δοκεῖ ἔχειν·
οἷον φιλογυμναστίαν οὐ μόνον ἡγῇ καλὸν εἶναι ἀλλὰ καὶ ἀγαθόν,
ἢ οὔ· ὁ δὲ εἰρωνικῶς μάλα δύο ἔφη· πρὸς μὲν τόνδε μοι εἰ-
ρήσθω ὅτι οὐδέτερα· πρὸς δὲ σέ, ὦ Σώκρατες, ὁμολογῶ καὶ κα-
λὸν εἶναι καὶ ἀγαθόν· ἡγοῦμαι γὰρ ὀρθῶς· ἠρώτησα οὖν ἐγώ·
καὶ ἐν τοῖς γυμνασίοις τὴν πολυπονίαν καὶ φιλογυμναστίαν
ἡγῇ εἶναι· καὶ ὃς ἔφη· πάνυ γε ὥσπερ γε καὶ ἐν τῷ φι-
λοσοφεῖν τὴν πολυμαθίαν φιλοσοφίαν ἡγοῦμαι εἶναι· καὶ ἐγὼ
εἶπον· ἡγῇ δὲ τοὺς φιλογυμναστοῦντας ἄλλου του ἐπιθυμεῖν
ἢ τούτου ὅτι ποιήσει αὐτοὺς εὖ ἔχειν τὸ σῶμα· τούτου ἔφη·
ἦ οὖν οἱ πολλοὶ πόνοι τὸ σῶμα, ἦν δ' ἐγώ, ποιοῦσιν εὖ ἔχειν·
πῶς γὰρ ἄν, ἔφη, ἀπό γε ὀλίγων πόνων τὸ σῶμά τις εὖ σχοίη·
καί μοι ἐδόκει ἤδη ἐνταῦθα κινητέος εἶναι ὁ φιλογυμναστής,
ἵνα μοι βοηθήσειε διὰ τὴν ἐμπειρίαν τῆς γυμναστικῆς· κἆ-
τα ἠρόμην αὐτόν· σὺ δὲ δὴ τί σιγᾷς ἡμῖν ὦ λῷστε τού-
του ταῦτα λέγοντος· ἦ καὶ σοὶ δοκοῦσιν οἱ ἄνθρωποι εὖ τὰ
σώματα ἔχειν ἀπὸ τῶν πολλῶν πόνων ἢ ἀπὸ τῶν μετρίων·
ἐγὼ μὲν ὦ Σώκρατες ἔφη ᾤμην τὸ λεγόμενον δὴ τοῦτο κἂν ὗν
γνῶναι ὅτι οἱ μέτριοι πόνοι εὖ ποιοῦσιν ἔχειν τὰ σώματα·
πόθεν δὴ οὐχὶ ἄνδρα γε ἄγρυπνόν τε καὶ ἄσιτον καὶ ἀτριβῆ τὸν
τράχηλον ἔχοντα καὶ λεπτὸν ὑπὸ μεριμνῶν· καὶ αὐτοῦ ταῦτα
εἰπόντος ἥσθη τὰ μειράκια καὶ ἐπεγέλασεν· ὁ δ' ἕτερος ἠρυ-
θρίασε· καὶ ἐγὼ εἶπον· τί οὖν; σὺ ἤδη συγχωρεῖς μήτε πολλοὺς
μήτε ὀλίγους πόνους εὖ ποιεῖν ἔχειν τὰ σώματα τοῖς ἀνθρώ-
ποις· ἀλλὰ τοὺς μετρίους· ἢ διαμάχῃ δυοῖν ὄντοιν νῷν περὶ
τοῦ λόγου· καὶ ὅς· πρὸς μὲν τοῦτον ἔφη κἂν πάνυ ἡδέως
διαγωνισαίμην καὶ εὖ οἶδ' ὅτι ἱκανὸς ἂν γενοίμην βοηθῆσαι

τῆι ὑποθέσει ἣν ὑπεθέμην. καὶ εἰ ταύτης ἔτι φαυλοτέραν ὑπο-
θείμην. οὐδὲν γὰρ ἔτι πρὸς ἐμέ γε τοῖσδε. οὐδὲν δέομαι παραδέξασθαι
φιλονεικῶν. ἀλλ' ὁμολογῶ μὴ τὰ πολλὰ ἀλλὰ τὰ μέτρια γυμνά-
σια τὴν εὐεξίαν ἐμποιεῖν τοῖς ἀνθρώποις· τί δαὶ τὰ σιτία,
τὰ μέτρια, ἢ τὰ πολλά; ἔφην ἐγώ· καὶ τὰ σιτία ὡμολόγει· ἔτι δὲ
κἀγὼ προσηνάγκαζον αὐτὸν ὁμολογεῖν, καὶ τὰ ἄλλα πάντα τὰ
περὶ τὸ σῶμα ὠφελιμώτατα εἶναι τὰ μέτρια· ἀλλὰ μὴ τὰ πολλὰ
μηδὲ τὰ ὀλίγα. καί μοι ὡμολόγει τὰ μέτρια· τί δ', ἔφην, τὰ περὶ
τὴν ψυχήν· τὰ μέτρια ὠφελεῖ, ἢ τὰ ἄμετρα τῶν προσφερομέ-
νων; τὰ μέτρια ἔφη· οὐκοῦν ἓν τῶν προσφερομένων ψυχῇ ἐστι
καὶ τὰ μαθήματα; ὡμολόγει· καὶ τούτων ἄρα τὰ μέτρια ὠ-
φελεῖ, ἀλλ' οὐ τὰ πολλά; συνέφη· τίνα οὖν ἐρόμενοι ἂν δικαί-
ως ἐροίμεθα ὁποῖοι μέτριοι πόνοι καὶ σιτία πρὸς τὸ σῶμα;
ἀμφότεροι ὡμολογοῦμεν μὲν τρεῖς ὄντες ὅτι ἰατρὸν ἢ παιδοτρίβην·
τίνα δαὶ περὶ σπερμάτων σπορᾶς ὁπόσον μέτριον; καὶ τούτου
τὸν γεωργὸν ὡμολογοῦμεν· τίνα δαὶ μαθημάτων πέρι ἐς ψυχὴν
φυτεύσεως καὶ σπορᾶς ἐρωτῶντες δικαίως ἂν ἐροίμεθα ὁ-
πόσα καὶ ὁποῖα μέτρια; τουντεῦθεν ἤδη ἀπορίας μεστοὶ ἦμεν
ἅπαντες· κἀγὼ προσπαίζων αὐτοὺς ἠρόμην· βούλεσθε,
ἔφην, ἐπειδὴ ἡμεῖς ἐν ἀπορίᾳ ἐσμέν, ἐρώμεθα τουτουσὶ τὰ μει-
ράκια; ἢ ἴσως αἰσχυνόμεθα ὥσπερ ἔφη τοὺς μνηστῆρας
Ὅμηρος, μὴ ἀξιοῦν εἶναί τινα ἄλλον ὅστις ἐντενεῖ τὸ τό-
ξον; ἐπειδὴ οὖν μοι ἐδόκουν ἀθυμεῖν πρὸς τὸν λόγον, ἄλλῃ ἐ-
πειρώμην σκοπεῖν, καὶ εἶπον· ποῖα δὲ μάλιστα αὐτοὺς ὑποτοπά-
ζομεν εἶναι τῶν μαθημάτων ἃ δεῖ τὸν φιλοσοφοῦντα μανθά-
νειν, ἐπειδὴ οὐχὶ πάντα οὐδὲ πολλά; ὑπολαβὼν οὖν ὁ σο-
φώτερος εἶπεν ὅτι κάλλιστα εἴη τῶν μαθημάτων καὶ
προσήκοντα, ἀφ' ὧν ἂν πλείστην δόξαν ἔχοι τις εἰς φιλοσο-
φίαν· πλείστην δ' ἂν ἔχοι δόξαν, εἰ δοκοίη τῶν τεχνῶν ἔμπει-
ρος εἶναι πασῶν· εἰ δὲ μή, ὡς πλείστων γε, καὶ μάλιστα τῶν ἀξιο-
λόγων, μαθὼν αὐτῶν ταῦτα ἃ προσήκει τοῖς ἐλευθέροις
μαθεῖν, ὅσα τῆς συνέσεως ἔχεται, μὴ ὅσα χειρουργίας· ἆρ' οὖν
οὕτως λέγεις, ἔφην ἐγώ, ὥσπερ ἐν τῇ τεκτονικῇ· καὶ γάρ,
ἐκεῖ τέκτονα μὲν ἂν πρίαιο πέντε ἢ ἓξ μνῶν ἄκρον, ἀρχιτέ-

κτονα δέ· οὐδ' ἂν μυρίων δραχμῶν· ὀλίγοι γὰρ μέντοι καὶ ἐν πᾶσι
τοῖς ἕλλησι γίγνοιντο. ἆρα μὴ τοιοῦτον λέγεις; καὶ ὃς ἀκού
σας μου, ξυνεχώρει καὶ αὐτὸς λέγειν τοιοῦτον. ἠρόμην δ' αὐτὸν
εἰ οὐκ ἀδύνατον εἴη δύο μόνας τέχνας οὕτω μαθεῖν τὸν αὐτόν.
μὴ ὅτι πολλὰς καὶ μεγάλας· ὁ δὲ μὴ οὕτως μου ἔφη ὑπολάβῃς
ὦ σώκρατες ὡς λέγοντος ὅτι δεῖ ἕκαστον τῶν τεχνῶν τὸν φιλο
σοφοῦντα ἐπίστασθαι ἀκριβῶς· ὥσπερ αὐτὸν τὸν τὴν τέχνην
ἔχοντα· ἀλλ' ὡς εἰκὸς ἄνδρα ἐλεύθερόν τε καὶ πεπαιδευμένον
ἐπακολουθῆσαί τε τοῖς λεγομένοις ὑπὸ τοῦ δημιουργοῦ
οἷόν τ' εἶναι διαφερόντως τῶν παρόντων καὶ αὐτὸν ξυμβάλλε
σθαι γνώμην, ὥστε δοκεῖν χαριέστατον εἶναι καὶ σοφώτατον
τῶν ἀεὶ παρόντων ἐν τοῖς λεγομένοις τε καὶ πραττομένοις
περὶ τὰς τέχνας· καὶ ἐγὼ ἔτι γὰρ αὐτοῦ ἠμφιγνόουν τὸν λόγον ὅ
τι ἐβούλετο· ἆρ' ἐννοῶ ἔφην οἷον λέγεις τὸν φιλόσοφον ἄνδρα·
δοκεῖς γάρ μοι λέγειν οἷον ἐν τῇ ἀγωνίᾳ εἰσὶν οἱ πένταθλοι
πρὸς τοὺς δρομέας ἢ τοὺς παλαιστάς· καὶ γὰρ ἐκεῖνοι τούτων
μὲν λείπονται κατὰ τὰ τούτων ἆθλα καὶ δεύτεροί εἰσι πρὸς τούτους·
τῶν δ' ἄλλων ἀθλητῶν πρῶτοι καὶ νικῶσιν αὐτούς· τάχ' ἂν ἴσως
τοιοῦτόν τι λέγοις· καὶ τὸ φιλοσοφεῖν ἀπεργάζεσθαι τοὺς ἐπι
τηδεύοντας τοῦτο τὸ ἐπιτήδευμα· τῶν μὲν πρώτων εἰς ξύ
νεσιν περὶ τὰς τέχνας ἐλλείπεσθαι· τὰ δευτερεῖα δ' ἔχοντας
τῶν ἄλλων περιεῖναι καὶ οὕτως γίγνεσθαι περὶ πάντα ὑπα
κρόν τινα ἄνδρα τὸν πεφιλοσοφηκότα· τοιοῦτόν τινά μοι δο
κεῖς ἐνδείκνυσθαι· καλῶς γέ μοι ἔφη ὦ σώκρατες φαίνῃ ὑ
πολαμβάνειν τὰ περὶ τοῦ φιλοσόφου ἀπεικάσας αὐτὸν τῷ
πεντάθλῳ· ἔστι γὰρ ἀτεχνῶς τοιοῦτος· μὴ δουλεύειν μηδε
νὶ πράγματι· μηδ' εἰς τὴν ἀκρίβειαν μηδὲν διαπεπονηκέναι
ὥστε διὰ τὴν τοῦ ἑνὸς τούτου ἐπιμέλειαν· τῶν ἄλλων ἁπάν
των ἀπολελεῖφθαι· ἀλλ' ὥσπερ οἱ δημιουργοὶ πάντων μετρίως
ἐφῆφθαι· μετὰ ταύτην δὴ τὴν ἀπόκρισιν ἐγὼ προθυμού
μενος σαφῶς εἰδέναι ὅ τι λέγοι· ἐπυνθανόμην αὐτοῦ τοὺς
ἀγαθούς, πότερον χρησίμους ἢ ἀχρήστους εἶναι ὑπολαμ
βάνοι· χρησίμους δήπου ὦ σώκρατες ἔφη· ἆρ' οὖν εἴπερ
οἱ ἀγαθοὶ χρήσιμοι, οἱ πονηροὶ ἄχρηστοι· ὡμολόγει· τί δαί·

τοὺς φιλοσόφους ἄνδρας χρησίμους ἡγῇ ἢ οὔ· ὁ δὲ ὡμολό-
γει χρησίμους· καὶ πρός γε ἔφη χρησιμωτάτους εἶναι ἡγεῖ-
σθαι· φέρε δὴ γνῶμεν εἰ ἀληθῆ λέγεις· ποῦ καὶ χρήσιμοι ἡμῖν εἰ-
σιν οἱ πένταθλοι οὗτοι· δῆλον γὰρ ὅτι ἥττους εἰσὶ τῶν τὰς τέχνας
ἐχόντων. φαυλότερος ἐστὶν ὁ φιλόσοφος· ὡμολόγει· φέρε
δὴ σὺ ἢ καὶ ἐγὼ εἰ τύχοις ἢ αὐτὸς ἀσθενήσας ἢ τῶν φίλων
τις τῶν σῶν περὶ ὧν σὺ σπουδὴν μεγάλην ἔχεις· πότερον ὑ-
γίειαν βουλόμενος κτήσασθαι τὸν πένταθλον ἐκεῖνον τὸν σοφὸν
εἰσάγοις ἂν εἰς τὴν οἰκίαν, ἢ τὸν ἰατρὸν λαμβάνοις· ἀμφοτέρους
ἔγωγ᾽ ἂν ἔφην· μή μοι εἶπον ἐγὼ ἀμφοτέρους λέγε· ἀλλ᾽ ὁπό-
τερον μᾶλλόν τε καὶ πρότερον· οὐδεὶς ἂν ἔφη τοῦτό γε ἀμφι-
σβητήσειεν ὡς οὐχὶ τὸν ἰατρὸν καὶ μᾶλλον καὶ πρότερον· τί δ᾽ ἐν
νηῒ χειμαζομένῃ· ποτέρῳ ἂν μᾶλλον ἐπιτρέποις σαυτόν τε
καὶ τὰ σεαυτοῦ· τῷ κυβερνήτῃ, ἢ τῷ φιλοσόφῳ· τῷ κυβερ-
νήτῃ ἔγωγε· οὐκοῦν καὶ τἆλλα πάντα οὕτως· ἕως ἄν τις
δημιουργὸς ᾖ, οὐ χρήσιμός ἐστιν ὁ φιλόσοφος· φαίνεται ἔφη·
οὐκοῦν νῦν ἄχρηστός τις ἡμῖν ἐστιν ὁ φιλόσοφος· εἰσὶ γὰρ ἡ-
μῖν δήπου δημιουργοί· ὡμολογήσαμεν δὲ τοὺς μὲν ἀγαθοὺς
χρησίμους εἶναι· τοὺς δὲ μοχθηροὺς ἀχρήστους· ἠναγκά-
ζετο ὁμολογεῖν· τί οὖν μετὰ τοῦτο, ἔρωμαί σε· ἢ ἀγροικότερόν
ἐστιν ἐρέσθαι· ἐροῦ ὅ τι βούλει· οὐδὲν δὴ ἔφην ἔγωγε ζητῶν
ἄλλο ἢ ἀνομολογήσασθαι τὰ εἰρημένα· ἔχει δέ πως ὧδε· ὡμο-
λογήσαμεν καλὸν εἶναι τὴν φιλοσοφίαν καὶ αὐτοὶ φιλόσοφοι
εἶναι· τοὺς δὲ φιλοσόφους ἀγαθούς· τοὺς δὲ ἀγαθοὺς χρη-
σίμους· τοὺς δὲ πονηροὺς ἀχρήστους· αὖθις δ᾽ αὖ τοὺς φι-
λοσόφους ὡμολογήσαμεν ἕως ἂν οἱ δημιουργοὶ ὦσιν, ἀ-
χρήστους εἶναι· δημιουργοὺς δὲ ἀεὶ εἶναι· οὐ γὰρ ταῦτα
ὡμολόγηται; πάνυ γε ἦ δ᾽ ὅς· ὁμολογοῦμεν ἄρα ὡς
ἔοικε κατά γε τὸν σὸν λόγον εἴπερ τὸ φιλοσοφεῖν ἐστὶ περὶ τὰς
τέχνας ἐπιστήμονας εἶναι· ὃν μὲν σὺ λέγεις τρόπον, πο-
νηροὺς αὐτοὺς εἶναι καὶ ἀχρήστους· ἕως ἂν ἐν ἀνθρώποις
τέχναι ὦσιν· ἀλλ᾽ ἂν μὴ οὐχ οὕτως ὦ φίλε ἔχωσι, μηδὲ ᾖ τοῦτο
φιλοσοφεῖν, περὶ τὰς τέχνας ἐσπουδακέναι· οὐδὲ πολυπρα-
γμονοῦντα κυπτάζοντα ζῆν· οὐδὲ πολυμαθοῦντα· ἀλλ᾽ ἄλλο

τι· ἐπεὶ ἐγὼ ᾤμην καὶ ὁμολογεῖ δ' ὅσον εἶναι τοῦτο καὶ μανικοὺς κεκλῆσθαι
τοὺς περὶ τὰς τέχνας ἐσπουδακότας· ὧδε δὲ σαφέστερον εἰσόμε
θα, εἰ ἄρα ἄν μοι ὅ τι λέγω ἐὰν τοῦτο ἀποκρίνῃ· τίνες ἵππους ἐπί
στανται κολάζειν ὀρθῶς· πότερον οἳ βελτίους ποιοῦσιν,
ἢ ἄλλοι: οἳ βελτίους: τί δαί· κύνας οὐχ οἳ βελτίους ἐπίσταν
ται ποιεῖν, οὗτοι καὶ κολάζειν ὀρθῶς ἐπίστανται; ναί: ἡ αὐτὴ
ἄρα τέχνη βελτίους ποιεῖ, καὶ κολάζει ὀρθῶς: φαίνεταί μοι
ἦ δ' ὅς: τί δαί· πότερον βελτίους ποιεῖ καὶ κολάζει ὀρθῶς ἡ
αὐτὴ δὲ καὶ γιγνώσκει τοὺς χρηστοὺς καὶ τοὺς μοχθηρούς ἢ
ἑτέρα τις: ἡ αὐτὴ ἔφη: ἐθελήσεις οὖν καὶ κατ' ἀνθρώπους
τοῦτο ὁμολογεῖν ἣ βελτίους ἀνθρώπους ποιεῖ· ταύτην
εἶναι καὶ τὴν κολάζουσαν ὀρθῶς καὶ διαγιγνώσκουσαν τοὺς
χρηστούς τε καὶ τοὺς μοχθηρούς: πάνυ γε ἔφη: οὐκοῦν καὶ
ᾗ τις ἕνα καὶ πολλούς· καὶ ᾗ τις πολλοὺς καὶ ἕνα; ναί: καὶ
καθ' ἵππων δὴ καὶ τῶν ἄλλων ἁπάντων οὕτως; φημί: τίς οὖν
ἐστιν ἐπιστήμη ἣ τοὺς ἐν ταῖς πόλεσιν ἀκολασταίνοντας καὶ
παρανομοῦντας ὀρθῶς κολάζει· οὐχ ἡ δικαστική; ναί: ἦ ἄλ
λην οὖν τινα καλεῖς καὶ δικαιοσύνην ἢ ταύτην: οὐκ ἀλλὰ ταύ
την: οὐκοῦν ᾗπερ κολάζουσιν ὀρθῶς· ταύτῃ καὶ γιγνώ
σκουσι τοὺς χρηστοὺς καὶ τοὺς μοχθηρούς; ταύτῃ: ὅστις
δὲ ἕνα γιγνώσκει, καὶ πολλοὺς γνώσεται; ναί: καὶ ὅστις γε
πολλοὺς ἀγνοεῖ καὶ ἕνα; φημί: εἰ ἄρα ἵππος ὢν ἀγνοοῖ τοὺς
χρηστοὺς καὶ πονηροὺς ἵππους· κἂν ἑαυτὸν ἀγνοοῖ, ποῖός τίς
ἐστι; φημί: καὶ εἰ βοῦς ὢν ἀγνοοῖ τοὺς πονηροὺς καὶ χρηστούς·
κἂν αὑτὸν ἀγνοοῖ, ποῖός τίς ἐστι; ναὶ ἔφη: οὕτω δὴ καὶ εἰ κύων. ὡμο
λόγει: τί δ' ἐπειδὰν ἄνθρωπος ὢν ἀγνοῇ τοὺς χρηστοὺς
καὶ μοχθηροὺς ἀνθρώπους· ἆρ' οὐχ ἑαυτὸν ἀγνοεῖ, πότερον
χρηστός ἐστιν ἢ πονηρός, ἐπειδὴ καὶ αὐτὸς ἄνθρωπός ἐστι;
ξυνεχώρει: τὸ δὲ αὑτὸν ἀγνοεῖν σωφρονεῖν ἐστιν, ἢ μὴ σωφρο
νεῖν: μὴ σωφρονεῖν· τὸ ἑαυτὸν ἄρα γιγνώσκειν ἐστὶ σωφρονεῖν;
φημί ἔφη: τοῦτ' ἄρα ὡς ἔοικε τὸ ἐν Δελφοῖς γράμμα παρα
κελεύεται, σωφροσύνην ἀσκεῖν καὶ δικαιοσύνην; ἔοικε: τῇ
αὐτῇ δὲ ταύτῃ καὶ κολάζειν ὀρθῶς ἐπιστάμεθα; ναί: οὐκοῦν
ᾗ μὲν κολάζειν ὀρθῶς ἐπιστάμεθα, δικαιοσύνη αὕτη ἐστίν·

ἡ δὲ διαγιγνώσκειν καὶ ἑαυτὸν καὶ ἄλλους, σωφροσύνη; Ἔοικεν
ἔφη. Ταὐτὸν ἄρα ἐστὶ καὶ δικαιοσύνη καὶ σωφροσύνη. Φαίνεται.
Καὶ μὴν οὕτω γε καὶ αἱ πόλεις εὖ οἰκοῦνται ὅταν οἱ ἀδικοῦντες
δίκην διδῶσιν. Ἀληθῆ λέγεις ἔφη. Καὶ πολιτικὴ ἄρα αὕτη
ἐστί. Συνεδόκει. Τί δαί, ὅταν εἷς ἀνὴρ ὀρθῶς πόλιν διοικῇ,
ὄνομά γε τούτῳ οὐ τύραννός τε καὶ βασιλεύς; Φημί. Οὐκοῦν
βασιλικῇ τε καὶ τυραννικῇ τέχνῃ διοικεῖ; Οὕτως. Καὶ αὗ
ται ἄρα αἱ αὐταὶ τέχναι ἐκείναις; Φαίνονται. Τί δὲ ὅταν
εἷς ὢν ἀνὴρ οἰκίαν διοικῇ ὀρθῶς, τί ὄνομα τούτῳ ἐστίν; οὐκ οἰκονό
μος καὶ δεσπότης; Ναί. Πότερον οὖν καὶ οὗτος δικαιοσύ
νῃ εὖ ἂν τὴν οἰκίαν διοικοῖ ἢ ἄλλῃ τινὶ τέχνῃ; Δικαιοσύνῃ.
Ἔστιν ἄρα ταὐτὸν ὡς ἔοικεν· βασιλεύς, τύραννος, πολιτικός,
οἰκονόμος, δεσπότης, σώφρων, δίκαιος. Καὶ μία τέχνη ἐστὶν
βασιλική, τυραννική, πολιτική, οἰκονομική, δικαιοσύνη,
σωφροσύνη. Φαίνεται ἔφη οὕτως. Πότερον οὖν τῷ φιλοσό
φῳ ὅταν μὲν ἰατρὸς περὶ τῶν καμνόντων τι λέγῃ, αἰσχρὸν
μήτε ἕπεσθαι τοῖς λεγομένοις δύνασθαι, μήτε ξυμβάλλεσθαι
μηδὲν περὶ τῶν λεγομένων ἢ πραττομένων. καὶ ὁπόταν
ἄλλος τις τῶν δημιουργῶν ὡσαύτως. ὅταν δὲ δικαστὴς ἢ
βασιλεὺς ἢ ἄλλος ὧν νυνδὴ διεληλύθαμεν, οὐκ αἰσχρὸν
περὶ τούτων μήτε ἕπεσθαι δύνασθαι μήτε συμβάλλεσθαι
περὶ αὐτῶν; Πῶς δ' οὐκ αἰσχρὸν ὦ Σώκρατες περί γε το
σούτων πραγμάτων μηδὲν ἔχειν συμβάλλεσθαι; Πότερον
οὖν καὶ περὶ ταῦτα λέγωμεν ἔφη· πένταθλον αὐτὸν δεῖν εἶ
ναι καὶ ὕπακρον. καὶ τὰ δευτερεῖα ἔχοντα
πάντων τὸν φιλόσοφον καὶ ἀχρεῖον εἶναι ἕως ἂν τούτων
τις ᾖ. ἢ πρῶτον μὲν τὴν αὐτοῦ οἰκίαν οὐκ ἄλλῳ ἐπιτρεπτέ
ον οὐδὲ τὰ δευτερεῖα ἐν τούτῳ ἑκτέον, ἀλλ' αὐτὸν κολάζοντα
ὀρθῶς δικάζοντα εἰ μέλλει εὖ οἰκεῖσθαι αὐτοῦ ἡ οἰκία;
Ξυνεχώρει δή μοι. Ἔπειτά γε δήπου εἴτε οἱ φίλοι αὐτῷ δι
αιτὰς ἐπιτρέποιεν, εἴτε ἡ πόλις τι προστάττοι διακρί
νειν ἢ δικάζειν, αἰσχρὸν ἐν τούτοις ὦ ἑταῖρε δεύτερον φαί
νεσθαι ἢ τρίτον καὶ μὴ ἡγεῖσθαι; Δοκεῖ μοι. Οὐ πολλοῦ ἄ
ρα ἡμῖν ὦ βέλτιστε τὸ φιλοσοφεῖν πολυμαθία τε εἶναι καὶ

ἡ περὶ τὰς τέχνας πραγματεία· ταῦτ' ἐμοῦ εἰπόντος ὁ
μὲν σοφὸς αἰσχυνθεὶς τοῖς προειρημένοις ἐσίγησεν· ὁ δὲ
ἀμαθὴς ἔφη οὕτως ἔχειν· καὶ οἱ ἄλλοι ἐπῄνεσαν τὰ εἰρη-
μένα :~ ἐρασταὶ ἢ περὶ φιλοσοφίας

ε̅

※ θεάγης ※ ἢ ※ περὶ σωφροσύνης ※ μαιευτικός

φιλοσοφ…

Ὦ σώκρατες· ἐδεόμην ἄττα σοι ἰδιολογήσασθαι, εἰ σχολή· καὶ εἰ ἀ-
σχολία δὲ μὴ πάνυ τις μεγάλη, ὅμως ἐμοῦ ἕνεκα ποίησαι σχο-
λήν· ἀλλὰ καὶ ἄλλως τυγχάνω σχολάζων· καὶ δὴ σοῦ γε ἕνεκα καὶ
πάνυ· ἀλλ' εἴ τι βούλει λέγειν, ἔξεστιν· βούλει οὖν δεῦρο εἰς τὴν
τοῦ διὸς τοῦ ἐλευθερίου στοὰν ἐκποδὼν ἀποχωρήσωμεν· εἰ
σοὶ δοκεῖ· ἴωμεν δή· ὦ σώκρατες· πάντα τὰ φυτὰ κινδυνεύει
τὸν αὐτὸν τρόπον ἔχειν, καὶ τὰ ἐκ τῆς γῆς φυόμενα καὶ τὰ ζῷα
τἆλλα, καὶ ἄνθρωπος· καὶ γὰρ ἐν τοῖς φυτοῖς ῥᾷστον ἡμῖν
τοῦτο γίγνεται, ὅσοι τὴν γῆν γεωργοῦμεν, τὸ παρασκευάσα-
σθαι πάντα τὰ πρὸ τοῦ φυτεύειν· καὶ αὐτὸ τὸ φυτεῦσαι· ἐπει-
δὰν δὲ τὸ φυτευθὲν βιῷ, μετὰ τοῦτο θεραπεία τοῦ φύντος καὶ
πολλὴ καὶ χαλεπὴ καὶ δύσκολος γίγνεται· οὕτω δὲ ἔχειν ἔοι-
κε καὶ τὸ περὶ τῶν ἀνθρώπων· ἀπὸ τῶν ἐμαυτοῦ ἐγὼ πραγμά-
των τεκμαίρομαι καὶ εἰς τἆλλα· καὶ γὰρ ἐμοὶ ἡ τοῦ ὑέος του-
τουῒ φυτεία, εἴτε παιδοποιίαν δεῖ αὐτὴν ὀνομάζειν, πάν-
των ῥᾴστη γέγονεν· ἡ δὲ τροφὴ δύσκολός τε καὶ ἀεὶ ἐν φόβῳ πε-
ρὶ αὐτοῦ δεδιότι· τὰ μὲν οὖν ἄλλα πολλὰ ἂν εἴη λέγειν· ἡ δὲ
νῦν παροῦσα ἐπιθυμία τούτῳ πάνυ με φοβεῖ· ἔστι μὲν γὰρ οὐκ
ἀγεννής, σφαλερὰ δέ· ἐπιθυμεῖ γὰρ δὴ οὗτος ἡμῖν ὦ σώκρα-
τες, ὥς φησι, σοφὸς γενέσθαι· δοκεῖ γάρ μοι τῶν ἡλικιωτῶν τι-
νες αὐτοῦ καὶ δημοτῶν εἰς τὸ ἄστυ καταβαίνοντες, λόγους τινὰς
ἀπομνημονεύοντες διαταράττουσιν αὐτόν· οὓς ἐζήλωκεν
καὶ πάλαι μοι πράγματα παρέχει, ἀξιῶν ἐπιμεληθῆναί με
ἑαυτοῦ καὶ χρήματα τελέσαι τινὶ τῶν σοφιστῶν, οἵτινες αὐτὸν

σοφὸν ποιήσει· ἐμοὶ δὲ τῶν μὲν χρημάτων καὶ ἧττον μέλει· ἡγοῦμαι
δὲ τοῦτον οὐκ εἰς σμικρὸν κίνδυνον ἰέναι οἷ σπεύδει· τέως μὲν οὖν
αὐτὸν κατεῖχον παραμυθούμενος· ἐπειδὴ δὲ οὐκέτι οἷός τέ εἰμι·
ἡγοῦμαι κράτιστον εἶναι, πείθεσθαι αὐτῷ· ἵνα μὴ πολλάκις ἄ-
νευ ἐμοῦ συγγενόμενός τῳ διαφθαρῇ· νῦν οὖν ἥκω ἐπ' αὐτὸ τοῦ-
το, ἵνα τῳ τούτων τῶν σοφιστῶν δοκούντων εἶναι, συστήσω του-
τονί· σὺ οὖν ἡμῖν εἰς καλὸν παρεφάνης· ᾧ ἂν ἐγὼ μάλιστα ἐβου-
λόμην περὶ τῶν τοιούτων μέλλων πράξειν συμβουλεύσασθαι·
ἀλλ' εἴ τι ἔχεις συμβουλεύειν ἐξ ὧν ἐμοῦ ἀκήκοας, ἔξεστί τε καὶ χρή:
σω ἀλλὰ μὲν δή, ὦ Δημόδοκε· καὶ λέγεταί γε, συμβουλὴ ἱερὸν χρῆμα εἶ-
ναι· εἴπερ οὖν καὶ ἄλλη ἡτισοῦν ἐστιν ἱερά· καὶ αὕτη ἂν εἴη, περὶ ἧς
σὺ νῦν συμβουλεύῃ· οὐ γάρ ἐστι περὶ ὅτου θειοτέρου ἂν ἄνθρω-
πος βουλεύσαιτο ἢ περὶ παιδείας· καὶ αὑτοῦ καὶ τῶν αὑτοῦ οἰ-
κείων· πρῶτον μὲν οὖν ἐγώ τε καὶ σὺ συνομολογήσωμεν, τί
ποτε οἰόμεθα τοῦτο εἶναι περὶ οὗ βουλευόμεθα· μὴ γὰρ πολ-
λάκις ἐγὼ μὲν ἄλλο τι αὐτὸ ὑπολαμβάνω· σὺ δὲ ἄλλο· κἄπειτα
πόρρω που τῆς συνουσίας αἰσθώμεθα, γελοῖοι ὄντες: ἐγώ
τε ὁ συμβουλεύων καὶ σὺ ὁ συμβουλευόμενος, μηδὲν τῶν αὐτῶν
ἡγούμενοι: ἀλλά μοι δοκεῖς ὀρθῶς μὲν λέγειν ὦ Σώκρατες· καὶ ποι-
εῖν χρὴ οὕτω: καὶ λέγω γε ὀρθῶς· οὐ μέντοι παντάπασί γε·
σμικρὸν γάρ τι μετατίθεμαι· ἐννοῶ γὰρ μὴ καὶ ὁ μειρακίσκος οὗ-
τος· οὐ τούτου ἐπιθυμεῖ, οὗ ἡμεῖς αὐτὸν οἰόμεθα ἐπιθυμεῖν· ἀλ-
λ' ἑτέρου· κᾆτ' αὖ ἡμεῖς ἔτι ἀτοπώτεροι ὦμεν περὶ ἄλλου του βου-
λευόμενοι· ὀρθότατον οὖν μοι δοκεῖ εἶναι ἀπ' αὐτοῦ τούτου ἄρ-
χεσθαι διαπυνθανομένους· ὅ, τι καὶ ἔστιν οὗ ἐπιθυμεῖ: κινδυνεύ-
ει γοῦν οὕτω βέλτιστον εἶναι ὡς σὺ λέγεις: εἰπὲ δή μοι· τί κα-
λὸν ὄνομα τῷ νεανίσκῳ· τί αὐτὸν προσαγορεύωμεν: Θεά-
γης ὄνομα τούτῳ ὦ Σώκρατες: καλόν γε ὦ Δημόδοκε τῷ ὑ-
εῖ τὸ ὄνομα ἔθου καὶ ἱεροπρεπές: εἰπὲ δὴ ἡμῖν ὦ Θέαγες· ἐπι-
θυμεῖν φῂς σοφὸς γενέσθαι· καὶ ἀξιοῖς σου τὸν πατέρα τόνδε,
ἐξευρεῖν ἀνδρός τινος συνουσίαν τοιούτου· ὅστις σε σοφὸν ποι-
ήσει: ναί: σοφοὺς δὲ καλεῖς· πότερον τοὺς ἐπιστήμονας περὶ
ὅτου ἂν ἐπιστήμονες ὦσιν, ἢ τοὺς μή: τοὺς ἐπιστήμονας ἔγω-
γε: τί οὖν οὐκ ἐδιδάξατό σε ὁ πατὴρ καὶ ἐπαίδευσεν ἅπερ ἐν-

θάδε οἱ ἄλλοι ἐπαιδεύθησαν, οἱ τῶν καλῶν κἀγαθῶν πατέρων ὑ
εῖς; οἷον γράμματά τε καὶ κιθαρίζειν καὶ παλαίειν καὶ τὴν ἄλλην
ἀγωνίαν; ἔμαθον: ἔτι οὖν οἴει τινὸς ἐπιστήμης ἐλλείπεσθαι ἧς προ
σήκει ὑπὲρ σοῦ τὸν πατέρα ἐπιμεληθῆναι; ἔγωγε: τίς ἐστιν
αὕτη; εἰπὲ καὶ ἡμῖν ἵνα σοι χαρισώμεθα: οἶδεν καὶ οὗτος ὦ σώ
κρατες· ἐπεὶ πολλάκις ἐγὼ αὐτῷ εἴρηκα· ἀλλὰ ταῦτα ἐξεπί
τηδες πρὸς σὲ λέγει, ὡς δὴ οὐκ εἰδὼς οὗ ἐγὼ ἐπιθυμῶ· τοι
αῦτα γὰρ ἕτερα καὶ πρὸς ἐμὲ μάχεταί τε καὶ οὐκ ἐθέλει με οὐδενὶ
συστῆσαι: ἀλλὰ τὰ μὲν ἔμπροσθεν σοὶ ἦν πρὸς τοῦτον ῥηθέντα
ὥσπερ ἄνευ μαρτύρων λεγόμενα· νυνὶ δὲ ἐμὲ ποίησαι μάρτυ
ρα καὶ ἐναντίον ἐμοῦ κάτειπε· τίς ἐστιν αὕτη ἡ σοφία ἧς ἐπι
θυμεῖς· φέρε γὰρ εἰ ἐπεθύμεις ταύτης ᾗ οἱ ἄνθρωποι τὰ πλοῖ
α κυβερνῶσι, καὶ ἐγώ σε ἐτύγχανον ἀνερωτῶν· ὦ θέαγες· τίνος
ἐνδεὴς ὢν σοφίας μέμφῃ τῷ πατρὶ ὅτι οὐκ ἐθέλει σε συνι
στάναι παρ' ὧν ἂν σὺ σοφὸς γένοιο· τί ἄν μοι ἀπεκρίνω· τίνα
αὐτὴν εἶναι; ἆρα οὐ κυβερνητικήν; ναί: εἰ δὲ ἐπιθυμῶν ταύ
την τὴν σοφίαν εἶναι σοφὸς ᾗ τὰ ἅρματα κυβερνῶσιν εἶτ' ἐμέμ
φου τῷ πατρί, ἐγὼ αὖ ἐρωτῶν· τίς ἐστιν αὕτη ἡ σοφία, τίνα
ἂν ἀπεκρίνω αὐτὴν εἶναι; ἆρ' οὐχὶ ἡνιοχικήν; ναί: ἧς δὲ δὴ
νῦν τυγχάνεις ἐπιθυμῶν, πότερον ἀνώνυμός τίς ἐστιν ἢ ἔ
χει ὄνομα: οἶμαι ἔγωγε ἔχειν: πότερον οὖν αὐτὴν μὲν οἶ
σθα, οὐ μέντοι τό γε ὄνομα, ἢ καὶ τὸ ὄνομα: καὶ τὸ ὄνομα ἔγωγε:
Τί οὖν ἐστιν; εἰπέ: τί δὲ ἄλλο ὦ σώκρατες αὐτῇ ὄνομά τις φαίη
ἂν εἶναι ἀλλ' ἢ σοφίαν; οὐκοῦν καὶ ἡ ἡνιοχεία σοφία ἐστὶν ἢ ἀ
μαθία δοκεῖ σοι εἶναι: οὐκ ἔμοιγε: ἀλλὰ σοφία; ναί: ᾗ τί
χρώμεθα; οὐχ ᾗ ἵππων ἐπιστάμεθα ζεύγους ἄρχειν; ναί:
οὐκοῦν καὶ ἡ κυβερνητικὴ σοφία ἐστίν; ἔμοιγε δοκεῖ: ἆρ' οὐ
καὶ αὕτη ᾗ πλοίων ἐπιστάμεθα ἄρχειν; αὕτη μὲν οὖν: ἧς δὲ δὴ σὺ
ἐπιθυμεῖς ἡ σοφία τίς ἐστιν; ᾗ τίνος ἐπιστάμεθα ἄρχειν: ἐμοὶ
μὲν δοκεῖ ᾗ τῶν ἀνθρώπων: ἆρά γε ᾗ τῶν καμνόντων: οὐ δῆτα:
ἰατρικὴ γὰρ αὕτη ἐστίν· ἦ γάρ; ναί: ἀλλ' ᾗ τῶν ᾀδόντων ἐπιστά
μεθα ἐν τοῖς χοροῖς ἄρχειν; οὔ: μουσικὴ γὰρ αὕτη γε; πά
νυ γε: ἀλλ' ᾗ τῶν γυμναζομένων ἐπιστάμεθα ἄρχειν; οὔ: γυ
μναστικὴ γὰρ αὕτη γε; ναί: ἀλλ' ᾗ τῶν τί ποιούντων; προθυμοῦ

ἔτι μ' ἂν ὥσπερ ἐγὼ σοὶ τὰ νῦν ἔμπροσθεν· ἢ τῶν ἐν τῇ πόλει; ἔμοιγε
δοκεῖ· οὐκοῦν ἐν τῇ πόλει εἰσὶ καὶ οἱ κάμνοντες; ναί· ἀλλ' οὐ τού-
των λέγω μόνον, ἀλλὰ καὶ τῶν ἄλλων τῶν ἐν τῇ πόλει. ἆρά γε
μανθάνω ἣν λέγεις τέχνην; δοκεῖς γάρ μοι λέγειν, οὐχ ἣ τῶν θε-
ριζόντων ἐπίστανται ἄρχειν καὶ τρυγώντων καὶ τῶν φυτευ-
όντων καὶ σπειρόντων καὶ ἀλοώντων· αὕτη μὲν γὰρ γεωργική,
ἡ τούτων ἀρχομένη γάρ; ναί· οὐδέ γε οἶμαι ἣ τῶν πριζόντων
καὶ τρυπώντων καὶ ξεόντων καὶ τορνευόντων ξυμπάντων ἐπί-
στανται ἄρχειν, οὐ ταύτην λέγεις· αὕτη μὲν γὰρ οὐ τεκτονική;
ναί· ἀλλ' ἴσως ἣ τούτων τε πάντων καὶ αὐτῶν τῶν γεωργῶν καὶ
τῶν τεκτόνων καὶ τῶν δημιουργῶν ἁπάντων καὶ τῶν ἰδιωτῶν
καὶ τῶν γυναικῶν καὶ ἀνδρῶν, ταύτην ἴσως λέγεις τὴν σοφίαν;
ταύτην πάλαι ὦ Σώκρατες βούλομαι λέγειν· ἔχεις οὖν εἰπεῖν,
αἴγισθος ὁ ἀγαμέμνονα ἀποκτείνας ἐν ἄργει ἆρα τούτων
ἦρχεν ὧν σὺ λέγεις, τῶν τε δημιουργῶν καὶ ἰδιωτῶν καὶ ἀν-
δρῶν καὶ γυναικῶν ξυμπάντων, ἢ ἄλλων τινῶν; οὐκ ἀλλὰ τού-
των· τί δαὶ δὴ πηλεὺς ὁ αἰακοῦ ἐν φθίᾳ, οὐ τῶν αὐτῶν τούτων
ἦρχεν; ναί· περίανδρον δὲ τὸν κυψέλου ἄρχοντα ἐν κορίνθῳ
ἤδη ἀκήκοας γενέσθαι; ἔγωγε· οὐ τῶν αὐτῶν τούτων ἄρχον-
τα ἐν τῇ αὑτοῦ πόλει; ναί· τί δαὶ ἀρχέλαον τὸν περδίκκου τὸν
νεωστὶ τοῦτον ἄρχοντα ἐν μακεδονίᾳ· οὐ τῶν αὐτῶν ἡγεῖ τού-
των ἄρχειν; ἔγωγε· ἱππίαν δὲ τὸν πεισιστράτου ἐν τῇδε τῇ πό-
λει ἄρξαντα τίνων οἴει ἄρξαι, οὐ τούτων; πῶς γὰρ οὔ; εἴ-
ποις ἂν οὖν μοι, τίνα ἐπωνυμίαν ἔχει βάκις τε καὶ σίβυλλα καὶ ὁ
ἡμεδαπὸς ἀμφίλυτος; τίνα γὰρ ἄλλην ὦ Σώκρατες πλήν γε
χρησμῳδοί; ὀρθῶς λέγεις· ἀλλὰ καὶ τούσδε μοι οὕτω πειρῶ
ἀποκρίνασθαι· τίνα ἐπωνυμίαν ἔχει, ἱππίας καὶ περίανδρος
διὰ τὴν αὐτὴν ἀρχήν; οἶμαι μὲν τύραννοι· τί γὰρ ἄλλο; οὐκοῦν
ὅστις ἐπιθυμεῖ τῶν ἀνθρώπων τῶν ἐν τῇ πόλει ξυμπάντων
ἄρχειν, τῆς αὐτῆς ἀρχῆς τούτοις ἐπιθυμεῖ, τυραννικῆς
καὶ τύραννος εἶναι; φαίνεται· οὐκοῦν ταύτης ἐπιθυμεῖν σὲ
σὺ φῄς; ἔοικεν ἐξ ὧν ἐγὼ εἶπον· ὦ μιαρὲ, τυραννεῖν
ἄρα ἡμῶν ἐπιθυμῶν, πάλαι ἐμέμφου τῷ πατρί, ὅτι σε οὐκ ἔπεμ-
πεν εἴς του διδασκάλου τυραννοδιδασκάλου τινός; καὶ σὺ ὦ δη

μον δοκεῖ· οὐκ ἂν σχοίημεν παραιτεῖσθαι· οὗ ἐπιθυμεῖς οὗτος; καὶ ἐγχωρ-
ὅθι ποθεν αὐτὸν δημιουργὸν ἂν ἐποίησας τῆς σοφίας ἧς
ἐπιθυμεῖς· ἔστι του φθόνος τε αὐτοῖς καὶ οὐκ ἐθέλεις πέμπειν
ἀλλὰ μὴν ὁ ῥᾷστος ἔστι δὴ ἐναντίον ἐμοῦ κατηγορήσου· Κοιρήνου
λεγώμεθα ἐγώ τε καὶ σύ· ἄτιμοι ἂν αὐτὸν πέμψαιμεν καὶ δὴ ἀλλ' ἔτι
τίνος συνουσίᾳ σοφὸς ἂν γένοιτο τύραννος; ΘΕ. μὰ μὰ Δί' ὦ
Σώκρατες· οὐ λέγω ἀμφότερα δὴ τοῦ ὡς δοκεῖ γενοίμην οὐ λῆς δὲ μὴ περὶ
τούτου οὐ φαῦλος. ΣΩ. ἐάσομεν γὰρ δὲ διαπυθώμεθα αὐτοῦ περὶ
τον ἱκανῶς. ΘΕ. πυνθάνομαι δή. ΣΩ. τί οὖν ἂν Εὐριπίδῃ τί προσχρη-
÷ σαίμεθα ὦ Θέαγες· Εὐριπίδης γάρ που φησίν· σοφοὶ τύραν-
÷ νοι τῶν σοφῶν συνουσίᾳ. εἰ οὖν ἔροιτό τις τὸν Εὐριπίδην· ὦ
Εὐριπίδη τῶν τί σοφῶν συνουσίᾳ φῂς σοφοὺς εἶναι τοὺς τυ-
ράννους; ὥσπερ ἂν εἰ εἰπόντα· σοφοὶ γεωργοὶ τῶν σοφῶν συ-
νουσίᾳ· ἠρόμεθα, τῶν τί σοφῶν; τί ἂν ἡμῖν ἀπεκρίνατο· ἆρ' ἂν
ἄλλο τι ἢ τῶν τὰ γεωργικά; ΘΕ. οὐκ ἄλλ' ἢ τοῦτο. ΣΩ. τί δαί, εἰ εἶπε· σο-
φοὶ μάγειροι τῶν σοφῶν συνουσίᾳ· εἰ ἠρόμεθα· τῶν τί σοφῶν;
τί ἂν ἡμῖν ἀπεκρίνατο; οὐχ ὅτι τῶν μαγείρων; ΘΕ. ναί. ΣΩ. τί δ' εἰ σο-
φοὶ παλαισταὶ τῶν σοφῶν συνουσίᾳ εἶπεν· εἰ ἠρόμεθα τῶν τί
σοφῶν· ἆρα οὐκ ἂν τῶν παλαίειν ἔφη; ΘΕ. ναί. ΣΩ. ἐπειδὴ δὲ εἶπε·
› σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ· ἡμῶν ἐρωτώντων· τῶν
τί σοφῶν λέγεις ὦ Εὐριπίδη· τί ἂν φαίη, ποίων ἂν εἶναι ταῦτα;
ΘΕ. ἀλλὰ μὰ Δί' οὐκ οἶδ' ἔγωγε. ΣΩ. ἀλλὰ βούλει ἐγώ σοι εἴπω; ΘΕ. εἰ σὺ βούλει.
ΣΩ. ταῦτ' ἐστὶν ἅπερ ἔφη Ἀνακρέων τὴν Καλλικρίτην ἐπίστασθαι·
ἢ οὐκ οἶσθα τὸ ᾆσμα; ΘΕ. ἔγωγε. ΣΩ. τί οὖν; τοιαύτης τινὸς καὶ
σὺ συνουσίας ἐπιθυμεῖς ἀνδρός, ὅστις τυγχάνει ὁμότε-
χνος ὢν Καλλικρίτῃ τῇ Κυάνης· καὶ ἐπίσταται τυραννικά, ὥσ-
περ ἐκείνην ἔφη ὁ ποιητής, ἵνα καὶ σὺ ἡμῖν τύραννος γένῃ
καὶ τῇ πόλει; ΘΕ. πάλαι ὦ Σώκρατες σκώπτεις καὶ παίζεις
πρός με. ΣΩ. τί δαί; οὐ ταύτης φῂς τῆς σοφίας ἐπιθυμεῖν ᾗ
πάντων ἂν τῶν πολιτῶν ἄρχοις; τοῦτο δὲ ποιῶν, ἄλλο τι ἢ τύραν-
νος ἂν εἴης; ΘΕ. εὐξαίμην μὲν ἂν οἶμαι ἔγωγε τύραννος γενέ-
σθαι· μάλιστα μὲν πάντων ἀνθρώπων· εἰ δὲ μή, ὡς πλείστων· καὶ
σύ γ' ἂν οἶμαι καὶ οἱ ἄλλοι πάντες ἄνθρωποι· ἔτι δέ γε ἴσως μᾶλ-
λον θεὸς γενέσθαι· ἀλλ' οὐ τούτου ἔλεγον ἐπιθυμεῖν. ΣΩ. ἀλλὰ τί

σαι ἄρτι εἰπών τε οὐκ ἐπιθυμεῖς· ὅτι τῶν πολιτῶν ἐφίῃς ἄρχειν· ἐπιθυ-
μεῖν· οὐ βίᾳ γε· οὐδ᾽ ὥσπερ οἱ τύραννοι· ἀλλ᾽ ἑκόντων, ὥσπερ καὶ
οἱ ἄλλοι, οἱ ἐν τῇ πόλει ἐλλόγιμοι ἄνδρες. ἆρά γε λέγεις, ὥσ-
περ θεμιστοκλῆς· καὶ περικλῆς· καὶ κίμων· καὶ ὅσοι τὰ πολιτικὰ
δεινοὶ γεγόνασιν; νὴ δία· τούτους λέγω. τί οὖν εἰ τὰ ἱππικὰ
ἐτύγχανες ἐπιθυμῶν σοφὸς γενέσθαι· παρὰ τίνας ἂν ἀφικόμε-
νος ᾠήθης δεινὸς ἔσεσθαι ἱππεὺς· ἢ παρ᾽ ἄλλους τινάς· ἢ τοὺς
ἱππικούς· μὰ δία οὐκ ἔγωγε· ἀλλὰ παρ᾽ αὐτοὺς αὖ τοὺς δει-
νοὺς ὄντας ταῦτα, καὶ οἷς εἰσίν τε ἵπποι καὶ χρῶνται ἑκάστοτε,
καὶ οἰκείοις καὶ ἀλλοτρίοις πολλοῖς, δῆλον ὅτι· τί δαὶ εἰ τὰ
ἀκοντιστικὰ σοφὸς ἐβούλου γενέσθαι· οὐ παρὰ τοὺς ἀκοντιστι-
κοὺς ᾤου ἂν ἐλθόντα σοφὸς ἔσεσθαι τούτους· οἷς ἔστιν τε ἀκόντια
καὶ πολλοῖς καὶ ἀλλοτρίοις καὶ οἰκείοις ἑκάστοτε χρῶνται ἀ-
κοντίοις· ἔμοιγε δοκεῖ· λέγε δή μοι· ἐπεὶ δὲ δὴ τὰ πολιτι-
κὰ βούλει σοφὸς γενέσθαι· οἴει παρ᾽ ἄλλους τινὰς ἀφικόμενος
σοφὸς ἔσεσθαι· ἢ τοὺς πολιτικοὺς τούτους· τοὺς αὐτούς τε δει-
νοὺς ὄντας τὰ πολιτικὰ καὶ χρωμένους ἑκάστοτε, τῇ τε αὑ-
τῶν πόλει καὶ ἄλλαις πολλαῖς· καὶ ἑλληνίσιν προσομιλοῦντας
πόλεσιν καὶ βαρβάροις· ἢ δοκεῖς ἄλλοις τισὶν συγγενόμενος,
σοφὸς ἔσεσθαι ταῦτα, ἅπερ οὗτοι· ἀλλ᾽ οὐκ αὐτοῖς τούτοις·
ἀκήκοα γὰρ ὦ σώκρατες· οὓς σέ φασιν λέγειν τοὺς λόγους·
ὅτι τούτων τῶν πολιτικῶν ἀνδρῶν οἱ ὑεῖς, οὐδὲν βελτίους εἰ-
σὶν ἢ οἱ τῶν σκυτοτόμων· καί μοι δοκεῖς ἀληθέστατα λέγειν, ἐξ
ὧν ἐγὼ δύναμαι αἰσθέσθαι· ἀνόητος ἂν οὖν εἴην, εἰ οἰοίμην τι-
νὰ τούτων ἐμοὶ μὲν ἂν παραδοῦναι τὴν αὑτοῦ σοφίαν· τὸν δὲ
ὑὸν τὸν αὑτοῦ μηδὲν ἂν ὠφελῆσαι, εἴ τι οἷός τ᾽ ἦν εἰς ταῦτα ὠφελεῖν
ἄλλον ὁντινοῦν ἀνθρώπων· τί οὖν ἂν ὦ βέλτιστε ἀνδρῶν χρῷ-
ο σαυτῷ, εἴ σοι ἐπειδὴ γένοιτο ὑὸς τοιαῦτα πράγματα πα-
ρέχοι· καὶ φαίη μὲν ἂν ἐπιθυμεῖν ἀγαθὸς γενέσθαι ζωγρά-
φος, καὶ μέμφοιτο σοὶ τῷ πατρὶ ὅτι οὐκ ἐθέλεις ἀναλίσκειν
εἰς αὐτὸν τούτων αὐτῶν ἕνεκα ἀργύριον· τοὺς δὲ δημιουρ-
γοὺς αὐτοῦ τούτου τοὺς ζωγράφους ἀτιμάζοι τε καὶ μὴ βού-
λοιτο παρ᾽ αὐτῶν μανθάνειν· ἢ τοὺς αὐλητὰς βουλόμενος
αὐλητὴς γενέσθαι· ἢ τοὺς κιθαριστάς· ἔχοις ἂν αὐτῷ ὅτι χρῷ-

ὅτι καὶ ὅποι ποιῶν ποιοῖς ἄλλος μὴ ἐθέλοντα παρὰ τούτων μανθά-
νειν; ΘΕΑ. μὰ δία οὐκ ἔγωγε. ΣΩ. μῶν οὖν ταὐτὰ ταῦτα αὐτὸς πρὸς τὸν
πατέρα ποιῶν θαυμάζεις· καὶ μέμφεσθαι ἀπορεῖς ὅτι σοι χρή-
σηται· καὶ ὅποι ποιῶν· ἔστι ἀθηναίων γε τῶν καλῶν κἀγα-
θῶν τὰ πολιτικά, ὅτῳ ἂν βούλῃ συστήσομέν σε· οἵ σοι προῖ-
κα συνέσονται· καὶ ἅμα μὲν ἀργύριον οὐκ ἀναλώσεις· ἅμα δὲ πολὺ
μᾶλλον εὐδοκιμήσεις παρὰ τοῖς πολλοῖς ἀνθρώποις, ἢ ἄλλῳ
τῳ συνών. ΘΕΑ. τί οὖν ὦ σώκρατες· οὐ καὶ σὺ τῶν καλῶν κἀγαθῶν
εἶ ἀνδρῶν; εἰ γὰρ σύ μοι ἐθέλοις συνεῖναι, ἐξαρκεῖ καὶ οὐδένα
ἄλλον ζητῶ. ΣΩ. τί τοῦτο λέγεις ὦ θέαγες. ΔΗ. ὦ σώκρατες οὐ μέντοι κακῶς
λέγει· καὶ ἅμα μὲν ἐμοὶ χαριεῖ. ὡς ἐγὼ οὐκ ἔσθ' ὅτι τούτου μεῖζον
ἂν ἕρμαιον ἡγησαίμην· ἢ εἰ οὗτος ἀρέσκοιτο τῇ σῇ συνουσί-
ᾳ καὶ σὺ ἐθέλοις τούτῳ συνεῖναι. καὶ μέντοι καὶ αἰσχύνομαι
λέγειν ὡς σφόδρα βούλομαι. ἀλλ' ἐγὼ ἀμφοτέρων ὑμῶν δέο-
μαι· σέ τ' ἐθέλειν τούτῳ συνεῖναι, καὶ σὲ μὴ ζητεῖν ἄλλῳ μηδενὶ
συγγενέσθαι ἢ σωκράτει. καὶ με πολλῶν καὶ φοβερῶν ἀπαλλά-
ξετε φροντίδων. ὡς νῦν πάνυ φοβοῦμαι ὑπὲρ τούτου μή τινι
ἄλλῳ ἐντύχῃ, οἵῳ τοῦτον διαφθεῖραι. ΘΕΑ. μηκέτι νῦν ὦ πάτερ ὑ-
πέρ γ' ἐμοῦ φοβοῦ· εἴπερ οἷός τ' εἶ πεῖσαι τοῦτον τὴν ἐμὴν συ-
νουσίαν προσδέξασθαι. ΔΗ. πάνυ καλῶς λέγεις. ὦ σώκρατες
πρὸς σὲ δ' ἂν ἤδη εἴη ὁ μετὰ τοῦτο λόγος. ἐγὼ γάρ σοι ἕτοιμός
εἰμι ὡς διὰ βραχέων εἰπεῖν καὶ ἐμὲ καὶ τὰ ἐμὰ ὡς οἷόν τε οἰκειό-
τατα παρέχειν ὅτου ἂν δέῃ· [illegible] ἐάν τε ἀσπάζῃ θεάγη τουτονὶ καὶ
εὐεργετῇς ὅτι ἂν οἷός τε ᾖς. ΣΩ. ὦ δημόδοκε τὸ μὲν ἐσπουδακέναι
σε οὐ θαυμάζω, εἴπερ οἴει ὑπ' ἐμοῦ μάλιστ' ἄν σοι
τοῦτον ὠφεληθῆναι. οὐ γὰρ οἶδα ὑπὲρ ὅτου ἄν τις νοῦν ἔχων
μᾶλλον σπουδάζοι ἢ ὑπὲρ ὑέος αὑτοῦ, ὅπως ὡς βέλτιστος ἔ-
σται. ὁπόθεν δὲ ἔδοξέ σοι τοῦτο, ὡς ἐγὼ ἂν μᾶλλον τὸν σὸν ὑὸν
οἷός τ' εἴην ὠφελῆσαι πρὸς τὸ πολίτην ἀγαθὸν γενέσθαι ἢ σὺ
αὐτός. καὶ ὁπόθεν οὗτος ᾠήθη ἐμὲ μᾶλλον ἢ σὲ αὐτὸν ὠφελή-
σειν, τοῦτο πάνυ θαυμάζω. σὺ γὰρ πρῶτον μὲν πρεσβύτερος
εἶ ἐμοῦ· ἔπειτα πολλὰς ἤδη ἀρχὰς καὶ τὰς μεγίστας ἀθη-
ναίοις ἦρξας· καὶ τιμᾷ ὑπὸ ἀναγυρασίων τε τῶν δημοτῶν
πολὺ μάλιστα, καὶ ὑπὸ τῆς ἄλλης πόλεως οὐδενὸς ἧττον.

ἐμοὶ δὲ τούτων οὐδὲν ἐμπορίαι οὐδ' ἕτερος ὑμῶν. ἔπειτα γ' ἄρα
τις μὲν τῶν πολιτικῶν ἀνδρῶν συνουσίας ἐθέλγηται ὅδε καὶ
τὰ φρονεῖ, ἄλλους δὲ εἰ μὰς ζητεῖ οἳ παιδεύειν ἐπαγγέλλονται οἵ
οἵ τε ἄλλα μὲν νέους ἀνθρώπους. ἔστιν ἐνταῦθα καὶ Πρόδικος ὁ
Κεῖος· καὶ Γοργίας ὁ Λεοντῖνος· καὶ Πῶλος ὁ Ἀκραγαντῖνος·
καὶ ἄλλοι πολλοὶ οἳ, οὕτω σοφοί εἰσιν, ὥστε εἰς τὰς πόλεις ἰόν-
τες, πείθουσι τῶν νέων τοὺς γενναιοτάτους τε καὶ πλουσιω-
τάτους· οἷς ἔξεστιν τῶν πολιτῶν ᾧ ἂν βούλωνται προῖκα συ-
νεῖναι· τούτους πείθουσιν ἀπολείποντας τὰς ἐκείνων συ-
νουσίας, αὐτοῖς συνεῖναι, προσκατατιθέντας ἀργύριον,
πάνυ πολὺ μισθὸν, καὶ χάριν πρὸς τούτοις εἰδέναι. τούτων τι-
νὰς εἰκὸς ἦν προαιρεῖσθαι καὶ τὸν υἱόν σου, καὶ αὐτὸν σέ· ἐ-
μὲ δ' οὐκ εἰκός. οὐδὲν γὰρ τούτων ἐπίσταμαι τῶν μακαρίων τε
καὶ καλῶν μαθημάτων· ἐπεὶ ἐβουλόμην ἄν· ἀλλὰ καὶ λέγω
δήπου ἀεὶ ὅτι ἐγὼ τυγχάνω ὡς ἔπος εἰπεῖν, οὐδὲν ἐπιστά-
μενος· πλήν γε σμικροῦ τινος μαθήματος, τῶν ἐρωτικῶν·
τοῦτο μέντοι τὸ μάθημα παρ' ὁντινοῦν ποιοῦμαι δεινὸς εἶναι·
καὶ τῶν προγεγονότων ἀνθρώπων, καὶ τῶν νῦν. Ὁρᾷς ὦ
πάτερ; ὁ Σωκράτης οὐ πάνυ μοι δοκεῖ τι ἐθέλειν ἐμοὶ συν-
διατρίβειν· ἐπεὶ τό γ' ἐμὸν ἕτοιμον, ἐὰν οὗτος ἐθέλοι· ἀλλὰ ταῦ-
τα παίζων πρὸς ἡμᾶς λέγει. ἐπεὶ ἐγὼ οἶδα τῶν ἐμῶν ἡλι-
κιωτῶν καὶ ὀλίγῳ πρεσβυτέρων, οἳ πρὶν μὲν τούτῳ συνεῖναι,
οὐδενὸς ἄξιοι ἦσαν· ἐπειδὴ δὲ συνεγένοντο τούτῳ, ἐν πά-
νυ ὀλίγῳ χρόνῳ πάντων βελτίους φαίνονται ὧν πρότερον
χείρους. Οἶσθα οὖν, οἷον τοῦτό ἐστιν ὦ παῖ Δημοδόκου; Ναὶ
μὰ Δία ἔγωγε· ὅτι ἐὰν σὺ βούλῃ, καὶ ἐγὼ οἷός τ' ἔσομαι τοιοῦτος
γενέσθαι, οἷοίπερ καὶ ἐκεῖνοι. Οὔκ ὠγαθέ· ἀλλὰ σὲ λέλη-
θεν, οἷον τοῦτ' ἔστιν· ἐγὼ δέ σοι φράσω. ἔστι γάρ τι, θείᾳ μοίρᾳ
παρεπόμενον ἐμοί, ἐκ παιδὸς ἀρξάμενον, δαιμόνιον. ἔστι δὲ
τοῦτο φωνή· ἣ ὅταν γένηται, ἀεί μοι σημαίνει, ὃ ἂν μέλλω πράτ-
τειν, τούτου ἀποτροπήν· προτρέπει δὲ οὐδέποτε. καὶ ἐάν τίς
μοι τῶν φίλων ἀνακοινῶται, καὶ γένηται ἡ φωνή, ταὐτὸν τοῦτο
ἀποτρέπει, καὶ οὐκ ἐᾷ πράττειν. καὶ τούτων ὑμῖν μάρτυρας
παρέξομαι. Χαρμίδην γὰρ τουτονὶ γιγνώσκετε τὸν καλὸν γε-

νόμενον τὸν γλαύκωνος; οὗτός ποτε ἐτύγχανεν ἐμοὶ ἀνακοινούμε-
νος, μέλλων ἀσκήσειν στάδιον εἰς νεμέαν· καὶ εὐθὺς, αὐτοῦ ἀρ-
χομένου λέγειν ὅτι μέλλοι ἀσκεῖν, ἐγένετο ἡ φωνή. καὶ ἐγὼ διε-
κώλυόν τε αὐτὸν καὶ εἶπον· ὅτι λέγοντός σου μεταξὺ γέγονέ μοι
ἡ φωνὴ ἡ τοῦ δαιμονίου· ἀλλὰ μὴ ἄσκει. ἴσως ἔφη σημαίνει σοι
ὅτι οὐ νικήσω· ἐγὼ δὲ κἂν μὴ μέλλω νικᾶν, γυμνασάμενός γε τοῦ-
τον τὸν χρόνον, ὠφεληθήσομαι. ταῦτα εἰπὼν ἤσκει· ἄξιον οὖν
πυθέσθαι αὐτοῦ ἃ αὐτῷ ξυνέβη ἀπὸ ταύτης τῆς ἀσκήσεως.
εἰ δὲ βούλεσθε, τὸν τιμάρχου ἀδελφὸν κλειτόμαχον ἔρεσθε τί εἶ-
πεν αὐτῷ τίμαρχος ἡνίκα ἀποθανούμενος ᾔει εὐθὺ τοῦ δαι-
μονίου, ἐκεῖνός τε καὶ εὔαθλος ὁ σταδιοδρομῶν ὃς τίμαρχον
ὑπεδέξατο φεύγοντα· ἐρεῖ γὰρ ὑμῖν ὅτι εἶπεν αὐτῷ ταῦτα. τί;
ὦ κλειτόμαχε ἔφη, ἐγὼ μέντοι ἔρχομαι ἀποθανούμενος νυνὶ, δι-
ότι σωκράτει οὐκ ἤθελον πείθεσθαι. τί δὴ οὖν ποτε τοῦτο εἶπεν
ὁ τίμαρχος; ἐγὼ φράσω· ὅτε ἀνίστατο ἐκ τοῦ συμποσίου ὁ τί-
μαρχος, καὶ φιλήμων ὁ φιλημονίδου ἀποκτενοῦντες νικίαν τὸν
ἡροσκαμάνδρου· ἠπιστάσθην μὲν αὐτὼ μόνω τὴν ἐπιβουλήν·
ὁ δὲ τίμαρχος ἀνιστάμενος πρὸς ἐμὲ εἶπεν· τί λέγεις ἔφη
ὦ σώκρατες; ὑμεῖς μὲν πίνετε· ἐμὲ δὲ δεῖ ποι ἐξαναστῆναι· ἥ-
ξω δὲ ὀλίγον ὕστερον ἐὰν τύχω. καί μοι ἐγένετο ἡ φωνή· καὶ εἶ-
πον πρὸς αὐτόν· μηδαμῶς ἔφην ἀναστῇς· γέγονε γάρ μοι τὸ
εἰωθὸς σημεῖον τὸ δαιμόνιον. καὶ ὃς ἐπέσχε. καὶ διαλιπὼν
χρόνον αὖθις ὡρμᾶτο ἰέναι καὶ ἔφη· εἶμι δὴ σώκρατες. αὖθις
ἐγένετο ἡ φωνή· αὖθις οὖν αὐτὸν ἠνάγκασα ἐπισχεῖν. τὸ τρί-
τον βουλόμενός με λαθεῖν, ἀνέστη οὐκέτι εἰπών μοι οὐδὲν ἀλλὰ
λαθὼν ἐπιτηρήσας ἄλλοσε τὸν νοῦν ἔχοντα· καὶ οὕτως ᾤ-
χετο ἀπιὼν καὶ διεπράξατο ἐξ ὧν ᾔει ἀποθανούμενος. ὅθεν
δὴ τοῦτο εἶπε πρὸς τὸν ἀδελφὸν ὅπερ νῦν ὑμῖν ἐγὼ, ὅτι ἴοι ἀ-
ποθανούμενος, διὰ τὸ ἐμοὶ ἀπιστῆσαι. ἔτι τοίνυν περὶ τῶν ἐν
σικελίαι πολλῶν ἀκούσεσθον ἃ ἐγὼ ἔλεγον περὶ τῆς διαφθο-
ρᾶς τοῦ στρατοπέδου. καὶ τὰ μὲν παρεληλυθότα, τῶν εἰδότων
ἔστιν ἀκοῦσαι· πεῖραν δ' ἔξεστι νυνὶ λαβεῖν τοῦ σημείου εἰ ἄρα
τι λέγει. ἐπὶ γὰρ τῇ ἐπὶ στρατηγίαν ἐξορμῇ σαννίωνος τοῦ
καλοῦ ἐγένετό μοι τὸ σημεῖον· οἴχεται δὲ νῦν μετὰ θρασύλλου στρα-

τος ὁ ἐμός· ἐνθένδε ἐπ' Ἔφεσον καὶ Ἰωνίαν· ἐγὼ δὲ οἴομαι ἐκεῖνον
ἢ ἀποθανεῖσθαι ἢ ὁμοῦ τι τούτῳ γενήσεσθαι· καὶ περί γε τῆς στρατι-
ᾶς τῆς ἄλλης πάνυ φοβοῦμαι· ταῦτα δὴ πάντα εἴρηκα ὅτι
ἡ δύναμις αὕτη τοῦ δαιμονίου τούτου καὶ εἰς τὰς συνουσίας τῶν
μετ' ἐμοῦ συνδιατριβόντων τὸ ἅπαν δύναται· πολλοῖς μὲν γὰρ
ἐναντιοῦται, καὶ οὐκ ἔστι τούτοις ὠφεληθῆναι μετ' ἐμοῦ διατρί-
βουσιν· ὥστε οὐχ οἷόν τέ μοι τούτοις συνδιατρίβειν· πολλοῖς
δὲ συνεῖναι μὲν οὐ διακωλύει, ὠφελοῦνται δὲ οὐδὲν συνόντες·
οἷς δ' ἂν συλλάβηται τῆς συνουσίας ἡ τοῦ δαιμονίου δύναμις,
οὗτοί εἰσιν ὧν καὶ σὺ ᾔσθησαι· ταχὺ γὰρ παραχρῆμα ἐπιδι-
δόασιν· καὶ τούτων αὖ τῶν ἐπιδιδόντων, οἱ μὲν καὶ βέβαιον ἔχου-
σι καὶ παραμόνιμον τὴν ὠφελίαν· πολλοὶ δέ, ὅσον ἂν μετ' ἐμοῦ
χρόνον ὦσιν, θαυμάσιον ἐπιδιδόασιν· ἐπειδὰν δέ μου ἀπό-
σχωνται, πάλιν οὐδὲν διαφέρουσιν ὁτουοῦν· τοῦτό ποτε ἔ-
παθεν Ἀριστείδης ὁ Λυσιμάχου υἱὸς τοῦ Ἀριστείδου· διατρίβων
γὰρ μετ' ἐμοῦ πάμπολυ ἐπεδεδώκει ἐν ὀλίγῳ χρόνῳ· ἔπειτα
αὐτῷ στρατεία τις ἐγένετο καὶ ᾤχετο ἐκπλέων· ἥκων δὲ κα-
τέλαβε μετ' ἐμοῦ διατρίβοντα Θουκυδίδην τὸν Μελησίου υἱ-
ὸν τοῦ Θουκυδίδου· ὁ δὲ Θουκυδίδης τῇ προτεραίᾳ μοι διὰ
λόγων ἔν τισιν ἀπηχθημένος ἦν· ἰδὼν οὖν με ὁ Ἀριστείδης,
ἐπειδὴ ἠσπάσατό τε καὶ τἆλλα διελέχθη· Θουκυδίδην δέ, ἔ-
φη, ἀκούω, ὦ Σώκρατες, σεμνύνεσθαι ἄττα πρὸς σὲ καὶ χαλεπαί-
νειν ὥς τι ὄντα· ἔστι γάρ, ἔφην ἐγώ, οὕτως· τί δέ; οὐκ οἶδεν, ἔφη,
πρὶν σοὶ συγγενέσθαι οἷον ἦν τὸ ἀνδράποδον; οὐκ ἔοικέν γε,
ἔφην ἐγώ, μὰ τοὺς θεούς· ἀτὰρ καὶ αὐτός τοι, ἔφη, καταγέ-
λαστος ἔχω, ὦ Σώκρατες· τί μάλιστα; ἔφην ἐγώ· ὅτι, ἔφη,
πρὶν μὲν ἐκπλεῖν ὁτῳοῦν ἀνθρώπων οἷός τ' ἦν διαλέγεσθαι καὶ
μηδενὸς χείρων φαίνεσθαι ἐν τοῖς λόγοις, ὥστε καὶ ἐδίωκον
τὰς συνουσίας τῶν χαριεστάτων ἀνθρώπων· νυνὶ δὲ τοὐναντί-
ον φεύγω, ἄν τινα καὶ αἰσθάνωμαι πεπαιδευμένον· οὕτως αἰσχύ-
νομαι ἐπὶ τῇ ἐμαυτοῦ φαυλότητι· πότερον δέ, ἦν δ' ἐγώ, ἐξαί-
φνης σε προύλιπεν αὕτη ἡ δύναμις ἢ κατὰ σμικρόν; κατὰ
σμικρόν, ἦ δ' ὅς· ἡνίκα δέ σοι παρεγένετο, ἦν δ' ἐγώ, πότερον
μαθόντι παρ' ἐμοῦ τι παρεγένετο ἤ τινι ἄλλῳ τρόπῳ; ἐγώ σοι

ἐρῶ ἔφη ὦ σώκρατες· ἄπιστον μὲν νὴ τοὺς θεούς· ἀληθὲς δέ·
ἐγὼ γὰρ ἔμαθον μὲν παρὰ σοῦ οὐδὲν πώποτε ὡς αὐτὸς οἶ-
σθα· ἐπεδίδουν δὲ ὁπότε σοι συνείην κἂν εἰ ἐν τῇ αὐτῇ μόνον
οἰκίᾳ εἴην μὴ ἐν τῷ αὐτῷ δὲ οἰκήματι· μᾶλλον δὲ ὁπότε ἐν τῷ
αὐτῷ δὲ οἰκήματι· καὶ ἔμοιγε ἐδόκουν πολὺ μᾶλλον ὁπότε
ἐν τῷ αὐτῷ οἰκήματι ὢν λέγοντός σου βλέποιμι πρὸς σὲ μᾶλ-
λον ἢ ὁπότε ἄλλοσε ὁρῴην· πολὺ δὲ μάλιστα καὶ πλεῖστον ἐπε-
δίδουν ὁπότε παρ' αὐτόν σε καθοίμην ἐχόμενός σου καὶ ἁπτό-
μενος· νῦν δὲ ἦ δ' ὅς πᾶσα ἐκείνη ἡ ἕξις ἐξερρύηκε· ἔστιν
οὖν ὦ θέαγες· τοιαύτη ἡ ἡμετέρα συνουσία· ἐὰν μὲν τῷ θεῷ
φίλον ᾖ πάνυ πολὺ ἐπιδώσεις καὶ ταχύ· εἰ δὲ μή, οὔ· ὅρα οὖν
μή σοι ἀσφαλέστερον ᾖ παρ' ἐκείνων τινὶ παιδεύεσθαι οἳ ἐγκρα-
τεῖς αὐτοί εἰσιν τῆς ὠφελίας ἣν ὠφελοῦσιν τοὺς ἀνθρώ-
πους· μᾶλλον ἢ παρ' ἐμοῦ ὅτι ἂν τύχῃ τοῦτο πρᾶξαι· (θεα) ἐμοὶ μὲν
τοίνυν δοκεῖ ὦ σώκρατες ἡμᾶς οὑτωσὶ ποιῆσαι· ἀποπειραθῆ-
ναι τοῦ δαιμονίου τούτου συνόντας ἀλλήλοις· καὶ ἐὰν μὲν παρεί-
κῃ ἡμῖν ταῦτα βέλτιστα· εἰ δὲ μή τότε ἤδη παραχρῆμα βου-
λευσόμεθα ὅτι δράσομεν· εἴτε ἄλλῳ συνεσόμεθα· εἴτε καὶ αὐ-
τὸ τὸ θεῖον τὸ σοὶ γιγνόμενον πειρασόμεθα παραμυθεῖσθαι·
εὐχαῖσί τε καὶ θυσίαις· καὶ ἄλλῳ ὅτῳ ἂν οἱ μάντεις ἐξηγῶνται·
(δη) μηκέτι πρὸς ταῦτα ἀντείπῃς ὦ σώκρατες τῷ μειρακίῳ· εὖ γὰρ
λέγει θεάγης· (σω) ἀλλ' εἰ δοκεῖ χρῆναι οὕτω ποιεῖν οὕτω ποιῶμεν:~

θεάγης ἢ περὶ σωφροσύνης:-

※ χαρμίδης ※ ἢ ※ περὶ σωφροσύνης ※ πειραστικός

(ιη) Ἥκομεν τῇ προτεραίᾳ ἑσπέρας ἐκ ποτιδαίας ἀπὸ τοῦ στρατο-
πέδου· οἷον δὲ διὰ χρόνου ἀφιγμένος ἁσμένως ᾖα ἐπὶ τὰς
συνήθεις διατριβάς· καὶ δὴ καὶ εἰς τὴν ταυρέου παλαίστραν τὴν
καταντικρὺ τοῦ τῆς βασίλης ἱεροῦ εἰσῆλθον· καὶ αὐτόθι κατέ-
λαβον πάνυ πολλούς· τοὺς μὲν καὶ ἀγνῶτας ἐμοί· τοὺς δὲ
πλείστους γνωρίμους· καί με ὡς εἶδον εἰσιόντα ἐξ ἀπροσδο-

ποτίδαια πόλις θρᾴκης ἐν μακεδονίᾳ· κτίσμα κορινθίων:~

καί τι τοῦ ἔνδον πόρρωθεν ἠσπάζοντο ἄλλος ἄλλοθεν· χαιρεφῶν
δὲ ἅτε καὶ μανικὸς ὢν ἀναπηδήσας ἐκ μέσων ἔθει πρός με
καί μου λαβόμενος τῆς χειρὸς· ὦ σώκρατες ἦ δ' ὅς· πῶς
ἐσώθης ἐκ τῆς μάχης· ὀλίγον δὲ πρὶν ἡμᾶς ἀπιέναι μά
χη ἐγεγόνει ἐν τῇ ποτιδαίᾳ, ἣν ἄρτι ἦσαν οἱ τῇδε πεπυ
σμένοι· καὶ ἐγὼ πρὸς αὐτὸν ἀποκρινόμενος οὑτωσὶ ἔφην
ὡς σὺ ὁρᾷς· καὶ μὴν ἤγγελταί γε δεῦρο ἔφη ἥ τε μάχη πά
νυ ἰσχυρὰ γεγονέναι καὶ ἐν αὐτῇ πολλοὺς τῶν γνωρίμων
τεθνάναι· καὶ ἐπιεικῶς ἦν δ' ἐγὼ ἀληθῆ ἀπήγγελται· πα
ρεγένου μὲν ἦ δ' ὅς τῇ μάχῃ· παρεγενόμην· δεῦρο δὴ ἔ
φη καθεζόμενος ἡμῖν διήγησαι· οὐ γάρ τοι πω πάντα σα
φῶς πεπύσμεθα· καὶ ἅμα με καθίζει ἄγων παρὰ κριτίαν
τὸν καλλαίσχρου· παρακαθεζόμενος οὖν ἠσπαζόμην τόν τε
κριτίαν καὶ τοὺς ἄλλους· καὶ διηγούμην αὐτοῖς τὰ ἀπὸ στρα
τοπέδου ὅτι μέ τις ἀνέροιτο· ἠρώτων δὲ ἄλλος ἄλλο· ἐπει
δὴ δὲ τῶν τοιούτων ἅδην εἴχομεν· αὖθις ἐγὼ αὐτοὺς ἀνη
ρώτων τὰ τῇδε περὶ φιλοσοφίας ὅπως ἔχοι τὰ νῦν περί τε
τῶν νέων εἴ τινες ἐν αὐτοῖς διαφέροντες ἢ σοφίᾳ ἢ κάλλει
ἢ ἀμφοτέροις ἐγγεγονότες εἶεν· καὶ ὁ κριτίας ἀποβλέψας
πρὸς τὴν θύραν, ἰδών τινας νεανίσκους εἰσιόντας καὶ λοιδο
ρουμένους ἀλλήλοις καὶ ἄλλον ὄχλον ὄπισθεν ἑπόμενον·
περὶ μὲν τῶν καλῶν ἔφη ὦ σώκρατες αὐτίκα μοι δοκεῖς εἴ
σεσθαι· οὗτοι γὰρ τυγχάνουσιν οἱ εἰσιόντες πρόδρομοί τε
καὶ ἐρασταὶ ὄντες τοῦ δοκοῦντος καλλίστου εἶναι τά γε δὴ νῦν·
φαίνεται δέ μοι καὶ αὐτὸς ἐγγὺς ἤδη που εἶναι προσιών·
ἔστιν δὲ ἦν δ' ἐγὼ τίς τε καὶ τοῦ· οἶσθά που σύ γε ἔφη ἀλλ' οὔπω
ἐν ἡλικίᾳ ἦν πρίν σε ἀπιέναι χαρμίδην τὸν τοῦ γλαύκωνος
τοῦ ἡμετέρου θείου υἱόν· ἐμὸν δὲ ἀνεψιόν· οἶδα μέντοι νὴ
δία ἦν δ' ἐγώ· οὐ γάρ τι φαῦλος οὐδὲ τότε ἦν ἔτι παῖς ὤν· νῦν
δ' οἶμαί που εὖ μάλα ἂν ἤδη μειράκιον εἴη· αὐτίκα ἔφη εἴ
σει καὶ ἡλίκος καὶ οἷος γέγονεν· καὶ ἅμα ταῦτ' αὐτοῦ λέγον
τος ὁ χαρμίδης ἔρχεται· ἐμοὶ μὲν οὖν ὦ ἑταῖρε οὐδὲν στα
θμητόν· ἀτεχνῶς γὰρ λευκὴ στάθμη εἰμὶ πρὸς τοὺς καλούς·
σχεδὸν γάρ τί μοι πάντες οἱ ἐν τῇ ἡλικίᾳ καλοὶ φαίνονται·

ἀτὰρ οὖν δὴ καὶ τότε ἐκεῖνος ἐμοὶ θαυμαστὸς ἐφάνη τό τε μέ-
γεθος καὶ τὸ κάλλος· οἱ δὲ δὴ ἄλλοι πάντες ἐρᾶν ἔμοιγε ἐδόκουν
αὐτοῦ· οὕτως ἐκπεπληγμένοι τε καὶ τεθορυβημένοι ἦσαν ἡνί-
κ' εἰσῄει· πολλοὶ δὲ δὴ ἄλλοι ἐρασταὶ καὶ ἐν τοῖς ὄπισθεν εἵ-
ποντο· καὶ τὸ μὲν ἡμέτερον τὸ τῶν ἀνδρῶν ἧττον θαυμαστὸν ἦν·
ἀλλ' ἐγὼ καὶ τοῖς παισὶ προσέσχον τὸν νοῦν, ὡς οὐδεὶς ἄλλοσ'
ἔβλεπεν αὐτῶν, οὐδ' ὅστις σμικρότατος ἦν· ἀλλὰ πάντες ὥσ-
περ ἄγαλμα ἐθεῶντο αὐτόν· καὶ ὁ χαιρεφῶν καλέσας με·
τί σοι φαίνεται ὁ νεανίσκος ἔφη ὦ σώκρατες· οὐκ εὐπρόσω-
πος; ὑπερφυῶς ἦν δ' ἐγώ· οὗτος μέντοι ἔφη εἰ ἐθέλοι ἀποδῦ-
ναι, δόξει σοι ἀπρόσωπος εἶναι· οὕτως τὸ εἶδος πάγ-
καλός ἐστιν· συνέφασαν οὖν καὶ οἱ ἄλλοι ταὐτὰ ταῦτα τῷ χαι-
ρεφῶντι· κἀγὼ ἡράκλεις ἔφην ὡς ἄμαχον λέγετε τὸν ἄνδρα
εἰ ἔτι αὐτῷ ἓν δὴ μόνον τυγχάνει προσὸν σμικρόν τι· τί ἔφη ὁ κρι-
τίας· εἰ τὴν ψυχὴν ἦν δ' ἐγὼ τυγχάνει εὖ πεφυκώς· πρέπει
δέ που ὦ κριτία τοιοῦτον αὐτὸν εἶναι τῆς γε ὑμετέρας ὄντα οἰ-
κίας· ἀλλ' ἔφη πάνυ καλὸς καὶ ἀγαθός ἐστιν καὶ ταῦτα· τί οὖν
ἔφην οὐκ ἀπεδύσαμεν αὐτοῦ αὐτὸ τοῦτο καὶ ἐθεασάμεθα
πρότερον τοῦ εἴδους· πάντως γάρ που τηλικοῦτος ὢν ἤ-
δη ἐθέλει διαλέγεσθαι· καὶ πάνυ γε ἔφη ὁ κριτίας· ἐπεί τοι
καὶ ἔστιν φιλόσοφός τε καὶ ὡς δοκεῖ ἄλλοις τε καὶ ἑαυτῷ πάνυ
ποιητικός· τοῦτο μὲν ἦν δ' ἐγὼ ὦ φίλε κριτία πόρρω-
θεν ὑμῖν τὸ καλὸν ὑπάρχει ἀπὸ τῆς σόλωνος συγγενείας·
ἀλλὰ τί οὐκ ἐπέδειξάς μοι τὸν νεανίαν καλέσας δεῦρο· οὐδὲ
γὰρ ἄν που εἰ ἔτι ἐτύγχανε νεώτερος ὤν, αἰσχρὸν ἂν ἦν αὐτῷ
διαλέγεσθαι ἡμῖν ἐναντίον γε σοῦ ἐπιτρόπου τε ἅμα καὶ ἀνε-
ψιοῦ ὄντος· ἀλλὰ καλῶς ἔφη λέγεις· καὶ καλοῦμεν αὐτόν·
καὶ ἅμα πρὸς τὸν ἀκόλουθον· παῖ ἔφη κάλει χαρμίδην εἰ-
πὼν ὅτι βούλομαι αὐτὸν ἰατρῷ συστῆσαι περὶ τῆς ἀσθε-
νείας ἧς πρῴην πρός με ἔλεγεν ὅτι ἀσθενοῖ· πρὸς
οὖν ἐμὲ ὁ κριτίας· ἔναγχός τοι ἔφη βαρύνεσθαί τι τὴν κεφαλὴν
ἕωθεν ἀνιστάμενος· ἀλλὰ τί σε κωλύει προσποιήσασθαι
πρὸς αὐτὸν ἐπίστασθαί τι κεφαλῆς φάρμακον· οὐδὲν ἦν
δ' ἐγὼ μόνον ἐλθέτω· ἀλλ' ἥξει ἔφη· ὃ οὖν καὶ ἐγένετο· ἧκε

γάρ. καὶ ἐποίησε γέλωτα πολύν. ἕκαστος γὰρ ἡμῶν τῶν καθη-
μένων συγχωρῶν τὸν πλησίον ἐώθει σπουδῇ, ἵνα παρ' αὑτῷ κα-
θέζοιτο· ἕως τῶν ἐπ' ἐσχάτῳ καθημένων τὸν μὲν ἀνεστήσαμεν·
τὸν δὲ πλάγιον κατεβάλομεν. ὁ δ' ἐλθὼν μεταξὺ ἐμοῦ τε καὶ τοῦ Κρι-
τίου ἐκαθέζετο· ἐνταῦθα μέντοι ὦ φίλε ἐγὼ ἤδη ἠπόρουν·
καί μου ἡ πρόσθεν θρασύτης ἐξεκέκοπτο, ἣν εἶχον ἐγὼ ὡς
πάνυ ῥᾳδίως αὐτῷ διαλεξόμενος· ἐπειδὴ δὲ φράσαντος
τοῦ Κριτίου ὅτι ἐγὼ εἴην ὁ τὸ φάρμακον ἐπιστάμενος· ἐνέ-
βλεψέν τέ μοι τοῖς ὀφθαλμοῖς ἀμήχανόν τι οἷον καὶ ἀνήγετο ὡς
ἐρωτήσων· καὶ οἱ ἐν τῇ παλαίστρᾳ ἅπαντες περιέρρεον ἡμᾶς
κύκλῳ κομιδῇ· τότε δὴ ὦ γεννάδα εἶδόν τε τὰ ἐντὸς τοῦ ἱ-
ματίου καὶ ἐφλεγόμην καὶ οὐκέτ' ἐν ἐμαυτοῦ ἦν· καὶ ἐνόμισα
σοφώτατον εἶναι τὸν Κυδίαν τὰ ἐρωτικά· ὃς εἶπεν ἐπὶ καλοῦ
λέγων παιδός, ἄλλῳ ὑποτιθέμενος· εὐλαβεῖσθαι μὴ κατέναν-
τα λέοντος νεβρὸν ἐλθόντα μοῖραν αἱρεῖ-
σθαι κρεῶν· αὐτὸς γάρ μοι ἐδόκουν ὑπὸ τοῦ τοιούτου θρέμ-
ματος ἑαλωκέναι· ὅμως δὲ αὐτοῦ ἐρωτήσαντος εἰ ἐπισταί-
μην τὸ τῆς κεφαλῆς φάρμακον, μόγις πως ἀπεκρινάμην
ὅτι ἐπισταίμην· τί οὖν ἦ δ' ὃς ἐστίν; καὶ ἐγὼ εἶπον ὅτι αὐτὸ μὲν
εἴη φύλλον τι· ἐπῳδὴ δέ τις ἐπὶ τῷ φαρμάκῳ εἴη, ἣν εἰ μέν τις
ἐπᾴδοι ἅμα καὶ χρῷτο αὐτῷ, παντάπασιν ὑγιᾶ ποιοῖ τὸ
φάρμακον· ἄνευ δὲ τῆς ἐπῳδῆς, οὐδὲν ὄφελος εἴη τοῦ φύλ-
λου· καὶ ὅς, ἀπογράψομαι τοίνυν ἔφη παρὰ σοῦ τὴν ἐπῳ-
δήν· πότερον ἦν δ' ἐγώ, ἐάν με πείθῃς ἢ κἂν μή; γελάσας
οὖν, ἐάν σε πείθω ἔφη ὦ Σώκρατες· εἶεν ἦν δ' ἐγώ· καὶ τοὔνομα
μου σὺ ἀκριβοῖς; εἰ μὴ ἀδικῶ γε ἔφη· οὐ γάρ τι σοῦ ὀλίγος
λόγος ἐστὶν ἐν τοῖς ἡμετέροις ἡλικιώταις· μέμνημαι δὲ ἔγω-
γε καὶ παῖς ὢν Κριτίᾳ τῷδε ξυνόντα σε· καλῶς γε σὺ ἦν
δ' ἐγὼ ποιῶν· μᾶλλον γάρ σοι παρρησιάσομαι περὶ τῆς ἐπῳδῆς
οἵα τυγχάνει οὖσα· ἄρτι δ' ἠπόρουν τίνι τρόπῳ σοι ἐνδεί-
ξαίμην τὴν δύναμιν αὐτῆς· ἔστι γάρ ὦ Χαρμίδη τοιαύτη οἵα
μὴ δύνασθαι τὴν κεφαλὴν μόνον ὑγιᾶ ποιεῖν· ἀλλ' ὥσπερ ἴσως
ἤδη καὶ σὺ ἀκήκοας τῶν ἀγαθῶν ἰατρῶν, ἐπειδάν τις αὐ-
τοῖς προσέλθῃ τοὺς ὀφθαλμοὺς ἀλγῶν, λέγουσί που ὅτι

οὐχ οἷόν τε αὐτοὺς μόνους ἐπιχειρεῖν τοὺς ὀφθαλμοὺς ἰᾶσθαι
ἀλλ' ἀναγκαῖον εἴη ἅμα καὶ τὴν κεφαλὴν θεραπεύειν εἰ μέλλοι
καὶ τὰ τῶν ὀμμάτων εὖ ἔχειν· καὶ αὖ τὸ τὴν κεφαλὴν οἴεσθαι ἄν
ποτε θεραπεῦσαι αὐτὴν ἐφ' ἑαυτῆς ἄνευ ὅλου τοῦ σώμα
τος, πολλὴν ἄνοιαν εἶναι· ἐκ δὴ τούτου τοῦ λόγου διαίταις
ἐπὶ πᾶν τὸ σῶμα τρεπόμενοι μετὰ τοῦ ὅλου τὸ μέρος ἐπιχει
ροῦσιν θεραπεύειν τε καὶ ἰᾶσθαι· ἢ οὐκ ᾔσθησαι ὅτι ταῦτα
οὕτως λέγουσίν τε καὶ ἔχει: πάνυ γε ἔφη: οὐκοῦν καλῶς
σοι δοκεῖ λέγεσθαι καὶ ἀποδέχῃ τὸν λόγον; πάντων μάλιστα
ἔφη: κἀγὼ ἀκούσας αὐτοῦ ἐπαινέσαντος ἀνεθάρρησά τε καὶ
μοι κατὰ σμικρὸν πάλιν ἡ θρασύτης συνηγείρετο καὶ ἀνεζω
πυρούμην· καὶ εἶπον· τοιοῦτον τοίνυν ἐστὶν ὦ χαρμίδη καὶ τὸ
ταύτης τῆς ἐπῳδῆς· ἔμαθον δ' αὐτὴν ἐγὼ ἐκεῖ ἐπὶ στρατι
ᾶς, παρά τινος τῶν θρᾳκῶν τῶν ζαμόξιδος ἰατρῶν οἳ
λέγονται καὶ ἀπαθανατίζειν· ἔλεγεν δὲ ὁ θρᾲξ οὗτος ὅ
τι ταῦτα μὲν ἰατροὶ οἱ ἕλληνες· ἃ νῦν δὴ ἐγὼ ἔλεγον καλῶς
λέγοιεν· ἀλλὰ ζάμοξις ἔφη λέγει ὁ ἡμέτερος βασιλεὺς
θεὸς ὤν· ὅτι ὥσπερ ὀφθαλμοὺς ἄνευ κεφαλῆς οὐ δεῖ ἐπι
χειρεῖν ἰᾶσθαι οὐδὲ κεφαλὴν ἄνευ σώματος· οὕτως οὐδὲ
σῶμα ἄνευ ψυχῆς· ἀλλὰ τοῦτο καὶ αἴτιον εἴη τοῦ διαφεύγειν
τοὺς παρὰ τοῖς ἕλλησιν ἰατροὺς τὰ πολλὰ νοσήματα·
ὅτι τὸ ὅλον ἀγνοοῖεν, οὗ δέοι τὴν ἐπιμέλειαν ποιεῖσθαι· οὗ
μὴ καλῶς ἔχοντος ἀδύνατον εἴη τὸ μέρος εὖ ἔχειν· πάντα
γὰρ ἔφη ἐκ τῆς ψυχῆς ὡρμῆσθαι καὶ τὰ κακὰ καὶ τὰ ἀγα
θὰ τῷ σώματι καὶ παντὶ τῷ ἀνθρώπῳ· καὶ ἐκεῖθεν ἐπιρρεῖν,
ὥσπερ ἐκ τῆς κεφαλῆς ἐπὶ τὰ ὄμματα· δεῖν οὖν ἐκεῖνο καὶ
πρῶτον καὶ μάλιστα θεραπεύειν εἰ μέλλει καὶ τὰ τῆς κεφαλῆς
καὶ τὰ τοῦ ἄλλου σώματος καλῶς ἔχειν· θεραπεύεσθαι δὲ
τὴν ψυχὴν ἔφη ὦ μακάριε ἐπῳδαῖς τισιν· τὰς δ' ἐπῳδὰς
ταύτας τοὺς λόγους εἶναι τοὺς καλούς· ἐκ δὲ τῶν τοιού
των λόγων ἐν ταῖς ψυχαῖς σωφροσύνην ἐγγίγνεσθαι· ἧς
ἐγγενομένης καὶ παρούσης, ῥᾴδιον ἤδη εἶναι τὴν ὑγί
ειαν καὶ τῇ κεφαλῇ καὶ τῷ ἄλλῳ σώματι πορίζειν· διδά
σκων οὖν με τό τε φάρμακον καὶ τὰς ἐπῳδάς· ὅπως ἔφη

τῷ φαρμάκῳ τούτῳ μηδείς σε πείσῃ τὴν αὑτοῦ κεφαλὴν θε-
ραπεύειν, ὃς ἂν μὴ τὴν ψυχὴν πρῶτον παράσχῃ τῇ ἐπῳ-
δῇ ὑπὸ σοῦ θεραπευθῆναι. καὶ γὰρ νῦν ἔφη τοῦτ' ἔστιν τὸ
ἁμάρτημα περὶ τοὺς ἀνθρώπους· ὅτι χωρὶς ἑκατέρου
σωφροσύνης τε καὶ ὑγιείας ἰατροί τινες ἐπιχειροῦσιν εἶ-
ναι. καί μοι πάνυ σφόδρα ἐνετέλλετο μήτε πλούσιον οὕτω
μηδένα εἶναι μήτε γενναῖον μήτε καλόν, ὃς ἐμὲ πείσει ἄλ-
λως ποιεῖν. ἐγὼ οὖν ὀμώμοκα γὰρ αὐτῷ καί μοι ἀνάγκη πείθε-
σθαι, πείσομαι οὖν. καὶ σοὶ ἐὰν μὲν βούλῃ κατὰ τὰς τοῦ ξέ-
νου ἐντολὰς τὴν ψυχὴν πρῶτον παρασχεῖν ἐπᾷσαι ταῖς
τοῦ θρᾳκὸς ἐπῳδαῖς, προσοίσω τὸ φάρμακον τῇ κε-
φαλῇ· εἰ δὲ μή, οὐκ ἂν ἔχοιμεν ὅτι ποιοῖμέν σοι ὦ φίλε χαρ-
μίδη: ἀκούσας οὖν μου ὁ κριτίας ταῦτ' εἰπόντος· ἕρμαιον
ἔφη ὦ σώκρατες γεγονὸς ἂν εἴη ἡ τῆς κεφαλῆς ἀσθένεια
τῷ νεανίσκῳ, εἰ ἀναγκασθήσεται καὶ τὴν διάνοιαν διὰ τὴν
κεφαλὴν βελτίων γενέσθαι. λέγω μέντοι σοι ὅτι χαρμίδης
τῶν ἡλικιωτῶν οὐ μόνον τῇ ἰδέᾳ δοκεῖ διαφέρειν, ἀλλὰ
καὶ αὐτῷ τούτῳ οὗ σὺ φῂς τὴν ἐπῳδὴν ἔχειν· φῂς δὲ
σωφροσύνης ἦ γάρ; πάνυ γε ἦν δ' ἐγώ· εὖ τοίνυν ἴσθι ἔ-
φη ὅτι πολὺ δοκεῖ σωφρονέστατος εἶναι τῶν νυνὶ καὶ
τἆλλα πάντα εἰς ὅσον ἡλικίας ἥκει οὐδενὸς χείρων ὤν·
καὶ γὰρ ἦν δ' ἐγὼ καὶ δίκαιον ὦ χαρμίδη διαφέρειν σε τῶν ἄλλων
πᾶσιν τοῖς τοιούτοις· οὐ γὰρ οἶμαι ἄλλον οὐδένα τῶν ἐνθάδε
ῥᾳδίως ἂν ἔχειν ἐπιδεῖξαι ποῖαι δύο οἰκίαι καὶ συνελθοῦ-
σαι εἰς ταὐτὸν τῶν ἀθήνησιν ἐκ τῶν εἰκότων καλλίω ἂν καὶ
ἀμείνω γεννήσειαν ἢ ἐξ ὧν σὺ γέγονας· ἥ τε γὰρ πατρῴα
ὑμῖν οὖσα ἡ κριτίου τοῦ δρωπίδου καὶ ὑπὸ ἀνακρέοντος
καὶ ὑπὸ σόλωνος καὶ ὑπ' ἄλλων πολλῶν ποιητῶν ἐγκεκω-
μιασμένη παραδέδοται ἡμῖν ὡς διαφέρουσα κάλλει τε καὶ
ἀρετῇ καὶ τῇ ἄλλῃ λεγομένῃ εὐδαιμονίᾳ καὶ αὖ ἡ πρὸς μη-
τρὸς ὡσαύτως· πυριλάμπους γὰρ τοῦ σοῦ θείου οὐδεὶς
τῶν ἐν τῇ ἠπείρῳ λέγεται καλλίων καὶ μείζων ἀνὴρ δόξαι εἶ-
ναι, ὁσάκις ἐκεῖνος ἢ παρὰ μέγαν βασιλέα ἢ παρ' ἄλ-
λον τινὰ τῶν ἐν τῇ ἠπείρῳ πρεσβεύων ἀφίκετο· σύμπασα

δὲ αὐτῇ ἡ οἰκία οὐδὲν τῆς ἑτέρας ὑποδεεστέρα· εἰκὸς τοι
οὕτω γεγονότα εἰκός σε ἀπάντων πρῶτον εἶναι· τὰ μὲν
οὖν ὁρώμενα τῆς ἰδέας ὦ φίλε παῖ γλαύκωνος· δοκεῖς μοι
οὐδένα τῶν πρὸ σοῦ ἐν οὐδενὶ ὑποβεβηκέναι· εἰ δὲ δὴ καὶ
πρὸς σωφροσύνην καὶ τἆλλα κατὰ τὸν τοῦδε λόγον
ἱκανῶς πέφυκας· μακάριόν σε ἦν δ' ἐγὼ ὦ φίλε χαρμίδη
ἡ μήτηρ ἔτικτεν· ἔχει δ' οὖν οὕτως· εἰ μέν σοι ἤδη πάρεστιν ὡς λέ
γει κριτίας ὅδε σωφροσύνη καὶ εἶ σώφρων ἱκανῶς· οὐδὲν
ἔτι σοι ἔδει οὔτε τῶν ζαλμόξιδος οὔτε τῶν ἀβάριδος τοῦ ὑ
περβορέου ἐπῳδῶν· ἀλλ' αὐτό σοι ἂν ἤδη δοτέον εἴη τὸ
τῆς κεφαλῆς φάρμακον· εἰ δ' ἔτι τούτων ἐπιδεὴς εἶναι δοκεῖς·
ἐπᾳστέον πρὸ τῆς τοῦ φαρμάκου δόσεως· αὐτὸς οὖν μοι εἰ
πὲ πότερον ὁμολογεῖς τῷδε καὶ φῂς ἱκανῶς ἤδη σω
φροσύνης μετέχειν ἢ ἐνδεὴς εἶναι· ἀνερυθριάσας οὖν ὁ
χαρμίδης· πρῶτον μὲν ἔτι καλλίων ἐφάνη· καὶ γὰρ τὸ αἰσχυντη
λὸν αὐτοῦ τῇ ἡλικίᾳ ἔπρεπεν· ἔπειτα καὶ οὐκ ἀγεννῶς ἀπε
κρίνατο· εἶπε γὰρ ὅτι οὐ ῥᾴδιον εἴη ἐν τῷ παρόντι οὔθ' ὁμολο
γεῖν οὔτε ἐξάρνῳ εἶναι τὰ ἐρωτώμενα· ἐὰν μὲν γὰρ ἦ δ' ὃς
μὴ φῶ εἶναι σώφρονα· ἅμα μὲν ἄτοπον αὐτὸν καθ' ἑαυτοῦ τοι
αῦτα λέγειν· ἅμα δὲ κριτίαν τόνδε ψευδῆ ἐπιδείξω καὶ
ἄλλους πολλούς· οἷς δοκῶ εἶναι σώφρων ὡς ὁ τούτου λόγος·
ἐὰν δ' αὖ φῶ καὶ ἐμαυτὸν ἐπαινῶ· ἴσως ἐπαχθὲς φανεῖται·
ὥστε οὐκ ἔχω ὅτι σοι ἀποκρίνωμαι· καὶ ἐγὼ εἶπον ὅτι μοι
εἰκότα φαίνῃ λέγειν ὦ χαρμίδη· καί μοι δοκεῖ ἦν δ' ἐγὼ κοινῇ
ἂν εἶναι σκεπτέον εἴτε κέκτησαι εἴτε μὴ ὃ πυνθάνομαι· ἵ
να μήτε σὺ ἀναγκάζῃ λέγειν ἃ μὴ βούλει· μήτ' αὖ ἐγὼ ἀσκέ
πτως ἐπὶ τὴν ἰατρικὴν τρέπωμαι· εἰ οὖν σοι φίλον ἐθέλω
σκοπεῖν μετὰ σοῦ· εἰ δὲ μὴ ἐᾶν· ἀλλὰ πάντων μάλιστα ἔφη
φίλον· ὥστε τούτου γε ἕνεκα ὅπῃ αὐτὸς οἴει ἄμεινον σκέ
ψασθαι ταύτῃ σκόπει· τῇδε τοίνυν ἔφην ἐγὼ δοκεῖ μοι
κρατίστη εἶναι ἡ σκέψις περὶ αὐτοῦ· δῆλον γὰρ ὅτι εἴ σοι πάρε
στιν σωφροσύνη· ἔχεις τι περὶ αὐτῆς δοξάζειν· ἀνάγκη γὰρ
που ἐνοῦσαν αὐτήν εἴπερ ἔνεστιν αἴσθησίν τινα παρέχειν·
ἐξ ἧς δόξα ἄν τίς σοι περὶ αὐτῆς εἴη ὅτι ἐστὶ καὶ ὁποῖον

τι ἡ σωφροσύνη· ἢ οὐκ οἴει; ἔγωγε ἔφη οἶμαι· οὐκοῦν τοῦ-
τό γε ἔφην ὃ οἶσθα, ἐπειδήπερ ἑλληνίζειν ἐπίστασαι, κἂν εἴποις
δήπου αὐτὸ ὅτι σοι φαίνεται· ἴσως ἔφη· ἵνα τοίνυν τοπά-
σωμεν εἴτε σοι ἔνεστιν εἴτε μή, εἰπέ ἦν δ' ἐγώ, τί φῂς εἶναι σω-
φροσύνην κατὰ τὴν σὴν δόξαν· καὶ ὃς τὸ μὲν πρῶτον ὤκ-
νει τε καὶ οὐ πάνυ ἤθελεν ἀποκρίνασθαι· ἔπειτα μέντοι εἶ-
πεν· ὅτι οἱ δοκοῖ σωφροσύνη εἶναι· τὸ κοσμίως πάντα
πράττειν καὶ ἡσυχῇ, ἔν τε ταῖς ὁδοῖς βαδίζειν καὶ διαλέγε-
σθαι καὶ τὰ ἄλλα πάντα ὡσαύτως ποιεῖν· καί μοι δοκεῖ ἔφη
συλλήβδην ἡσυχιότης τις εἶναι ὃ ἐρωτᾷς· ἆρ' οὖν ἦν δ' ἐγὼ
εὖ λέγεις; φασί γέ τοι ὦ Χαρμίδη τοὺς ἡσυχίους σώφρονας
εἶναι· ἴδωμεν δὴ εἴ τι λέγουσιν· εἰπὲ γάρ μοι· οὐ τῶν καλῶν
μέντοι ἡ σωφροσύνη ἐστίν; πάνυ γε ἔφη· πότερον οὖν κάλ-
λιστον ἐν γραμματιστοῦ τὰ ὅμοια γράμματα γράφειν ταχὺ
ἢ ἡσυχῇ; ταχύ· τί δ' ἀναγιγνώσκειν ταχέως ἢ βραδέ-
ως; ταχέως· καὶ μὲν δὴ καὶ τὸ κιθαρίζειν ταχέως καὶ
τὸ παλαίειν ὀξέως πολὺ κάλλιον τοῦ ἡσυχῇ τε καὶ βραδέως;
ναί· τί δαὶ πυκτεύειν τε καὶ παγκρατιάζειν; οὐχ ὡσαύτως;
πάνυ γε· θεῖν δὲ καὶ ἅλλεσθαι καὶ τὰ τοῦ σώματος ἅπαν-
τα ἔργα, οὐ τὰ μὲν ὀξέως καὶ ταχὺ γιγνόμενα τοῦ καλοῦ ἐστιν·
τὰ δὲ βραδέα μόγις τε καὶ ἡσυχῇ τοῦ αἰσχροῦ; φαίνεται·
φαίνεται γὰρ ἡμῖν ἔφην ἐγὼ κατά γε τὸ σῶμα οὐ τὸ ἡσύχιον
ἀλλὰ τὸ τάχιστον καὶ ὀξύτατον κάλλιστον ὄν· ἢ γάρ; πάνυ γε·
ἡ δέ γε σωφροσύνη καλόν τι ἦν; ναί· οὐ τοίνυν κατά γε τὸ σῶμα
ἡ ἡσυχιότης ἂν ἀλλ' ἡ ταχυτὴς σωφρονέστερον εἴη, ἐπειδὴ κα-
λὸν ἡ σωφροσύνη· ἔοικεν ἔφη· τί δαί ἦν δ' ἐγὼ εὐμαθία
κάλλιον ἢ δυσμαθία; εὐμαθία· ἔστιν δέ γ' ἔφην ἡ μὲν εὐμα-
θία ταχέως μανθάνειν· ἡ δὲ δυσμαθία ἡσυχῇ καὶ βραδέ-
ως; ναί· διδάσκειν δὲ ἄλλον οὐ ταχέως καὶ κάλλιον καὶ
σφόδρα μᾶλλον ἢ ἡσυχῇ τε καὶ βραδέως; ναί· τί δαί; ἀνα-
μιμνῄσκεσθαι καὶ μεμνῆσθαι ἡσυχῇ τε καὶ βραδέως κάλλιον
ἢ σφόδρα καὶ ταχέως; σφόδρ' ἔφη καὶ ταχέως· ἡ δ' ἀγ-
χίνοια οὐχὶ ὀξύτης τίς ἐστιν τῆς ψυχῆς, ἀλλ' οὐχὶ ἡσυχία;
ἀληθῆ· οὐκοῦν καὶ τὸ ξυνιέναι τὰ λεγόμενα καὶ ἐν γραμ-

ἐπηρεάζεις τὸν λόγον ὦ Σώκρα-
τες· σοφιστικὸν γὰρ καὶ πα-
ρακρουόμενον Χαρμίδην·
εἴ τις μὴ καὶ [illegible] σωφρο-
σύνην ἀποδέδεικται. ἀλλ' οὖν
οὐχὶ καὶ ὁ λόγος καὶ παντὶ [illegible]
[illegible] μέρος [illegible] τὸ ἡσυ-
χῇ [illegible] κοσμίως
πράττειν σωφρο-
σύνης· ἡσυχῇ δὲ
ἀπὸ τοῦ ἀταράχου φη-
μί· σὺ δὲ ὁμωνύ-
μως τὸ ἡσυχῇ [illegible]
[illegible] ἐκδεχό-
μενος δηλονότι σοφι-
στεύων [illegible]
ἐπιχει-
ρήσεις

ματιστοῦ καὶ κιθαριστοῦ καὶ ἄλλοθι πανταχοῦ οὐχ ὡς ἡσυχαί-
τατα, ἀλλ' ὡς τάχιστα ἐστὶ κάλλιστα: ναί: ἀλλὰ μὴν ἔν γε ταῖς ζητή-
σεσιν τῆς ψυχῆς καὶ τῷ βουλεύεσθαι οὐχ ὁ ἡσυχιώτατος
ὡς ἐγὼ οἶμαι καὶ μόλις βουλευόμενός τε καὶ ἀνευρίσκων ἐ-
παίνου δοκεῖ ἄξιος εἶναι· ἀλλ' ὁ ῥᾷστά τε καὶ τάχιστα τοῦτο
δρῶν: ἔστιν ταῦτα ἔφη: οὐκοῦν πάντα ἦν δ' ἐγὼ ὦ χαρμίδη
ἡμῖν καὶ τὰ περὶ τὴν ψυχὴν καὶ τὰ περὶ τὸ σῶμα τὰ τοῦ τάχους
τε καὶ τῆς ὀξύτητος καλλίω φαίνεται ἢ τὰ τῆς βραδυτῆτος
τε καὶ ἡσυχιότητος: κινδυνεύει ἔφη. οὐκ ἄρα ἡσυχιότης
τις ἡ σωφροσύνη ἂν εἴη· οὐδ' ἡσύχιος ὁ σώφρων βίος ἔκ
γε τούτου τοῦ λόγου· ἐπειδὴ καλὸν αὐτὸν δεῖ εἶναι σώφρονα
ὄντα· δυοῖν γὰρ δὴ τὰ ἕτερα· ἢ οὐδαμοῦ ἡμῖν ἢ πάνυ που ὀλι-
γαχοῦ αἱ ἡσύχιοι πράξεις ἐν τῷ βίῳ καλλίους ἐφάνησαν·
ἢ αἱ ταχεῖαί τε καὶ ἰσχυραί· εἰ δ' οὖν ὦ φίλε ὅτι μάλιστα μηδὲν
ἐλάττους αἱ ἡσύχιοι τῶν σφοδρῶν τε καὶ ταχειῶν πράξεων
τυγχάνουσιν καλλίους οὖσαι· οὐδὲ ταύτῃ σωφροσύνη ἂν εἴη
μᾶλλόν τι τὸ ἡσυχῇ πράττειν ἢ τὸ σφοδρῶς τε καὶ ταχέως·
οὔτε ἐν βαδισμῷ· οὔτε ἐν λέξει· οὔτε ἄλλοθι οὐδαμοῦ· οὐδὲ
ὁ ἡσύχιος βίος κόσμιος τοῦ μὴ ἡσυχίου σωφρονέστερος
ἂν εἴη· ἐπειδὴ ἐν τῷ λόγῳ τῶν καλῶν τι ἡμῖν ἡ σωφροσύ-
νη ὑπετέθη· καλὰ δὲ οὐχ ἧττον τὰ ταχέα τῶν ἡσυχίων πέ-
φανται: ὀρθῶς μοι δοκεῖς ἔφη ὦ σώκρατες εἰρηκέναι:
πάλιν τοίνυν ἦν δ' ἐγὼ ὦ χαρμίδη μᾶλλον προσέχων τὸν νοῦν
καὶ εἰς σεαυτὸν ἀποβλέψας· ἐννοήσας ὁποῖόν τινά σε ποιεῖ
ἡ σωφροσύνη παροῦσα καὶ ποία τις οὖσα τοιοῦτον ἀπερ-
γάζοιτο ἄν· πάντα ταῦτα συλλογισάμενος εἰπὲ εὖ καὶ
ἀνδρείως τί σοι φαίνεται εἶναι: καὶ ὃς ἐπισχὼν καὶ πάνυ
ἀνδρικῶς πρὸς ἑαυτὸν διασκεψάμενος· δοκεῖ τοίνυν μοι
ἔφη αἰσχύνεσθαι ποιεῖν ἡ σωφροσύνη καὶ αἰσχυντηλὸν τὸν
ἄνθρωπον· καὶ εἶναι ὅπερ αἰδὼς ἡ σωφροσύνη: εἶεν
ἦν δ' ἐγώ· οὐ καλὸν ἄρτι ὡμολόγεις τὴν σωφροσύνην εἶναι;
πάνυ γ' ἔφη: οὐκοῦν καὶ ἀγαθοὶ ἄνδρες οἱ σώφρονες; ναί:
ἆρ' οὖν ἂν εἴη ἀγαθὸν ὃ μὴ ἀγαθοὺς ἀπεργάζεται; οὐ δῆτα:
οὐ μόνον οὖν ἄρα καλὸν ἀλλὰ καὶ ἀγαθόν ἐστιν: ἔμοιγε δοκεῖ:

τί οὖν ἦν δ' ἐγώ· ὁμήρῳ οὐ πιστεύεις καλῶς λέγειν λέγον-
τι ὅτι αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ παρεῖναι;
ἔγωγε ἔφη· ἔστιν ἄρα ὡς ἔοικεν αἰδὼς οὐκ ἀγαθὸν καὶ
ἀγαθόν· φαίνεται· σωφροσύνη δέ γε ἀγαθόν· εἴπερ ἀ-
γαθοὺς ποιεῖ οἷς ἂν παρῇ, κακοὺς δὲ μή· ἀλλὰ μὴν οὕτω
γε δοκεῖ μοι ἔχειν ὡς σὺ λέγεις· οὐκ ἄρα σωφροσύνη ἂν
εἴη αἰδώς, εἴπερ τὸ μὲν ἀγαθὸν τυγχάνει ὄν· αἰδὼς δὲ μὴ
οὐδὲν μᾶλλον ἀγαθὸν ἢ καὶ κακόν· ἀλλ' ἔμοιγε δοκεῖ ἔφη ὦ σώ-
κρατες τοῦτο μὲν ὀρθῶς λέγεσθαι· τόδε δὲ σκέψαι τί σοι
δοκεῖ εἶναι περὶ σωφροσύνης· ἄρτι γὰρ ἀνεμνήσθην ὃ
ἤδη του ἤκουσα λέγοντος, ὅτι σωφροσύνη ἂν εἴη τὸ τὰ ἑ-
αυτοῦ πράττειν· σκόπει οὖν τοῦτο, εἰ ὀρθῶς σοι δοκεῖ λέ-
γειν ὁ λέγων· καὶ ἐγὼ ὦ μιαρὲ ἔφην, κριτίου τοῦδε ἀκή-
κοας αὐτὸ ἢ ἄλλου του τῶν σοφῶν· ἔοικεν ἔφη ὁ κριτίας
ἄλλου· οὐ γὰρ δὴ ἐμοῦ γε· ἀλλὰ τί διαφέρει ἦ δ' ὅς ὁ χαρ-
μίδης ὦ σώκρατες ὅτου ἤκουσα· οὐδὲν ἦν δ' ἐγὼ· πάν-
τως γὰρ οὐ τοῦτο σκεπτέον, ὅστις αὐτὸ εἶπεν· ἀλλὰ πότερον
ἀληθὲς λέγεται ἢ οὔ· νῦν ὀρθῶς λέγεις ἦ δ' ὅς· νὴ δία ἦν
δ' ἐγώ· ἀλλ' εἰ καὶ εὑρήσομεν αὐτὸ ὅπῃ γε ἔχει· θαυμάζοιμ' ἄν·
αἰνίγματι γάρ τινι ἔοικεν· ὅτι δὴ τί γε ἔφη· ὅτι οὐ δήπου
ἦν δ' ἐγὼ ᾗ τὰ ῥήματα ἐφθέγξατο ταύτῃ καὶ ἐνόει λέγων
σωφροσύνην εἶναι τὸ τὰ αὑτοῦ πράττειν· ἢ σὺ οὐδὲν ἡγεῖ
πράττειν τὸν γραμματιστὴν ὅταν γράφῃ ἢ ἀναγιγνώσκῃ·
ἔγωγε ἡγοῦμαι μὲν οὖν ἔφη· δοκεῖ οὖν σοι τὸ αὑτοῦ ὄνομα μό-
νον γράφειν ὁ γραμματιστὴς καὶ ἀναγιγνώσκειν ἢ ὑμᾶς
τοὺς παῖδας διδάσκειν· ἢ οὐδὲν ἧττον τὰ τῶν ἐχθρῶν ἐγρά-
φετε ἢ τὰ ὑμέτερα καὶ τὰ τῶν φίλων ὀνόματα· οὐδὲν ἧττον·
ἦ οὖν ἐπολυπραγμονεῖτε καὶ οὐκ ἐσωφρονεῖτε τοῦτο δρῶντες·
οὐδαμῶς· καὶ μὴν οὐ τὰ ὑμέτερά γε αὐτῶν ἐπράττετε, εἴπερ
τὸ γράφειν πράττειν τί ἐστιν καὶ τὸ ἀναγιγνώσκειν· ἀλλὰ μὴν
ἔστιν· καὶ γὰρ τὸ ἰᾶσθαι ὦ ἑταῖρε καὶ τὸ οἰκοδομεῖν καὶ τὸ ὑφαί-
νειν καὶ τὸ ᾑτινιοῦν τέχνῃ ὁτιοῦν τῶν τέχνης ἔργων ἀπερ-
γάζεσθαι πράττειν δήπου τί ἐστιν· πάνυ γε· τί οὖν ἦν δ' ἐγὼ
δοκεῖ ἄν σοι πόλις ἀρκεῖσθαι ὑπὸ τούτου τοῦ νόμου τοῦ κε-

λέγοντος, τὸ ἑαυτοῦ ἱμάτιον ἕκαστον ὑφαίνειν καὶ πλύνειν καὶ
ὑποδήματα σκυτοτομεῖν· καὶ λήκυθον καὶ στλεγγίδα καὶ τἆλλα
πάντα κατὰ τὸν αὐτὸν λόγον· τῶν μὲν ἀλλοτρίων μὴ ἅπτεσθαι·
τὰ δὲ ἑαυτοῦ ἕκαστον ἐργάζεσθαί τε καὶ πράττειν; οὐκ ἔμοι-
γε δοκεῖ ἦ δ' ὅς· ἀλλὰ μέντοι ἔφην ἐγὼ σωφρόνως γε οἰκοῦσα
εὖ ἂν οἰκοῖτο; πῶς δ' οὐκ ἔφη· οὐκ ἄρα ἦν δ' ἐγὼ τὸ τὰ τοι-
αῦτά τε καὶ οὕτω τὰ αὑτοῦ πράττειν σωφροσύνη ἂν εἴη· οὐ φαί-
νεται· ἠινίττετο ἄρα ὡς ἔοικεν ὅπερ ἄρτι ἐγὼ ἔλεγον ὁ λέγων
τὸ τὰ αὑτοῦ πράττειν σωφροσύνην εἶναι· οὐ γάρ που οὕτω γε
ἦν εὐήθης· ἤ τινος ἠλιθίου ἤκουσας τουτὶ λέγοντος ὦ
χαρμίδη; ἥκιστά γε ἔφη· ἐπεί τοι καὶ πάνυ ἐδόκει σοφὸς εἶ-
ναι· παντὸς τοίνυν μᾶλλον ὡς ἐμοὶ δοκεῖ αἴνιγμα αὐτὸ προὔ-
βαλεν ὡς ὂν χαλεπὸν τὸ τὰ αὑτοῦ πράττειν γνῶναι ὅτι ποτέ
ἐστιν· ἴσως ἔφη· τί οὖν ἂν εἴη ποτὲ τὸ τὰ αὑτοῦ πράττειν; ἔ-
χεις εἰπεῖν; οὐκ οἶδα μὰ δία ἔγωγε ἦ δ' ὅς· ἀλλ' ἴσως οὐδὲν
κωλύει μηδὲ τὸν λέγοντα μηδὲν εἰδέναι ὅτι ἐνόει· καὶ ἅμα ταῦτα
λέγων ὑπεγέλα τε καὶ εἰς τὸν κριτίαν ἀπέβλεπεν· καὶ ὁ κριτίας
δῆλος μὲν ἦν καὶ πάλαι ἀγωνιῶν καὶ φιλοτίμως πρός τε τὸν χαρ-
μίδην καὶ πρὸς τοὺς παρόντας ἔχων· μόγις δὲ αὑτὸν ἐν τῷ
πρόσθεν κατέχων· τότε οὐχ οἷός τε ἐγένετο· δοκεῖ γάρ μοι
παντὸς μᾶλλον ἀληθὲς εἶναι ὃ ἐγὼ ὑπέλαβον, τοῦ κριτίου ἀ-
κηκοέναι τὸν χαρμίδην ταύτην τὴν ἀπόκρισιν περὶ τῆς σω-
φροσύνης· ὁ μὲν οὖν χαρμίδης βουλόμενος μὴ αὐτὸς ὑ-
πέχειν λόγον ἀλλ' ἐκεῖνον τῆς ἀποκρίσεως· ὑπεκίνει αὐτὸν
ἐκεῖνον καὶ ἐνεδείκνυτο ὡς ἐξεληλεγμένος εἴη· ὁ δ' οὐκ ἠνέ-
σχετο· ἀλλά μοι ἔδοξεν ὀργισθῆναι αὐτῷ ὥσπερ ποιητὴς
ὑποκριτῇ κακῶς διατιθέντι τὰ ἑαυτοῦ ποιήματα· ὥστ' ἐμ-
βλέψας αὐτῷ εἶπεν· οὕτως οἴει ὦ χαρμίδη εἰ σὺ μὴ οἶσθα
ὅτι ποτ' ἐνόει ὃς ἔφη σωφροσύνην εἶναι τὸ τὰ ἑαυτοῦ
πράττειν, οὐδὲ δὴ ἐκεῖνον εἰδέναι; ἀλλ' ὦ βέλτιστε ἔφην ἐγὼ
κριτία· τοῦτον μὲν οὐδὲν θαυμαστὸν ἀγνοεῖν τηλικοῦτον ὄντα·
σὲ δέ που εἰκὸς εἰδέναι καὶ ἡλικίας ἕνεκα καὶ ἐπιμελείας· εἰ οὖν
συγχωρεῖς τοῦτ' εἶναι σωφροσύνην ὅπερ οὑτοσὶ λέγει καὶ
παραδέχῃ τὸν λόγον· ἔγωγε πολὺ ἂν ἥδιον μετὰ σοῦ σκοποῖ-

μην ἅ τ' ἂν μὴ θεὶς εἴτε μὴ τὸ λεχθέν· ἀλλὰ πάνυ ξυγχωρῶ ἔφη
καὶ παραδέχομαι. Καλῶς γε σὺ τοίνυν ἦν δ' ἐγὼ ποιῶν· καί
μοι λέγε· ἦ καὶ ἃ νυνδὴ ἠρώτων ἐγὼ ξυγχωρεῖς, τοὺς δη-
μιουργοὺς πάντας ποιεῖν τι; ἔγωγε. ἦ οὖν δοκοῦσί σοι
τὰ ἑαυτῶν μόνον ποιεῖν ἢ καὶ τὰ τῶν ἄλλων; καὶ τὰ τῶν ἄλλων.
σωφρονοῦσιν οὖν οὐ τὰ ἑαυτῶν μόνον ποιοῦντες; τί γὰρ
κωλύει ἔφη. οὐδὲν ἐμέ γε ἦν δ' ἐγώ· ἀλλ' ὅρα μὴ ἐκεῖνον κω-
λύει ὃς ὑποθέμενος σωφροσύνην εἶναι, τὸ τὰ ἑαυτοῦ
πράττειν· ἔπειτα οὐδέν φησι κωλύειν καὶ τοὺς τὰ τῶν ἄλ-
λων πράττοντας σωφρονεῖν. ἐγὼ γάρ που ἦ δ' ὅς τοῦθ' ὡ-
μολόγηκα ὡς οἱ τὰ τῶν ἄλλων πράττοντες σωφρονοῦσιν.
ἢ τοὺς ποιοῦντας ὡμολόγησα. εἰπέ μοι ἦν δ' ἐγώ· οὐ
ταὐτὸν καλεῖς τὸ ποιεῖν καὶ τὸ πράττειν; οὐ μέντοι ἔφη· οὐ-
δέ γε τὸ ἐργάζεσθαι καὶ τὸ ποιεῖν. ἔμαθον γὰρ παρ' Ἡσιόδου,
ὃς ἔφη ἔργον δ' οὐδὲν εἶναι ὄνειδος. οἴει οὖν αὐτὸν εἰ τὰ
τοιαῦτα ἔργα ἐκάλει, καὶ ἐργάζεσθαι καὶ πράττειν οἷα
νυνδὴ σὺ ἔλεγες, οὐδενὶ ἂν ὄνειδος φάναι εἶναι σκυτοτο-
μοῦντι ἢ ταριχοπωλοῦντι ἢ ἐπ' οἰκήματος καθημένῳ.
Οὐκ οἴεσθαί γε χρὴ ὦ Σώκρατες· ἀλλὰ καὶ ἐκεῖνος οἶμαι ποί-
ησιν πράξεως καὶ ἐργασίας ἄλλο ἐνόμιζεν· καὶ ποίημα
μὲν γίγνεσθαι ὄνειδος ἐνίοτε, ὅταν μὴ μετὰ τοῦ καλοῦ γί-
γνηται· ἔργον δὲ οὐδέποτε οὐδὲν ὄνειδος· τὰ γὰρ κα-
λῶς τε καὶ ὠφελίμως ποιούμενα ἔργα ἐκάλει· καὶ ἐργασί-
ας τε καὶ πράξεις, τὰς τοιαύτας ποιήσεις· φάναι δέ γε χρὴ
καὶ οἰκεῖα μόνα τὰ τοιαῦτα ἡγεῖσθαι αὐτόν· τὰ δὲ βλαβερὰ
πάντα ἀλλότρια· ὥστε καὶ Ἡσίοδον χρὴ οἴεσθαι καὶ ἄλλον ὅσ-
τις φρόνιμος τὸν τὰ αὑτοῦ πράττοντα τοῦτον σώφρονα
καλεῖν. ὦ Κριτία ἦν δ' ἐγὼ καὶ εὐθὺς ἀρχομένου σου σχε-
δὸν ἐμάνθανον τὸν λόγον ὅτι τὰ οἰκεῖά τε καὶ τὰ αὑτοῦ ἀγα-
θὰ καλοίης· καὶ τὰς τῶν ἀγαθῶν ποιήσεις πράξεις· καὶ
γὰρ Προδίκου μυρία τινὰ ἀκήκοα περὶ ὀνομάτων διαιροῦν-
τος· ἀλλ' ἐγώ σοι τίθεσθαι μὲν τῶν ὀνομάτων δίδωμι ὅπη
ἂν βούλῃ ἕκαστον· δήλου δὲ μόνον ἐφ' ὅτι ἂν φέρῃς τοὔνομα,
ὅτι ἂν λέγῃς. νῦν οὖν πάλιν ἐξ ἀρχῆς σαφέστερον ὅρι-

σαι· ἆρ' οὖν τὴν τῶν ἀγαθῶν πρᾶξιν ἢ ποίησιν ἢ ὅπως σὺ βού
λει ὀνομάζειν ταύτην λέγεις σὺ σωφροσύνην εἶναι; ἔγωγε
ἔφη· οὐκ ἄρα σωφρονεῖ ὁ τὰ κακὰ πράττων ἀλλ' ὁ τἀγαθά;
σοὶ δὲ ἦ δ' ὃς ὦ βέλτιστε οὐχ οὕτω δοκεῖ; ἔα ἦν δ' ἐγώ· μὴ
γάρ πω τὸ ἐμοὶ δοκοῦν σκοπῶμεν· ἀλλ' ὃ σὺ λέγεις νῦν· ἀλλὰ
μέντοι ἔγωγε ἔφη τὸν μὴ ἀγαθὰ ἀλλὰ κακὰ ποιοῦντα οὔ φη
μι σωφρονεῖν· τὸν δὲ ἀγαθὰ ἀλλὰ μὴ κακὰ σωφρονεῖν· τὴν
γὰρ τῶν ἀγαθῶν πρᾶξιν σωφροσύνην εἶναι σαφῶς σοι διορίζομαι·
καὶ οὐδέν γέ σε ἴσως κωλύει ἀληθῆ λέγειν· τόδε γε μέντοι
ἦν δ' ἐγὼ θαυμάζω εἰ σωφρονοῦντας ἀνθρώπους ἡγεῖ σὺ
ἀγνοεῖν ὅτι σωφρονοῦσιν· ἀλλ' οὐχ ἡγοῦμαι ἔφη· οὐκ ὀλί
γον πρότερον ἔφην ἐγὼ ἐλέγετο ὑπὸ σοῦ ὅτι τοὺς δημιουρ
γοὺς οὐδὲν κωλύει καὶ αὖ τὰ τῶν ἄλλων ποιοῦντας σωφρο
νεῖν· ἐλέγετο γὰρ ἔφη· ἀλλὰ τί τοῦτο· οὐδέν· ἀλλὰ λέγε εἰ
δοκεῖ τίς σοι ἰατρὸς ὑγιᾶ τινα ποιῶν ὠφέλιμα καὶ ἑαυτῷ
ποιεῖν καὶ ἐκείνῳ ὃν ἰῷτο· ἔμοιγε· οὐκοῦν τὰ δέοντα
πράττει ὁ ταῦτα πράττων; ναί· ὁ τὰ δέοντα πράττων
οὐ σωφρονεῖ; σωφρονεῖ μὲν οὖν· ἦ οὖν καὶ γιγνώσκειν
ἀνάγκη τῷ ἰατρῷ ὅταν τε ὠφελίμως ἰᾶται καὶ ὅταν μή·
καὶ ἑκάστῳ τῶν δημιουργῶν ὅταν τε μέλλῃ ὀνήσεσθαι ἀπὸ
τοῦ ἔργου οὗ ἂν πράττῃ καὶ ὅταν μή; ἴσως οὔ· ἐνίοτε
ἄρα ἦν δ' ἐγὼ ὠφελίμως πράξας ἢ βλαβερῶς ὁ ἰατρὸς
οὐ γιγνώσκει ἑαυτὸν ὡς ἔπραξεν; καίτοι ὠφελίμως
πράξας ὡς ὁ σὸς λόγος σωφρόνως ἔπραξεν· ἢ οὐχ οὕ
τως ἔλεγες; ἔγωγε· οὐκοῦν ὡς ἔοικεν ἐνίοτε ὠφελί
μως πράξας πράττει μὲν σωφρόνως καὶ σωφρονεῖ· ἀγνο
εῖ δὲ αὑτὸν ὅτι σωφρονεῖ; ἀλλὰ τοῦτο μὲν ἔφη ὦ σώκρατες
οὐκ ἄν ποτε γένοιτο· ἀλλ' εἴ τι σὺ οἴει ἐκ τῶν ἔμπροσθεν ὑπ'
ἐμοῦ ὡμολογημένων εἰς τοῦτο ἀναγκαῖον εἶναι συμβαίνειν
ἐκείνων ἄν τι ἔγωγε μᾶλλον ἀναθείμην καὶ οὐκ ἂν αἰσχυνθεί
ην ὅτι μὴ οὐχὶ ὀρθῶς φάναι εἰρηκέναι μᾶλλον ἤ ποτε συγ
χωρήσαιμ' ἂν ἀγνοοῦντα αὐτὸν ἑαυτὸν ἄνθρωπον σωφρο
νεῖν· σχεδὸν γάρ τι ἔγωγε αὐτὸ τοῦτό φημι εἶναι σωφροσύ
νην· τὸ γιγνώσκειν ἑαυτόν· καὶ συμφέρομαι τῷ ἐν δελφοῖς

ἂν ἀναθεῖναι τὸ τοιοῦτον γράμμα. καὶ γὰρ τοῦτο οὕτω μοι δοκεῖ
τὸ γράμμα ἀνακεῖσθαι, ὡς δὴ πρόσρησις οὖσα τοῦ θεοῦ
τῶν εἰσιόντων ἀντὶ τοῦ χαῖρε· ὡς τούτου μὲν οὐκ ὀρθοῦ ὄν-
τος τοῦ προσρήματος τοῦ χαίρειν, οὐδὲ δεῖν τοῦτο παρα-
κελεύεσθαι ἀλλήλοις, ἀλλὰ σωφρονεῖν. οὕτω μὲν δὴ ὁ θεὸς
προσαγορεύει τοὺς εἰσιόντας εἰς τὸ ἱερὸν διαφέρον τι
ἢ οἱ ἄνθρωποι· ὡς διανοούμενος ἀνέθηκεν ὁ ἀναθείς,
ὥς μοι δοκεῖ· καὶ λέγει πρὸς τὸν ἀεὶ εἰσιόντα οὐκ ἄλλο τι ἢ
σωφρόνει φησίν. αἰνιγματωδέστερον δὲ δή, ὡς μάντις,
λέγει· τὸ γὰρ γνῶθι σαυτὸν καὶ τὸ σωφρόνει ἔστι μὲν ταὐ-
τόν, ὡς τὰ γράμματά φησι καὶ ἐγώ· τάχα δ' ἄν τις οἰηθείη
ἄλλο εἶναι· ὃ δή μοι δοκοῦσι παθεῖν καὶ οἱ τὰ ὕστερον γράμ-
ματα ἀναθέντες, τό τε μηδὲν ἄγαν καὶ τὸ ἐγγύη παρὰ δ' ἄ-
τη. καὶ γὰρ οὗτοι ξυμβουλὴν ᾠήθησαν εἶναι τὸ γνῶθι
σαυτόν, ἀλλ' οὐ τῶν εἰσιόντων ἕνεκεν ὑπὸ τοῦ θεοῦ πρόσ-
ρησιν· εἶθ' ἵνα δὴ καὶ αὐτοὶ μηδὲν ἧττον ξυμβου-
λὰς χρησίμους ἀναθεῖεν, ταῦτα γράψαντες ἀνέθεσαν.
οὗ δὴ οὖν ἕνεκα λέγω, ὦ Σώκρατες, ταῦτα πάντα, τόδ' ἐ-
στίν· τὰ μὲν ἔμπροσθέν σοι πάντα ἀφίημι· ἴσως μὲν γάρ
τι σὺ ἔλεγες περὶ αὐτῶν ὀρθότερον, ἴσως δ' ἐγώ, σα-
φὲς δ' οὐδὲν πάνυ ἦν ὧν ἐλέγομεν· νῦν δὲ θέλω τούτου σοι
διδόναι λόγον, εἰ μὴ ὁμολογεῖς σωφροσύνην εἶναι τὸ γι-
γνώσκειν αὐτὸν ἑαυτόν: ἀλλ', ἦν δ' ἐγώ, ὦ Κριτία, σὺ μέν
ὡς φάσκοντος ἐμοῦ εἰδέναι περὶ ὧν ἐρωτῶ προσφέρει
πρός με καὶ ἐὰν δὴ βούλωμαι ὁμολογήσοντός σου· τὸ δ' οὐ-
χ οὕτως ἔχει· ἀλλὰ ζητῶ γὰρ μετὰ σοῦ ἀεὶ τὸ προτιθέμε-
νον διὰ τὸ μὴ αὐτὸς εἰδέναι· σκεψάμενος οὖν ἐθέλω εἰ-
πεῖν εἴτε ὁμολογῶ εἴτε μή· ἀλλ' ἐπίσχες ἕως ἂν σκέψωμαι:
σκόπει δή, ἦ δ' ὅς: καὶ γάρ, ἦν δ' ἐγώ, σκοπῶ· εἰ γὰρ δὴ γι-
γνώσκειν γέ τί ἐστιν ἡ σωφροσύνη, δῆλον ὅτι ἐπιστήμη τις
ἂν εἴη καὶ τινός· ἢ οὔ: ἔστιν, ἔφη, ἑαυτοῦ γε: οὐκοῦν καὶ ἰ-
ατρικὴ ἔφησθα ἐπιστήμην εἶναι τοῦ ὑγιεινοῦ; πάνυ γε: εἰ τοί-
νυν με, ἔφην, ἔροιο σύ· ἰατρικὴ ὑγιεινοῦ ἐπιστήμη οὖσα
τί ἡμῖν χρησίμη ἐστὶν καὶ τί ἀπεργάζεται, εἴποιμ' ἂν ὅτι

οὐ σμικρὰν ὠφέλειαν· τὴν γὰρ ὑγίειαν καλὸν ἡμῖν ἔργον ἀπερ-
γάζεται. εἰ ἀποδέχῃ τοῦτο; ἀποδέχομαι. καὶ εἰ τοίνυν
με ἔροιο, τὴν οἰκοδομικὴν ἐπιστήμην οὖσαν τοῦ οἰκοδομ-
εῖν, τί φημι ἔργον ἀπεργάζεσθαι, εἴποιμ' ἂν ὅτι οἰκήσεις·
ὡσαύτως δὲ καὶ τῶν ἄλλων τεχνῶν. χρὴ οὖν καὶ σὲ ὑπὲρ
τῆς σωφροσύνης, ἐπειδὴ φῂς αὐτὴν ἑαυτοῦ ἐπιστήμην
εἶναι. ἔχειν εἰπεῖν ἐρωτηθέντα, ὦ Κριτία, σωφροσύνη
ἐπιστήμη οὖσα ἑαυτοῦ, τί καλὸν ἡμῖν ἔργον ἀπεργάζεται
καὶ ἄξιον τοῦ ὀνόματος; ἴθι οὖν εἰπέ. ἀλλ' ὦ Σώκρατες
ἔφη, οὐκ ὀρθῶς ζητεῖς. οὐ γὰρ ὁμοία αὕτη πέφυκεν ταῖς
ἄλλαις ἐπιστήμαις. οὐδέ γε αἱ ἄλλαι ἀλλήλαις. σὺ δ' ὡς ὁμοί-
ων οὐσῶν ποιεῖ τὴν ζήτησιν. ἐπεὶ λέγε μοι ἔφη τῆς λο-
γιστικῆς τέχνης ἢ τῆς γεωμετρικῆς· τί ἐστιν τοιοῦτον ἔρ-
γον, οἷον οἰκία οἰκοδομικῆς· ἢ ἱμάτιον ὑφαντικῆς, ἢ ἄλλα
τοιαῦτ' ἔργα· ἃ πολλὰ ἄν τις ἔχοι πολλῶν τεχνῶν δεῖξαι·
ἔχεις οὖν μοι καὶ σὺ τούτων τοιοῦτόν τι ἔργον δεῖξαι; ἀλ-
λ' οὐχ ἕξεις: καὶ ἐγὼ εἶπον ὅτι ἀληθῆ λέγεις· ἀλλὰ τό-
δε σοι ἔχω δεῖξαι. τίνος ἐστὶν ἐπιστήμη ἑκάστη τούτων τῶν
ἐπιστημῶν, ὃ τυγχάνει ὂν ἄλλο αὐτῆς τῆς ἐπιστήμης· οἷον ἡ
λογιστική ἐστίν που τοῦ ἀρτίου καὶ τοῦ περιττοῦ πλήθους, ὅ-
πως ἔχει πρὸς αὑτὰ καὶ πρὸς ἄλληλα· ἦ γάρ; πάνυ γε ἔφη·
οὐκοῦν ἑτέρου ὄντος τοῦ περιττοῦ καὶ ἀρτίου, αὐτῆς τῆς λο-
γιστικῆς; πῶς δ' οὔ; καὶ μὴν αὖ ἡ στατικὴ τοῦ βαρυτέρου
τε καὶ κουφοτέρου σταθμοῦ ἐστιν στατική· ἕτερον δέ ἐστιν τὸ
βαρὺ καὶ τὸ κοῦφον τῆς στατικῆς αὐτῆς. συγχωρεῖς; ἔ-
γωγε. λέγε δὴ καὶ ἡ σωφροσύνη τίνος ἐστὶν ἐπιστήμη, ὃ
τυγχάνει ἕτερον ὂν αὐτῆς τῆς σωφροσύνης: τοῦτό ἐστιν
εἶπε μοι ἔφη ὦ Σώκρατες· ἐπ' αὐτὸ ἥκεις ἐρευνῶν ὅτῳ
διαφέρει πασῶν τῶν ἐπιστημῶν ἡ σωφροσύνη. σὺ δὲ ὁμοιότη-
τά τινα ζητεῖς αὐτῆς ταῖς ἄλλαις. τὸ δ' οὐκ ἔστιν οὕτως· ἀλλ' αἱ
μὲν ἄλλαι πᾶσαι ἄλλου εἰσὶν ἐπιστῆμαι ἑαυτῶν δ' οὔ· ἡ δὲ μό-
νη, τῶν τε ἄλλων ἐπιστημῶν ἐπιστήμη ἐστὶ καὶ αὐτὴ ἑαυτῆς.
καὶ ταῦτα σὲ πολλοῦ δεῖ λεληθέναι. ἀλλὰ γὰρ οἶμαι ὃ ἄρτι
οὐκ ἔφησθα ποιεῖν, τοῦτο ποιεῖς· ἐμὲ γὰρ ἐπιχειρεῖς ἐ-

ἐλέγχειν, ἐάσας περὶ οὗ ὁ λόγος ἐστίν: οἷον ἦν δ' ἐγὼ ποιεῖς
ἡγούμενος εἰ ὅτι μάλιστα σὲ ἐλέγχω ἄλλου τινὸς ἕνεκα ἐλέγ-
χειν ἢ οὗπερ ἕνεκα κἂν ἐμαυτὸν διερευνῴμην τί λέγω, φο-
βούμενος μή ποτε λάθω οἰόμενος μέν τι εἰδέναι, εἰδὼς δὲ μή·
καὶ νῦν δὴ οὖν ἔγωγέ φημι τοῦτο ποιεῖν, τὸν λόγον σκοπεῖν
μάλιστα μὲν ἐμαυτοῦ ἕνεκα, ἴσως δὲ δὴ καὶ τῶν ἄλλων ἐπιτη-
δείων· ἢ οὐ κοινὸν οἴει ἀγαθὸν εἶναι σχεδόν τι πᾶσιν ἀνθρώ-
ποις, γίγνεσθαι καταφανὲς ἕκαστον τῶν ὄντων ὅπῃ ἔχει:
καὶ μάλα ἦ δ' ὅς ἔγωγε ὦ Σώκρατες: θαρρῶν τοίνυν ἦν δ' ἐγώ,
ὦ μακάριε, ἀποκρινόμενος τὸ ἐρωτώμενον ὅπῃ σοι φαί-
νεται, ἔα χαίρειν εἴτε Κριτίας ἐστὶν εἴτε Σωκράτης ὁ ἐλεγ-
χόμενος· ἀλλ' αὐτῷ προσέχων τὸν νοῦν τῷ λόγῳ σκόπει
ὅπῃ ποτὲ ἐκβήσεται ἐλεγχόμενος: ἀλλὰ ἔφη ποιήσω οὕ-
τω· δοκεῖς γάρ μοι μέτρια λέγειν: λέγε τοίνυν ἦν δ' ἐγὼ περὶ
τῆς σωφροσύνης πῶς λέγεις: λέγω τοίνυν ἦ δ' ὅς, ὅτι μό-
νη τῶν ἄλλων ἐπιστημῶν αὐτή τε αὑτῆς ἐστιν καὶ τῶν ἄλλων ἐπι-
στημῶν ἐπιστήμη: οὐκοῦν ἦν δ' ἐγὼ καὶ ἀνεπιστημοσύνης
ἐπιστήμη ἂν εἴη, εἴπερ καὶ ἐπιστήμης: πάνυ γε ἔφη: ὁ ἄρα
σώφρων μόνος αὐτός τε ἑαυτὸν γνώσεται καὶ οἷός τε ἔσται ἐξε-
τάσαι τί τε τυγχάνει εἰδὼς καὶ τί μή· καὶ τοὺς ἄλλους ὡσαύτως
δυνατὸς ἔσται ἐπισκοπεῖν τί τις οἶδεν καὶ οἴεται, εἴπερ οἶδεν·
καὶ τί αὖ οἴεται μὲν εἰδέναι, οἶδεν δ' οὔ, τῶν δὲ ἄλλων οὐδείς· καὶ
ἔστιν δὴ τοῦτο τὸ σωφρονεῖν τε καὶ σωφροσύνη· καὶ τὸ ἑαυτὸν
αὐτὸν γιγνώσκειν, τὸ εἰδέναι ἅ τε οἶδεν καὶ ἃ μὴ οἶδεν· ἆρα
ταῦτ' ἐστὶν ἃ λέγεις: ἔγωγ' ἔφη: πάλιν τοίνυν ἦν δ' ἐγὼ τὸ
τρίτον τῷ σωτῆρι, ὥσπερ ἐξ ἀρχῆς ἐπισκεψώμεθα πρῶτον
μὲν εἰ δυνατόν ἐστιν τοῦτ' εἶναι ἢ οὔ· τὸ ἃ οἶδεν καὶ ἃ μὴ οἶδεν εἰδέ-
ναι ὅτι οὐκ οἶδεν· ἔπειτα ὅτι μάλιστα δυνατόν τίς ἂν εἴη
ἡμῖν ὠφελία εἰδόσιν αὐτό: ἀλλὰ χρή ἔφη σκοπεῖν: ἴθι δὴ ἔ-
φην ἐγὼ ὦ Κριτία σκέψαι ἐάν τι περὶ αὐτῶν εὐπορώτερος φα-
νῇς ἐμοῦ· ἐγὼ μὲν γὰρ ἀπορῶ· ᾗ δὲ ἀπορῶ φράσω σοι:
πάνυ γε ἔφη: ἄλλο τι οὖν ἦν δ' ἐγὼ πάντα ταῦτ' ἂν εἴη εἰ ἔστιν ὅ-
περ σὺ νῦν δὴ ἔλεγες μία τις ἐπιστήμη, ἣ οὐκ ἄλλου τινός ἐστιν ἢ
ἑαυτῆς τε καὶ τῶν ἄλλων ἐπιστημῶν ἐπιστήμη, καὶ δὴ καὶ ἀνεπι-

σωφροσύνης ἡ αὐτὴ αὕτη· πάνυ γε· ἴθι δὴ ὅρα ὡς ἄτοπον ἐπιχει-
ροῦμεν ὦ ἑταῖρε λέγειν· ἐν ἄλλοις γάρ που τὸ αὐτὸ τοῦτο ἐὰν
σκοπῇς, δόξει σοι ὡς ἐγᾦμαι ἀδύνατον εἶναι· πῶς δὴ καὶ
ποῦ· ἐν τοῖσδε· ἐννόει γὰρ εἴ σοι δοκεῖ ὄψις τις εἶναι ἣ ὧν μὲν αἱ
ἄλλαι ὄψεις εἰσίν, οὐκ ἔστιν τούτων ὄψις· ἑαυτῆς δὲ καὶ τῶν ἄλλων
ὄψεων ὄψις ἐστὶν καὶ μὴ ὄψεων ὡσαύτως· καὶ χρῶμα μὲν ὁρᾷ
οὐδὲν ὄψις οὖσα, αὑτὴν δὲ καὶ τὰς ἄλλας ὄψεις· δοκεῖ τίς σοι εἶ-
ναι τοιαύτη; μὰ Δί' οὐκ ἔμοιγε· τί δαὶ ἀκοὴν ἣ φωνῆς μὲν οὐ-
δεμιᾶς ἀκούει, αὑτῆς δὲ καὶ τῶν ἄλλων ἀκοῶν ἀκούει καὶ τῶν μὴ
ἀκοῶν; οὐδὲ τοῦτο· συλλήβδην δὴ σκόπει περὶ πασῶν τῶν
αἰσθήσεων· εἴ τίς σοι δοκεῖ εἶναι αἰσθήσεων μὲν αἴσθησις καὶ
ἑαυτῆς· ὧν δὲ δὴ αἱ ἄλλαι αἰσθήσεις αἰσθάνονται μηδενὸς
αἰσθανομένη; οὐκ ἔμοιγε· ἀλλ' ἐπιθυμία δοκεῖ τίς σοι εἶναι
ἥτις ἡδονῆς μὲν οὐδεμιᾶς ἐστὶν ἐπιθυμία· αὑτῆς δὲ καὶ τῶν
ἄλλων ἐπιθυμιῶν; οὐ δῆτα· οὐδὲ μὴν βούλησις ὡς ἐγᾦμαι,
ἣ ἀγαθὸν μὲν οὐδὲν βούλεται, αὑτὴν δὲ καὶ τὰς ἄλλας βου-
λήσεις βούλεται· οὐ γὰρ οὖν· ἔρωτα δὲ φαίης ἄν τινα εἶναι
τοιοῦτον, ὃς τυγχάνει ὢν ἔρως καλοῦ μὲν οὐδενός· αὑτοῦ
δὲ καὶ τῶν ἄλλων ἐρώτων; οὐκ ἔφη ἔγωγε· φόβον δὲ ἤδη
τινὰ κατανενόηκας, ὃς ἑαυτὸν μὲν καὶ τοὺς ἄλλους φόβους
φοβεῖται, τῶν δεινῶν δ' οὐδὲ ἓν φοβεῖται; οὐ κατανενόηκα
ἔφη· δόξαν δὲ δοξῶν δόξαν καὶ αὑτῆς· ὧν δὲ αἱ ἄλλαι δοξά-
ζουσιν μηδὲν δοξάζουσαν; οὐδαμῶς· ἀλλ' ἐπιστήμην ὡς
ἔοικεν φαμέν τινα εἶναι τοιαύτην, ἥτις μαθήματος μὲν οὐδενός
ἐστιν ἐπιστήμη· αὑτῆς δὲ καὶ τῶν ἄλλων ἐπιστημῶν ἐπιστήμη;
φαμὲν γάρ· οὐκοῦν ἄτοπον, εἰ ἄρα καὶ ἔστιν; μηδὲν γάρ πω
διισχυριζώμεθα ὡς οὐκ ἔστιν· ἀλλ' εἰ ἔστιν ἔτι σκοπῶμεν·
ὀρθῶς λέγεις· φέρε δή· ἔστι μὲν αὕτη ἡ ἐπιστήμη τινὸς ἐπι-
στήμη· καὶ ἔχει τινὰ τοιαύτην δύναμιν ὥστε τινὸς εἶναι· ἦ γάρ;
πάνυ γε· καὶ γὰρ τὸ μεῖζόν φαμεν τοιοῦτόν τινα ἔχειν δύναμιν,
ὥστε τινὸς εἶναι μεῖζον; ἔχει γάρ· οὐκοῦν ἐλάττονός τινος
εἴπερ ἔσται μεῖζον· ἀνάγκη· εἰ οὖν τι εὕροιμεν μεῖζον, ὃ τῶν
μὲν μειζόνων ἐστὶν μεῖζον καὶ ἑαυτοῦ, ὧν δὲ τἆλλα μείζω
ἐστὶν μηδενὸς μεῖζον· πάντως δήπου ἂν ἐκεῖνό γ' αὐτῷ ὑ-

ὑπάρχοι, ἄλλο τι ἢ ἑαυτοῦ μεῖζον ἂν εἴη καὶ ἔλαττον ἑαυτοῦ εἶναι.
ἢ οὔ· πολλὴ ἀνάγκη ἔφη ὁ κριτίας· οὐκοῦν καὶ εἴ τι δι-
πλάσιον ἐστὶν τῶν τε ἄλλων διπλασίων καὶ ἑαυτοῦ. ἡμίσεος
δήπου ὄντος ἑαυτοῦ τε καὶ τῶν ἄλλων διπλάσιον ἂν εἴη·
οὐ γάρ ἐστίν που ἄλλου διπλάσιον ἢ ἡμίσεος· ἀληθῆ· πλέ-
ον δὲ αὑτοῦ ὂν οὐ καὶ ἔλαττον ἔσται· καὶ βαρύτερον ὂν κουφότε-
ρον· καὶ πρεσβύτερον ὂν νεώτερον· καὶ τἆλλα πάντα ὡσαύ-
τως· ὅτιπερ ἂν τὴν ἑαυτοῦ δύναμιν πρὸς ἑαυτὸ ἔχῃ· οὐ
καὶ ἐκείνην ἕξει τὴν οὐσίαν πρὸς ἣν ἡ δύναμις αὐτοῦ ἦν;
λέγω δὲ τὸ τοιόνδε· οἷον ἡ ἀκοή φαμέν, οὐκ ἄλλου τινὸς ἦν ἀ-
κοὴ ἢ φωνῆς· ἢ γάρ; ναί· οὐκοῦν εἴπερ αὐτὴ αὑτῆς ἀκού-
σεται, φωνὴν ἐχούσης ἑαυτῆς ἀκούσεται· οὐ γὰρ ἂν ἄλλως
ἀκούσειεν· πολλὴ ἀνάγκη· καὶ ἡ ὄψις γέ που ὦ ἄριστε εἴ-
περ ὄψεται αὐτὴ ἑαυτήν, χρῶμά τι αὐτὴν ἀνάγκη ἔχειν· ἄ-
χρων γὰρ ὄψις οὐδὲν μή ποτε ἴδῃ· οὐ γὰρ οὖν· ὁρᾷς
οὖν ὦ κριτία ὅτι ὅσα διεληλύθαμεν· τὰ μὲν αὐτῶν ἀδύνατα
παντάπασι φαίνεται ἡμῖν· τὰ δ᾽ ἀπιστεῖται σφόδρα· μή πο-
τ᾽ ἂν τὴν ἑαυτῶν δύναμιν πρὸς ἑαυτὰ σχεῖν· μεγέθη μὲν
γὰρ καὶ πλήθη καὶ τὰ τοιαῦτα παντάπασιν ἀδύνατον· ἢ οὐ-
χί· πάνυ γε· ἀκοὴ δ᾽ αὖ καὶ ὄψις· καὶ ἔτι γε κίνησις αὐτὴ ἑαυ-
τὴν κινεῖν· καὶ θερμότης κάειν· καὶ πάντα αὖ τὰ τοιαῦτα·
τοῖς μὲν ἀπιστίαν παράσχοι· ἴσως δέ τισιν οὔ· μεγάλου δή
τινος ὦ φίλε ἀνδρὸς δεῖ· ὅστις τοῦτο κατὰ πάντων ἱκανῶς
διαιρήσεται· πότερον οὐδὲν τῶν ὄντων τὴν αὑτοῦ δύνα-
μιν αὐτὸ πρὸς ἑαυτὸ πέφυκεν ἔχειν πλὴν ἐπιστήμης· ἀλλὰ
πρὸς ἄλλο· ἢ τὰ μέν, τὰ δ᾽ οὔ· καὶ εἰ ἔστιν αὖ ἅτινα αὐτὰ πρὸς
αὑτὰ ἔχει· ἆρ᾽ ἐν τούτοις ἐστὶν ἐπιστήμη ἣν δὴ ἡμεῖς σωφρο-
σύνην φαμὲν εἶναι· ἐγὼ μὲν οὐ πιστεύω ἐμαυτῷ ἱκανὸς εἶ-
ναι ταῦτα διελέσθαι· διὸ καὶ οὔτ᾽ εἰ δυνατόν ἐστι τοῦτο γενέ-
σθαι ἐπιστήμης ἐπιστήμην εἶναι, ἔχω διισχυρίσασθαι· οὔ-
τ᾽ εἰ ὅτι μάλιστα ἔστι, σωφροσύνην ἀποδέχομαι αὐτὸ εἶναι·
πρὶν ἂν ἐπισκέψωμαι εἴτε τι ἂν ἡμᾶς ὠφελοῖ τοιοῦτον ὂν
εἴτε μή· τὴν γὰρ οὖν δὴ σωφροσύνην ὠφέλιμόν τι καὶ ἀ-
γαθὸν μαντεύομαι εἶναι· σὺ οὖν ὦ παῖ καλλαίσχρου τίθεσαι

γὰρ σωφροσύνην τοῦτ' εἶναι, ἐπιστήμην ἐπιστήμης καὶ δὴ
καὶ ἀνεπιστημοσύνης· πρῶτον μὲν τοῦτο ἐνδεῖξαι ὅτι δυ-
νατὸν ἀποδεῖξαι, ὃ νῦν δὴ ἔλεγον· ἔπειτα πρὸς τῷ δυ-
νατῷ, ὅτι καὶ ὠφέλιμον· κἀμὲ τάχ' ἂν ἀποπληρώσαις
ὡς ὀρθῶς λέγεις περὶ σωφροσύνης ὃ ἔστι. Καὶ ὁ Κριτίας
ἀκούσας ταῦτα καὶ ἰδών με ἀποροῦντα· ὥσπερ οἱ τοὺς χα-
σμωμένους καταντικρὺ ὁρῶντες ταὐτὸν τοῦτο συμπάσχου-
σιν, κἀκεῖνος ἔδοξέ μοι ὑπ' ἐμοῦ ἀποροῦντος ἀναγκασθῆ-
ναι καὶ αὐτὸς ἁλῶναι ὑπὸ ἀπορίας· ἅτε οὖν εὐδοκιμῶν
ἑκάστοτε, ᾐσχύνετο τοὺς παρόντας· καὶ οὔτε συγχωρῆσαί μοι
ἤθελεν ἀδύνατος εἶναι διελέσθαι ἃ προυκαλούμην αὐτόν·
ἔλεγέν τε οὐδὲν σαφές, ἐπικαλύπτων τὴν ἀπορίαν· κἀγὼ
ἡμῖν ἵνα ὁ λόγος προΐοι, εἶπον· ἀλλ' εἰ δοκεῖ ὦ Κριτία, νῦν
μὲν τοῦτο συγχωρήσωμεν, δυνατὸν εἶναι γενέσθαι ἐπιστή-
μην ἐπιστήμης· αὖθις δὲ ἐπισκεψόμεθα, εἴτε οὕτως ἔχει
εἴτε μή· ἴθι δὴ οὖν, εἰ ὅτι μάλιστα δυνατὸν τοῦτο, τί μᾶλλον οἷ-
όν τέ ἐστιν εἰδέναι ἅ τέ τις οἶδε καὶ ἃ μή· τοῦτο γὰρ δήπου
ἔφαμεν εἶναι τὸ γιγνώσκειν αὐτὸν καὶ σωφρονεῖν· ἦ γάρ;
πάνυ γε ἦ δ' ὅς· καὶ συμβαίνει γέ που ὦ σώκρατες· εἰ γάρ τις
ἔχει ἐπιστήμην ἣ αὐτὴ αὑτὴν γιγνώσκει, τοιοῦτος ἂν αὐ-
τὸς εἴη, οἷόνπερ ἐστὶν ὃ ἔχει· ὥσπερ ὅταν τάχος τις ἔχῃ,
ταχύς· καὶ ὅταν κάλλος, καλός· καὶ ὅταν γνῶσιν, γιγνώ-
σκων· ὅταν δὲ δὴ γνῶσιν αὐτὴν αὑτῆς τις ἔχῃ, γιγνώ-
σκων που αὐτὸς ἑαυτὸν τότε ἔσται. Οὐ τοῦτο ἦν δ' ἐγὼ ἀμ-
φισβητῶ, ὡς οὐχ ὅταν τὸ αὐτὸ γιγνῶσκον τις ἔχῃ, αὐτὸς αὑ-
τὸν γνώσεται· ἀλλ' ἔχοντι τοῦτο τίς ἀνάγκη εἰδέναι ἅ τε οἶ-
δεν καὶ ἅ τε μὴ οἶδεν; Ὅτι ὦ σώκρατες ταὐτόν ἐστιν τὸ αὐτὸ
ἐκείνῳ. Ἴσως ἔφην· ἀλλ' ἐγὼ κινδυνεύω ἀεὶ ὅμοιος εἶναι·
οὐ γὰρ αὖ μανθάνω ὡς ἔστιν τὸ αὐτὸ, ἃ οἶδεν εἰδέναι καὶ ἅ τις
μὴ οἶδεν εἰδέναι. Πῶς λέγεις ἔφη; Ὧδε ἦν δ' ἐγώ· ἐπιστή-
μη που ἐπιστήμης οὖσα, ἆρα πλέον τι οἵα τε ἔσται διαιρεῖν ἢ
ὅτι τούτοιν τὸ μὲν ἐπιστήμη, τὸ δὲ οὐκ ἐπιστήμη; Οὔκ, ἀλλὰ
τοσοῦτον. Ταὐτὸν οὖν ἐστιν ἐπιστήμη τε καὶ ἀνεπιστημο-
σύνη ὑγιεινοῦ, καὶ ἐπιστήμη τε καὶ ἀνεπιστημοσύνη δικαίου;

οὐδαμῶς: ἀλλὰ τὸ μὲν οἶμαι ἰατρική· τὸ δὲ πολιτική· τὸ δὲ οὐ
δὲν ἄλλο ἢ ἐπιστήμη: πῶς γὰρ οὔ: οὐκοῦν ἐὰν μὴ προσεπίστη-
ται τίς τὸ ὑγιεινὸν καὶ τὸ δίκαιον ἀλλὰ ἐπιστήμην μόνον γιγνώ-
σκῃ, ἅτε τούτου μόνον ἔχων ἐπιστήμην ὅτι μέν τι ἐπίσταται καὶ ὅ-
τι ἐπιστήμην τινὰ ἔχει· εἰκότως ἂν γιγνώσκοι καὶ περὶ αὑ-
τοῦ καὶ περὶ τῶν ἄλλων· ἢ γάρ: ναί: ὅτι δὲ γιγνώσκει ταύτῃ
τῇ ἐπιστήμῃ, πῶς εἴσεται· γιγνώσκει γὰρ δὴ τὸ μὲν ὑγιεινὸν
τῇ ἰατρικῇ, ἀλλ' οὐ σωφροσύνῃ· τὸ δὲ ἁρμονικὸν μουσικῇ,
ἀλλ' οὐ σωφροσύνῃ· τὸ δ' οἰκοδομικὸν οἰκοδομικῇ ἀλλ' οὐ σωφρο-
σύνῃ, καὶ οὕτω πάντα· ἢ οὔ: φαίνεται: σωφροσύνῃ δέ, εἴπερ
μόνον ἐστὶν ἐπιστημῶν ἐπιστήμη· πῶς εἴσεται, ὅτι τὸ ὑγιεινὸν
γιγνώσκει, ἢ ὅτι τὸ οἰκοδομικόν: οὐδαμῶς: οὐκ ἄρα εἴσε-
ται ὃ οἶδεν, ὁ τοῦτο ἀγνοῶν· ἀλλ' ὅτι οἶδεν μόνον: ἔοικεν: οὐ
κ ἄρα σωφρονεῖν τοῦτ' ἂν εἴη οὐδὲ σωφροσύνη, εἰδέναι ἅ τε
οἶδεν καὶ ἃ μὴ οἶδεν· ἀλλ' ὡς ἔοικεν ὅτι οἶδεν καὶ ὅτι οὐκ οἶδεν
μόνον: κινδυνεύει: οὐδὲ ἄλλον ἄρα οἷός τε ἔσται οὗτος ἐξετά-
σαι φάσκοντά τι ἐπίστασθαι πότερον ἐπίσταται ὃ φησὶν ἐπίστα-
σθαι ἢ οὐκ ἐπίσταται· ἀλλὰ τοσοῦτον μόνον ὡς ἔοικε γνώσεται,
ὅτι ἔχει τινὰ ἐπιστήμην· ὅτου δέ γε ἡ σωφροσύνη οὐ ποιήσει
αὐτὸν γιγνώσκειν: οὐ φαίνεται: οὔτε ἄρα τὸν προσποιούμε-
νον ἰατρὸν εἶναι ὄντα δὲ μή, καὶ τὸν ὡς ἀληθῶς ὄντα, οἷός τε
ἔσται διακρίνειν· οὔτε ἄλλον οὐδένα τῶν ἐπιστημόνων καὶ μή· σκε-
ψώμεθα δὲ ἐκ τῶνδε· εἰ μέλλει ὁ σώφρων ἢ ὁστισοῦν ἄλλος τὸν
ὡς ἀληθῶς ἰατρὸν διαγνώσεσθαι καὶ τὸν μή, ἆρ' οὐχ ὧδε ποιή-
σει; περὶ μὲν ἰατρικῆς δήπου αὐτῷ οὐ διαλέξεται· οὐδὲν γὰρ
ἐπαΐει ὡς ἔφαμεν ὁ ἰατρὸς ἀλλ' ἢ τὸ ὑγιεινὸν καὶ τὸ νοσῶδες·
ἢ οὔ: ναί οὕτως: περὶ δέ γε ἐπιστήμης οὐδὲν οἶδεν· ἀλλὰ
τοῦτο δὴ τῇ σωφροσύνῃ μόνῃ ἀπέδομεν: ναί: οὐδὲ περὶ
ἰατρικῆς ἄρα οἶδεν ὁ ἰατρικός· ἐπειδήπερ ἡ ἰατρικὴ ἐπι-
στήμη οὖσα τυγχάνει: ἀληθῆ: ὅτι μὲν δὴ ἐπιστήμην τινὰ ἔχει
γνώσεται ὁ σώφρων τὸν ἰατρόν· δέον δὲ πεῖραν λαβεῖν ἥτις ἐ-
στίν, ἄλλο τι σκέψεται ὧντινων· ἢ οὐ τούτῳ ὥρισται ἑκάστη ἐπι-
στήμη μὴ μόνον ἐπιστήμη εἶναι, ἀλλὰ καὶ τίς, τῷ τινῶν εἶναι:
τούτῳ μὲν οὖν: καὶ ἡ ἰατρικὴ δὴ ἑτέρα εἶναι τῶν ἄλλων ἐπιστη-

μὴν ἀφορίσθη τοῖς ὑγιεινοῖς τε καὶ νοσώδεσιν ἐπιστήμη· ναί·
οὐκοῦν ἐν τούτοις ἀναγκάζεται σκοπεῖν τὸν βουλόμενον ἰατρι-
κὴν σκοπεῖν ἐν οἷς ποτ' ἔστιν· οὐ γὰρ δή που ἔν γε τοῖς ἔξω ἐν οἷς
οὐκ ἔστιν· οὐ δῆτα· ἐν τοῖς ὑγιεινοῖς ἄρα καὶ νοσώδεσιν ἐπισκέ-
ψεται τὸν ἰατρὸν ᾗ ἰατρικός ἐστιν ὁ ὀρθῶς σκοπούμενος·
ἔοικεν· οὐκοῦν ἐν τοῖς οὕτως ἢ λεγομένοις ἢ πραττομέ-
νοις· τὰ μὲν λεγόμενα εἰ ἀληθῆ λέγεται σκοπούμενος· τὰ
δὲ πραττόμενα εἰ ὀρθῶς πράττεται; ἀνάγκη· ἢ οὖν ἄνευ ἰ-
ατρικῆς δύναιτ' ἄν τις τούτων ποτέροις ἐπακολουθῆσαι·
οὐ δῆτα· οὐδέ γε ἄλλος οὐδεὶς ὡς ἔοικεν πλὴν ἰατρός· οὔτε
δὴ ὁ σώφρων· ἰατρὸς γὰρ ἂν εἴη πρὸς τῇ σωφροσύνῃ· ἔστι ταῦτα·
παντὸς ἄρα μᾶλλον εἰ ἡ σωφροσύνη ἐπιστήμης ἐπιστήμη μό-
νον ἐστὶ καὶ ἀνεπιστημοσύνης· οὔτε ἰατρὸν διακρῖναι οἵα τε
ἔσται ἐπιστάμενον τὰ τῆς τέχνης ἢ μὴ ἐπιστάμενον, προσποιού-
μενον δὲ ἢ οἰόμενον· οὔτε ἄλλον οὐδένα τῶν ἐπισταμένων· καὶ
ὅτι οὖν πλήν γε τὸν αὑτοῦ ὁμότεχνον, ὥσπερ οἱ ἄλλοι δημιουργοί·
φαίνεται ἔφη· τίς οὖν ἦν δ' ἐγὼ ὦ κριτία ὠφελία ἡμῖν ἔτι ἂν
εἴη ἀπὸ τῆς σωφροσύνης τοιαύτης οὔσης· εἰ μὲν γὰρ ὃ ἐξ ἀρ-
χῆς ὑπετιθέμεθα ᾔδει ὁ σώφρων ἅ τε ᾔδει καὶ ἃ μὴ ᾔδει· τὰ
μέν, ὅτι οἶδεν· τὰ δ' ὅτι οὐκ οἶδεν· καὶ ἄλλον ταὐτὸν τοῦτο πεπον-
θότα ἐπισκέψασθαι οἷός τ' ἦν· μεγαλωστὶ ἂν ἡμῖν φαμὲν ὠφέλι-
μον ἦν σώφροσιν εἶναι· ἀναμάρτητοι γὰρ ἂν τὸν βίον διεζῶμεν·
αὐτοί τε καὶ οἱ τὴν σωφροσύνην ἔχοντες καὶ οἱ ἄλλοι πάντες·
ὅσοι ὑφ' ἡμῶν ἤρχοντο· οὔτε γὰρ ἂν αὐτοὶ ἐπεχειροῦμεν πράτ-
τειν ἃ μὴ ἠπιστάμεθα· ἀλλ' ἐξευρίσκοντες τοὺς ἐπισταμένους·
ἐκείνοις ἂν παρεδίδομεν, οὔτε τοῖς ἄλλοις ἐπετρέπομεν ὧν
ἤρχομεν ἄλλο τι πράττειν ἢ ὅτι πράττοντες ὀρθῶς ἔμελλον
πράξειν· τοῦτο δ' ἦν ἄν οὗ ἐπιστήμην εἶχον· καὶ οὕτω δὴ ὑπὸ
σωφροσύνης οἰκία οἰκουμένη ἔμελλεν καλῶς οἰκεῖσθαι· πόλις
τε πολιτευομένη καὶ ἄλλο τι πᾶν, οὗ σωφροσύνη ἄρχοι· ἁμαρ-
τίας γὰρ ἐξῃρημένης· ὀρθότητος δὲ ἡγουμένης ἐν πάσῃ
πράξει καλῶς πράττειν· ἀναγκαῖον καὶ εὖ πράττειν,
τοὺς οὕτω διακειμένους· τοὺς δὲ εὖ πράττοντας εὐδαίμο-
νας εἶναι· ἆρ' οὐχ οὕτως ἦν δ' ἐγὼ ὦ κριτία ἐλέγομεν περὶ

σωφροσύνης λέγοντες, ὅσον ἂν ἀγαθὸν εἴη τὸ εἰδέναι ἅ τε οἶδέν
τις, καὶ ἃ μὴ οἶδεν; Πάνυ μὲν οὖν ἔφη οὕτως. Μῶν δέ, ἦν δ' ἐγώ, ὁ-
ρᾷς, ὅτι οὐδαμοῦ ἐπιστήμη οὐδεμία τοιαύτη οὖσα πέφανται;
Ὁρῶ ἔφη. Ἆρ' οὖν, ἦν δ' ἐγώ, τοῦτ' ἔχει τὸ ἀγαθὸν ἣν νῦν εὑρί-
σκομεν σωφροσύνην οὖσαν, τὸ ἐπιστήμην ἐπίστασθαι καὶ ἀνε-
πιστημοσύνην, ὅτι ὁ ταύτην ἔχων, ὅ,τι ἂν ἄλλο μανθάνῃ, ῥᾷ-
όν τε μαθήσεται καὶ ἐναργέστερα πάντα αὐτῷ φανεῖται, ἅτε
πρὸς ἑκάστῳ ᾧ ἂν μανθάνῃ προσκαθορῶντι τὴν ἐπιστή-
μην· καὶ τοὺς ἄλλους δὴ κάλλιον ἐξετάσει περὶ ὧν ἂν καὶ αὐτὸς
μάθῃ· οἱ δὲ ἄνευ τούτου ἐξετάζοντες ἀσθενέστερον καὶ φαυ-
λότερον τοῦτο δράσουσιν. Ἆρ', ὦ φίλε, τοιαῦτα ἄττα ἐστὶν ἃ
ἀπολαυσόμεθα τῆς σωφροσύνης; ἡμεῖς δὲ μεῖζόν τι βλέ-
πομεν, καὶ ζητοῦμεν αὐτὸ μεῖζόν τι εἶναι ἢ ὅσον ἐστίν; Τάχα
δ' ἄν, ἔφη, οὕτως ἔχοι. Ἴσως, ἦν δ' ἐγώ. Ἴσως δὲ ἡμεῖς οὐ-
δὲν χρηστὸν ἐζητήσαμεν. τεκμαίρομαι δέ, ὅτι μοι ἄτοπ' ἄττα
καταφαίνεται περὶ σωφροσύνης, εἰ τοιοῦτόν ἐστιν. ἴδωμεν
γάρ, εἰ βούλει, συγχωρήσαντες καὶ ἐπίστασθαι ἐπιστήμην δυ-
νατὸν εἶναι εἰδέναι, καὶ ὅ γε ἐξ ἀρχῆς ἐτιθέμεθα σωφροσύ-
νην εἶναι, τὸ εἰδέναι ἅ τε οἶδεν καὶ ἃ μὴ οἶδεν μὴ ἀποστερή-
σωμεν, ἀλλὰ δῶμεν· καὶ πάντα ταῦτα δόντες ἔτι βέλτιον σκε-
ψώμεθα, εἰ ἄρα τι καὶ ἡμᾶς ὀνήσει τοιοῦτον ὄν. ἃ γὰρ νυνδὴ
ἐλέγομεν, ὡς μέγα ἂν εἴη ἀγαθὸν ἡ σωφροσύνη εἰ τοιοῦ-
τον εἴη, ἡγουμένη διοικήσεως καὶ οἰκίας καὶ πόλεως, οὔ
μοι δοκοῦμεν, ὦ Κριτία, καλῶς ὡμολογηκέναι. Πῶς δή; ἦ δ' ὅς.
Ὅτι, ἦν δ' ἐγώ, ῥᾳδίως ὡμολογήσαμεν μέγα τι ἀγαθὸν εἶναι
τοῖς ἀνθρώποις εἰ ἕκαστοι ἡμῶν, ἃ μὲν ἴσασιν, πράττοιεν
ταῦτα· ἃ δὲ μὴ ἐπίσταιντο, ἄλλοις παραδιδοῖεν τοῖς ἐπιστα-
μένοις. Οὐκ οὖν, ἔφη, καλῶς ὡμολογήσαμεν; Οὔ μοι δοκοῦ-
μεν, ἦν δ' ἐγώ. Ἄτοπα λέγεις ὡς ἀληθῶς, ἔφη, ὦ Σώκρα-
τες. Νὴ τὸν κύνα, ἔφην, καὶ ἐμοί τοι δοκεῖ οὕτως· κἀνταῦθα
καὶ ἄρτι ἀποβλέψας ἄτοπ' ἔφην μοι προφαίνεσθαι, καὶ ὅ-
τι φοβοίμην μὴ οὐκ ὀρθῶς σκοποῖμεν. ὡς ἀληθῶς γάρ, εἰ
ὅτι μάλιστα τοιοῦτόν ἐστιν ἡ σωφροσύνη, οὐδέν μοι δῆλον εἶ-
ναι δοκεῖ ὅτι ἀγαθὸν ἡμᾶς ἀπεργάζεται. Πῶς δή; ἦ δ' ὅς.

λέγε· ἵνα καὶ ἡμᾶς εἰδῶμεν ὅτι λέγεις: οἶμαι μὲν ἦν δ' ἐγὼ
λῆρ' ἄττα μέλλειν· ὅμως τό γε προφαινόμενον ἀναγκαῖον σκοπεῖν καὶ
μὴ εἰκῇ παριέναι, εἴ τίς γε αὑτοῦ καὶ σμικρὸν κήδεται: καλῶς
γὰρ ἔφη λέγεις: ἄκουε δὴ ἔφην τὸ ἐμὸν ὄναρ· εἴτε διὰ κε-
ράτων εἴτε δι' ἐλέφαντος ἐλήλυθεν· εἰ γὰρ ὅτι μάλιστα ἡμῶν ἄρ-
χοι ἡ σωφροσύνη, οὖσα οἵαν νῦν ὁριζόμεθα· ἄλλο τι κατὰ
τὰς ἐπιστήμας ἂν πράττοιτο· καὶ οὔτε τις κυβερνήτης φά-
σκων εἶναι ὢν δὲ οὔ, ἐξαπατᾷ ἂν ἡμᾶς· οὔτε ἰατρός· οὔτε στρα-
τηγός· οὔτ' ἄλλος οὐδεὶς προσποιούμενός τι εἰδέναι ὃ μὴ οἶ-
δεν, λανθάνοι ἄν· ἐκ δὴ τούτων οὕτως ἐχόντων· ἄλλο ἂν ἡμῖν
τι ξυμβαίνοι· ἢ ὑγιέσιν τε τὰ σώματα εἶναι μᾶλλον ἢ νῦν καὶ
ἐν τῇ θαλάττῃ κινδυνεύοντας· καὶ ἐν πολέμῳ σῴζεσθαι·
καὶ τὰ σκεύη καὶ τὴν ἀμπεχόνην καὶ ὑπόδεσιν πᾶσαν καὶ
τὰ χρήματα πάντα τεχνικῶς ἡμῖν εἰργασμένα εἶναι· καὶ
ἄλλα πολλὰ διὰ τὸ ἀληθινοῖς δημιουργοῖς χρῆσθαι· εἰ δὲ βού-
λοιό γε καὶ τὴν μαντικὴν εἶναι ξυγχωρήσωμεν ἐπιστήμην
τοῦ μέλλοντος ἔσεσθαι· καὶ τὴν σωφροσύνην αὐτῆς ἐπι-
στατοῦσαν· τοὺς μὲν ἀλαζόνας ἀποτρέπειν· τοὺς δὲ ὡς
ἀληθῶς μάντεις καθιστάναι ἡμῖν προφήτας τῶν μελλόν-
των· κατεσκευασμένον δὴ οὕτω τὸ ἀνθρώπινον γένος· ὅ-
τι μὲν ἐπιστημόνως ἂν πράττοι καὶ ζῴη· ἕπομαι· ἡ γὰρ
σωφροσύνη φυλάττουσα, οὐκ ἂν ἐῴη παρεμπίπτουσαν
τὴν ἀνεπιστημοσύνην ξυνεργὸν ἡμῖν εἶναι· ὅτι δ' ἐπιστημό-
νως ἂν πράττοντες· εὖ ἂν πράττοιμεν καὶ εὐδαιμονοῖμεν·
τοῦτο δὲ· οὔπω δυνάμεθα μαθεῖν ὦ φίλε κριτία: ἀλλὰ μέν-
τοι ἦ δ' ὅς, οὐ ῥᾳδίως εὑρήσεις ἄλλο τι τέλος τοῦ εὖ πράτ-
τειν, ἐὰν τὸ ἐπιστημόνως ἀτιμάσῃς: σμικρὸν τοίνυν με
ἦν δ' ἐγὼ ἔτι προσδίδαξον. τίνος ἐπιστημόνως λέγεις· ἢ
σκυτοτομικῆς: μὰ δί' οὐκ ἔγωγε: ἀλλὰ χαλκευτικῆς ἐργασίας:
οὐδαμῶς: ἀλλὰ ἐρίων ἢ ξύλων ἢ ἄλλου του τῶν τοιούτων:
οὐ δῆτα: οὐκ ἄρα ἦν δ' ἐγὼ, ἔτι ἐμμένομεν τῷ λόγῳ τῷ εὐ-
δαίμονα εἶναι, τὸν ἐπιστημόνως ζῶντα· οὗτοι γὰρ ἐπιστημό-
νως ζῶντες· οὐχ ὁμολογοῦνται παρὰ σοῦ εὐδαίμονες
εἶναι· ἀλλὰ περί τινων ἐπιστημόνως ζῶντα, σὺ δοκεῖς μοι

ἀφορίζεσθαι τὸν εὐδαίμονα· καὶ ἴσως λέγεις, ὃν νῦν δὴ ἐγὼ
ἔλεγον, τὸν εἰδότα τὰ μέλλοντα ἔσεσθαι πάντα· τὸν μάντιν τοῦτον
ἢ ἄλλον τινὰ λέγεις; καὶ τοῦτον ἔγωγε ἔφη καὶ ἄλλον· τίνα
ἦν δ' ἐγώ· ἆρ' ἄν τινα τὸν τοιόνδε, εἴ τις πρὸς τοῖς μέλλουσι καὶ τὰ γε-
γονότα πάντα εἰδείη καὶ τὰ νῦν ὄντα καὶ μηδὲν ἀγνοοῖ; θῶμεν
γάρ τινα εἶναι αὐτόν· οὐ γὰρ οἶμαι τούτου γε ἔτι ἂν εἴποις οὐ-
δένα ἐπιστημονέστερον ζῶντα εἶναι· οὐ δῆτα· τόδε δὴ ἔτι προσ-
ποθῶ· τίς αὐτὸν τῶν ἐπιστημῶν ποιεῖ εὐδαίμονα; ἢ ἅπασαι
ὁμοίως; οὐδαμῶς ὁμοίως ἔφη· ἀλλὰ ποίᾳ μάλιστα; ᾗ τί οἶ-
δεν καὶ τῶν ὄντων καὶ τῶν γεγονότων καὶ τῶν μελλόντων ἔσεσθαι·
ἆρά γε ᾗ τὸ πεττευτικόν; ποῖον ἦ δ' ὃς πεττευτικόν; ἀλλ' ᾗ
τὸ λογιστικόν; οὐδαμῶς· ἀλλ' ᾗ τὸ ὑγιεινόν; μᾶλλον ἔφη· ἐ-
κείνη δ' ἣν λέγω μάλιστα ἦν δ' ἐγώ ᾗ τί; ᾗ τὸ ἀγαθὸν ἔφη καὶ τὸ κακόν·
ὦ μιαρὲ ἔφην ἐγὼ πάλαι με περιέλκεις κύκλῳ ἀποκρυπτόμενος
ὅτι οὐ τὸ ἐπιστημόνως ἦν ζῆν τὸ εὖ πράττειν τε καὶ εὐδαιμονεῖν
ποιοῦν· οὐδὲ ξυμπασῶν τῶν ἄλλων ἐπιστημῶν, ἀλλὰ μιᾶς οὔ-
σης ταύτης μόνον τῆς περὶ τὸ ἀγαθόν τε καὶ κακόν· ἐπεὶ ὦ
Κριτία εἰ ἐθέλεις ἐξελεῖν ταύτην τὴν ἐπιστήμην ἐκ τῶν ἄλλων
ἐπιστημῶν, ἧττόν τι ἡ μὲν ἰατρικὴ ὑγιαίνειν ποιήσει· ἡ δὲ σκυ-
τικὴ ὑποδεδέσθαι· ἡ δὲ ὑφαντικὴ ἀμφιέσθαι· ἡ δὲ κυβερνη-
τικὴ κωλύσει ἐν τῇ θαλάττῃ ἀποθνήσκειν· καὶ ἡ στρατη-
γικὴ ἐν πολέμῳ; οὐδὲν ἧττον ἔφη· ἀλλ' ὦ φίλε Κριτία τὸ
εὖ γε τούτων ἕκαστα γίγνεσθαι καὶ ὠφελίμως ἀπολελοιπὸς
ἡμᾶς ἔσται ταύτης ἀπούσης· ἀληθῆ λέγεις· οὐχ αὕτη δέ
γε ὡς ἔοικεν ἐστὶν ἡ σωφροσύνη· ἀλλ' ἧς ἔργον ἐστὶ τὸ ὠφε-
λεῖν ἡμᾶς· οὐ γὰρ ἐπιστημῶν γε καὶ ἀνεπιστημοσυνῶν ἡ ἐπιστή-
μη ἐστίν, ἀλλὰ ἀγαθοῦ τε καὶ κακοῦ· ὥστε εἰ αὕτη ἐστὶν ὠφέλιμος
ἡ σωφροσύνη ἄλλη τις ἂν εἴη ἡ ὠφελίμη ἡμῖν· τί δ' ἦ δ' ὅς οὐκ ἂν
αὕτη ὠφελοῖ; εἰ γὰρ ὅτι μάλιστα τῶν ἐπιστημῶν ἐπιστήμη ἐστὶν ἡ σω-
φροσύνη, ἐπιστατεῖ δὲ καὶ ταῖς ἄλλαις ἐπιστήμαις, καὶ ταύ-
της δήπου ἂν ἄρχουσα τῆς περὶ τἀγαθὸν ἐπιστήμης ὠφε-
λοῖ ἂν ἡμᾶς· ἦ καὶ ὑγιαίνειν ποιοῖ ἦν δ' ἐγὼ αὕτη, ἀλλ' οὐχ ἡ
ἰατρική; καὶ τἆλλα τὰ τῶν τεχνῶν αὐτὴ ἂν ποιοῖ, καὶ οὐχ αἱ ἄλ-
λαι τὸ αὑτῆς ἔργον ἑκάστη; ἢ οὐ πάλαι διεμαρτυρόμεθα ὅτι

ἐπιστήμης μόνον ἐστὶν καὶ ἀνεπιστημοσύνης ἐπιστήμη ἄλλου δὲ οὐ
δενός. οὐχ οὕτω· φαίνεταί γε· οὐκ ἄρα ὑγιείας ἔσται δημιουρ
γός· οὐ δῆτα· ἄλλης γὰρ ἦν τέχνης ὑγίεια ἢ οὔ· ἄλλης· οὐ
δ᾽ ἄρα ὠφελίας ὦ ἑταῖρε· ἄλλῃ γὰρ αὖ ἀπέδομεν τοῦτο τὸ ἔρ
γον τέχνῃ νῦν δή· ἢ γάρ· πάνυ γε· πῶς οὖν ὠφέλιμος ἔσται
ἡ σωφροσύνη οὐδεμιᾶς ὠφελίας οὖσα δημιουργός· οὐ
δαμῶς ὦ σώκρατες ἔοικέν γε· ὁρᾷς οὖν ὦ κριτία ὡς
ἐγὼ πάλαι εἰκότως ἐδεδοίκη καὶ δικαίως ἐμαυτὸν ᾐτιώ
μην ὅτι οὐδὲν χρηστὸν περὶ σωφροσύνης σκοπῶ· οὐ γὰρ ἄν
που ὅ γε κάλλιστον πάντων ὁμολογεῖται εἶναι· τοῦτο ἡμῖν
ἀνωφελὲς ἐφάνη εἴ τι ἐμοῦ ὄφελος ἦν πρὸς τὸ καλῶς ζητεῖν·
νῦν δὲ πανταχῇ γὰρ ἡττώμεθα καὶ οὐ δυνάμεθα εὑρεῖν ἐφ᾽ ὅ
τῳ ποτὲ τῶν ὄντων ὁ νομοθέτης τοῦτο τοὔνομα ἔθετο τὴν
σωφροσύνην· καίτοι πολλά γε ξυγκεχωρήκαμεν οὐ ξυμβαί
νονθ᾽ ἡμῖν ἐν τῷ λόγῳ· καὶ γὰρ ἐπιστήμην ἐπιστήμης εἶναι ξυ
νεχωρήσαμεν οὐκ ἐῶντος τοῦ λόγου οὐδὲ φάσκοντος εἶ
ναι· καὶ ταύτῃ αὖ τῇ ἐπιστήμῃ καὶ τὰ τῶν ἄλλων ἐπιστημῶν ἔργα
γιγνώσκειν ξυνεχωρήσαμεν οὐδὲ τοῦτ᾽ ἐῶντος τοῦ λόγου
ἵνα δὴ ἡμῖν γένοιτο ὁ σώφρων ἐπιστήμων ὧν τε οἶδεν ὅτι οἶ
δεν καὶ ὧν μὴ οἶδεν ὅτι οὐκ οἶδεν· τοῦτο μὲν δὴ καὶ παντάπασι
μεγαλοπρεπῶς ξυνεχωρήσαμεν οὐδ᾽ ἐπισκεψάμενοι τὸ ἀ
δύνατον εἶναι ἅ τις μὴ οἶδεν μηδαμῶς ταῦτα εἰδέναι ἁμῶς
γέ πως· ὅτι γὰρ οὐκ οἶδεν φησὶν αὐτὰ εἰδέναι ἡ ἡμετέρα ὁμο
λογία· καίτοι ὡς ἐγᾦμαι οὐδενὸς ὅτου οὐχὶ ἀλογώτερον
τοῦτ᾽ ἂν φανείη· ἀλλ᾽ ὅμως οὕτως ἡμῶν εὐηθικῶν τυχοῦσα ἡ
ζήτησις καὶ οὐ σκληρῶν οὐδέν τι μᾶλλον εὑρεῖν δύναται τὴν
ἀλήθειαν· ἀλλὰ τοσοῦτον κατεγέλασεν αὐτῆς ὥστε ὃ ἡμεῖς
πάλαι ξυνομολογοῦντες καὶ ξυμπλάττοντες ἐτιθέμεθα σω
φροσύνην εἶναι· τοῦτο ἡμῖν πάνυ ὑβριστικῶς ἀνωφελὲς ὂν
ἀπέφαινε· τὸ μὲν οὖν ἐμὸν καὶ ἧττον ἀγανακτῶ· ὑπὲρ δὲ
σοῦ ἦν δ᾽ ἐγὼ ὦ χαρμίδη πάνυ ἀγανακτῶ εἰ σὺ τοιοῦτος ὢν
τὴν ἰδέαν καὶ πρὸς τούτῳ τὴν ψυχὴν σωφρονέστατος μηδὲν
ὀνήσῃ ἀπὸ ταύτης τῆς σωφροσύνης μηδέ τί σε ὠφελήσῃ
ἐν τῷ βίῳ παροῦσα· ἔτι δὲ μᾶλλον ἀγανακτῶ ὑπὲρ τῆς ἐπω

δίας ἣν παρὰ τοῦ θρᾳκὸς ἔμαθον, ἐπὶ μηδενὸς ἀξίου πρά-
γματος οὖσαν αὐτὴν μετὰ πολλῆς πραγματείας ἐμάνθανον.
ταῦτ' οὖν πάνυ μὲν οὐκ οἴομαι οὕτως ἔχειν· ἀλλ' ἐμὲ φαῦ-
λον εἶναι ζητητήν· ἐπεὶ τήν γε σωφροσύνην μέγα τι ἀγα-
θὸν εἶναι· καὶ εἴπερ γε ἔχεις αὐτὸ, μακάριον εἶναί σε· ἀλλ' ὅ-
ρα εἰ ἔχεις τε, καὶ μηδὲν δέῃ τῆς ἐπῳδῆς· εἰ γὰρ ἔχεις, μᾶλ-
λον ἂν ἔγωγέ σοι συμβουλεύσαιμι, ἐμὲ μὲν λῆρον ἡγεῖσθαι
εἶναι, καὶ ἀδύνατον λόγῳ ὁτιοῦν ζητεῖν· σεαυτὸν δὲ ὅσ-
ῳπερ σωφρονέστερος εἶ, τοσούτῳ εἶναι καὶ εὐδαιμονέστερον:
καὶ ὁ χαρμίδης· ἀλλὰ μὰ δί' ἦ δ' ὅς, ἔγωγε ὦ σώκρατες οὐ-
κ οἶδα, οὔτ' εἰ ἔχω οὔτ' εἰ μὴ ἔχω· πῶς γὰρ ἂν εἰδείην, ὅ γε μη-
δ' ὑμεῖς οἷοί τε ἐστὲ ἐξευρεῖν, ὅ τι ποτ' ἔστιν, ὡς φῂς σύ· ἐ-
γὼ μέντοι οὐ πάνυ σοι πείθομαι· καὶ ἐμαυτὸν ὦ σώκρατες
πάνυ οἶμαι δεῖσθαι τῆς ἐπῳδῆς· καὶ τό γ' ἐμὸν οὐδὲν κω-
λύει ἐπᾴδεσθαι ὑπὸ σοῦ, ὅσαι ἡμέραι, ἕως ἂν φῂς σὺ ἱ-
κανῶς ἔχειν: εἶεν· ἀλλ' ἔφη ὁ κριτίας ὦ χαρμίδη δρᾷς
τοῦτο· ἐμοὶ γ' ἔσται τοῦτο τεκμήριον ὅτι σωφρονεῖς, ἢν ἐ-
πᾴδειν παρέχῃς σωκράτει, καὶ μὴ ἀπολείπῃ τούτου,
μήτε μέγα μήτε σμικρόν: ὡς ἀκολουθήσοντος ἔφη καὶ
μὴ ἀπολειψομένου· δεινὰ γὰρ ἂν ποιοίην εἰ μὴ πειθοίμην
σοὶ τῷ ἐπιτρόπῳ, καὶ μὴ ποιοίην ἃ κελεύεις: ἀλλὰ μὴν
ἔφη κελεύω ἔγωγε: ποιήσω τοίνυν ἔφη ἀπὸ ταυτησὶ
τῆς ἡμέρας ἀρξάμενος: οὗτοι ἦν δ' ἐγὼ, τί βουλεύεσθον
ποιεῖν: οὐδὲν ἔφη ὁ χαρμίδης· ἀλλὰ βεβουλεύμεθα:
βιάσῃ ἄρα ἦν δ' ἐγὼ, καὶ οὐδ' ἀνάκρισίν μοι δώσεις; ὡς
βιασομένου ἔφη, ἐπειδήπερ ὅδε γε ἐπιτάττει· πρὸς ταῦ-
τα σὺ αὖ βούλευου ὅτι ποιήσεις: ἀλλ' οὐδεμία ἔφην ἐγὼ
λ λείπεται βουλή· σοὶ γὰρ ἐπιχειροῦντι πράττειν ὁτιοῦν καὶ
βιαζομένῳ, οὐδεὶς οἷός τ' ἔσται ἐναντιοῦσθαι ἀνθρώπων:
μὴ τοίνυν ἦ δ' ὅς, μηδὲ σὺ ἐναντιοῦ: οὐ τοίνυν ἦν δ' ἐγὼ
ἐναντιώσομαι ~ χαρμίδης ἢ περὶ σωφροσύνης

Λάχης ἢ περὶ ἀνδρείας

Τεθέασθε μὲν τὸν ἄνδρα μαχόμενον ἐν ὅπλοις, ὦ Νικία τε καὶ Λάχης· οὗ δ' ἕνεκα ὑμᾶς ἐκελεύσαμεν συνθεάσασθαι ἐγώ τε καὶ Μελησίας ὅδε, τότε μὲν οὐκ εἴπομεν, νῦν δ' ἐροῦμεν. ἡγούμεθα γὰρ χρῆναι πρός γε ὑμᾶς παρρησιάζεσθαι. εἰσὶ γάρ τινες οἳ τῶν τοιούτων καταγελῶσι, καὶ ἐάν τις αὐτοῖς συμβουλεύσηται, οὐκ ἂν εἴποιεν ἃ νοοῦσιν, ἀλλὰ στοχαζόμενοι τοῦ συμβουλευομένου ἄλλα λέγουσι παρὰ τὴν αὑτῶν δόξαν· ὑμᾶς δὲ ἡμεῖς ἡγησάμενοι καὶ ἱκανοὺς γνῶναι καὶ γνόντας ἁπλῶς ἂν εἰπεῖν ἃ δοκεῖ ὑμῖν, οὕτω παρελάβομεν ἐπὶ τὴν συμβουλὴν περὶ ὧν μέλλομεν ἀνακοινοῦσθαι. ἔστιν οὖν τοῦτο, περὶ οὗ πάλαι τοσαῦτα προοιμιάζομαι, τόδε. ἡμῖν εἰσὶν ὑεῖς οὑτοιί, ὅδε μὲν τοῦδε, πάππου ἔχων ὄνομα Θουκυδίδης, ἐμὸς δὲ αὖ ὅδε· παππῷον δὲ καὶ οὗτος ὄνομ' ἔχει τοὐμοῦ πατρός· Ἀριστείδην γὰρ αὐτὸν καλοῦμεν· ἡμῖν οὖν τούτων δέδοκται ἐπιμεληθῆναι ὡς οἷόν τε μάλιστα, καὶ μὴ ποιῆσαι ὅπερ οἱ πολλοί, ἐπειδὴ μειράκια γέγονεν, ἀνεῖναι αὐτοὺς ὅτι βούλονται ποιεῖν, ἀλλὰ νῦν δὴ καὶ ἄρχεσθαι αὐτῶν ἐπιμελεῖσθαι καθ' ὅσον οἷοί τ' ἐσμέν. εἰδότες οὖν καὶ ὑμῖν ὑεῖς ὄντας ἡγησάμεθα μεμεληκέναι περὶ αὐτῶν, εἴπερ τισὶν ἄλλοις, πῶς ἂν θεραπευθέντες γένοιντο ἄριστοι· εἰ δ' ἄρα πολλάκις μὴ προσεσχήκατε τὸν νοῦν τῷ τοιούτῳ, ὑπομνήσοντες ὅτι οὐ χρὴ αὐτοῦ ἀμελεῖν, καὶ παρακαλοῦντες ὑμᾶς ἐπὶ τὸ ἐπιμέλειάν τινα ποιήσασθαι τῶν ὑέων κοινῇ μεθ' ἡμῶν. ὅθεν δὲ ἡμῖν ταῦτ' ἔδοξεν, ὦ Νικία τε καὶ Λάχης, χρὴ ἀκοῦσαι, κἂν ᾖ ὀλίγῳ μακρότερα. συσσιτοῦμεν γὰρ δὴ ἐγώ τε καὶ Μελησίας ὅδε.

Καὶ ἡμῖν τὰ μειράκια παρασιτεῖ. ὅπερ οὖν καὶ ἀρχόμενος εἶπον τοῦ λόγου, παρρησιασόμεθα πρὸς ὑμᾶς. ἡμῶν γὰρ ἑκάτερος περὶ τοῦ ἑαυτοῦ πατρὸς πολλὰ καὶ καλὰ ἔργα ἔχει λέγειν πρὸς τοὺς νεανίσκους, καὶ ὅσα ἐν πολέμῳ ἠργάσαντο καὶ ὅσα ἐν εἰρήνῃ, διοικοῦντες τά τε τῶν συμμάχων καὶ τὰ τῆσδε τῆς πόλεως· ἡμέτερα δ' αὐτῶν ἔργα οὐδέτερος ἔχει λέγειν. ταῦτα δὴ ὑπαισχυνόμεθά τε τούσδε καὶ αἰτιώμεθα τοὺς πατέρας ἡμῶν ὅτι ἡμᾶς μὲν εἴων

τρυφᾶν ἐπειδὴ μειράκια ἐγενόμεθα· τὰ δὲ τῶν ἄλλων πρά-
γματα ἔπραττον· καὶ τοῖσδε τοῖς νεανίσκοις αὐτὰ ταῦτα
ἐνδεικνύμεθα λέγοντες· ὅτι εἰ μὲν ἀμελήσουσιν ἑαυτῶν,
καὶ μὴ πείσονται ἡμῖν, ἀκλεεῖς γενήσονται· εἰ δ' ἐπιμελήσον-
ται· τάχ' ἂν τῶν ὀνομάτων ἄξιοι γένοιντο ἃ ἔχουσιν· οὗτοι
μὲν οὖν φασὶν πείσεσθαι· ἡμεῖς δὲ δὴ, τοῦτο σκοποῦμεν· τί
ἂν οὗτοι μαθόντες ἢ ἐπιτηδεύσαντες ὅτι ἄριστοι γένοιντο·
εἰσηγήσατο οὖν τις ἡμῖν καὶ τοῦτο τὸ μάθημα, ὅτι καλὸν εἴη
τῷ νέῳ μαθεῖν ἐν ὅπλοις μάχεσθαι· καὶ ἐπῄνει τοῦτον
ὃν νῦν ὑμεῖς ἐθεάσασθε ἐπιδεικνύμενον· κᾆτ' ἐκέλευε
θεάσασθαι· ἔδοξε δὴ χρῆναι αὐτούς τε ἐλθεῖν ἐπὶ θέαν
τἀνδρὸς· καὶ ὑμᾶς συμπαραλαβεῖν ἅμα μὲν συνθεατάς·
ἅμα δὲ συμβούλους τε καὶ κοινωνούς· ἐὰν βούλησθε περὶ
τῆς τῶν υἱέων ἐπιμελείας· ταῦτ' ἐστὶν ἃ ἐβουλόμεθα ὑ-
μῖν ἀνακοινώσασθαι· ἤδη οὖν ὑμέτερον μέρος συμβου-
λεύειν· καὶ περὶ τούτου τοῦ μαθήματος εἴτε δοκεῖ χρῆναι
μανθάνειν εἴτε μή· καὶ περὶ τῶν ἄλλων εἴ τι ἔχετε ἐπαινέ-
σαι μάθημα νέῳ ἀνδρὶ ἢ ἐπιτήδευμα· καὶ περὶ τῆς κοι-
νωνίας λέγειν ὁποῖόν τι ποιήσετε: ἐγὼ μὲν ὦ λυσίμα-
χε, καὶ μελησία ἐπαινῶ τε ὑμῶν τὴν διάνοιαν καὶ κοινωνεῖν ἕ-
τοιμος· οἶμαι δὲ καὶ λάχητα τόνδε: ἀληθῆ γὰρ οἴει ὦ νικία·
ὡς ὅ γε ἔλεγεν ὁ λυσίμαχος ἄρτι περὶ τοῦ πατρὸς τοῦ αὑ-
τοῦ τε καὶ τοῦ μελησίου, πάνυ μοι δοκεῖ εὖ εἰρῆσθαι καὶ εἰς ἐ-
κείνους καὶ εἰς ἡμᾶς· καὶ εἰς ἅπαντας, ὅσοι τὰ τῶν πόλεων
πράττουσιν· ὅτι αὐτοῖς σχεδόν τι ταῦτα συμβαίνει ἃ οὗτος
λέγει καὶ περὶ παῖδας καὶ περὶ τὰ ἴδια, ὀλιγωρεῖσθαί τε
καὶ ἀμελῶς διατίθεσθαι: ταῦτα μὲν οὖν καλῶς λέγεις ὦ
λυσίμαχε· ὅτι δ' ἡμᾶς μὲν συμβούλους παρακαλεῖς ἐπὶ τὴν
τῶν νεανίσκων παιδείαν· σωκράτη δὲ τόνδε οὐ παρακαλεῖς·
θαυμάζω· πρῶτον μὲν ὄντα δημότην· ἔπειτα ἐνταῦθα ἀεὶ
τὰς διατριβὰς ποιούμενον, ὅπου τί ἐστι τῶν τοιούτων ὧν σὺ
ζητεῖς περὶ τοὺς νέους ἢ μάθημα ἢ ἐπιτήδευμα καλόν:
πῶς λέγεις ὦ λάχης· σωκράτης γὰρ ὅδε τινὸς τῶν τοιού-
των ἐπιμέλειαν πεποίηται; πάνυ μὲν οὖν ὦ λυσίμαχε: τοῦτο

ἀντὶ τοῦ καλεῖς εὖ
χρηστοῦ ἀγανοῦ

μὲν σοι καὶ ἐγὼ ἔχοιμι ἂν τοῦτο μ[αρτυρεῖν] οὐχ ἧττον λάχητος· καὶ γὰρ αὐτῷ
μοι, ἔναγχος ἄνδρα προυξένησε τῷ ὑεῖ, διδάσκαλον μουσικῆς·
ἀγαθοκλέους μαθητὴν δάμωνα ἀνδρῶν χαριέστατον· οὐ μόνον
τὴν μουσικήν. ἀλλὰ καὶ τἆλλα ὁπόσου βούλει ἄξιον συνδια-
τρίβειν τηλικούτοις νεανίσκοις: οὔτοι, ὦ σώκρατές τε, καὶ
νικία, καὶ λάχης· οἱ ἡλίκοι ἐγὼ ἔτι γιγνώσκομεν τοὺς νεωτέ-
ρους ἅτε κατ' οἰκίαν τὰ πολλὰ διατρίβοντες ὑπὸ τῆς ἡλικί-
ας· ἀλλ' εἴ τι καὶ σύ, ὦ παῖ σωφρονίσκου, ἔχεις τῷδε τῷ σαυ-
τοῦ δημότῃ ἀγαθὸν συμβουλεῦσαι· χρὴ συμβουλεύειν. δί-
καιος δ' εἶ· καὶ γὰρ πατρικὸς ἡμῖν φίλος τυγχάνεις ὤν· ἀεὶ
γὰρ ἐγὼ καὶ ὁ σὸς πατὴρ, ἑταίρω τε καὶ φίλω ἦμεν· καὶ πρότε-
ρον ἐκεῖνος ἐτελεύτησε· πρίν τι ἐμοὶ διενεχθῆναι· περιφέ-
ρει δέ τίς με καὶ μνήμη ἄρτι, τῶνδε λεγόντων· τὰ γὰρ μειράκια
τάδε, πρὸς ἀλλήλους οἴκοι διαλεγόμενοι θαμὰ ἐπιμέμνηνται
σωκράτους· καὶ σφόδρα ἐπαινοῦσιν· οὐ μέντοι πώποτε
αὐτοὺς ἀνηρώτησα, εἰ τὸν σωφρονίσκου λέγοιεν· ἀλλ', ὦ παῖ-
δες· λέγετέ μοι· ὅδ' ἐστὶ σωκράτης, περὶ οὗ ἑκάστοτε ἐμέμνη-
σθε; πάνυ μὲν οὖν, ὦ πάτερ, οὗτος: εὖ γε· νὴ τὴν ἥραν, ὦ
σώκρατες· ὅτι ὀρθοῖς τὸν πατέρα, ἄριστον ἀνδρῶν ὄντα· καὶ
ἄλλως, καὶ δὴ καὶ ὅτι οἰκεῖα τά τε σὰ ἡμῖν ὑπάρξει. καὶ σοὶ
τὰ ἡμέτερα: καὶ μήν, ὦ λυσίμαχε, μὴ ἀφίεσό γε τἀνδρός: ὡς
ἐγὼ, καὶ ἄλλοθί γε αὐτὸν ἐθεασάμην· οὐ μόνον τὸν πατέρα.
ἀλλὰ καὶ τὴν πατρίδα ὀρθοῦντα· ἐν γὰρ τῇ ἀπὸ δηλίου φυ-
γῇ, μετ' ἐμοῦ συνανεχώρει· κἀγώ σοι λέγω· ὅτι εἰ ἄλλοι ἤθελον
τοιοῦτοι εἶναι· ὀρθὴ ἂν ἡμῶν ἡ πόλις ἦν, καὶ οὐκ ἂν ἔπεσε τό-
τε τοιοῦτον πτῶμα: ὦ σώκρατες· οὗτος μέντοι ὁ ἔπαινός
ἐστι καλός. ὃν σὺ νῦν ἐπαινεῖ, ὑπ' ἀνδρῶν ἀξίων πιστεύεσθαι
καὶ εἰς ταῦτα εἰς ἃ οὗτοι ἐπαινοῦσιν· εὖ οὖν ἴσθι. ὅτι ἐγὼ ταῦ-
τα ἀκούων χαίρω ὅτι εὐδοκιμεῖς· καὶ σὺ δὲ ἡγοῦ με ἐν τοῖς
εὐνούστατόν σοι εἶναι· χρῆν μὲν οὖν καὶ πρότερόν γε φοι-
τᾶν αὐτὸν παρ' ἡμᾶς· καὶ οἰκείους ἡγεῖσθαι, ὥσπερ τὸ δίκαιον·
νῦν δ' οὖν ἀπὸ τῆσδε τῆς ἡμέρας· ἐπειδὴ ἀνεγνωρίσαμεν ἀλλή-
λους· μὴ ἄλλως ποίει· ἀλλὰ σύνισθί τε, καὶ γνώριζε καὶ ἡμᾶς,
καὶ τούσδε τοὺς νεωτέρους, ὅπως ἂν διασῴζητε καὶ ὑ-

μᾶς τὴν ἡμετέραν φιλίαν· ταῦτα μὲν οὖν καὶ σὺ ποιήσεις, καὶ
ἡμεῖς σε, καὶ αὖθις ὑπομνήσομεν· περὶ δὲ ὧν ἠρξάμεθα,
τί φατε· τί δοκεῖ τὸ μάθημα τοῖς μειρακίοις ἐπιτήδειον
εἶναι ἢ οὔ, τὸ μαθεῖν ἐν ὅπλοις μάχεσθαι: ἀλλὰ καὶ τούτων
πέρι ὦ Λυσίμαχε ἔγωγε πειράσομαι συμβουλεύειν ἄν τι δύ-
νωμαι· καὶ αὖ ἃ προκαλῇ πάντα ποιεῖν. δικαιότατον μέν-
τοι μοι δοκεῖ εἶναι, ἐμὲ νεώτερον ὄντα τῶνδε, καὶ ἀπειρό-
τερον τούτων, ἀκούειν πρότερον τί λέγουσιν· καὶ μανθάνειν
παρ' αὐτῶν· ἐὰν δ' ἔχω τι ἄλλο παρὰ τὰ ὑπὸ τούτων λε-
γόμενα. τότ' ἤδη διδάσκειν καὶ πείθειν καὶ σὲ καὶ τούτους·
ἀλλ' ὦ Νικία, τί οὐ λέγει πότερος ὑμῶν: ἀλλ' οὐδὲν κωλύει
ὦ Σώκρατες· δοκεῖ γὰρ ἐμοὶ τοῦτο τὸ μάθημα τοῖς νέοις
ὠφέλιμον εἶναι ἐπίστασθαι πολλαχῇ· καὶ γὰρ τὸ μὴ ἄλλοθι
διατρίβειν, ἐν οἷς δὴ φιλοῦσιν οἱ νέοι τὰς διατριβὰς ποι-
εῖσθαι ὅταν σχολὴν ἄγωσιν, ἀλλ' ἐν τούτῳ, εὖ ἔχει· ὅθεν
καὶ τὸ σῶμα βέλτιον ἴσχειν ἀνάγκη· οὐδενὸς γὰρ τῶν γυ-
μνασίων φαυλότερον, οὐδ' ἐλάττω πόνον ἔχει· καὶ ἅμα
προσήκει μάλιστ' ἐλευθέρῳ τοῦτό τε τὸ γυμνάσιον καὶ ἡ ἱπ-
πική· οὗ γὰρ ἀγῶνος ἀθληταί ἐσμεν καὶ ἐν οἷς ἡμῖν ὁ ἀ-
γὼν πρόκειται. μόνοι οὗτοι γυμνάζονται, οἱ ἐν τούτοις τοῖς
τὸν περὶ τὸν πόλεμον ὀργάνοις γυμναζόμενοι· ἔπειτα
ὀνήσει μέν τι τοῦτο τὸ μάθημα καὶ ἐν τῇ μάχῃ αὐτῇ, ὅταν
ἐν τάξει δέῃ μάχεσθαι μετὰ πολλῶν ἄλλων· μέγιστον μέντοι
αὐτοῦ ὄφελος, ὅταν λυθῶσιν αἱ τάξεις, καὶ ἤδη τι δέῃ μό-
νον πρὸς μόνον ἢ διώκοντα ἀμυνομένῳ τινὶ ἐπιθέσθαι.
ἢ καὶ ἐν φυγῇ, ἐπιτιθεμένου ἄλλου ἀμύνασθαι αὐτόν. οὔτ' ἂν
ὑπό γε ἑνὸς εἷς ὁ τοῦτ' ἐπιστάμενος οὐδὲν ἂν πάθοι·
ἴσως δὲ οὐδὲ ὑπὸ πλειόνων, ἀλλὰ πανταχῇ ἂν ταύτῃ πλε-
ονεκτοῖ· ἔτι δὲ καὶ εἰς ἄλλου καλοῦ μαθήματος ἐπιθυ-
μίαν παρακαλεῖ τὸ τοιοῦτον· πᾶς γὰρ ἂν μαθὼν ἐν ὅπλοις
μάχεσθαι, ἐπιθυμήσειε καὶ τοῦ ἑξῆς μαθήματος τοῦ
περὶ τὰς τάξεις· καὶ ταῦτα λαβὼν καὶ φιλοτιμηθεὶς ἐν
αὐτοῖς· ἐπὶ πᾶν ἂν τὸ περὶ τὰς στρατηγίας ὁρμήσειε·
καὶ ἤδη δῆλον ὅτι τὰ τούτων ἐχόμενα καὶ μαθήματα

πάντα, καὶ ἐπιτηδεύματα πάντα καὶ καλὰ καὶ πολλοῦ ἄξια ἀν-
δρὶ μαθεῖν τε καὶ ἐπιτηδεῦσαι, ὧν καθηγήσαιτ' ἂν τοῦτο τὸ μά-
θημα. προσθήσομεν δ' αὐτῷ οὐ σμικρὰν προσθήκην, ὅτι
πάντα ἄνδρα ἐν πολέμῳ καὶ θαρραλεώτερον καὶ ἀνδρει-
ότερον ἂν ποιήσειεν αὐτὸν αὑτοῦ οὐκ ὀλίγῳ αὕτη ἡ ἐπιστή-
μη. μὴ ἀτιμάσωμεν δὲ εἰπεῖν, εἰ καί τῳ σμικρότερον δοκεῖ εἶ-
ναι, ὅτι καὶ εὐσχημονέστερον ἐνταῦθα οὗ χρὴ τὸν ἄνδρα εὐ-
σχημονέστερον φαίνεσθαι, οὗ ἅμα καὶ δεινότερος τοῖς ἐ-
χθροῖς φανεῖται διὰ τὴν εὐσχημοσύνην. ἐμοὶ μὲν οὖν ὦ
Λυσίμαχε, ὥσπερ λέγω, δοκεῖ τε χρῆναι διδάσκειν τοὺς νεα-
νίσκους ταῦτα, καὶ δι' ἃ δοκεῖ εἴρηκα. Λάχητος δ' εἴ τι πα-
ρὰ ταῦτα λέγει, κἂν αὐτὸς ἡδέως ἀκούσαιμι. ἀλλ' ἔστι μὲν
ὦ Νικία, χαλεπὸν λέγειν περὶ ὁτουοῦν μαθήματος, ὡς οὐ
χρὴ μανθάνειν· πάντα γὰρ ἐπίστασθαι ἀγαθὸν δοκεῖ εἶναι.
καὶ δὴ καὶ τὸ ὁπλιτικὸν τοῦτο, εἰ μέν ἐστιν μάθημα, ὅπερ φα-
σὶν οἱ διδάσκοντες, καὶ οἷον Νικίας λέγει, χρὴ αὐτὸ μανθά-
νειν· εἰ δ' ἔστιν μὲν μὴ μάθημα, ἀλλ' ἐξαπατῶσιν οἱ ὑπισχνού-
μενοι, ἢ μάθημα μὲν τυγχάνει ὂν, μὴ μέντοι πάνυ σπουδαῖ-
ον, καὶ δέοι ἂν αὐτὸ μανθάνειν; λέγω δὲ ταῦτα περὶ αὐτοῦ.
εἰς τάδε ἀποβλέψας, ὅτι οἶμαι ἐγὼ τοῦτο, εἴ τι ἦν, οὐκ ἂν λε-
ληθέναι Λακεδαιμονίους, οἷς οὐδὲν ἄλλο μέλει ἐν τῷ βί-
ῳ ἢ τοῦτο ζητεῖν καὶ ἐπιτηδεύειν, ὅτι ἂν μαθόντες καὶ
ἐπιτηδεύσαντες πλεονεκτοῖεν τῶν ἄλλων περὶ τὸν πό-
λεμον. εἰ δ' ἐκείνους ἐλελήθει, ἀλλ' οὐ τούτους γε τοὺς δι-
δασκάλους αὐτοῦ λέληθεν αὐτὸ τοῦτο, ὅτι ἐκεῖνοι μάλιστα
τῶν Ἑλλήνων σπουδάζουσιν ἐπὶ τοῖς τοιούτοις· καὶ ὅτι
παρ' ἐκείνοις ἄν τις τιμηθεὶς εἰς ταῦτα καὶ παρὰ τῶν ἄλ-
λων πλεῖστ' ἂν ἐργάζοιτο χρήματα, ὥσπερ γε καὶ τρα-
γῳδίας ποιητὴς παρ' ἡμῖν τιμηθείς. τοιγάρτοι ὃς
ἂν οἴηται τραγῳδίαν καλῶς ποιεῖν, οὐκ ἔξωθεν κύκλῳ
περὶ τὴν Ἀττικὴν κατὰ τὰς ἄλλας πόλεις ἐπιδεικνύ-
μενος περιέρχεται, ἀλλ' εὐθὺς δεῦρο φέρεται καὶ τοῖσδ' ἐ-
πιδείκνυσιν εἰκότως· τοὺς δὲ ἐν ὅπλοις μαχομένους
ἐγὼ τούτους ὁρῶ τὴν μὲν Λακεδαίμονα ἡγουμένους

εἶναι ἄβατον ἱερόν· καὶ οὐδὲ ἄκρῳ ποδὶ ἐπιβαίνοντας· κύ-
κλῳ δὲ περιϊόντας αὐτὴν καὶ πᾶσι μᾶλλον ἐπιδεικνυμένους·
καὶ μάλιστα τούτοις οἳ κἂν αὐτοὶ ὁμολογήσαιεν πολλοὺς σφῶν
προτέρους εἶναι πρὸς τὰ τοῦ πολέμου· ἔπειτα ὦ Λυσίμαχε·
οὐ πάνυ ὀλίγοις ἐγὼ τούτων παραγέγονα ἐν αὐτῷ τῷ ἔρ-
γῳ· καὶ ὁρῶ οἷοί εἰσιν· ἔξεστι δὲ καὶ αὐτόθεν ἡμῖν σκέψασθαι·
ὥσπερ γὰρ ἐπίτηδες οὐδεὶς πώποτε εὐδόκιμος γέγονεν
ἐν τῷ πολέμῳ ἀνὴρ τῶν τὰ ὁπλιτικὰ ἐπιτηδευσάντων· καί-
τοι εἴς γε τἆλλα πάντα ἐκ τούτων οἱ ὀνομαστοὶ γίγνονται ἐκ
τῶν ἐπιτηδευσάντων ἕκαστα· οὗτοι δ' ὡς ἔοικε παρὰ τοὺς
ἄλλους, οὕτω σφόδρα εἰς τοῦτο δεδυστυχήκασιν· ἐπεὶ καὶ τοῦ-
τον τὸν Στησίλεων, ὃν ὑμεῖς μετ' ἐμοῦ ἐν τοσούτῳ ὄχλῳ ἐ-
θεάσασθε ἐπιδεικνύμενον καὶ τὰ μεγάλα περὶ αὐτοῦ λέ-
γοντα ἃ ἔλεγεν· ἑτέρωθι ἐγὼ κάλλιον ἐθεασάμην ἐν τῇ ἀ-
ληθείᾳ ὡς ἀληθῶς ἐπιδεικνύμενον οὐχ ἑκόντα· προσ-
βαλούσης γὰρ τῆς νεὼς ἐφ' ἧς ἐπεβάτευεν πρὸς ὁλκά-
δα τινά, ἐμάχετο ἔχων δορυδρέπανον, διαφέρον δὴ ὅπλον·
ἅτε καὶ αὐτὸς τῶν ἄλλων διαφέρων· τὰ μὲν οὖν ἄλλα οὐκ
ἄξια λέγειν περὶ τἀνδρός· τὸ δὲ σόφισμα τὸ τοῦ δρεπά-
νου τοῦ πρὸς τῇ λόγχῃ, οἷον ἀπέβη· μαχομένου γὰρ αὐ-
τοῦ, ἐνέσχετό που, ἐν τοῖς τῆς νεὼς σκεύεσιν, καὶ ἀντελάβε-
το· εἷλκεν οὖν ὁ Στησίλεως βουλόμενος ἀπολῦσαι· καὶ
οὐχ οἷός τ' ἦν· ἡ δὲ ναῦς τὴν ναῦν παρῄει· τέως μὲν οὖν
παρέθει ἐν τῇ νηὶ ἀντεχόμενος τοῦ δόρατος· ἐπεὶ δὲ δὴ
παρημείβετο ἡ ναῦς τὴν ναῦν καὶ ἐπέσπα αὐτὸν, τοῦ δόρα-
τος ἐχόμενον· ἐφίει τὸ δόρυ διὰ τῆς χειρός· ἕως ἄκρου
τοῦ στύρακος ἀντελάβετο· ἦν δὲ γέλως καὶ κρότος ὑπὸ
τῶν ἐκ τῆς ὁλκάδος, ἐπί τε τῷ σχήματι αὐτοῦ· καὶ ἐπειδὴ
βαλόντος τινὸς λίθῳ, παρὰ τοὺς πόδας αὐτοῦ ἐπὶ τὸ κα-
τάστρωμα ἀφίεται τοῦ δόρατος· τότ' ἤδη καὶ οἱ ἐκ τῆς τρι-
ήρους οὐκέτι οἷοί τ' ἦσαν τὸν γέλωτα κατέχειν ὁρῶντες
αἰωρούμενον ἐκ τῆς ὁλκάδος τὸ δορυδρέπανον· ἐκκρεμάμενον·
ἴσως μὲν οὖν εἴη ἄν τι ταῦτα ὥσπερ Νικίας λέγει· οἷς δ' οὖν
ἐγὼ ἐντετύχηκα, τοιαῦτ' ἄττα ἐστίν· ὃ οὖν καὶ ἐξ ἀρχῆς εἶ

πον ὅτι ἄν τε οὕτως μικρὰν ὠφέλειαν ἔχει μάθημα ὄν εἴτε
μὴ ὂν φασὶ καὶ προσποιοῦνται αὐτὸ εἶναι μάθημα, οὐκ ἄξιον
ἐπιχειρεῖν μανθάνειν. καὶ γὰρ οὖν μοι δοκεῖ εἰ μὲν δειλός τις
ὢν, οἴοιτο αὐτὸ ἐπίστασθαι, θρασύτερος ἂν δι' αὐτὸ γενόμε-
νος: ἐπιφανέστερος γένοιτο οἷος ἦν. εἰ δὲ ἀνδρεῖος,
φυλαττόμενος ἂν ὑπὸ τῶν ἀνθρώπων, εἰ καὶ σμικρὸν ἐξα-
μάρτοι. μεγάλας ἂν διαβολὰς ἴσχειν· ἐπίφθονος γὰρ ἡ
προσποίησις τῆς τοιαύτης ἐπιστήμης· ὥστ' εἰ μή τι θαυμα-
στὸν ὅσον διαφέρει τῇ ἀρετῇ τῶν ἄλλων. οὐκ ἔσθ' ὅπως ἄν τις
φύγοι, τὸ καταγέλαστος γενέσθαι φάσκων ἔχειν ταύτην τὴν
ἐπιστήμην· τοιαύτη τις ἔμοιγε δοκεῖ ὦ λυσίμαχε ἡ περὶ
τοῦτο τὸ μάθημα εἶναι σπουδή· χρὴ δ' ὅπερ σοι ἐξ ἀρχῆς
ἔλεγον καὶ σωκράτη τόνδε μὴ ἀφιέναι· ἀλλὰ δεῖσθαι συμβου-
λεύειν ὅπῃ δοκεῖ αὐτῷ περὶ τοῦ προκειμένου: ἀλλὰ δέο-
μαι ἔγωγε ὦ σώκρατες· καὶ γὰρ ὥσπερ ἔτι τοῦ διακρινοῦντος
δοκεῖ μοι δεῖν ἡμῖν ἡ βουλή· εἰ μὲν γὰρ συνεφερέσθην τώδε.
ἧττον ἂν τοῦ τοιούτου ἔδει· νῦν δὲ τὴν ἐναντίαν γὰρ ὡς ὁ-
ρᾷς, λάχης νικίᾳ ἔθετο. εὖ δὴ ἔχει ἀκοῦσαι καὶ σοῦ ποτέ-
ρῳ τοῖν ἀνδροῖν σύμψηφος εἶ: τί δαί ὦ λυσίμαχε· ὁπότερ'
ἂν οἱ πλείους ἐπαινῶσιν ἡμῶν. τούτοις μέλλεις χρῆσθαι;
τί γὰρ ἄν τις καὶ ποιοῖ ὦ σώκρατες: ἦ καὶ σὺ ὦ μελησία.
οὕτως ἂν ποιοῖς κἂν εἴ τις περὶ ἀγωνίας τοῦ υἱέος σοι βουλὴ
εἴη τί χρὴ ἀσκεῖν, ἆρα τοῖς πλείοσιν ἂν ἡμῶν πείθοιο, ἢ 'κείνῳ.
ὅστις τυγχάνει, ὑπὸ παιδοτρίβῃ ἀγαθῷ πεπαιδευμένος, ἢ
καὶ ἠσκηκώς: ἐκείνῳ εἰκός γε ὦ σώκρατες: αὐτῷ ἄρ' ἂν
μᾶλλον πείθοιο ἢ τέτταρσιν οὖσιν ἡμῖν; ἴσως: ἐπιστήμῃ γὰρ οἶ-
μαι δεῖ κρίνεσθαι, ἀλλ' οὐ πλήθει τὸ μέλλον καλῶς κριθήσε-
σθαι: πῶς γὰρ οὔ: οὐκοῦν καὶ νῦν χρὴ πρῶτον αὐτὸ τοῦτο
σκέψασθαι, εἰ ἔστιν τις ἡμῶν τεχνικός, περὶ οὗ βουλευόμεθα
ἢ οὔ· καὶ εἰ μὲν ἔστιν, ἐκείνῳ πείθεσθαι ἑνὶ ὄντι· τοὺς δ' ἄλλους
ἐᾶν· εἰ δὲ μή, ἄλλον τινὰ ζητεῖν· ἢ περὶ σμικροῦ οἴεσθαι νυ-
νὶ κινδυνεύειν καὶ σὺ καὶ λυσίμαχος· ἀλλ' οὐ περὶ τούτου τοῦ
κτήματος, ὃ τῶν ὑμετέρων μέγιστον ὂν τυγχάνει· υἱέων γὰρ
που ἢ χρηστῶν ἢ τἀναντία γενομένων καὶ πᾶς ὁ οἶκος

τοῦ πατρὸς; οὕτως οἰκήσεται, ὁποῖοι ἄν τινες οἱ παῖδες γέ-
νωνται: ἀληθῆ λέγεις: πολλὴν ἄρα δεῖ προμήθειαν αὐτοῦ
ἔχειν: πάνυ γε: πῶς οὖν ὃ ἐγὼ ἄρτι ἔλεγον ἐσκοποῦμεν
ἄν, εἰ ἐβουλόμεθα σκέψασθαι τίς ἡμῶν περὶ ἀγωνίαν τεχνι-
κώτατος· ἆρ' οὐχ ὁ μαθὼν καὶ ἐπιτηδεύσας ᾧ καὶ διδάσκα-
λοι ἀγαθοὶ γεγονότες ἦσαν αὐτοῦ τούτου: ἔμοιγε δοκεῖ:
οὐκοῦν ἔτι πρότερον τίνος ὄντος τούτου ζητοῦμεν τοὺς
διδασκάλους: πῶς λέγεις: ὧδε ἴσως μᾶλλον κατάδηλον
ἔσται· οὔ μοι δοκεῖ ἐξ ἀρχῆς ἡμῖν ὡμολογῆσθαι, τί ποτ' ἔστιν
περὶ οὗ βουλευόμεθα καὶ σκεπτόμεθα, ὅστις ἡμῶν τεχνι-
κὸς καὶ τούτου ἕνεκα διδασκάλους ἐκτήσατο, καὶ ὅστις μή:
οὐ γὰρ ὦ σώκρατες περὶ τοῦ ἐν ὅπλοις μάχεσθαι σκοποῦ-
μεν, εἴτε χρὴ αὐτὸ τοὺς νεανίσκους μανθάνειν, εἴτε μή:
πάνυ μὲν οὖν, ὦ νικία· ἀλλ' ὅταν περὶ φαρμάκου τις τοῦ πρὸς
ὀφθαλμοὺς σκοπῇ, εἴτε χρὴ αὐτὸ ὑπαλείφεσθαι εἴτε
μή· πότερον οἴει τότε εἶναι τὴν βουλὴν περὶ τοῦ φαρμά-
κου ἢ περὶ τῶν ὀφθαλμῶν: περὶ τῶν ὀφθαλμῶν: οὐκοῦν
καὶ ὅταν ἵππῳ χαλινὸν σκοπῇ τις εἰ προσοιστέον ἢ μή·
καὶ ὁπότε· τότε που περὶ τοῦ ἵππου βουλεύεται, ἀλλ' οὐ περὶ
τοῦ χαλινοῦ; ἀληθῆ: οὐκοῦν ἑνὶ λόγῳ, ὅταν τίς τι ἕνεκά
του σκοπῇ, περὶ ἐκείνου ἡ βουλὴ τυγχάνει οὖσα, οὗ ἕνε-
κα ἐσκόπει· ἀλλ' οὐ περὶ τοῦ ὃ ἕνεκα ἄλλου ἐζήτει; ἀνάγκη:
δεῖ ἄρα καὶ τὸν σύμβουλον σκοπεῖν ἆρα τεχνικός ἐστιν· εἰς
ἐκείνου θεραπείαν οὗ ἕνεκα σκοποῦμεν ὃ σκοποῦμεν;
πάνυ γε: οὐκοῦν νῦν φαμὲν περὶ μαθήματος σκοπεῖν,
τῆς ψυχῆς ἕνεκα τῆς τῶν νεανίσκων; ναί: εἴ τις ἄρα ἡμῶν
τεχνικὸς περὶ ψυχῆς θεραπείαν· καὶ οἷός τε καλῶς τοῦτο
θεραπεῦσαι· καὶ ὅτῳ διδάσκαλοι ἀγαθοὶ γεγόνασιν.
τοῦτο σκεπτέον: τί δαί ὦ σώκρατες· οὔπω ἑώρακας ἄ-
νευ διδασκάλων τεχνικωτέρους γεγονότας εἰς ἔνια ἢ
μετὰ διδασκάλων; ἔγωγε ὦ λάχης· οἷς γε σὺ οὐκ ἂν ἐθέ-
λοις πιστεῦσαι, εἰ φαῖεν ἀγαθοὶ εἶναι δημιουργοί· εἰ μή τί
σοι τῆς αὑτῶν τέχνης ἔργον ἔχοιεν ἐπιδεῖξαι εὖ εἰργα-
σμένον, καὶ ἓν καὶ πλείω: τοῦτο μὲν ἀληθῆ λέγεις: καὶ ἡ-

μας· ἆρα δεῖ ὦ λάχης τε καὶ νικία ἐπειδὴ λυσίμαχος καὶ μελησί-
ας εἰς συμβουλὴν παρεκαλεσάτην ἡμᾶς περὶ τοῖν ὑέοιν,
προθυμούμενοι αὐτοῖν ὅτι ἀρίστας γενέσθαι τὰς ψυχάς, εἰ
μὲν φαμὲν ἔχειν, ἐπιδεῖξαι αὐτοῖς καὶ διδασκάλους οἵτι-
νες ἡμῖν γεγόνασιν αὐτοὶ πρῶτον ἀγαθοὶ ὄντες, καὶ πολ-
λῶν νέων τεθεραπευκότες ψυχάς· ἔπειτα καὶ ἡμᾶς διδά-
ξαντες φαίνονται· ἤ τις ἡμῶν αὐτῶν ἑαυτῷ διδάσκαλον
μὲν οὔ φησι γεγονέναι, ἀλλ' οὖν ἔργα αὐτὸς αὑτοῦ ἔχει εἰπεῖν
καὶ ἐπιδεῖξαι τίνες ἀθηναίων ἢ τῶν ξένων ἢ δοῦλοι ἢ ἐ-
λεύθεροι δι' ἐκεῖνον ὁμολογουμένως ἀγαθοὶ γεγόνασιν·
εἰ δὲ μηδὲν ἡμῖν τούτων ὑπάρχει, ἄλλους κελεύειν ζητεῖν καὶ
μὴ ἐν ἑταίρων ἀνδρῶν ὑέσι κινδυνεύειν διαφθείροντας τὴν
μεγίστην αἰτίαν ἔχειν ὑπὸ τῶν οἰκειοτάτων· ἐγὼ μὲν οὖν
ὦ λυσίμαχέ τε καὶ μελησία πρῶτος περὶ ἐμαυτοῦ λέγω ὅ-
τι διδάσκαλός μοι οὐ γέγονε τούτου πέρι· καίτοι ἐπιθυμῶ
γε τοῦ πράγματος ἐκ νέου ἀρξάμενος· ἀλλὰ τοῖς μὲν σο-
φισταῖς οὐκ ἔχω τελεῖν μισθούς, οἵπερ μόνοι ἐπηγγέλλοντό
με οἷοί τ' εἶναι ποιῆσαι καλόν τε κἀγαθόν· αὐτὸς δ' αὖ εὑρεῖν
τὴν τέχνην ἀδυνατῶ ἔτι νυνί· εἰ δὲ νικίας ἢ λάχης εὕρη-
κεν ἢ μεμάθηκεν, οὐκ ἂν θαυμάσαιμι· καὶ γὰρ χρήμασιν ἐ-
μοῦ δυνατώτεροι, ὥστε μαθεῖν παρ' ἄλλων, καὶ ἅμα πρεσβύ-
τεροι, ὥστε ἤδη εὑρηκέναι· δοκοῦσι δή μοι δυνατοὶ εἶναι
παιδεῦσαι ἄνθρωπον· οὐ γὰρ ἄν ποτε ἀδεῶς ἀπεφαί-
νοντο περὶ ἐπιτηδευμάτων νέῳ χρηστῶν τε καὶ πονηρῶν,
εἰ μὴ αὐτοῖς ἐπίστευον ἱκανῶς εἰδέναι· τὰ μὲν οὖν ἄλλα
ἔγωγε τούτοις πιστεύω· ὅτι δὲ διαφέρεσθον ἀλλήλοιν ἐθαύ-
μασα· τοῦτο οὖν σου ἐγὼ ἀντιδέομαι ὦ λυσίμαχε, καθά-
περ ἄρτι λάχης μὴ ἀφίεσθαί σε ἐμοῦ διεκελεύετο, ἀλλὰ ἐ-
ρωτᾶν· καὶ ἐγὼ νῦν παρακελεύομαί σοι μὴ ἀφίεσθαι λάχη-
τος μηδὲ νικίου, ἀλλ' ἐρωτᾶν, λέγοντα ὅτι ὁ μὲν σωκράτης
οὔ φησιν ἐπαΐειν περὶ τοῦ πράγματος, οὐδ' ἱκανὸς εἶναι
διακρῖναι ὁπότερος ὑμῶν ἀληθῆ λέγει· οὔτε γὰρ εὑρετής,
οὔτε μαθητής, οὐδενὸς περὶ τῶν τοιούτων γεγονέναι· σὺ
δ' ὦ λάχης καὶ νικία εἴπετον ἡμῖν ἑκάτερος τίνι δὴ δεινο

τάτῳ συγγενομένω περὶ τῆς τῶν νέων τροφῆς· καὶ πότε-
ρα μαθόντε παρά του ἐπίστασθον ἢ αὐτὼ ἐξευρόντε· καὶ εἰ
μὲν μαθόντε, τίς ὁ διδάσκαλος ἑκατέρῳ καὶ τίνες ἄλλοι ὁμό-
τεχνοι αὐτοῖς, ἵν' ἂν μὴ ὑμῖν σχολὴ ᾖ ὑπὸ τῶν τῆς πόλεως
πραγμάτων, ἐπ' ἐκείνους ἴωμεν καὶ πείθωμεν ἢ δώροις
ἢ χάρισιν ἢ ἀμφότερα, ἐπιμεληθῆναι καὶ τῶν ἡμετέρων
καὶ τῶν ὑμετέρων παίδων, ὅπως μὴ καταισχύνωσι τοὺς αὑ-
τῶν προγόνους φαῦλοι γενόμενοι· εἰ δ' αὐτοὶ εὑρεταὶ γε-
γονότε τοῦ τοιούτου, δότε παράδειγμα τίνων ἤδη ἄλλων
ἐπιμεληθέντε ἐκ φαύλων καλούς τε κἀγαθοὺς ἐποιήσατε·
εἰ γὰρ νῦν πρῶτον ἄρξεσθαι παιδεύειν, σκοπεῖν χρὴ μὴ
οὐκ ἐν τῷ Καρὶ ὑμῖν ὁ κίνδυνος κινδυνεύηται, ἀλλ' ἐν τοῖς
ὑέσι τε καὶ ἐν τοῖς τῶν φίλων παισί· καὶ ἀτεχνῶς τὸ λεγό-
μενον κατὰ τὴν παροιμίαν ὑμῖν συμβαίνῃ, ἐν πίθῳ ἡ
κεραμεία γιγνομένη. λέγετε οὖν τί τούτων ἢ φατὲ ὑμῖν
ὑπάρχειν τε καὶ προσήκειν ἢ οὔ φατε. ταῦτ' ὦ Λυσίμαχε
παρ' αὐτῶν πυνθάνου καὶ μὴ μεθίει τοὺς ἄνδρας: κα-
λ λῶς μὲν ἔμοιγε δοκεῖ ὦ ἄνδρες Σωκράτης λέγειν· εἰ δὲ βου-
λομένοις ὑμῖν ἐστι περὶ τῶν τοιούτων ἐρωτᾶσθαί τε καὶ δι-
δόναι λόγον, αὐτοὺς δὴ χρὴ γιγνώσκειν ὦ Νικία τε καὶ
Λάχης· ἐμοὶ μὲν γὰρ ὦ Μελησίᾳ τῷδε δῆλον ὅτι ἡδομέ-
νοις ἂν εἴη, εἰ πάντα ἃ Σωκράτης ἐρωτᾷ ἐθέλοιτε λό-
γῳ διεξιέναι· καὶ γὰρ ἐξ ἀρχῆς ἐντεῦθεν ἠρχόμην λέ-
γων, ὅτι εἰς συμβουλὴν διὰ ταῦτα ὑμᾶς παρακαλέσαιμεν,
ὅτι μεμεληκέναι ὑμῖν ἡγούμεθα, ὡς εἰκὸς περὶ τῶν τοιού-
των· καὶ ἄλλως καὶ ἐπειδὴ οἱ παῖδες ὑμῖν ὀλίγου ὥσπερ
οἱ ἡμέτεροι ἡλικίαν ἔχουσι παιδεύεσθαι. εἰ οὖν ὑμῖν μή τι
διαφέρει, εἴπατε καὶ κοινῇ μετὰ Σωκράτους σκέψασθε,
διδόντες τε καὶ δεχόμενοι λόγον παρ' ἀλλήλων· εὖ γὰρ καὶ
τοῦτο λέγει ὅδε, ὅτι περὶ τοῦ μεγίστου νῦν βουλευόμεθα
τῶν ἡμετέρων. ἀλλ' ὁρᾶτε εἰ δοκεῖ χρῆναι οὕτω ποιεῖν:
ὦ Λυσίμαχε, δοκεῖς μοι ὡς ἀληθῶς Σωκράτη πατρόθεν
γιγνώσκειν μόνον, αὐτῷ δ' οὐ συγγεγονέναι, ἀλλ' ἢ παιδὶ
ὄντι, εἴ που ἐν τοῖς δημόταις μετὰ τοῦ πατρὸς ἀκολου-

[margin:] [illegible] τοῦ ἐν τῷ δούλῳ. [illegible] οἱ παλαιοὶ Ἕλλη-
νες [illegible] Καρῶν καὶ Θρᾳ-
κῶν τοὺς δούλους ἐποιοῦν-
το· ἐνθένδε τοὺς
δούλους Κᾶρ-
ας ὀνομάζουσι
καὶ τὸν δοῦλον
Θρᾷκα καὶ
Κᾶρα.

θῶν ἐπλησίασέν σοι ἢ ἐν ἱερῷ ἢ ἐν ἄλλῳ τῷ συλλόγῳ
τῶν δημοτῶν· ἐπειδὴ δὲ πρεσβύτερος γεγονὼς, οὐκ ἐντετύ-
χηκας τῷ ἀνδρὶ, δῆλος εἶ: τί μάλιστα, ὦ νικία: οὔ μοι δο-
κεῖς εἰδέναι ὅτι ὃς ἂν ἐγγύτατα σωκράτους ᾖ λόγῳ ὥσ-
περ γένει καὶ πλησιάζῃ διαλεγόμενος. ἀνάγκη αὐτῷ ἐὰν
ἄρα καὶ περὶ ἄλλου του πρότερον ἄρξηται διαλέγεσθαι, μὴ
παύεσθαι ὑπὸ τούτου περιαγόμενον τῷ λόγῳ πρὶν ἐμ-
πέσῃ εἰς τὸ διδόναι περὶ αὑτοῦ λόγον ὅντινα τρόπον νῦν τε ζῇ
καὶ ὅντινα τὸν παρεληλυθότα βίον βεβίωκεν· ἐπειδὰν δ' ἐμ-
πέσῃ, ὅτι οὐ πρότερον αὐτὸν ἀφήσει σωκράτης πρὶν ἂν βα-
σανίσῃ ταῦτα εὖ τε καὶ καλῶς ἅπαντα· ἐγὼ δὲ συνήθης τέ
εἰμι τῷδε καὶ οἶδ' ὅτι ἀνάγκη ὑπὸ τούτου πάσχειν ταῦτα, καὶ
ἔτι γε αὐτὸς ὅτι πείσομαι ταῦτα εὖ οἶδα· χαίρω γὰρ ὦ λυ-
σίμαχε τῷ ἀνδρὶ πλησιάζων· καὶ οὐδὲν οἶμαι κακὸν εἶναι τὸ
ὑπομιμνήσκεσθαι ὅτι μὴ καλῶς ἢ πεποιήκαμεν ἢ ποιοῦμεν·
ἀλλ' εἰς τὸν ἔπειτα βίον προμηθέστερον ἀνάγκη εἶναι τὸν ταῦτα
μὴ φεύγοντα ἀλλ' ἐθέλοντα κατὰ τὸ τοῦ σόλωνος καὶ ἀξιοῦντα
μανθάνειν ἕωσπερ ἂν ζῇ καὶ μὴ οἰόμενον αὐτῷ τὸ γῆρας νοῦν
ἔχον προσιέναι· ἐμοὶ μὲν οὖν οὐδὲν ἄηθες οὐδ' αὖ ἀηδὲς
ὑπὸ σωκράτους βασανίζεσθαι· ἀλλὰ καὶ πάλαι σχεδόν τι ἠπι-
στάμην ὅτι οὐ περὶ τῶν μειρακίων ἡμῖν ὁ λόγος ἔσοιτο σωκρά-
τους παρόντος· ἀλλὰ περὶ ἡμῶν αὐτῶν· ὅπερ οὖν λέγω, τὸ μὲν
ἐμὸν οὐδὲν κωλύει σωκράτει συνδιατρίβειν, ὅπως οὗτος βού-
λεται· λάχητα δὲ τόνδε ὅρα ὅπως ἔχει περὶ τοῦ τοιούτου: ἁ-
πλοῦν τό γ' ἐμὸν ὦ νικία περὶ λόγων ἐστὶν· εἰ δὲ βούλει, οὐχ ἁπλοῦν,
ἀλλὰ διπλοῦν· καὶ γὰρ ἂν δόξαιμί τῳ φιλόλογος εἶναι καὶ
αὖ μισόλογος· ὅταν μὲν γὰρ ἀκούω ἀνδρὸς περὶ ἀρετῆς
διαλεγομένου ἢ περί τινος σοφίας ὡς ἀληθῶς ὄντος ἀν-
δρὸς καὶ ἀξίου τῶν λόγων ὧν λέγει, χαίρω ὑπερφυῶς,
θεώμενος ἅμα τόν τε λέγοντα καὶ τὰ λεγόμενα, ὅτι πρέ-
ποντα ἀλλήλοις καὶ ἁρμόττοντά ἐστι· καὶ κομιδῇ μοι δοκεῖ
μουσικὸς ὁ τοιοῦτος εἶναι, ἁρμονίαν καλλίστην ἡρμοσμένος·
οὐ λύραν οὐδὲ παιδιᾶς ὄργανα· ἀλλὰ τῷ ὄντι ζῆν ἡρμο-
σμένος, οὗ αὐτὸς αὑτοῦ τὸν βίον σύμφωνον τοῖς λόγοις

πρὸς τὰ ἔργα ἀτεχνῶς δωριστὶ ἀλλ' οὐκ ἰαστί· οἴομαι δὲ οὐδὲ φρυ
γιστί· οὐδὲ λυδιστί· ἀλλ' ἥπερ μόνη ἑλληνική ἐστιν ἁρμονία· ὁ μὲν
οὖν τοιοῦτος χαίρειν με ποιεῖ φθεγγόμενος, καὶ δοκεῖν ὁτωοῦν
φιλόλογον εἶναι· οὕτω σφόδρα ἀποδέχομαι παρ' αὐτοῦ
τὰ λεγόμενα· ὁ δὲ τἀναντία τούτου πράττων λυπεῖ με, ὅσω
ἂν δοκῆι ἄμεινον λέγειν τοσούτωι μᾶλλον καὶ ποιεῖ αὖ δοκεῖν με
εἶναι μισόλογον· σωκράτους δ' ἐγὼ τῶν μὲν λόγων οὐκ ἔμ
πειρός εἰμι· ἀλλὰ πρότερον ὡς ἔοικε, τῶν ἔργων ἐπειρά
θην· καὶ ἐκεῖ αὐτὸν εὗρον ἄξιον ὄντα λόγων καλῶν καὶ πάσης
παρρησίας· εἰ οὖν καὶ τοῦτο ἔχει, συμβούλομαι τἀνδρί, καὶ
ἥδιστ' ἂν ἐξεταζοίμην ὑπὸ τοῦ τοιούτου· καὶ οὐκ ἂν ἀχθοίμην
μανθάνων· ἀλλὰ καὶ ἐγὼ τῶι σόλωνι, ἓν μόνον προσλαβὼν συγ
χωρῶ· γηράσκων γὰρ πολλὰ διδάσκεσθαι ἐθέλω, ὑπὸ χρη
στῶν μόνον· τοῦτο γάρ μοι συγχωρείτω ἀγαθὸν καὶ αὐτὸν εἶναι
τὸν διδάσκαλον ἵνα μὴ δυσμαθὴς φαίνωμαι, ἀηδῶς μαν
θάνων· εἰ δὲ νεώτερος ὁ διδάσκων ἔσται ἢ μήπω ἐν δόξηι
ὢν ἤ τι ἄλλο τῶν τοιούτων ἔχων, οὐδέν μοι μέλει· σοὶ οὖν ὦ
σώκρατες ἐγὼ ἐπαγγέλλομαι καὶ διδάσκειν καὶ ἐλέγχειν ἐ
μέ, ὅτι ἂν βούληι· καὶ μανθάνειν γε, ὅτι αὖ ἐγὼ οἶδα· οὕτω σὺ
παρ' ἐμοὶ διάκεισαι ἀπ' ἐκείνης τῆς ἡμέρας, ἧι μετ' ἐμοῦ συν
διεκινδύνευσας, καὶ ἔδωκας σαυτοῦ πεῖραν ἀρετῆς, ἣν χρὴ
διδόναι τὸν μέλλοντα δικαίως δώσειν· λέγ' οὖν ὅτι σοι φίλον,
μηδὲν τὴν ἡμετέραν ἡλικίαν ὑπόλογον ποιούμενος: οὐ
τὰ ὑμέτερα ὡς ἔοικεν αἰτιασόμεθα, μὴ οὐχ ἕτοιμα εἶναι
καὶ συμβουλεύειν καὶ συσκοπεῖν: ἀλλ' ἡμέτερον δὴ ἔργον
ὦ σώκρατες· ἕνα γάρ σε ἔγωγε ἡμῶν τίθημι· σκόπει οὖν
ἀντ' ἐμοῦ, ὑπὲρ τῶν νεανίσκων, ὅτι δεόμεθα παρὰ τῶνδε
πυνθάνεσθαι καὶ συμβούλευε, διαλεγόμενος τούτοις·
ἐγὼ μὲν γὰρ καὶ ἐπιλανθάνομαι ἤδη τὰ πολλὰ διὰ τὴν ἡ
λικίαν ὧν ἂν διανοηθῶ ἐρέσθαι· καὶ αὖ ἃ ἂν ἀκούσω· ἐὰν
δὲ μεταξὺ ἄλλοι λόγοι γένωνται, οὐ πάνυ μέμνημαι· ὑμεῖς
οὖν λέγετε καὶ διέξιτε πρὸς ὑμᾶς αὐτοὺς περὶ ὧν πρου
θέμεθα· ἐγὼ δ' ἀκούσομαι καὶ ἀκούσας αὖ μετὰ μελησί
ου τουτουὶ ποιήσω τοῦτο, ὅτι ἂν καὶ ὑμῖν δοκῆι· πειστέον ὦ

νικίας τε καὶ λάχης· λυσίμαχος· καὶ μελησίας· ὧν μὲν οὖν ἄρτι δὴ
ἐπεχειροῦμεν σκοπεῖν τίνες οἱ διδάσκαλοι ἡμῖν τῆς τοιαύ-
της παιδείας γεγόνασιν ἢ τίνας ἄλλους βελτίους πεποιή-
καμεν· ἴσως μὲν οὐ κακῶς εἶχεν ἐξετάζειν καὶ τὰ τοιαῦτα
ἡμᾶς αὐτούς· ἀλλ' οἶμαι καὶ ἡ τοιάδε σκέψις εἰς ταὐτὸν φέ-
ρει· σχεδὸν δέ τι καὶ μᾶλλον ἐξ ἀρχῆς εἴη ἄν· εἰ γὰρ τυγχάνο-
μεν ἐπιστάμενοι ὁτουοῦν πέρι ὅτι παραγενόμενόν τῳ βέλ-
τιον ποιεῖ ἐκεῖνο ᾧ παρεγένετο καὶ προσέτι οἷοί τέ ἐ-
σμὲν αὐτὸ ποιεῖν παραγίγνεσθαι ἐκείνῳ· δῆλον ὅτι αὐτό
γε ἴσμεν τοῦτο οὗ πέρι σύμβουλοι ἂν γενοίμεθα ὡς ἄν τις
αὐτὸ ῥᾷστα καὶ ἄριστ' ἂν κτήσαιτο· ἴσως οὖν οὐ μανθάνε-
τέ μου ὅτι λέγω· ἀλλ' ὧδε ῥᾷον μαθήσεσθε· εἰ τυγχάνομεν
ἐπιστάμενοι ὅτι ὄψις παραγενομένη ὀφθαλμοῖς βελτί-
ους ποιεῖ ἐκείνους οἷς παρεγένετο· καὶ προσέτι οἷοί τέ ἐ-
σμὲν ποιεῖν αὐτὴν παραγίγνεσθαι ὄμμασι· δῆλον ὅτι ὄ-
ψιν γε ἴσμεν αὐτὴν ὅτι ποτ' ἔστιν ἧς πέρι σύμβουλοι ἂν γενοί-
μεθα ὡς ἄν τις αὐτὴν ῥᾷστα καὶ ἄριστα κτήσαιτο· εἰ γὰρ
μηδ' αὐτὸ τοῦτο εἰδεῖμεν ὅτι ποτ' ἔστιν ὄψις ἢ ὅτι ἔστιν ἀκο-
ή· σχολῇ ἂν σύμβουλοί γε ἄξιοι λόγου γενοίμεθα· καὶ ἰ-
ατροὶ ἢ περὶ ὀφθαλμῶν ἢ περὶ ὤτων ὅντινα τρόπον ἀκο-
ὴν ἢ ὄψιν κάλλιστ' ἂν κτήσαιτό τις: ἀληθῆ λέγεις ὦ σώκρατες:
Οὐκοῦν ὦ λάχης καὶ νῦν ἡμᾶς τώδε παρακαλεῖτον εἰς συμ-
βουλὴν τίν' ἂν τρόπον τοῖς ὑέσιν αὐτῶν ἀρετὴ παραγενο-
μένη ταῖς ψυχαῖς ἀμείνους ποιήσειε: πάνυ γε: ἆρ' οὖν
τοῦτό γ' ὑπάρχειν δεῖ τὸ εἰδέναι ὅτι ποτ' ἔστιν ἀρετή· εἰ γάρ
που μηδ' ἀρετὴν εἰδεῖμεν τὸ παράπαν ὅτι ποτὲ τυγχάνει
ὄν· τίνα τρόπον τούτου σύμβουλοι γενοίμεθ' ἂν ὁτῳοῦν
ὅπως ἂν αὐτὸ κάλλιστα κτήσαιτο: οὐδένα ἔμοιγε δοκεῖ
ὦ σώκρατες: φαμὲν ἄρα ὦ λάχης εἰδέναι αὐτὸ ὅτι ἔστιν: φα-
μὲν μέντοι: οὐκοῦν ὅ γε ἴσμεν κἂν εἴποιμεν δήπου τί ἐστιν:
πῶς γὰρ οὔ: μὴ τοίνυν ὦ ἄριστε περὶ ὅλης ἀρετῆς εὐθέ-
ως σκοπώμεθα· πλέον γὰρ ἴσως ἔργον· ἀλλὰ μέρους
τινὸς πέρι πρῶτον ἴδωμεν εἰ ἱκανῶς ἔχομεν πρὸς τὸ
εἰδέναι· καὶ ἡμῖν ὡς τὸ εἰκὸς ῥᾴων ἡ σκέψις ἔσται: ἀλλ' οὕ-

ποιῶμεν ὦ σώκρατες ὡς σὺ βούλει: τί δ' οὖν ἂν προελοίμεθα τῶν τῆς ἀρετῆς μερῶν; ἢ δῆλον δὴ ὅτι τοῦτο εἰς ὃ τείνειν δοκεῖ ἡ ἐν τοῖς ὅπλοις μάθησις· δοκεῖ δέ που τοῖς πολλοῖς εἰς ἀνδρείαν. ἦ γάρ: καὶ μάλα δὴ οὕτω δοκεῖ: τοῦτο τοίνυν πρῶτον ἐπιχειρήσωμεν ὦ λάχης εἰπεῖν ἀνδρεία τί ποτ' ἐστίν· ἔπειτα μετὰ τοῦτο σκεψόμεθα καὶ ὅτῳ ἂν τρόπῳ τοῖς νεανίσκοις παραγένοιτο καθ' ὅσον οἷόν τε ἐξ ἐπιτηδευμάτων τε καὶ μαθημάτων παραγενέσθαι. ἀλλὰ πειρῶ εἰπεῖν ὃ λέγω τί ἐστιν ἀνδρεία: οὐ μὰ τὸν δία ὦ σώκρατες οὐ χαλεπὸν εἰπεῖν· εἰ γάρ τις ἐθέλοι ἐν τῇ τάξει μένων ἀμύνεσθαι τοὺς πολεμίους καὶ μὴ φεύγοι, εὖ ἴσθι ὅτι ἀνδρεῖος ἂν εἴη: εὖ μὲν λέγεις ὦ λάχης· ἀλλ' ἴσως ἐγὼ αἴτιος, οὐ σαφῶς εἰπών, τὸ σὲ ἀποκρίνασθαι μὴ τοῦτο ὃ διανοούμενος ἠρόμην ἀλλ' ἕτερον: πῶς τοῦτο λέγεις ὦ σώκρατες: ἐγὼ φράσω ἐὰν οἷός τε γένωμαι. ἀνδρεῖός που οὗτος, ὃν καὶ σὺ λέγεις, ὃς ἂν ἐν τῇ τάξει μένων μάχηται τοῖς πολεμίοις: ἐγὼ γοῦν φημι: καὶ γὰρ ἐγώ. ἀλλὰ τί αὖ ὅδε, ὃς ἂν φεύγων μάχηται τοῖς πολεμίοις, ἀλλὰ μὴ μένων: πῶς φεύγων: ὥσπερ που καὶ σκύθαι λέγονται οὐχ ἧττον φεύγοντες ἢ διώκοντες μάχεσθαι, καὶ ὅμηρός που ἐπαινῶν τοὺς τοῦ αἰνείου ἵππους κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα αὐτοὺς ἔφη ἐπίστασθαι διώκειν ἠδὲ φέβεσθαι· καὶ αὐτὸν τὸν αἰνείαν κατὰ τοῦτ' ἐνεκωμίασε, κατὰ τὴν τοῦ φόβου ἐπιστήμην, καὶ εἶπεν αὐτὸν εἶναι μήστωρα φόβοιο: καὶ καλῶς γε ὦ σώκρατες· περὶ ἁρμάτων γὰρ ἔλεγε· καὶ σὺ τὸ τῶν σκυθῶν ἱππέων πέρι λέγεις· τὸ μὲν γὰρ ἱππικὸν τὸ ἐκείνων οὕτω μάχεται, τὸ δὲ ὁπλιτικόν, τό γε τῶν ἑλλήνων, ὡς ἐγὼ λέγω: πλήν γ' ἴσως ὦ λάχης τὸ λακεδαιμονίων. λακεδαιμονίους γάρ φασιν ἐν πλαταιαῖς, ἐπειδὴ πρὸς τοῖς γερροφόροις ἐγένοντο, οὐκ ἐθέλειν μένοντας πρὸς αὐτοὺς μάχεσθαι, ἀλλὰ φεύγειν· ἐπειδὴ δ' ἐλύθησαν αἱ τάξεις τῶν περσῶν, ἀναστρεφομένους ὥσπερ ἱππέας μάχεσθαι, καὶ οὕτω νικῆσαι τὴν ἐκεῖ μάχην: ἀληθῆ λέγεις: τοῦτο τοίνυν ὃ ἄρτι ἔλεγον, ὅτι ἐγὼ αἴτιος μὴ καλῶς σε ἀποκρίνασθαι, ὅτι οὐ καλῶς ἠρόμην· βουλόμενος γάρ σου πυθέσθαι μὴ

μόνον τοὺς ἐν τῷ ὁπλιτικῷ ἀνδρείους ἀλλὰ καὶ τοὺς ἐν τῷ ἱππι-
κῷ καὶ ἐν ξύμπαντι τῷ πολεμικῷ εἴδει· καὶ μὴ μόνον τοὺς
ἐν τῷ πολέμῳ, ἀλλὰ καὶ τοὺς ἐν τοῖς πρὸς τὴν θάλατταν κινδύ-
νοις ἀνδρείους ὄντας· καὶ ὅσοι γε πρὸς νόσους καὶ ὅσοι
πρὸς πενίας· ἢ καὶ πρὸς τὰ πολιτικὰ ἀνδρεῖοί εἰσιν· καὶ ἔτι
αὖ μὴ μόνον ὅσοι πρὸς λύπας ἀνδρεῖοί εἰσιν ἢ φόβους· ἀλλὰ
καὶ πρὸς ἐπιθυμίας ἢ ἡδονὰς δεινοὶ μάχεσθαι καὶ μένον-
τες ἢ ἀναστρέφοντες· εἰσὶ γάρ πού τινες ὦ λάχης, καὶ ἐν τοῖς
τοιούτοις ἀνδρεῖοι: καὶ σφόδρα ὦ σώκρατες: οὐκοῦν
ἀνδρεῖοι μὲν πάντες οὗτοί εἰσιν· ἀλλ' οἱ μὲν ἐν ἡδοναῖς· οἱ δ' ἐν λύ-
παις· οἱ δ' ἐν ἐπιθυμίαις· οἱ δ' ἐν φόβοις, τὴν ἀνδρείαν κέ-
κτηνται· οἱ δέ γ' οἶμαι δειλίαν ἐν τοῖς αὐτοῖς τούτοις: πά-
νυ γε: τί ποτε ὂν ἑκάτερον τούτων. τοῦτο ἐπυνθανόμην·
πάλιν οὖν πειρῶ εἰπεῖν ἀνδρείαν πρῶτον· τί ὂν ἐν πᾶσι τού-
τοις, ταὐτόν ἐστιν· ἢ οὔπω καταμανθάνεις ὃ λέγω: οὐ πά-
νυ τι: ἀλλ' ὧδε λέγω· ὥσπερ ἂν εἰ τάχος ἠρώτων τί ποτ' ἐστιν
ὃ καὶ ἐν τῷ τρέχειν τυγχάνει ὂν ἡμῖν καὶ ἐν τῷ κιθαρίζειν καὶ ἐν
τῷ λέγειν καὶ ἐν τῷ μανθάνειν καὶ ἐν ἄλλοις πολλοῖς· καὶ
σχεδόν τι αὐτὸ κεκτήμεθα οὗ καὶ πέρι ἄξιον λέγειν ἢ ἐν ταῖς
τῶν χειρῶν πράξεσιν ἢ σκελῶν ἢ στόματός τε καὶ φωνῆς ἢ
διανοίας· ἢ οὐχ οὕτω καὶ σὺ λέγεις: πάνυ γε: εἰ τοίνυν τίς με
ἔροιτο ὦ σώκρατες τί λέγεις τοῦτο ὃ ἐν πᾶσιν ὀνομάζεις
ταχυτῆτα εἶναι· εἴποιμ' ἂν αὐτῷ, ὅτι τὴν ἐν ὀλίγῳ χρόνῳ
πολλὰ διαπραττομένην δύναμιν ταχυτῆτα ἔγωγε καλῶ·
καὶ περὶ φωνὴν καὶ περὶ δρόμον καὶ περὶ τἆλλα πάντα: ὀρ-
θῶς γε σὺ λέγων: πειρῶ δὴ καὶ σὺ ὦ λάχης τὴν ἀνδρείαν
οὕτως εἰπεῖν τίς οὖσα δύναμις, ἡ αὐτὴ ἐν ἡδονῇ καὶ ἐν λύπῃ,
καὶ ἐν ἅπασιν οἷς νῦν δὴ ἐλέγομεν αὐτὴν εἶναι· ἔπειτα ἀν-
δρεία κέκληται: δοκεῖ τοίνυν μοι καρτερία τις εἶναι τῆς ψυ-
χῆς· εἴ γε διὰ πάντων περὶ ἀνδρείας πεφυκὸς δεῖ εἰπεῖν:
ἀλλὰ μὴν δεῖ, εἴ γε τὸ ἐρωτώμενον ἀποκρινούμεθα ἡμῖν αὐτοῖς: ἀντὶ λάχης
τοῦτο τοίνυν ἔμοιγε φαίνεται: οὔτι πᾶσά γε ὡς ἐγῷμαι
καρτερία ἀνδρεία σοι φαίνεται· τεκμαίρομαι δὲ ἐνθένδε· σχε-
δὸν γάρ τι οἶδα ὦ λάχης, ὅτι τῶν πάνυ καλῶν πραγμάτων

ἡγῇ σὺ ἀνδρείαν εἶναι· εὖ μὲν οὖν ἴσθι, ὅτι τῶν καλλίστων· οὐ
κοῦν ἡ μὲν μετὰ φρονήσεως καρτερία καλὴ κἀγαθή; πάνυ γε·
τί δ' ἡ μετ' ἀφροσύνης· οὐ τοὐναντίον ταύτῃ βλαβερὰ καὶ κα
κοῦργος; ναί· καλὸν οὖν τι φήσεις σὺ εἶναι τὸ τοιοῦτον,
ὂν κακοῦργόν τε καὶ βλαβερόν; οὔκουν δίκαιόν γε ὦ σώ
κρατες· οὐκ ἄρα τήν γε τοιαύτην καρτερίαν ἀνδρείαν ὁμολο
γήσεις εἶναι, ἐπειδήπερ οὐ καλή ἐστιν· ἡ δὲ ἀνδρεία καλόν
ἐστιν· ἀληθῆ λέγεις· ἡ φρόνιμος ἄρα καρτερία κατὰ τὸν
σὸν λόγον ἀνδρεία ἂν εἴη· ἔοικεν· ἴδωμεν δή ἡ εἰς τί φρό
νιμος· ἢ ἡ εἰς ἅπαντα, καὶ τὰ μεγάλα καὶ τὰ σμικρά· οἷον
εἴ τις καρτερεῖ ἀναλίσκων ἀργύριον φρονίμως εἰδὼς ὅ
τι ἀναλώσας πλέον ἐκτήσεται· τοῦτον ἀνδρεῖον καλοῖς
ἄν; μὰ δί' οὐκ ἔγωγε· ἀλλ' οἷον εἴ τις ἰατρὸς ὤν, περιπλευ
μονίᾳ τοῦ ὑέος ἐχομένου ἢ ἄλλου τινός, καὶ δεομένου πι
εῖν ἢ φαγεῖν δοῦναι, μὴ κάμπτοιτο ἀλλὰ καρτεροῖ; οὐδ' ὁπωσ
τιοῦν οὐδ' αὕτη· ἀλλ' ἐν πολέμῳ καρτεροῦντα ἄνδρα καὶ ἐ
θέλοντα μάχεσθαι φρονίμως λογιζόμενον, εἰδότα μὲν ὅτι
βοηθήσουσιν ἄλλοι αὐτῷ· πρὸς ἐλάττους δὲ καὶ φαυλοτέ
ρους μαχεῖται ἢ μεθ' ὧν αὐτός ἐστιν· ἔτι δὲ χωρία ἔχει κρείτ
τω· τοῦτον τὸν μετὰ τῆς τοιαύτης φρονήσεως καὶ παρασκευ
ῆς καρτεροῦντα, ἀνδρειότερον ἂν φαίης ἢ τὸν ἐν τῷ ἐ
ναντίῳ στρατοπέδῳ ἐθέλοντα ὑπομένειν τε καὶ καρτερεῖν;
τὸν ἐν τῷ ἐναντίῳ ἔμοιγε δοκεῖ ὦ σώκρατες· ἀλλὰ μὴν
ἀφρονεστέρα γε ἡ τούτου ἢ ἡ τοῦ ἑτέρου καρτερία· ἀληθῆ
λέγεις· καὶ τὸν μετὰ ἱππικῆς ἄρα ἐπιστήμης καρτεροῦντα
ἐν ἱππομαχίᾳ ἧττον φήσεις ἀνδρεῖον εἶναι ἢ τὸν ἄνευ ἐπι
στήμης· ἔμοιγε δοκεῖ· καὶ τὸν μετὰ σφενδονητικῆς ἢ
τοξικῆς ἢ ἄλλης τινὸς τέχνης καρτεροῦντα; πάνυ γε·
καὶ ὅσοι ἂν ἐθέλουσιν εἰς φρέαρ καταβαίνοντες καὶ κολυμ
βῶντες καρτερεῖν ἐν τούτῳ τῷ ἔργῳ μὴ ὄντες δεινοί, ἢ ἔν
τινι ἄλλῳ τοιούτῳ, ἀνδρειοτέρους φήσεις τῶν ταῦτα δεινῶν;
τί γὰρ ἄν τις ἄλλο φαίη ὦ σώκρατες· οὐδέν εἴπερ οἴοιτό
γε οὕτως· ἀλλὰ μὴν οἶμαί γε· καὶ μήν που ἀφρονεστέρως
γε ὦ λάχης οἱ τοιοῦτοι κινδυνεύουσί τε καὶ καρτεροῦσιν.

ἢ οἱ μετὰ τέχνης αὐτὸ πράττοντες· φαίνονται. οὐκοῦν αἰ-
σχρὰ ἡ ἄφρων τόλμα τε καὶ καρτέρησις ἐν τῷ πρόσθεν ἐ-
φάνη ἡμῖν οὖσα καὶ βλαβερά; πάνυ γε. ἡ δέ γε ἀνδρεία ὡ-
μολογεῖτο καλόν τι εἶναι; ὡμολογεῖτο γάρ. νῦν δ' αὖ πάλιν
φαμὲν ἐκεῖνο τὸ αἰσχρόν, τὴν ἄφρονα καρτέρησιν, ἀνδρεί-
αν εἶναι; ἐοίκαμεν. καλῶς οὖν σοι δοκοῦμεν λέγειν; μὰ τὸν
δία, ὦ σώκρατες, ἐμοὶ μὲν οὔ. οὐκ ἄρα που κατὰ τὸν σὸν λό-
γον δωριστὶ ἡρμόσμεθα ἐγώ τε καὶ σύ, ὦ λάχης· τὰ γὰρ ἔρ-
γα οὐ ξυμφωνεῖ ἡμῖν τοῖς λόγοις. ἔργῳ μὲν γάρ, ὡς ἔ-
οικε, φαίη ἄν τις ἡμᾶς ἀνδρείας μετέχειν. λόγῳ δ', ὡς ἐγῷ-
μαι, οὐκ ἄν, εἰ νῦν ἡμῶν ἀκούσειε διαλεγομένων. ἀληθέστατα
λέγεις. τί οὖν; δοκεῖ καλὸν εἶναι οὕτως ἡμᾶς διακεῖσθαι;
οὐδ' ὁπωστιοῦν. βούλει οὖν ᾧ λέγομεν πειθώμεθα τό γε το-
σοῦτον; τὸ ποῖον δὴ τοῦτο καὶ τίνι τούτῳ; τῷ λόγῳ ὃς
καρτερεῖν κελεύει. εἰ οὖν βούλει, καὶ ἡμεῖς ἐπὶ τῇ ζητήσει
ἐπιμείνωμέν τε καὶ καρτερήσωμεν, ἵνα καὶ μὴ ἡμῶν αὐτὴ
ἡ ἀνδρεία καταγελάσῃ, ὅτι οὐκ ἀνδρείως αὐτὴν ζητοῦ-
μεν, εἰ ἄρα πολλάκις αὐτὴ ἡ καρτέρησίς ἐστιν ἀνδρεία. ἐ-
γὼ μὲν ἕτοιμος, ὦ σώκρατες, μὴ προαφίστασθαι. καίτοι
ἀήθης γ' εἰμὶ τῶν τοιούτων λόγων· ἀλλά τίς με καὶ φιλονει-
κία εἴληφε πρὸς τὰ εἰρημένα, καὶ ὡς ἀληθῶς ἀγανακτῶ
εἰ οὑτωσὶ ἃ νοῶ μὴ οἷός τ' εἰμὶ εἰπεῖν. νοεῖν μὲν γὰρ ἔμοιγε
δοκῶ περὶ ἀνδρείας ὅτι ἔστιν· οὐκ οἶδα δ' ὅπῃ με ἄρτι δι-
έφυγεν, ὥστε μὴ ξυλλαβεῖν τῷ λόγῳ αὐτὴν καὶ εἰπεῖν ὅτι
ἐστίν. οὐκοῦν, ὦ φίλε, τὸν ἀγαθὸν κυνηγέτην μεταθεῖν χρὴ
καὶ μὴ ἀνιέναι. παντάπασι μὲν οὖν. βούλει οὖν καὶ νικί-
αν τόνδε παρακαλῶμεν ἐπὶ τὸ κυνηγέσιον, εἴ τι ἡμῶν εὐπο-
ρώτερός ἐστι; βούλομαι. πῶς γὰρ οὔ; ἴθι δή, ὦ νικία,
ἄνδρας φίλους χειμαζομένους ἐν λόγῳ καὶ ἀποροῦντας,
εἴ τινα ἔχεις δύναμιν, ἐπάμυνον. τὰ μὲν γὰρ δὴ ἡμέτερα ὁ-
ρᾷς ὡς ἄπορα. σὺ δ' εἰπὼν ὅτι ἡγῇ ἀνδρείαν εἶναι, ἡ-
μᾶς τε τῆς ἀπορίας ἔκλυσαι καὶ αὐτὸς ἃ νοεῖς τῷ λόγῳ
βεβαίωσαι. δοκεῖτε τοίνυν μοι πάλαι οὐ καλῶς, ὦ σώκρα-
τες, ὁρίζεσθαι τὴν ἀνδρείαν· ὃ γὰρ ἐγὼ σοῦ ἤδη καλῶς

λέγοντος ἀκήκοα· τούτῳ οὐ χρῆσθε: ποῖον δή, ὦ νικία:
πολλάκις ἀκήκοά σου λέγοντος, ὅτι ταῦτα ἀγαθὸς ἕκαστος
ἡμῶν. ἅπερ σοφός· ἃ δὲ ἀμαθής· ταῦτα δὲ κακός: ἀλη-
θῆ μέντοι νὴ δία λέγεις ὦ νικία: οὐκοῦν εἴπερ ὁ ἀνδρεῖος
ἀγαθός· δῆλον ὅτι σοφός ἐστιν: ἤκουσας ὦ λάχης; ἔ-
γωγε. καὶ οὐ σφόδρα γε μανθάνω, ὃ λέγει: ἀλλ' ἐγὼ δοκῶ
μανθάνειν· καί μοι δοκεῖ ἁνὴρ, σοφίαν τινὰ, τὴν ἀνδρείαν λέ-
γειν: ποίαν ὦ σώκρατες σοφίαν: οὐκοῦν τόνδε, τοῦτο ἐ-
ρωτᾷς; ἔγωγε: ἴθι δὴ αὐτῷ εἰπέ ὦ νικία· ποία σοφία,
ἀνδρεία ἂν εἴη, κατὰ τὸν σὸν λόγον· οὐ γάρ που ἥ γε αὐλητι-
κή· οὐδαμῶς: οὐδὲ μὴν ἡ κιθαριστική; [οὐδὲ τοῦτο:] ἀλλὰ τίς δὴ αὕτη·
ἢ τίνος ἐπιστήμη: πάνυ μὲν οὖν ὀρθῶς αὐτὸν ἐρωτᾷς
ὦ σώκρατες· καὶ εἰπέτω γε τίνα φησὶν αὐτὴν εἶναι: ταύτην
ἔγωγε ὦ λάχης· τὴν τῶν δεινῶν καὶ θαρραλέων ἐπιστήμην·
καὶ ἐν πολέμῳ· καὶ ἐν τοῖς ἄλλοις ἅπασιν: ὡς ἄτοπα λέ-
γει ὦ σώκρατες: πρὸς τί τοῦτ' εἶπες βλέψας ὦ λάχης:
πρὸς ὅτι χωρὶς δήπου σοφία ἐστὶν ἀνδρείας; οὔκουν φησί
γε νικίας: οὐ μέντοι μὰ δία· ταῦτά τοι καὶ ληρεῖ: οὐκοῦν
διδάσκωμεν αὐτὸν, ἀλλὰ μὴ λοιδορῶμεν: οὐκ ἀλλά μοι δοκεῖ
ὦ σώκρατες. λάχης ἐπιθυμεῖν κἀμὲ φανῆναι μηδὲν λέ-
γοντα, ὅτι καὶ αὐτὸς ἄρτι τοιοῦτος ἐφάνη: πάνυ μὲν οὖν
ὦ νικία· καὶ πειράσομαί γε ἀποφῆναι· οὐδὲν γὰρ λέγεις.
ἐπεὶ αὐτίκα ἐν ταῖς νόσοις· οὐχ οἱ ἰατροὶ τὰ δεινὰ ἐπίσταν-
ται· ἢ οἱ ἀνδρεῖοι δοκοῦσί σοι ἐπίστασθαι· ἢ τοὺς ἰατροὺς
σὺ ἀνδρείους καλεῖς: οὐδ' ὁπωστιοῦν: οὐδέ γε τοὺς
γεωργοὺς οἶμαι· καίτοι τά γε ἐν τῇ γεωργίᾳ δεινά, οὗτοι
δήπου ἐπίστανται· καὶ οἱ ἄλλοι δημιουργοὶ ἅπαντες· τὰ ἐν
ταῖς αὑτῶν τέχναις δεινά τε καὶ θαρραλέα ἴσασιν· ἀλλ' οὐ-
δέν τι μᾶλλον οὗτοι ἀνδρεῖοί εἰσιν: τί δοκεῖ λάχης λέγειν ὦ
νικία; ἔοικεν μέντοι λέγειν τι· καὶ γὰρ λέγει γέ τι. οὐ μέντοι
ἀληθές γε: πῶς δή: ὅτι οἴεται τοὺς ἰατροὺς πλέον τι εἰ-
δέναι περὶ τοὺς κάμνοντας· ἢ τὸ ὑγιεινὸν εἰπεῖν, οἷόν τε καὶ
νοσῶδες· οἱ δὲ δήπου τοσοῦτον δήπου μόνον ἴσασιν· εἰ δὲ
δεινὸν τῷ, τοῦτό ἐστιν τὸ ὑγιαίνειν μᾶλλον ἢ τὸ κάμνειν. ἡγεῖ

σὺ τοῦτο ὦ λάχης· τοὺς ἰατροὺς ἐπίστασθαι· ἢ οὐ πολλοῖς
οἴει ἐκ τῆς νόσου ἄμεινον εἶναι μὴ ἀναστῆναι ἢ ἀναστῆναι· τοῦ
το γὰρ εἰπέ· σὺ πᾶσι φῂς ἄμεινον εἶναι ζῆν· καὶ οὐ πολλοῖς
κρεῖττον τεθνάναι: οἶμαι ἔγωγε τοῦτό γε: οἷς οὖν τεθνά
ναι λυσιτελεῖ ταὐτὰ οἴει δεινὰ εἶναι καὶ οἷς ζῆν; οὐκ ἔγωγε·
ἀλλὰ τοῦτο δὴ σὺ δίδως τοῖς ἰατροῖς γιγνώσκειν ἢ ἄλλῳ τινὶ
δημιουργῷ πλὴν τῷ τῶν δεινῶν καὶ μὴ δεινῶν ἐπιστήμονι·
ὃν ἐγὼ ἀνδρεῖον καλῶ: κατανοεῖς ὦ λάχης ὅ τι λέγει; ἔγω
γε· ὅτι γε τοὺς μάντεις καλεῖ τοὺς ἀνδρείους· τίς γὰρ δὴ ἄλ
λος εἴσεται ὅτῳ ἄμεινον ζῆν ἢ τεθνάναι· καίτοι σὺ ὦ νι
κία πότερον ὁμολογεῖς μάντις εἶναι ἢ οὔτε μάντις οὔτε
ἀνδρεῖος: τί δαὶ μάντει αὖ οἴει προσήκει τὰ δεινὰ γιγνώ
σκειν καὶ τὰ θαρραλέα; ἔγωγε· τίνι γὰρ ἄλλῳ: ᾧ ἐγὼ λέ
γω· πολὺ μᾶλλον ὦ βέλτιστε· ἐπεὶ μάντιν γε τὰ σημεῖα μόνον δεῖ
γιγνώσκειν τῶν ἐσομένων εἴτε τῳ θάνατος εἴτε νόσος
εἴτε ἀποβολὴ χρημάτων ἔσται εἴτε νίκη εἴτε ἧττα ἢ πολέ
μου ἢ καὶ ἄλλης τινὸς ἀγωνίας· ὅτι δέ τῳ ἄμεινον τού
των ἢ παθεῖν ἢ μὴ παθεῖν τί μᾶλλον μάντει προσήκει κρῖ
ναι ἢ ἄλλῳ ὁτῳοῦν: ἀλλ' ἐγὼ τοῦτο οὐ μανθάνω ὦ σώκρα
τες ὅ τι βούλεται λέγειν· οὔτε γὰρ μάντιν οὔτε ἰατρὸν οὔτε ἄλ
λον οὐδένα δηλοῖ ὅντινα λέγει τὸν ἀνδρεῖον εἰ μὴ εἰ θεόν
τινα λέγει αὐτὸν εἶναι· ἐμοὶ μὲν οὖν φαίνεται νικίας οὐκ ἐ
θέλειν γενναίως ὁμολογεῖν ὅτι οὐδὲν λέγει· ἀλλὰ στρέφε
ται ἄνω καὶ κάτω ἐπικρυπτόμενος τὴν αὑτοῦ ἀπορίαν·
καίτοι κἂν ἡμεῖς οἷοί τε ἦμεν ἄρτι ἐγώ τε καὶ σὺ τοιαῦτα
στρέφεσθαι εἰ ἐβουλόμεθα μὴ δοκεῖν ἐναντία ἡμῖν αὐτοῖς
λέγειν· εἰ μὲν οὖν ἐν δικαστηρίῳ ἡμῖν οἱ λόγοι ἦσαν· εἶχεν
ἄν τινα λόγον ταῦτα ποιεῖν· νῦν δὲ τί ἄν τις ἐν ξυνουσίᾳ
τοιᾷδε μάτην κενοῖς λόγοις αὐτὸς αὑτὸν κοσμοῖ: οὐ
δὲν οὐδ' ἐμοὶ δοκεῖ ὦ λάχης· ἀλλ' ὁρῶμεν μὴ νικίας οἴεταί
τι λέγειν· καὶ οὐ λόγου ἕνεκα ταῦτα λέγει· αὐτοῦ οὖν σαφέ
στερον πυθώμεθα τί ποτε νοεῖ· καὶ ἐάν τι φαίνηται λέγων·
ξυγχωρησόμεθα· εἰ δὲ μή· διδάξομεν: σὺ τοίνυν ὦ σώ
κρατες εἰ βούλει πυνθάνεσθαι πυνθάνου· ἐγὼ δ' ἴσως

ἱκανῶς πέπυσμαι· ἀλλ᾽ οὐδὲν μὲν κωλύει· κοινὴ γὰρ ἔσται ἡ σκέψις
ὑπὲρ ἐμοῦ τε καὶ σοῦ· πάνυ μὲν οὖν· λέγε δή μοι ὦ νικία μᾶλ-
λον δ᾽ ἡμῖν· κοινούμεθα γὰρ ἐγώ τε καὶ λάχης τὸν λόγον· τὴν
ἀνδρείαν ἐπιστήμην φῂς δεινῶν τε καὶ θαρραλέων εἶναι; ἔ-
γωγε· τοῦτο δὲ οὐ παντὸς δὴ εἶναι ἀνδρὸς γνῶναι· ὁπό-
τε γε μήτε ἰατρὸς μήτε μάντις αὐτὸ γνώσεται· μηδὲ ἀνδρεῖ-
ος ἔσται ἐὰν μὴ αὐτὴν ταύτην τὴν ἐπιστήμην προσλάβῃ·
οὐχ οὕτως ἔλεγες; οὕτω μὲν οὖν· κατὰ τὴν παροιμίαν
ἄρα τῷ ὄντι οὐκ ἂν πᾶσα ὗς γνοίη· οὐδ᾽ ἂν ἀνδρεία γέ-
νοιτο· οὔ μοι δοκεῖ· δῆλον δὴ ὦ νικία ὅτι οὐδὲ τὴν κρομ-
μυωνίαν ὗν πιστεύεις σύ γε ἀνδρείαν γεγονέναι· τοῦτο δὲ
λέγω οὐ παίζων· ἀλλ᾽ ἀναγκαῖον οἶμαι τῷ ταῦτα λέγοντι·
μηδενὸς θηρίου ἀποδέχεσθαι ἀνδρείαν· ἢ συγχωρεῖν θη-
ρίον τι οὕτω σοφὸν εἶναι· ὥστε ἃ ὀλίγοι ἀνθρώπων ἴσασι
διὰ τὸ χαλεπὰ εἶναι γνῶναι ταῦτα λέοντα ἢ πάρδαλιν ἤ
τινα κάπρον φάναι εἰδέναι· ἀλλ᾽ ἀνάγκη ὁμοίως λέοντα·
καὶ ἔλαφον καὶ ταῦρον καὶ πίθηκον πρὸς ἀνδρείαν φάναι
πεφυκέναι τὸν τιθέμενον ἀνδρείαν τοῦθ᾽ ὅπερ σὺ τίθεσαι·
νὴ τοὺς θεούς· καὶ εὖ γε λέγεις ὦ σώκρατες· καί μοι ὡς
ἀληθῶς τοῦτο ἀπόκριναι ὦ νικία· πότερον σοφώτερα
φῂς ἡμῶν ταῦτα εἶναι τὰ θηρία ἃ πάντες ὁμολογοῦμεν
ἀνδρεῖα εἶναι· ἢ πᾶσιν ἐναντιούμενος τολμᾷς μηδὲ ἀν-
δρεῖα αὐτὰ καλεῖν· οὐ γάρ τι ὦ λάχης ἔγωγε ἀνδρεῖα κα-
λῶ οὔτε θηρία οὔτε ἄλλο οὐδὲν τὸ τὰ δεινὰ ὑπὸ ἀνοίας μὴ
φοβούμενον· ἀλλ᾽ ἄφοβον καὶ μῶρον· ἢ καὶ τὰ παιδία πάντα
οἴει με ἀνδρεῖα καλεῖν ἃ δι᾽ ἄνοιαν οὐδὲν δέδοικεν· ἀλλ᾽ οἶμαι
τὸ ἄφοβον καὶ τὸ ἀνδρεῖον οὐ ταυτόν ἐστιν· ἐγὼ δὲ ἀνδρεί-
ας μὲν καὶ προμηθίας πάνυ τισὶν ὀλίγοις οἶμαι μετεῖναι· θρα-
σύτητος δὲ καὶ τόλμης καὶ τοῦ ἀφόβου μετὰ ἀπρομηθί-
ας πάνυ πολλοῖς καὶ ἀνδρῶν καὶ γυναικῶν καὶ παίδων·
καὶ θηρίων· ταῦτ᾽ οὖν ἃ σὺ καλεῖς ἀνδρεῖα καὶ οἱ πολλοί·
ἐγὼ θρασέα καλῶ· ἀνδρεῖα δὲ τὰ φρόνιμα περὶ ὧν λέγω·
θέασαι ὦ σώκρατες ὡς εὖ ὅδε ἑαυτὸν δή ὡς οἴεται κο-
σμεῖ τῷ λόγῳ· οὓς δὲ πάντες ὁμολογοῦσιν ἀνδρείους

εἶναι· τούτους ἀποστερεῖν ἐπιχειρεῖ ταύτης τῆς τιμῆς:
οὔκουν σέ γε ὦ λάχης· ἀλλὰ θάρρει· φημὶ γάρ σε εἶναι
σοφόν· καὶ λάμαχόν γε, εἴπερ ἐστὲ ἀνδρεῖοι· καὶ ἄλλους γε συ
χνοὺς ἀθηναίων· οὐδὲν ἐρῶ πρὸς ταῦτα, ἔχων εἰπεῖν·
ἵνα μή με φῇς ὡς ἀληθῶς αἰξωνέα εἶναι: μηδέ γε εἴπῃς
ὦ λάχης· καὶ γάρ μοι δοκεῖς οὐδὲ ᾐσθῆσθαι ὅτι ταύτην
τὴν σοφίαν παρὰ δάμωνος τοῦ ἡμετέρου ἑταίρου παρεί
ληφεν· ὁ δὲ δάμων τῷ προδίκῳ πολλὰ πλησιάζει· ὃς
δὴ δοκεῖ τῶν σοφιστῶν κάλλιστα τὰ τοιαῦτα ὀνόματα διαι
ρεῖν: καὶ γὰρ πρέπει ὦ σώκρατες σοφιστῇ τὰ τοιαῦτα μᾶλ
λον κομψεύεσθαι ἢ ἀνδρὶ ὃν ἡ πόλις ἀξιοῖ αὑτῆς προεσ
τάναι: πρέπει μέντοι ὦ μακάριε τῶν μεγίστων προστα
τοῦντι μεγίστης φρονήσεως μετέχειν· δοκεῖ δέ μοι νικίας
ἄξιος εἶναι ἐπισκέψεως, ὅποι ποτὲ βλέπων τοὔνομα
τοῦτο τίθησι τὴν ἀνδρείαν: αὐτὸς τοίνυν σκόπει ὦ σώκρα
τες: τοῦτο μέλλω ποιεῖν ὦ ἄριστε· μὴ μέντοι οἴου με ἀφή
σειν σε τῆς κοινωνίας τοῦ λόγου· ἀλλὰ πρόσεχε τὸν νοῦν
καὶ συσκόπει τὰ λεγόμενα: ταῦτα δὴ ἔστω εἰ δοκεῖ χρῆ
ναι: ἀλλὰ δοκεῖ· σὺ δὲ νικία λέγε ἡμῖν πάλιν ἐξ ἀρχῆς:
Οἶσθ' ὅτι τὴν ἀνδρείαν κατ' ἀρχὰς τοῦ λόγου ἐσκοποῦμεν
ὡς μέρος ἀρετῆς σκοποῦντες; πάνυ γε: οὐκοῦν καὶ
σὺ τοῦτο ἀπεκρίνω ὡς μόριον ὄντων δὴ καὶ ἄλλων μερῶν,
ἃ σύμπαντα ἀρετὴ κέκληται; πῶς γὰρ οὔ: ἆρ' οὖν ἅ
περ ἐγὼ καὶ σὺ ταῦτα λέγεις· ἐγὼ δὲ καλῶ πρὸς ἀνδρεί
ᾳ σωφροσύνην καὶ δικαιοσύνην καὶ ἄλλ' ἄττα τοιαῦτα·
οὐ καὶ σύ; πάνυ μὲν οὖν: ἔχε δή· ταῦτα μὲν γὰρ ὁμο
λογοῦμεν· περὶ δὲ τῶν δεινῶν καὶ θαρραλέων σκεψώμε
θα· ὅπως μὴ σὺ μὲν ἄλλ' ἄττα ἡγῇ· ἡμεῖς δὲ ἄλλα· ἃ μὲν
οὖν ἡμεῖς ἡγούμεθα φράσομέν σοι· σὺ δὲ ἂν μὴ ὁμολο
γῇς διδάξεις· ἡγούμεθα δ' ἡμεῖς δεινὰ μὲν εἶναι ἃ καὶ
δέος παρέχει· θαρραλέα δὲ ἃ μὴ δέος παρέχει· δέος δὲ πα
ρέχει οὐ τὰ γεγονότα οὐδὲ τὰ παρόντα τῶν κακῶν· ἀλλὰ
τὰ προσδοκώμενα· δέος γὰρ εἶναι προσδοκίαν μέλλον
τος κακοῦ· ἢ οὐχ οὕτω καὶ συνδοκεῖ ὦ λάχης: πάνυ γε

σφόδρα γε ὦ σώκρατες: τὰ μὲν δὴ ἡμέτερα τοιαῦτα ὦ νικία ἀκού-
εις, ὅτι δεινὰ μὲν τὰ μέλλοντα κακά φαμεν εἶναι· θαρραλέα
δὲ τὰ μὴ κακὰ ἢ ἀγαθὰ μέλλοντα· σὺ δὲ ταύτῃ ἢ ἄλλῃ περὶ τού-
των λέγεις: ταύτῃ ἔγωγε: τούτων δέ γε τὴν ἐπιστήμην
ἀνδρείαν προσαγορεύεις; κομιδῇ γε: ἔτι δὴ τὸ τρίτον
σκεψώμεθα εἰ ξυνδοκεῖ σοί τε καὶ ἡμῖν: τὸ ποῖον δὴ τοῦτο:
ἐγὼ δὴ φράσω· δοκεῖ γὰρ δὴ ἐμοί τε καὶ τῷδε περὶ ὅσων
ἐστὶν ἐπιστήμη· οὐκ ἄλλη μὲν εἶναι περὶ γεγονότος εἰδέναι ὅπῃ
γέγονεν· ἄλλη δὲ περὶ γιγνομένων ὅπῃ γίγνεται· ἄλλη δὲ
ὅπῃ ἂν κάλλιστα γένοιτο καὶ γενήσεται τὸ μήπω γεγονός·
ἀλλ' ἡ αὐτή· οἷον περὶ τὸ ὑγιεινὸν εἰς ἅπαντας τοὺς χρό-
νους· οὐκ ἄλλη τις ἢ ἰατρική μία οὖσα ἐφορᾷ καὶ γιγνό-
μενα καὶ γεγονότα καὶ γενησόμενα ὅπῃ γενήσεται· καὶ
περὶ τὰ ἐκ τῆς γῆς αὖ φυόμενα ἡ γεωργία ὡσαύτως
ἔχει· καὶ δήπου τὰ περὶ τὸν πόλεμον αὐτοὶ ἂν μαρτυρή-
σαιτε· ὅτι ἡ στρατηγία κάλλιστα προμηθεῖται τά τε ἄλλα καὶ
περὶ τὸ μέλλον ἔσεσθαι· οὐδὲ τῇ μαντικῇ οἴεται δεῖν ὑπη-
ρετεῖν ἀλλὰ ἄρχειν ὡς εἰδυῖα κάλλιον τὰ περὶ τὸν πόλε-
μον καὶ γιγνόμενα καὶ γενησόμενα· καὶ ὁ νόμος οὕτω
τάττει· μὴ τὸν μάντιν τοῦ στρατηγοῦ ἄρχειν· ἀλλὰ τὸν στρα-
τηγὸν τοῦ μάντεως· φήσομεν ταῦτα ὦ λάχης; φήσομεν:
Τί δαί; σὺ ἡμῖν ὦ νικία ξυμφῄς· περὶ τῶν αὐτῶν τὴν αὐτὴν
ἐπιστήμην καὶ ἐσομένων καὶ γιγνομένων καὶ γεγονότων
ἐπαΐειν; ἔγωγε· δοκεῖ γάρ μοι οὕτως ὦ σώκρατες: οὐ-
κοῦν ὦ ἄριστε καὶ ἡ ἀνδρεία τῶν δεινῶν ἐπιστήμη ἐστὶ καὶ
θαρραλέων ὡς φῄς· ἦ γάρ: ναί: ταῦτα δὲ δεινὰ ὡμολό-
γηται καὶ θαρραλέα, τὰ μὲν μέλλοντα ἀγαθά, τὰ δὲ μέλλον-
τα κακὰ εἶναι; πάνυ γε: ἡ δέ γ' αὐτὴ ἐπιστήμη τῶν αὐτῶν
καὶ μελλόντων καὶ πάντως ἐχόντων εἶναι; ἔστι ταῦτα: οὐ
μόνον ἄρα τῶν δεινῶν καὶ θαρραλέων ἡ ἀνδρεία ἐπιστήμη
ἐστίν· οὐ γὰρ μελλόντων μόνον περὶ τῶν ἀγαθῶν τε καὶ κακῶν
ἐπαΐει· ἀλλὰ καὶ γιγνομένων καὶ γεγονότων καὶ πάντως
ἐχόντων ὥσπερ αἱ ἄλλαι ἐπιστῆμαι: ἔοικέν γε: μέρος ἄρα
ἀνδρείας ἡμῖν ὦ νικία ἀπεκρίνω σχεδόν τι τρίτον· καίτοι

ἡμεῖς ἠρωτῶμεν ὅλην ἂν ἀνδρείαν ὅτι εἴη· καὶ νῦν δὴ ὡς ἔοικεν
κατὰ τὸν σὸν λόγον, οὐ μόνον δεινῶν καὶ θαρραλέων ἐπιστή-
μη ἡ ἀνδρεία ἐστίν, ἀλλὰ σχεδόν τι ἡ περὶ πάντων ἀγαθῶν
τε καὶ κακῶν καὶ πάντως ἐχόντων, ὡς νῦν αὖ ὁ σὸς λόγος,
ἀνδρεία ἂν εἴη· οὕτως αὖ μετατίθεσαι, ἢ πῶς λέγεις, ὦ Νι-
κία: ἔμοιγε δοκεῖ ὦ Σώκρατες: δοκεῖ οὖν σοι ὦ δαιμόνιε,
ἀπολείπειν ἄν τι ὁ τοιοῦτος ἀρετῆς, εἴπερ εἰδείη τά τε ἀ-
γαθὰ πάντα καὶ παντάπασιν ὡς γίγνεται καὶ γενήσεται
καὶ γέγονε, καὶ τὰ κακὰ ὡσαύτως; καὶ τοῦτον οἴει ἂν σὺ ἐν-
δεᾶ εἶναι σωφροσύνης ἢ δικαιοσύνης τε καὶ ὁσιότητος:
ᾧ γε μόνῳ προσήκει καὶ περὶ θεοὺς καὶ περὶ ἀνθρώπους
ἐξευλαβεῖσθαι τά τε δεινὰ καὶ τὰ μή, καὶ τἀγαθὰ πορίζεσθαι,
ἐπισταμένῳ ὀρθῶς προσομιλεῖν; λέγειν τι ὦ Σώκρατές μοι
δοκεῖς: οὐκ ἄρα ὦ Νικία μόριον ἀρετῆς ἂν εἴη τὸ νῦν σοι
λεγόμενον, ἀλλὰ σύμπασα ἀρετή: ἔοικε: καὶ μὴν ἔφαμέν γε
τὴν ἀνδρείαν μόριον εἶναι ἓν τῶν τῆς ἀρετῆς; ἔφαμεν γάρ:
τὸ δέ γε νῦν λεγόμενον οὐ φαίνεται: οὐκ ἔοικεν: οὐκ ἄρα εὑ-
ρήκαμεν ὦ Νικία ἀνδρεία ὅτι ἐστίν: οὐ φαινόμεθα: καὶ μὴν
ἔγωγε ὦ φίλε Νικία ᾤμην σε εὑρήσειν, ἐπειδὴ ἐμοῦ κα-
τεφρόνησας Σωκράτει ἀποκριναμένου· πάνυ δὴ μεγάλην
ἐλπίδα εἶχον, ὡς τῇ παρὰ τοῦ Δάμωνος σοφίᾳ αὐτὴν ἀ-
νευρήσεις: εὖ γε ὦ Λάχης, ὅτι οὐδὲν οἴει σὺ ἔτι πρᾶγμα
εἶναι, ὅτι αὐτὸς ἄρτι ἐφάνης ἀνδρείας πέρι οὐδὲν εἰδώς· ἀλ-
λ' εἰ καὶ ἐγὼ ἕτερος τοιοῦτος ἀναφανήσομαι, πρὸς τοῦτο βλέ-
πεις· καὶ οὐδὲν ἔτι διοίσει ὡς ἔοικε σοὶ μετ' ἐμοῦ μηδὲν εἰδέ-
ναι, ὧν προσήκει ἐπιστήμην ἔχειν ἀνδρὶ οἰομένῳ τι εἶναι. σὺ
μὲν οὖν μοι δοκεῖς ὡς ἀληθῶς, ἀνθρώπειον πρᾶγμα ἐργά-
ζεσθαι· οὐδὲ πρὸς αὑτὸν βλέπειν, ἀλλὰ πρὸς τοὺς ἄλλους.
ἐγὼ δ' οἶμαι ἐμοὶ περὶ ὧν ἐλέγομεν νῦν τε ἐπιεικῶς εἰρῆ-
σθαι, καὶ εἴ τι αὐτῶν μὴ ἱκανῶς εἴρηται, ὕστερον ἐπανορθώ-
σεσθαι· καὶ μετὰ Δάμωνος, οὗ σύ που οἴει καταγελᾶν· καὶ
ταῦτα οὐδ' ἰδὼν πώποτε τὸν Δάμωνα· καὶ μετ' ἄλλων· καὶ ἐ-
πειδὰν βεβαιώσωμαι αὐτά, διδάξω καὶ σέ, καὶ οὐ φθονήσω·
δοκεῖς γάρ μοι καὶ μάλα σφόδρα δεῖσθαι μαθεῖν: σοφὸς

γὰρ τοι σὺ ὦ Νικία· ἀλλ' ὅμως ἐγὼ Λυσιμάχῳ τῷδε καὶ Μελη-
σίᾳ συμβουλεύω σὲ μὲν καὶ ἐμὲ περὶ τῆς παιδείας τοῖν νεα-
νίσκοιν χαίρειν ἐᾶν· Σωκράτη δὲ τουτονὶ ὅπερ ἐξ ἀρχῆς
ἔλεγον μὴ ἀφιέναι· εἰ δὲ καὶ ἐμοὶ ἐν ἡλικίᾳ ἦσαν οἱ παῖδες,
ταὐτὰ ἂν ταῦτ' ἐποίουν· ταῦτα μὲν κἀγὼ ξυγχωρῶ· ἐάνπερ
ἐθέλῃ Σωκράτης τὰ μειράκια ἐπιμελεῖσθαι, μηδένα ἄλλον
ζητεῖν· ἐπεὶ κἂν ἐγὼ τὸν Νικήρατον τούτῳ ἥδιστα ἐπιτρέποι-
μι, εἰ ἐθέλοι οὗτος· ἀλλὰ γὰρ ἄλλους μοι ἑκάστοτε ξυνίστησιν
ὅταν τι αὐτῷ περὶ τούτου μνησθῶ· αὐτὸς δὲ οὐκ ἐθέλει·
ἀλλ' ὅρα ὦ Λυσίμαχε εἴ τι σοῦ ἂν μᾶλλον ὑπακούοι Σωκράτης·
δίκαιόν γέ τοι ὦ Νικία· ἐπεὶ καὶ ἐγὼ τούτῳ πολλὰ ἂν ἐθελή-
σαιμι ποιεῖν ἃ οὐκ ἂν ἄλλοις πάνυ πολλοῖς ἐθέλοιμι· πῶς
οὖν φῄς ὦ Σώκρατες· ὑπακούσῃ τι καὶ συμπροθυμήσῃ
ὡς βελτίστοις γενέσθαι τοῖς μειρακίοις· καὶ γὰρ ἂν δεινὸν
εἴη ὦ Λυσίμαχε τοῦτό γε μὴ ἐθέλειν τῳ συμπροθυμεῖσθαι
ὡς βελτίστῳ γενέσθαι· εἰ μὲν οὖν ἐν τοῖς διαλόγοις τοῖς
ἄρτι ἐγὼ μὲν ἐφάνην εἰδώς, τώδε δὲ μὴ εἰδότε, δίκαιον
ἂν ἦν ἐμὲ μάλιστα ἐπὶ τοῦτο τὸ ἔργον παρακαλεῖν· νῦν δ' ὁ-
μοίως γὰρ πάντες ἐν ἀπορίᾳ ἐγενόμεθα· τί οὖν ἄν τις
ἡμῶν τινα προαιροῖτο· ἐμοὶ μὲν οὖν δὴ αὐτῷ δοκεῖ οὐδέ-
να· ἀλλ' ἐπειδὴ ταῦτα οὕτως ἔχει, σκέψασθε ἄν τι δόξω
συμβουλεύειν ὑμῖν· ἐγὼ γάρ φημι χρῆναι ὦ ἄνδρες· οὐ-
δεὶς γὰρ ἔκφορος λόγος, κοινῇ πάντας ἡμᾶς ζητεῖν
μάλιστα μὲν ἡμῖν αὐτοῖς διδάσκαλον ὡς ἄριστον· δεόμεθα
γάρ· ἔπειτα καὶ τοῖς μειρακίοις· μήτε χρημάτων φειδο-
μένους, μήτε ἄλλου μηδενός· ἐᾶν δὲ ἡμᾶς αὐτοὺς ἔχειν
ὡς νῦν ἔχομεν, οὐ ξυμβουλεύω· εἰ δέ τις ἡμῶν καταγελά-
σεται, ὅτι τηλικοίδε ὄντες εἰς διδασκάλων ἀξιοῦμεν φοιτᾶν,
τὸν Ὅμηρον δοκεῖ μοι χρῆναι προβάλλεσθαι, ὃς ἔφη οὐκ ἀ-
γαθὴν εἶναι αἰδῶ κεχρημένῳ ἀνδρὶ παρεῖναι· καὶ ἡμεῖς
οὖν ἐάσαντες χαίρειν εἴ τίς τι ἐρεῖ, κοινῇ ἡμῶν αὐτῶν καὶ
τῶν μειρακίων ἐπιμέλειαν ποιησώμεθα· ἐμοὶ μὲν ἀρέσκει
ὦ Σώκρατες ἃ λέγεις· καὶ ἐθέλω ὅσπερ γεραίτατός εἰ-
μι, τοσούτῳ προθυμότατα μανθάνειν μετὰ τῶν νεανί-

σκων· ἀλλά μοι οὑτωσὶ ποίησον· αὔριον ἕωθεν ἀφίκου οἴκαδε·
καὶ μὴ ἄλλως ποιήσῃς ἵνα βουλευσώμεθα περὶ αὐτῶν τούτων·
τὸ δὲ νῦν εἶναι τὴν συνουσίαν διαλύσωμεν: ἀλλὰ ποιήσω ὦ
λυσίμαχε ταῦτα καὶ ἥξω παρὰ σὲ αὔριον ἐὰν θεὸς ἐθέλῃ :~

λάχης ἢ περὶ ἀνδρείας :~

λύσις ἢ περὶ φιλίας μαιευτικός

ἐπορευόμην μὲν ἐξ ἀκαδημίας εὐθὺ λυκείου, τὴν ἔξω τείχους
ὑπ' αὐτὸ τὸ τεῖχος· ἐπειδὴ δ' ἐγενόμην κατὰ τὴν πυλίδα,
ᾗ ἡ πάνοπος κρήνη· ἐνταῦθα συνέτυχον ἱπποθάλει τε τῷ
ἱερωνύμου καὶ κτησίππῳ τῷ παιανιεῖ καὶ ἄλλοις μετ' αὐτοῦ
τῶν νεανίσκοις ἀθρόοις συνεστῶσι· καί με προσιόντα ὁ
ἱπποθάλης ἰδών· ὦ σώκρατες ἔφη ποῖ δὴ πορεύῃ καὶ πό
θεν: ἐξ ἀκαδημίας ἦν δ' ἐγὼ πορεύομαι εὐθὺ λυκείου:
δεῦρο δὴ ἦ δ' ὅς· εὐθὺ ἡμῶν· οὐ παραβάλλεις; ἄξιον μέντοι:
ποῖ ἔφην ἐγὼ λέγεις· καὶ παρὰ τίνας, τοὺς ὑμᾶς: δεῦρο ἔφη
δείξας μοι ἐν τῷ καταντικρὺ τοῦ τείχους περίβολόν τέ τινα
καὶ θύραν ἀνεῳγμένην· διατρίβομεν δὲ ἦ δ' ὅς, αὐτόθι ἡ
μεῖς τε αὐτοί, καὶ ἄλλοι, πάνυ πολλοὶ καὶ καλοί: ἔστιν δὲ δή.
τί τοῦτο καὶ τίς ἡ διατριβή: παλαίστρα ἔφη νεωστὶ ᾠκο
δομημένη· ἡ δὲ διατριβὴ τὰ πολλὰ ἐν λόγοις· ὧν ἡδέως
ἄν σοι μεταδιδοῖμεν: καλῶς γε ἦν δ' ἐγὼ ποιοῦντες· δι
δάσκει δὲ τίς αὐτόθι: σὸς ἑταῖρος ἦ δ' ὅς, καὶ ἐπαινέτης
μίκκος: μὰ δία ἦν δ' ἐγὼ οὐ φαῦλός γε ἀνήρ ἀλλ' ἱκανὸς
σοφιστής: βούλει οὖν ἕπεσθαι ἔφη ἵνα καὶ ἴδῃς τοὺς ὄν
τας αὐτόθι: αὐτοῦ πρῶτον ἡδέως ἂν ἀκούσαιμι ἐπὶ τῷ
καὶ εἴσειμι καὶ τίς ὁ καλός: ἄλλος ἔφη ἄλλῳ ἡμῶν δοκεῖ ὦ σώ
κρατες: σοὶ δὲ δὴ τίς ὦ ἱππόθαλες· τοῦτό μοι εἰπέ· καὶ ὃς
ἐρωτηθεὶς ἠρυθρίασεν· καὶ ἐγὼ εἶπον ὦ παῖ ἱερωνύμου
ἱππόθαλες· τοῦτο μὲν μηκέτι εἴπῃς, εἴτε ἐρᾷς του εἴτε
μή· οἶδα γὰρ ὅτι οὐ μόνον ἐρᾷς· ἀλλὰ καὶ πόρρω ἤδη εἶ τοῦ

πορευόμενος τοῦ ἔρωτος· εἰμὶ δὲ ἐγὼ τὰ μὲν ἄλλα φαῦλος
καὶ ἄχρηστος· τοῦτο δέ μοί πως ἐκ θεοῦ δέδοται· ταχὺ οἵῳ
τ' εἶναι γνῶναι ἐρῶντά τε καὶ ἐρώμενον· καὶ ὃς ἀκούσας·
πολὺ ἔτι μᾶλλον ἠρυθρίασεν· ὁ οὖν Κτήσιππος· ἀστεῖόν γε
355 ἦ δ' ὅς· ὅτι ἐρυθριᾷς ὦ Ἱππόθαλες· καὶ ὀκνεῖς εἰπεῖν Σωκράτει τὸ
τοὔνομα· ἐὰν δ' οὗτος καὶ σμικρὸν χρόνον συνδιατρίψῃ σοι·
παραταθήσεται ὑπὸ σοῦ ἀκούων θαμὰ λέγοντος· ἡμῶν γοῦν
ὦ Σώκρατες· ἐκκεκώφωκε τὰ ὦτα καὶ ἐμπέπληκε Λύσιδος·
ἂν μὲν δὴ καὶ ὑποπίῃ· εὐμαρία ἡμῖν ἐστιν καὶ ἐξ ὕπνου ἐγρο
μένοις· Λύσιδος οἴεσθαι τοὔνομα ἀκούειν· καὶ ἃ μὲν καταλο
γάδην διηγεῖται· δεινὰ ὄντα· οὐ πάνυ τι δεινά ἐστιν· ἀλλ' ἐπειδὰν
τὰ ποιήματα ἡμῶν ἐπιχειρήσῃ καταντλεῖν καὶ συγγράμμα
τα· καὶ ὅ ἐστιν τούτων δεινότερον· ὅτι καὶ ᾄδει εἰς τὰ παιδικὰ
φωνῇ θαυμασίᾳ· ἣν ἡμᾶς δεῖ ἀκούοντας ἀνέχεσθαι· νῦν δὲ
ἐρωτώμενος ὑπὸ σοῦ ἐρυθριᾷ· ἔστιν δὲ ἦν δ' ἐγώ· ὁ Λύσις·
νέος τις ὡς ἔοικε· τεκμαίρομαι δὲ ὅτι ἀκούσας τοὔνομα·
οὐκ ἔγνων· οὐ γὰρ πάνυ ἔφη τι αὐτοῦ τοὔνομα λέγουσιν· ἀλ
λ' ἔτι πατρόθεν ἐπονομάζεται διὰ τὸ σφόδρα τὸν πατέρα γι
γνώσκεσθαι αὐτοῦ· ἐπεὶ εὖ οἶδ' ὅτι πολλοῦ δεῖς τὸ εἶδος ἀ
γνοεῖν τοῦ παιδός· ἱκανὸς γὰρ καὶ ἀπὸ μόνου τούτου γιγνώ
σκεσθαι· λεγέσθω ἦν δ' ἐγὼ οὗτινος ἐστίν· Δημοκράτους
ἔφη, τοῦ Αἰξωνέως ὁ πρεσβύτατος ὑός· εἶεν ἦν δ' ἐγὼ ὦ
Ἱππόθαλες· ὡς γενναῖον καὶ νεανικὸν τοῦτον τὸν ἔρωτα παν
ταχῇ ἀνηῦρες· καί μοι ἴθι ἐπίδειξαι ἃ καὶ τοῖσδε ἐπιδεί
κνυσαι· ἵνα εἰδῶ εἰ ἐπίστασαι ἃ χρὴ ἐραστὴν περὶ παιδικῶν
πρὸς αὐτὸν ἢ πρὸς ἄλλους λέγειν· τούτων δέ τι ἔφη σταθμᾷ
ὦ Σώκρατες ὧν ὅδε λέγει· πότερον ἦν δ' ἐγὼ καὶ τὸ ἐρᾶν ἔξαρ
νος εἶ οὗ λέγει ὅδε· οὐκ ἔγωγε ἔφη· ἀλλὰ μὴ ποιεῖν εἰς τὰ
παιδικὰ μηδὲ συγγράφειν· οὐχ ὑγιαίνει ἔφη ὁ Κτήσιπ
πος· ἀλλὰ ληρεῖ τε καὶ μαίνεται· καὶ ἐγὼ εἶπον· ὦ Ἱππόθαλες·
Οὔτι τῶν μέτρων δέομαι ἀκοῦσαι οὐδὲ μέλος εἴ τι πεποίηκας
εἰς τὸν νεανίσκον· ἀλλὰ τῆς διανοίας· ἵνα εἰδῶ τίνα τρόπον
προσφέρει πρὸς τὰ παιδικά· ὅδε δήπου σοι ἔφη ἐρεῖ· ἀκρι
βῶς γὰρ ἐπίσταται καὶ μέμνηται· εἴπερ ὡς λέγει ὑπ' ἐμοῦ ἀεὶ

ἀκούομεν διατεθρύληται: μὴ τοιοῦτον δ' οὖν ἔφη ὁ Κτήσιππος·
πάμπολύ γε καὶ γάρ ἐστι καταγέλαστα ὦ Σώκρατες· τὸ γὰρ ἐραστὴν
ὄντα, καὶ διαφερόντως τῶν ἄλλων τὸν νοῦν προσέχοντα τῷ
παιδί· ἴδιον μὲν μηδὲν ἔχειν λέγειν ὃ οὐχὶ κἂν παῖς εἴποι·
πῶς οὐχὶ καταγέλαστον· ἃ δὲ ἡ πόλις ὅλη ᾄδει, περὶ Δημο-
κράτους, καὶ Λύσιδος τοῦ πάππου τοῦ παιδός, καὶ πάντων
περὶ τῶν προγόνων, πλούτους τε, καὶ ἱπποτροφίας· καὶ νίκας
Πυθοῖ, καὶ Ἰσθμοῖ, καὶ Νεμέᾳ· τεθρίπποις καὶ κέλησι· ταῦτα
ποιεῖ τε καὶ λέγει· πρὸς δὲ τούτοις ἔτι τούτων κρονικώτε-
ρα· τὸν γὰρ τοῦ Ἡρακλέους ξενισμὸν πρῴην ἡμῖν ἐν ποιή-
ματί τινι διῄει· ὡς διὰ τὴν τοῦ Ἡρακλέους ξυγγένειαν ὁ πρό-
γονος αὐτῶν ὑποδέξαιτο τὸν Ἡρακλέα, γεγονὼς αὐτὸς
ἐκ Διός τε καὶ τῆς τοῦ δήμου ἀρχηγέτου θυγατρός· ἅπερ αἱ
γραῖαι ᾄδουσι· καὶ ἄλλα πολλὰ τοιαῦτα ὦ Σώκρατες·
ταῦτ' ἐστὶν ἃ οὗτος λέγων τε καὶ ᾄδων ἀναγκάζει καὶ ἡμᾶς ἀκρο-
ᾶσθαι: Καὶ ἐγὼ ἀκούσας εἶπον· ὦ καταγέλαστε ἱππόθα-
λες· πρὶν νενικηκέναι, ποιεῖς τε καὶ ᾄδεις εἰς σαυτὸν ἐγκώ-
μιον; ἀλλ' οὐκ εἰς ἐμαυτὸν ἔφη ὦ Σώκρατες· οὔτε ποιῶ, οὔτε
ᾄδω: οὐκ οἴει γε ἦν δ' ἐγώ: τὸ δὲ πῶς ἔχει ἔφη: πάντων
μάλιστα εἶπον εἰς σὲ τείνουσιν αὗται αἱ ᾠδαί· ἐὰν μὲν γὰρ ἕ-
λῃς τὰ παιδικὰ τοιαῦτα ὄντα, κόσμος σοι ἔσται, τὰ λεχθέν-
τα καὶ ᾀσθέντα καὶ τῷ ὄντι ἐγκώμια ὥσπερ νενικηκότι, ὅ-
τι τοιούτων παιδικῶν ἔτυχες· ἐὰν δέ σε διαφύγῃ, ὅσῳ ἂν
μείζω σοι εἰρημένα ᾖ ἐγκώμια περὶ τῶν παιδικῶν· τοσού-
τῳ μείζονων δόξεις, καλῶν τε καὶ ἀγαθῶν ἐστερημένος κατα-
γέλαστος εἶναι· ὅστις οὖν τὰ ἐρωτικὰ ὦ φίλε σοφός· οὐ-
κ ἐπαινεῖ τὸν ἐρώμενον πρὶν ἂν ἕλῃ· δεδιὼς τὸ μέλλον, ὅπῃ
ἀποβήσεται· καὶ ἅμα οἱ καλοί, ἐπειδάν τις αὐτοὺς ἐπαινῇ
καὶ αὔξῃ· φρονήματος ἐμπίμπλανται καὶ μεγαλαυχίας·
ἢ οὐκ οἴει: ἔγωγε ἔφη: οὐκοῦν ὅσῳ ἂν μεγαλαυχότεροι
ὦσιν, δυσαλωτότεροι γίγνονται: εἰκός γε: ποῖός τις οὖν ἄν
σοι δοκεῖ θηρευτὴς εἶναι· εἰ ἀνασοβοῖ θηρεύων καὶ δυσαλω-
τοτέραν τὴν ἄγραν ποιοῖ: δῆλον ὅτι φαῦλος: καὶ μὲν δὴ
λόγοις τε καὶ ᾠδαῖς, μὴ κηλεῖν ἀλλ' ἐξαγριαίνειν· πολλὴ

ἀμουσίαν· ἦ γάρ; δοκεῖ γάρ μοι. σκόπει δή, ὦ ἱππόθαλες, ὅπως
μὴ πᾶσι τούτοις ἔνοχον σαυτὸν ποιήσῃς, διὰ τὴν ποίησιν·
καίτοι, οἶμαι, ἐγὼ ἄνδρα ποιήσει βλάπτοντα ἑαυτὸν οὐκ ἄν σε
ἐθελῆσαι ὁμολογῆσαι ὡς ἀγαθός ποτ' ἐστὶν ποιητής, βλαβερὸς
ὢν ἑαυτῷ. οὐ μὰ τὸν δία, ἔφη· πολλὴ γὰρ ἂν ἀλογία εἴη.
ἀλλὰ διὰ ταῦτα δή σοι, ὦ σώκρατες, ἀνακοινοῦμαι· καὶ εἴ τι ἄλλο
ἔχεις, συμβούλευε· τίνα ἄν τις λόγον διαλεγόμενος ἢ τί
πράττων προσφιλὴς παιδικοῖς γένοιτο. οὐ ῥᾴδιον,
ἦν δ' ἐγώ, εἰπεῖν· ἀλλ' εἴ μοι ἐθελήσαις αὐτὸν ποιῆσαι εἰς λό-
γους ἐλθεῖν, ἴσως ἂν δυναίμην σοι ἐπιδεῖξαι, ἃ χρὴ αὐτῷ
διαλέγεσθαι, ἀντὶ τούτων ὧν οὗτοι λέγειν τε καὶ ᾄδειν φασί σε.
ἀλλ' οὐδέν, ἔφη, χαλεπόν. ἂν γὰρ εἰσέλθῃς μετὰ κτησίππου τοῦ-
δε καὶ καθεζόμενος διαλέγῃ, οἶμαι μὲν καὶ αὐτός σοι πρό-
σεισι· φιλήκοος γάρ, ὦ σώκρατες, διαφερόντως ἐστίν. καὶ ἅμα
ὡς ἑρμαῖα ἄγουσιν, ἀναμεμειγμένοι ἐν ταὐτῷ εἰσιν, οἵ τε νε-
ανίσκοι καὶ οἱ παῖδες. πρόσεισιν οὖν σοι. εἰ δὲ μή, κτησίππῳ
συνήθης ἐστὶ διὰ τὸν τούτου ἀνεψιὸν μενέξενον· μενεξέ-
νῳ μὲν γὰρ δὴ πάντων μάλιστα ἑταῖρος ὢν τυγχάνει. καλεσά-
τω οὖν οὗτος αὐτόν, ἐὰν ἄρα μὴ προσίῃ αὐτός. ταῦτα,
ἦν δ' ἐγώ, χρὴ ποιεῖν. καὶ ἅμα λαβὼν τὸν κτήσιππον, προσή-
ειν εἰς τὴν παλαίστραν· οἱ δ' ἄλλοι ὕστεροι ἡμῶν ᾔεσαν. εἰσελ-
θόντες δὲ κατελάβομεν αὐτόθι, τεθυκότας τε τοὺς παῖδας·
καὶ τὰ περὶ τὰ ἱερεῖα, σχεδόν τι ἤδη πεποιημένα. ἀστρα-
γαλίζοντάς τε δὴ καὶ κεκοσμημένους ἅπαντας. οἱ μὲν οὖν
πολλοὶ, ἐν τῇ αὐλῇ ἔπαιζον ἔξω. οἱ δέ τινες, τοῦ ἀποδυτη-
ρίου ἐν γωνίᾳ, ἠρτίαζον ἀστραγάλοις παμπόλλοις ἐκ
φορμίσκων τινῶν προαιρούμενοι· τούτους δὲ περιέστα-
σαν ἄλλοι θεωροῦντες· ὧν δὴ καὶ ὁ λύσις ἦν. καὶ εἱστήκει ἐν
τοῖς παισί τε καὶ νεανίσκοις ἐστεφανωμένος. καὶ τὴν ὄψιν
διαφέρων· οὐ τὸ καλὸς εἶναι μόνον ἄξιος ἀκοῦσαι. ἀλλ' ὅτι
καλός τε κἀγαθός. καὶ ἡμεῖς εἰς τὸ καταντικρὺ ἀποχωρή-
σαντες, ἐκαθεζόμεθα· ἦν γὰρ αὐτόθι ἡσυχία. καί τι ἀλλή-
λοις διελεγόμεθα. περιστρεφόμενος οὖν ὁ λύσις θα-
μά, ἐπεσκοπεῖτο ἡμᾶς. καὶ δῆλος ἦν ἐπιθυμῶν προσελ-

θεᾶν· τέως μὲν οὖν ἠπόρει τε καὶ ὤκνει μόνος προσιέναι· ἔ-
πειτα, ὁ μενέξενος ἐκ τῆς αὐλῆς μεταξὺ παίζων εἰσέρ-
χεται· καὶ ὡς εἶδεν ἐμέ τε καὶ τὸν κτήσιππον, ᾔει παρακαθιζη-
σόμενος· ἰδὼν οὖν αὐτὸν ὁ λύσις· εἵπετο καὶ συμπαρεκα-
θέζετο μετὰ τοῦ μενεξένου· προσῆλθον δὴ καὶ οἱ ἄλλοι· καὶ
δὴ καὶ ὁ ἱπποθάλης· ἐπειδὴ πλείους ἑώρα ἐφισταμένους·
τούτους ἐπηλυγισάμενος, προσέστη ᾗ μὴ ᾤετο κατόψε-
σθαι τὸν λύσιν· δεδιὼς μὴ αὐτῷ ἀπεχθάνοιτο· καὶ οὕτω
προσεστὼς ἠκροᾶτο· καὶ ἐγὼ πρὸς τὸν μενέξενον ἀπο-
βλέψας· ὦ παῖ δημοφῶντος· ἦν δ' ἐγώ· πότερος ὑμῶν πρε-
σβύτερος: ἀμφισβητοῦμεν ἔφη: οὐκοῦν καὶ ὁπότερος
γενναιότερος ἐρίζοιτ' ἄν· ἦν δ' ἐγώ; πάνυ γε ἔφη: καὶ
μὴν, ὁπότερός γε καλλίων, ὡσαύτως; ἐγελασάτην οὖν
ἄμφω: οὐ μὴν ὁπότερός γε ἔφην πλουσιώτερος ὑμῶν
οὐκ ἐρήσομαι· φίλω γάρ ἐστον· ἦ γάρ: πάνυ γ' ἐφάτην: οὐ-
κοῦν κοινὰ τά γε φίλων λέγεται· ὥστε τούτῳ γε οὐδὲν δι-
οίσετον· εἴπερ ἀληθῆ περὶ τῆς φιλίας λέγετον: συνεφά-
την: ἐπεχείρουν δὴ μετὰ τοῦτο ἐρωτᾶν, ὁπότερος δι-
καιότερος καὶ σοφώτερος αὐτῶν εἴη· μεταξὺ οὖν τις προ-
σελθὼν ἀνέστησε τὸν μενέξενον, φάσκων καλεῖν τὸν παιδο-
τρίβην· ἐδόκει γάρ μοι ἱεροποιῶν τυγχάνειν· ἐκεῖνος μὲν
οὖν ᾤχετο· ἐγὼ δὲ τὸν λύσιν ἠρόμην· ἦ που ἦν δ' ἐγὼ
ὦ λύσι, σφόδρα φιλεῖ σε, ὁ πατὴρ καὶ ἡ μήτηρ: πάνυ γε
ἦ δ' ὅς: οὐκοῦν βούλοιντο ἄν σε ὡς εὐδαιμονέστατον εἶ-
ναι; πῶς γὰρ οὔ: δοκεῖ δέ σοι εὐδαίμων εἶναι ἄνθρωπος,
δουλεύων τε καὶ ᾧ μηδὲν ἐξείη ποιεῖν ὧν ἐπιθυμοῖ: μὰ
δί' οὐκ ἔμοιγε ἔφη: οὐκοῦν εἴ σε φιλεῖ ὁ πατὴρ καὶ ἡ μή-
τηρ καὶ εὐδαίμονά σε ἐπιθυμοῦσι γενέσθαι· τοῦτο παντὶ
τρόπῳ δῆλον ὅτι προθυμοῦνται, ὅπως ἂν εὐδαιμονοί-
ης: πῶς γὰρ οὐχί ἔφη: ἐῶσιν ἄρα σε ἃ βούλει ποιεῖν
καὶ οὐδὲν ἐπιπλήττουσιν, οὐδὲ διακωλύουσι ποιεῖν ὧν
ἂν ἐπιθυμῇς; ναὶ μὰ δία, ἐμέ γε ὦ σώκρατες· καὶ μάλα γε,
πολλὰ κωλύουσιν: πῶς λέγεις ἦν δ' ἐγώ, βουλόμενοί
σε μακάριον εἶναι, διακωλύουσι τοῦτο ποιεῖν ὃ ἂν βούλῃ·

σὺ δὲ δή μοι λέγε· ἢν ἐπιθυμήσῃς ἐπί τινος τῶν τοῦ πατρὸς ἁρμάτων ὀχεῖσθαι λαβὼν τὰς ἡνίας ὅταν ἁμιλλᾶται, οὐκ ἂν ἐῷέν σε, ἀλλὰ διακωλύοιεν; Μὰ Δί' οὐ μέντοι ἄν, ἔφη, ἐῷεν. Ἀλλὰ τίνα μήν; Ἔστιν τις ἡνίοχος, παρὰ τοῦ πατρὸς μισθὸν φέρων. Πῶς λέγεις; μισθωτῷ μᾶλλον ἐπιτρέπουσιν ἢ σοὶ ποιεῖν ὅτι ἂν βούληται περὶ τοὺς ἵππους, καὶ προσέτι αὐτοῦ τούτου ἀργύριον τελοῦσιν; Ἀλλὰ τί μήν; ἔφη. Ἀλλὰ τοῦ ὀρικοῦ ζεύγους οἶμαι ἐπιτρέπουσίν σοι ἄρχειν· κἂν εἰ βούλοιο λαβὼν τὴν μάστιγα τύπτειν, ἐῷεν ἄν; Πόθεν, ἦ δ' ὅς, ἐῷεν; Τί δαί; ἦν δ' ἐγώ· οὐδενὶ ἔξεστιν αὐτοὺς τύπτειν; Καὶ μάλα, ἔφη, τῷ ὀρεοκόμῳ. Δούλῳ ὄντι ἢ ἐλευθέρῳ; Δούλῳ, ἔφη. Καὶ δοῦλον, ὡς ἔοικεν, ἡγοῦνται περὶ πλείονος ἢ σὲ τὸν υἱόν, καὶ ἐπιτρέπουσι τὰ ἑαυτῶν μᾶλλον ἢ σοί, καὶ ἐῶσιν ποιεῖν ὅτι βούλεται, σὲ δὲ διακωλύουσι; καί μοι ἔτι τόδε εἰπέ. σὲ αὐτὸν ἐῶσιν ἄρχειν σεαυτοῦ, ἢ οὐδὲ τοῦτο ἐπιτρέπουσί σοι; Πῶς γάρ, ἔφη, ἐπιτρέπουσιν; Ἀλλ' ἄρχει τίς σου; Ὅδε, παιδαγωγός, ἔφη. Μῶν δοῦλος ὤν; Ἀλλὰ τί μήν; ἡμέτερός γε, ἔφη. Ἦ δεινόν, ἦν δ' ἐγώ, ἐλεύθερον ὄντα ὑπὸ δούλου ἄρχεσθαι. τί δὲ ποιῶν αὖ οὗτος ὁ παιδαγωγός σου ἄρχει; Ἄγων δήπου, ἔφη, εἰς διδασκάλου. Μῶν μὴ καὶ οὗτοί σου ἄρχουσιν, οἱ διδάσκαλοι; Πάντως δήπου. Παμπόλλους ἄρα σοι δεσπότας καὶ ἄρχοντας ἑκὼν ὁ πατὴρ ἐφίστησιν. ἀλλ' ἆρα ἐπειδὰν οἴκαδε ἔλθῃς παρὰ τὴν μητέρα, ἐκείνη σε ἐᾷ ποιεῖν ὅτι ἂν βούλῃ, ἵν' αὐτῇ μακάριος ᾖς, ἢ περὶ τὰ ἔρια ἢ περὶ τὸν ἱστόν, ὅταν ὑφαίνῃ; οὔ τι γάρ που διακωλύει σε ἢ τῆς σπάθης ἢ τῆς κερκίδος ἢ ἄλλου του τῶν περὶ ταλασιουργίαν ὀργάνων ἅπτεσθαι. Καὶ ὃς γελάσας, Μὰ Δία, ἔφη, ὦ Σώκρατες, οὐ μόνον γε διακωλύει, ἀλλὰ καὶ τυπτοίμην ἂν εἰ ἁπτοίμην. Ἡράκλεις, ἦν δ' ἐγώ, μῶν μή τι ἠδίκηκας τὸν πατέρα ἢ τὴν μητέρα; Μὰ Δί' οὐκ ἔγωγε, ἔφη. Ἀλλ' ἀντὶ τίνος μὴν οὕτω σε δεινῶς διακωλύουσιν εὐδαίμονα εἶναι καὶ ποιεῖν ὅτι ἂν βούλῃ, καὶ δι' ἡμέρας ὅλης τρέφουσί σε ἀεί τῳ δουλεύοντα καὶ ἑνὶ λόγῳ ὀλίγου ὧν ἐπιθυμεῖς οὐδὲν ποιοῦντα; ὥστε σοι, ὡς ἔοικεν, οὔτε

τῶν χρημάτων τοσούτων ὄντων, οὐδὲν ὄφελος· ἀλλὰ πάντες
αὐτῶν μᾶλλον ἄρχουσιν ἢ σύ· οὔτε τοῦ σώματος, ὃ οὕτω γενναί-
ου ὄντος· ἀλλὰ καὶ τοῦτο ἄλλος ποιμαίνει καὶ θεραπεύει· σὺ
δὲ ἄρχεις οὐδενός, ὦ Λύσι, οὐδὲ ποιεῖς οὐδὲν ὧν ἐπιθυμεῖς·
οὐ γάρ πω, ἔφη, ἡλικίαν ἔχω, ὦ Σώκρατες· μὴ οὐ τοῦτό σε, ὦ
παῖ Δημοκράτους, κωλύῃ· ἐπεὶ τό γε τοσόνδε, ὡς ἐγᾦμαι, καὶ
ὁ πατὴρ καὶ ἡ μήτηρ σοι ἐπιτρέπουσιν καὶ οὐκ ἀναμένουσιν,
ἕως ἂν ἡλικίαν ἔχῃς· ὅταν γὰρ βούλωνται αὐτοῖς τινα ἀνα-
γνωσθῆναι ἢ γραφῆναι, σὲ ὡς ἐγᾦμαι πρὸ τῶν ἐν τῇ
οἰκίᾳ ἐπὶ τοῦτο τάττουσιν· ἦ γάρ; πάνυ γε, ἔφη· οὐκοῦν ἔ-
ξεστί σοι ἐνταῦθ᾽ ὅτι ἂν βούλῃ πρῶτον τῶν γραμμάτων γράφειν·
καὶ ὅτι ἂν δεύτερον· καὶ ἀναγιγνώσκειν ὡσαύτως ἔξεστιν·
καὶ ἐπειδὰν, ὡς ἐγᾦμαι, τὴν λύραν λάβῃς, οὐ διακωλύουσί
σε οὔτε ὁ πατὴρ οὔτε ἡ μήτηρ, ἐπιτεῖναί τε καὶ ἀνεῖναι ἣν
ἂν βούλῃ τῶν χορδῶν· καὶ ψῆλαι καὶ κρούειν τῷ πλήκτρῳ·
ἢ διακωλύουσιν; οὐ δῆτα· τί ποτ᾽ ἂν οὖν εἴη, ὦ Λύσι, τὸ αἴ-
τιον, ὅτι ἐνταῦθα μὲν οὐ διακωλύουσιν· ἐν οἷς δὲ ἄρτι ἐλέγομεν
κωλύουσι; ὅτι οἶμαι ἔφη ταῦτα μὲν ἐπίσταμαι, ἐκεῖνα δ᾽ οὔ·
εἶεν ἦν δ᾽ ἐγώ, ὦ ἄριστε· οὐκ ἄρα τὴν ἡλικίαν σου περιμένει
ὁ πατὴρ ἐπιτρέπειν πάντα· ἀλλ᾽ ᾗ ἂν ἡμέρᾳ ἡγήσηταί σε
βέλτιον αὐτοῦ φρονεῖν· ταύτῃ ἐπιτρέψει σοι καὶ αὑτὸν καὶ
τὰ αὑτοῦ· οἶμαι ἔγωγε ἔφη· εἶεν ἦν δ᾽ ἐγώ· τί δαί; τῷ γεί-
τονι ἆρ᾽ οὐχ ὁ αὐτὸς ὅρος, ὅσπερ τῷ πατρὶ περὶ σοῦ; πότε-
ρον οἴει αὐτὸν ἐπιτρέψειν σοι τὴν αὑτοῦ οἰκίαν οἰκονομεῖν·
ὅταν σε ἡγήσηται βέλτιον περὶ οἰκονομίας ἑαυτοῦ φρονεῖν·
ἢ αὐτὸν ἐπιστατήσειν; ἐμοὶ ἐπιτρέψειν οἶμαι· τί δ᾽; Ἀθηναί-
ους· οἴει σοι οὐκ ἐπιτρέψειν τὰ αὑτῶν, ὅταν αἰσθάνωνται ὅτι
ἱκανῶς φρονεῖς; ἔγωγε· πρὸς Διὸς ἦν δ᾽ ἐγώ· τί ἄρα ὁ
μέγας βασιλεύς; πότερον τῷ πρεσβυτάτῳ υἱεῖ, οὗ ἡ τῆς
Ἀσίας ἀρχὴ γίγνεται, μᾶλλον ἂν ἐπιτρέψειεν ἑψομένων κρε-
ῶν ἐμβαλεῖν ὅτι ἂν βούληται ἐμβαλεῖν εἰς τὸν ζωμὸν, ἢ ἡμῖν
εἰ ἀφικόμενοι παρ᾽ ἐκεῖνον ἐνδειξαίμεθα αὐτῷ, ὅτι ἡμεῖς
κάλλιον φρονοῦμεν ἢ ὁ υἱὸς αὐτοῦ περὶ ὄψου σκευασίας;
ἡμῖν δῆλον ὅτι ἔφη· καὶ τὸν μὲν γε οὐδ᾽ ἂν σμικρὸν ἐάσαι ἐμ-

ψῆλαι· τὸ ἄνευ πλήκτρου τῷ δακτύλῳ τὰς χορδὰς ἐπαφᾶσθαι

κωλύει· ἡμᾶς δὲ κἂν εἰ βουλοίμεθα δραξάμενοι τῶν ἁλῶν ἐῴη ἂν
ἐμβαλεῖν; πῶς γὰρ οὔ; τί δ' εἰ τοὺς ὀφθαλμοὺς ὁ ὑὸς αὐτοῦ
ἀσθενοῖ· ἆρ' ἂν ἐῴη ἂν αὐτὸν ἅπτεσθαι τῶν ἑαυτοῦ ὀφθαλμῶν μὴ
ἰατρὸν ἡγούμενος, ἢ κωλύοι ἄν; κωλύοι ἄν: ἡμᾶς δέ γε εἰ
ὑπολαμβάνοι ἰατρικοὺς εἶναι· κἂν εἰ βουλοίμεθα διανοίγον-
τες τοὺς ὀφθαλμοὺς ἐμπάσαι τῆς τέφρας, οἶμαι, οὐκ ἂν κω-
λύσειεν· ἡγούμενος ὀρθῶς φρονεῖν: ἀληθῆ λέγεις: ἆρ' οὖν
καὶ τἆλλα πάντα ἡμῖν ἐπιτρέποι ἂν μᾶλλον ἢ ἑαυτῷ καὶ τῷ ὑεῖ,
περὶ ὅσων ἂν δόξωμεν αὐτῷ, σοφώτεροι ἐκείνων εἶναι: ἀ-
νάγκη ἔφη ὦ σώκρατες: οὕτως ἄρα ἔχει ἦν δ' ἐγὼ ὦ φίλε
λύσι· εἰς μὲν ταῦτα ἃ ἂν φρόνιμοι γενώμεθα ἅπαντες· ἡμῖν
ἐπιτρέψουσιν, ἕλληνές τε καὶ βάρβαροι· καὶ ἄνδρες καὶ γυναῖ-
κες· ποιήσομέν τε ἐν τούτοις, ὅτι ἂν βουλώμεθα. καὶ οὐ-
δεὶς ἡμᾶς ἑκὼν εἶναι, ἐμποδιεῖ· ἀλλ' αὐτοί τε ἐλεύθεροι ἐσό-
μεθα ἐν αὐτοῖς· καὶ ἄλλων ἄρχοντες, ἡμέτερά τε ταῦτα ἔσται·
ὀνησόμεθα γὰρ ἀπ' αὐτῶν· εἰς ἃ δ' ἂν νοῦν μὴ κτησώμεθα·
οὔτε τις ἡμῖν ἐπιτρέψει περὶ αὐτὰ ποιεῖν τὰ ἡμῖν δοκοῦντα.
ἀλλ' ἐμποδιοῦσι πάντες, καθ' ὅτι ἂν δύνωνται· οὐ μόνον οἱ
ἀλλότριοι. ἀλλὰ καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ εἴ τι τούτων οἰκει-
ότερόν ἐστιν· αὐτοί τε ἐν αὐτοῖς ἐσόμεθα ἄλλων ὑπήκοοι.
καὶ ἡμῖν ἔσται ἀλλότρια· οὐδὲν γὰρ ἀπ' αὐτῶν ὀνησόμεθα·
συγχωρεῖς οὕτως ἔχειν; συγχωρῶ: ἆρ' οὖν τῳ, φίλοι ἐ-
σόμεθα καί τις ἡμᾶς φιλήσει ἐν τούτοις, ἐν οἷς ἂν ὦμεν
ἀνωφελεῖς; οὐ δῆτα ἔφη: νῦν ἄρα. οὐδὲ σὲ ὁ πατήρ, οὐ-
δὲ ἄλλος ἄλλον οὐδένα φιλεῖ, καθόσον ἂν ᾖ ἄχρηστος:
οὐκ ἔοικεν ἔφη: ἐὰν μὲν ἄρα σοφὸς γένῃ ὦ παῖ· πάντες
σοι φίλοι καὶ πάντες σοι οἰκεῖοι ἔσονται· χρήσιμος γὰρ καὶ
ἀγαθὸς ἔσει· εἰ δὲ μή. σοὶ οὔτε ἄλλος οὐδείς· οὔτε ὁ πα-
τὴρ φίλος ἔσται· οὔτε ἡ μήτηρ· οὔτε οἱ οἰκεῖοι· οἷόν τε οὖν,
ἐπὶ τούτοις ὦ λύσι μέγα φρονεῖν ἐν οἷς τις μήπω φρόνιμος;
καὶ πῶς ἂν ἔφη: εἰ δ' ἄρα σὺ διδασκάλου δέῃ. οὔπω φρο-
νεῖς: ἀληθῆ: οὐδ' ἄρα μεγαλόφρων εἶ, εἴπερ ἄφρων ἔτι: μὰ
δία ἔφη ὦ σώκρατες. οὔ μοι δοκεῖ: καὶ ἐγὼ ἀκούσας αὐ-
τοῦ, ἀπέβλεψα πρὸς τὸν ἱπποθάλη καὶ ὀλίγου ἐξήμαρτον·

ἐπῆλθε γάρ μοι εἰπεῖν ὅτι οὕτω χρὴ ὦ ἱππόθαλες, τοῖς παιδι-
κοῖς διαλέγεσθαι ταπεινοῦντα καὶ συστέλλοντα· ἀλλὰ μὴ ὥσ-
περ σὺ χαυνοῦντα καὶ διαθρύπτοντα· κατιδὼν οὖν αὐτὸν ἀ-
γωνιῶντα καὶ τεθορυβημένον ὑπὸ τῶν λεγομένων· ἀνεμνή-
σθην ὅτι καὶ προσεστὼς λανθάνειν τὸν λύσιν ἐβούλετο· ἀνέ-
λαβον οὖν ἐμαυτὸν καὶ ἐπέσχον τοῦ λόγου· καὶ ἐν τούτῳ ὁ με-
νέξενος πάλιν ἧκεν καὶ ἐκαθέζετο παρὰ τὸν λύσιν ὅθεν
καὶ ἐξανέστη· ὁ οὖν λύσις μάλα παιδικῶς καὶ φιλικῶς, λά-
θρα τοῦ μενεξένου σμικρὸν πρός με λέγων ἔφη· ὦ σώκρα-
τες· ὅπερ καὶ ἐμοὶ λέγεις· εἰπὲ καὶ μενεξένῳ· καὶ ἐγὼ εἶπον·
ταῦτα μὲν σὺ αὐτῷ ἐρεῖς ὦ λύσι· πάντως γὰρ προσεῖχες
τὸν νοῦν· πάνυ μὲν οὖν ἔφη· πειρῶ τοίνυν ἦν δ' ἐγὼ ἀπο-
μνημονεῦσαι αὐτὰ ὅτι μάλιστα ἵνα τούτῳ σαφῶς πάντα εἴ-
πῃς· ἐὰν δέ τι αὐτῶν ἐπιλάθῃ· αὖθίς με ἀνερέσθαι ὅταν
ἐντύχῃς πρῶτον· ἀλλὰ ποιήσω ἔφη ταῦτα ὦ σώκρα-
τες, πάνυ σφόδρα εὖ ἴσθι· ἀλλά τι ἄλλο αὐτῷ λέγε· ἵνα καὶ ἐ-
γὼ ἀκούω ἕως ἂν οἴκαδε ὥρα ᾖ ἀπιέναι· ἀλλὰ χρὴ ποι-
εῖν ταῦτα ἦν δ' ἐγὼ ἐπειδή γε καὶ σὺ κελεύεις· ἀλλ' ὅρα
ὅπως ἐπικουρήσεις μοι ἐάν με ἐλέγχειν ἐπιχειρῇ ὁ
μενέξενος· ἢ οὐκ οἶσθα ὅτι ἐριστικός ἐστιν· ναὶ μὰ δία
ἔφη σφόδρα γε· διὰ ταῦτά τοι καὶ βούλομαί σε αὐτῷ δια-
λέγεσθαι· ἵνα ἦν δ' ἐγὼ καταγέλαστος γένωμαι· οὐ μὰ
δία ἔφη· ἀλλ' ἵνα αὐτὸν κολάσῃς· πόθεν ἦν δ' ἐγώ· οὐ ῥᾴ-
διον· δεινὸς γὰρ ὁ ἄνθρωπος, κτησίππου μαθητής· πά-
ρεστι δέ τοι αὐτός· οὐχ ὁρᾷς; κτήσιππος· μηδενός σοι
ἔφη μελέτω ὦ σώκρατες· ἀλλ' ἴθι διαλέγου αὐτῷ· διαλε-
κτέον ἦν δ' ἐγώ· ταῦτα οὖν ἡμῶν λεγόντων πρὸς ἡμᾶς
αὐτούς· τί ὑμεῖς ἔφη ὁ κτήσιππος, αὐτὼ μόνω ἑστιᾶσθον,
ἡμῖν δὲ οὐ μεταδίδοτον τῶν λόγων· ἀλλὰ μὴν ἦν δ' ἐγώ·
μεταδοτέον· ὅδε γάρ τι ὧν λέγω οὐ μανθάνει· ἀλλά φησιν οἴε-
σθαι μενέξενον εἰδέναι· καὶ κελεύει τοῦτον ἐρωτᾶν· τί
οὖν ἦ δ' ὃς οὐκ ἐρωτᾷς· ἀλλ' ἐρήσομαι ἦν δ' ἐγώ· καί μοι
εἰπὲ ὦ μενέξενε ὃ ἄν σε ἔρωμαι· τυγχάνω γὰρ ἐκ παιδὸς
ἐπιθυμῶν κτήματός του· ὥσπερ ἄλλος ἄλλου· ὁ μὲν

γάρ τις ἵππους ἐπιθυμεῖ κτᾶσθαι· ὁ δὲ κύνας· ὁ δὲ χρυσίον·
ὁ δὲ τιμάς· ἐγὼ δὲ πρὸς μὲν ταῦτα πρᾴως ἔχω· πρὸς δὲ
τὴν τῶν φίλων κτῆσιν πάνυ ἐρωτικῶς· καὶ βουλοίμην ἄν
μοι φίλον ἀγαθὸν γενέσθαι μᾶλλον ἢ τὸν ἄριστον ἐν ἀνθρώ-
ποις ὄρτυγα ἢ ἀλεκτρυόνα· καὶ ναὶ μὰ Δία ἔγωγε μᾶλλον
ἢ ἵππον τε καὶ κύνα· οἶμαι δὲ νὴ τὸν κύνα μᾶλλον ἢ τὸ Δαρεί-
ου χρυσίον κτήσασθαι δεξαίμην πολὺ πρότερον ἑταῖρον
μᾶλλον ἢ αὐτὸν Δαρεῖον· οὕτως ἐγὼ φιλέταιρός τίς εἰμι· ὑμᾶς
οὖν ὁρῶν σέ τε καὶ Λύσιν ἐκπέπληγμαι καὶ εὐδαιμονίζω ὅ-
τι οὕτω νέοι ὄντες οἷοί τ' ἐστὸν τοῦτο τὸ κτῆμα ταχὺ καὶ ῥᾳ-
δίως κτᾶσθαι· καὶ σύ τε τοῦτον οὕτω φίλον ἐκτήσω ταχύ τε
καὶ σφόδρα· καὶ αὖ οὗτος σέ· ἐγὼ δὲ οὕτω πόρρω εἰμὶ τοῦ
κτήματος· ὥστε οὐδ' ὅντινα τρόπον γίγνεται φίλος ἕτερος
ἑτέρου οἶδα· ἀλλὰ ταῦτα δὴ αὐτά σε βούλομαι ἐρέσθαι ἅτε
ἔμπειρον· καί μοι εἰπέ· ἐπειδάν τίς τινα φιλῇ· πότερος
ποτέρου φίλος γίγνεται· ὁ φιλῶν τοῦ φιλουμένου ἢ ὁ φι-
λούμενος τοῦ φιλοῦντος· ἢ οὐδὲν διαφέρει: οὐδὲν ἔφη
ἔμοιγε δοκεῖ διαφέρειν· πῶς λέγεις, ἦν δ' ἐγώ· ἀμφότε-
ροι ἄρα ἀλλήλων φίλοι γίγνονται ἐὰν μόνος ὁ ἕτερος τὸν
ἕτερον φιλῇ; ἔμοιγε ἔφη δοκεῖ· τί δαί· οὐκ ἔστιν φιλοῦντα
μὴ ἀντιφιλεῖσθαι ὑπὸ τούτου ὃν ἂν φιλῇ; ἔστιν· τί δαί· ἆ-
ρα ἔστιν καὶ μισεῖσθαι φιλοῦντα· οἷόν που ἐνίοτε δοκοῦ-
σι καὶ οἱ ἐρασταὶ πάσχειν πρὸς τὰ παιδικά; φιλοῦντες γὰρ
ὡς οἷόν τε μάλιστα οἱ μὲν οἴονται οὐκ ἀντιφιλεῖσθαι οἱ
δὲ καὶ μισεῖσθαι· ἢ οὐκ ἀληθὲς δοκεῖ σοι τοῦτο: σφόδρα
γε ἔφη ἀληθές· οὐκοῦν ἐν τῷ τοιούτῳ ἦν δ' ἐγώ, ὁ μὲν
φιλεῖ, ὁ δὲ φιλεῖται; ναί· ὁ πότερος οὖν αὐτῶν ποτέ-
ρου φίλος ἐστίν· ὁ φιλῶν τοῦ φιλουμένου, ἐάν τε καὶ ἀντιφι-
λῆται ἐάν τε καὶ μισῆται· ἢ ὁ φιλούμενος τοῦ φιλοῦντος·
ἢ οὐδέτερος αὖ ἐν τῷ τοιούτῳ οὐδετέρου φίλος ἐστίν ἂν
μὴ ἀμφότεροι ἀλλήλους φιλῶσιν: ἔοικε γοῦν οὕτως ἔχειν:
ἀλλοίως ἄρα νῦν ἡμῖν δοκεῖ ἢ πρότερον ἔδοξεν· τότε
μὲν γάρ, εἰ ὁ ἕτερος φιλοῖ, φίλω εἶναι ἄμφω· νῦν δὲ ἂν μὴ
ἀμφότεροι φιλῶσιν, οὐδέτερος φίλος: κινδυνεύει ἔφη:

οὐκ ἄρα ἐστὶν φίλον τῷ φιλοῦντι οὐδὲν μὴ οὐκ ἀντιφιλοῦν:
οὐκ ἔοικεν: οὐδ' ἄρα φίλιπποί εἰσιν οὓς ἂν οἱ ἵπποι μὴ ἀντιφι-
λῶσιν· οὐδὲ φιλόρτυγες· οὐδ' αὖ φιλόκυνές γε καὶ φίλοινοι καὶ
φιλογυμνασταὶ καὶ φιλόσοφοι, ἂν μὴ ἡ σοφία αὐτοὺς ἀντιφιλῇ.
ἢ φιλοῦσι μὲν ταῦτα ἕκαστοι· οὐ μέντοι φίλα ὄντα· ἀλλὰ ψεύδεθ' ὁ
ποιητὴς ὃς ἔφη· ὄλβιος ᾧ παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι·
καὶ κύνες ἀγρευταὶ· καὶ ξένος ἀλλοδαπός: οὐκ ἔμοιγε δοκεῖ
ἦ δ' ὅς: ἀλλ' ἀληθῆ δοκεῖ λέγειν σοι: ναί: τὸ φιλούμενον ἄρα τῷ
φιλοῦντι, φίλον ἐστὶν ὡς ἔοικεν ὦ μενέξενε· ἐάν τε φιλῇ, ἐάν τε
καὶ μισῇ· οἷον καὶ τὰ νεωστὶ γεγονότα παιδία· τὰ μὲν οὐδέπω
φιλοῦντα, τὰ δὲ καὶ μισοῦντα, ὅταν κολάζηται ὑπὸ τῆς μητρὸς
ἢ ὑπὸ τοῦ πατρός· ὅμως καὶ μισοῦντα ἐν ἐκείνῳ τῷ χρόνῳ,
πάντων μάλιστά ἐστι τοῖς γονεῦσι φίλτατα: ἔμοιγε δοκεῖ ἔφη οὕ-
τως ἔχειν: οὐκ ἄρα ὁ φιλῶν φίλος, ἐκ τούτου τοῦ λόγου· ἀλλ' ὁ
φιλούμενος: ἔοικεν: καὶ ὁ μισούμενος ἐχθρὸς ἄρα, ἀλλ' οὐχ ὁ
μισῶν: φαίνεται: πολλοὶ ἄρα ὑπὸ τῶν ἐχθρῶν φιλοῦνται· ὑπὸ
δὲ τῶν φίλων μισοῦνται· καὶ τοῖς μὲν ἐχθροῖς φίλοι εἰσὶν τοῖς
δὲ φίλοις ἐχθροί· εἰ τὸ φιλούμενον φίλον ἐστὶν ἀλλὰ μὴ τὸ φιλοῦν·
καίτοι πολλὴ ἀλογία ὦ φίλε ἑταῖρε· μᾶλλον δὲ οἶμαι καὶ ἀδύνατον
τῷ τε φίλῳ ἐχθρὸν καὶ τῷ ἐχθρῷ φίλον εἶναι: ἀληθῆ ἔφη,
ἔοικας λέγειν ὦ σώκρατες: οὐκοῦν εἰ τοῦτ' ἀδύνατον τὸ φιλοῦν
ἂν εἴη φίλον τοῦ φιλουμένου: φαίνεται: τὸ μισοῦν ἄρα πάλιν.
ἐχθρὸν τοῦ μισουμένου: ἀνάγκη: οὐκοῦν ταὐτὰ ἡμῖν συμβήσε-
ται ἀναγκαῖον εἶναι ὁμολογεῖν· ἅπερ ἐπὶ τῶν πρότερον, πολλά-
κις φίλον εἶναι μὴ φίλου· πολλάκις δὲ καὶ ἐχθροῦ ὅταν ἢ μὴ
φιλοῦντος φιλῇ· ἢ καὶ μισοῦν φιλῇ· πολλάκις δ' ἐχθρὸν εἶναι.
μὴ ἐχθροῦ, ἢ καὶ φίλου· ὅταν ἢ μισοῦντος φιλῇ, ἢ καὶ φιλοῦν μι-
σῇ: κινδυνεύει ἔφη: τί οὖν δὴ χρησόμεθα ἦν δ' ἐγώ, εἰ μήτε οἱ
φιλοῦντες φίλοι ἔσονται· μήτε οἱ φιλούμενοι· μήτε οἱ φιλοῦντες
τε καὶ φιλούμενοι· ἀλλὰ καὶ παρὰ ταῦτα ἄλλους τινὰς ἔτι φήσομεν
εἶναι φίλους ἀλλήλοις γιγνομένους: οὐ μὰ τὸν δία ἔφη ὦ σώ-
κρατες· οὐ πάνυ εὐπορῶ ἔγωγε: ἆρα μὴ ἦν δ' ἐγὼ ὦ μενέξενε
τὸ παράπαν οὐκ ὀρθῶς ἐζητοῦμεν: οὐκ ἔμοιγε δοκεῖ ὦ σώ-
κρατες ὁ λύσις· καὶ ἅμα εἰπὼν ἠρυθρίασεν· ἐδόκει γάρ μοι ἄκων

ταὐτὸν ἐκφυγεῖν τὸ λεχθὲν διὰ τὸ σφόδρα τὸν προσέχειν τὸν νοῦν
τοῖς λεγομένοις· δῆλος δ' ἦν καὶ ὅτε ἠκροᾶτο οὕτως ἔχων·
ἐγὼ οὖν βουλόμενος τόν τε μενέξενον ἀναπαῦσαι καὶ ἐκείνου
ἡσθεὶς τῇ φιλοσοφίᾳ οὕτω μεταβαλὼν πρὸς τὸν λύσιν ἐποιού-
μην τοὺς λόγους καὶ εἶπον· ὦ λύσι ἀληθῆ μοι δοκεῖς λέγειν ὅ-
τι εἰ ὀρθῶς ἡμεῖς ἐσκοποῦμεν· οὐκ ἄν ποτε οὕτως ἐπλανώ-
μεθα· ἀλλὰ ταύτῃ μὲν μηκέτι ἴωμεν· καὶ γάρ χαλεπή τις μοι
φαίνεται ὥσπερ ὁδὸς ἡ σκέψις· ᾗ δὲ ἐτράπημεν δοκεῖ μοι
χρῆναι ἰέναι σκοποῦντα τὰ κατὰ τοὺς ποιητάς· οὗτοι γὰρ
ἡμῖν ὥσπερ πατέρες τῆς σοφίας εἰσὶ καὶ ἡγεμόνες· λέ-
γουσι δὲ δήπου οὐ φαύλως ἀποφαινόμενοι περὶ τῶν φί-
λων οἳ τυγχάνουσιν ὄντες· ἀλλὰ τὸν θεὸν αὐτὸν φασὶ ποιεῖν
φίλους αὐτοὺς ἄγοντα παρ' ἀλλήλους· λέγουσι δέ πως ταῦ-
τα ὡς ἐγᾦμαι ὡδί· αἰεί τοι τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν
ὁμοῖον καὶ ποιεῖ γνώριμον· ἢ οὐκ ἐντετύχηκας τούτοις τοῖς
ἔπεσιν; ἔγωγ' ἔφη· οὐκοῦν καὶ τοῖς τῶν σοφωτάτων συγ-
γράμμασιν ἐντετύχηκας ταῦτα αὐτὰ λέγουσιν ὅτι τὸ ὅμοι-
ον τῷ ὁμοίῳ ἀνάγκη ἀεὶ φίλον εἶναι· εἰσὶ δέ που οὗτοι οἱ
περὶ φύσεώς τε καὶ τοῦ ὅλου διαλεγόμενοι καὶ γράφοντες·
ἀληθῆ ἔφη λέγεις· ἆρ' οὖν ἦν δ' ἐγὼ εὖ λέγουσιν; ἴσως ἔφη·
ἴσως ἦν δ' ἐγὼ τὸ ἥμισυ αὐτοῦ· ἴσως δὲ καὶ πᾶν ἀλλ' ἡμεῖς οὐ
συνίεμεν· δοκεῖ γὰρ ἡμῖν ὅ γε πονηρὸς τῷ πονηρῷ ὅσῳ ἂν
ἐγγυτέρω προσίῃ καὶ μᾶλλον ὁμιλῇ τοσούτῳ ἐχθίων
γίγνεσθαι· ἀδικεῖ γάρ· ἀδικοῦντας δὲ καὶ ἀδικουμένους ἀ-
δύνατόν που φίλους εἶναι· οὐχ οὕτως; ναί ἦ δ' ὅς· ταύ-
τῃ μὲν ἂν τοίνυν τοῦ λεγομένου τὸ ἥμισυ οὐκ ἀληθὲς εἴη
εἴπερ οἱ πονηροὶ ἀλλήλοις ὅμοιοι· ἀληθῆ λέγεις· ἀλλά
μοι δοκοῦσι λέγειν τοὺς ἀγαθοὺς ὁμοίους εἶναι ἀλλήλοις
καὶ φίλους· τοὺς δὲ κακοὺς ὅπερ καὶ λέγεται περὶ αὐτῶν
μηδέποτε ὁμοίους μηδ' αὐτοὺς αὑτοῖς εἶναι ἀλλ' ἐμπλή-
κτους τε καὶ ἀσταθμήτους· ὃ δὲ αὐτὸ αὑτῷ ἀνόμοιον εἴη
καὶ διάφορον· σχολῇ γέ τῳ ἄλλῳ ὅμοιον ἢ φίλον γένοιτο·
ἢ οὐ καὶ σοὶ δοκεῖ οὕτως; ἔμοιγ' ἔφη· τοῦτο τοίνυν αἰνίττον-
ται ὡς ἐμοὶ δοκοῦσιν ὦ ἑταῖρε οἱ τὸ ὅμοιον τῷ ὁμοίῳ φί-

λον λέγοντες· ὡς ὁ ἀγαθὸς, τῷ ἀγαθῷ μόνος μόνῳ φίλος·
ὁ δὲ κακὸς οὔτε ἀγαθῷ οὔτε κακῷ οὐδέποτε εἰς ἀληθῆ φι-
λίαν ἔρχεται· συνδοκεῖ σοι; κατένευσεν· ἔχομεν ἄρα ἤδη τί-
νες εἰσὶν οἱ φίλοι· ὁ γὰρ λόγος ἡμῖν σημαίνει ὅτι οἳ ἂν ὦσιν
ἀγαθοί: πάνυ γε ἔφη δοκεῖ: καὶ ἐμοὶ ἦν δ' ἐγώ, καίτοι δυσχε-
ραίνω τί γε ἐν αὐτῷ· φέρε οὖν ὦ πρὸς Διός· ἴδωμεν τί καὶ ὑπο-
πτεύω· ὁ ὅμοιος τῷ ὁμοίῳ καθ' ὅσον ὅμοιος φίλος· καὶ ἔστιν
χρήσιμος ὁ τοιοῦτος, τῷ τοιούτῳ· μᾶλλον δὲ ὧδε· ὁτιοῦν
ὅμοιον ὁτῳοῦν ὁμοίῳ τίνα ὠφελίαν ἔχειν ἢ τίνα βλάβην
ἂν ποιῆσαι δύναιτο· ὃ μὴ καὶ αὐτὸ αὑτῷ; ἢ τί ἂν παθεῖν ὃ μὴ καὶ
ὑφ' αὑτοῦ πάθοι· τὰ δὴ τοιαῦτα, πῶς ἂν ὑπ' ἀλλήλων ἀγαπη-
θείη, μηδεμίαν ἐπικουρίαν ἀλλήλοις ἔχοντα· ἔστιν ὅπως; οὐ-
κ ἔστιν: ὃ δὲ μὴ ἀγαπῷτο, πῶς φίλον: οὐδαμῶς: ἀλλὰ δὴ ὁ
μὲν ὅμοιος, τῷ ὁμοίῳ οὐ φίλος· ὁ δὲ ἀγαθὸς τῷ ἀγαθῷ
καθ' ὅσον ἀγαθὸς, οὐ καθ' ὅσον ὅμοιος, φίλος ἂν εἴη; ἴσως:
τί δαί; οὐχ ὁ ἀγαθὸς, καθ' ὅσον ἀγαθὸς, κατὰ τοσοῦτον ἱκα-
νὸς ἂν εἴη αὑτῷ; ναί: ὁ δέ γε ἱκανὸς, οὐδενὸς δεόμενος
κατὰ τὴν ἱκανότητα; πῶς γὰρ οὔ: ὁ δὲ μή του δεόμενος·
οὐδέ τι ἀγαπῴη ἄν: οὐ γὰρ οὖν: ὃ δὲ μὴ ἀγαπῴη· οὐδ' ἂν
φιλοῖ: οὐ δῆτα: ὁ δὲ μὴ φιλῶν γε οὐ φίλος: οὐ φαίνεται:
πῶς οὖν οἱ ἀγαθοὶ, τοῖς ἀγαθοῖς ἡμῖν φίλοι ἔσονται τὴν ἀρ-
χὴν· οἳ μήτε ἀπόντες ποθεινοὶ ἀλλήλοις· ἱκανοὶ γὰρ ἑαυ-
τοῖς, καὶ χωρὶς ὄντες, μήτε παρόντες χρείαν αὐτῶν ἔχου-
σιν· τοὺς δὴ τοιούτους· τίς μηχανὴ περὶ πολλοῦ ποιεῖ-
σθαι ἀλλήλους: οὐδεμία ἔφη: φίλοι δέ γε οὐκ ἂν εἶεν μὴ
περὶ πολλοῦ ποιούμενοι ἑαυτούς: ἀληθῆ: ἄθρει δή
ὦ Λύσι· πῇ παρακρουόμεθα· ἆρά γε ὅλῳ τινὶ ἐξαπατώ-
μεθα; πῶς δή ἔφη: ἤδη ποτέ του ἤκουσα λέγοντος:
καὶ ἄρτι ἀναμιμνήσκομαι· ὅτι τὸ μὲν ὅμοιον τῷ ὁμοίῳ· καὶ
οἱ ἀγαθοὶ, τοῖς ἀγαθοῖς· πολεμιώτατοι εἶεν· καὶ δὴ καὶ
τὸν Ἡσίοδον ἐπήγετο μάρτυρα λέγων· ὡς ἄρα καὶ κερα-
μεὺς κεραμεῖ κοτέει· καὶ ἀοιδὸς ἀοιδῷ· καὶ πτωχὸς πτω-
χῷ· καὶ τἆλλα δὴ πάντα οὕτως ἔφη, ἀναγκαῖον εἶναι μά-
λιστα, τὰ ὁμοιότατα ἀλλήλοις φθόνου τε καὶ φιλονικίας

καὶ ἔχθρας ἐμπίπλασθαι· τὰ δ' ἀνομοιότατα φιλίας· τὸν γὰρ
πένητα τῷ πλουσίῳ ἀναγκάζεσθαι φίλον εἶναι· καὶ τὸν ἀσθενῆ
τῷ ἰσχυρῷ τῆς ἐπικουρίας ἕνεκα· καὶ τὸν κάμνοντα τῷ ἰατρῷ·
καὶ πάντα δὴ τὸν μὴ εἰδότα ἀγαπᾶν τὸν εἰδότα καὶ φιλεῖν· καὶ
φιλεῖν καὶ δὴ καὶ ἔτι ἐπεξῄει τῷ λόγῳ μεγαλοπρεπέστερον
λέγων· ὡς ἄρα παντὸς δέοι τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον εἶναι·
ἀλλ' αὐτὸ τὸ ἐναντίον εἴη τούτου· τὸ γὰρ ἐναντιώτατον τῷ ἐναν-
τιωτάτῳ εἶναι μάλιστα φίλον· ἐπιθυμεῖν γὰρ τοῦ τοιούτου ἕκα-
στον· ἀλλ' οὐ τοῦ ὁμοίου· τὸ μὲν γὰρ ξηρὸν ὑγροῦ· τὸ δὲ ψυχρὸν θερ-
μοῦ· τὸ δὲ πικρὸν γλυκέος· τὸ δὲ ὀξὺ ἀμβλέος· τὸ δὲ κενὸν πλη-
ρώσεως· καὶ τὸ πλῆρες δὲ κενώσεως· καὶ τἆλλα οὕτω κατὰ
τὸν αὐτὸν λόγον· τροφὴν γὰρ εἶναι τὸ ἐναντίον τῷ ἐναντίῳ·
τὸ γὰρ ὅμοιον τοῦ ὁμοίου οὐδὲν ἂν ἀπολαῦσαι· καὶ μέντοι ὦ ἑ-
ταῖρε· καὶ κομψὸς ἐδόκει εἶναι ταῦτα λέγων· εὖ γὰρ ἔλεγεν·
ὑμῖν δὲ δὴ ἦν δ' ἐγὼ πῶς δοκεῖ λέγειν· εὖ γε ἔφη ὁ μενέξενος·
ὥς γε οὑτωσὶ ἀκοῦσαι· φῶμεν ἄρα τὸ ἐναντίον τῷ ἐναντίῳ
μάλιστα φίλον εἶναι; πάνυ γε· εἶεν ἦν δ' ἐγὼ· οὐκ ἀλλόκοτον
ὦ μενέξενε· καὶ ἡμῖν εὐθὺς ἄσμενοι ἐπιπηδήσονται οὗτοι, οἱ πάσ-
σοφοι ἄνδρες· οἱ ἀντιλογικοί· καὶ ἐρήσονται εἰ οὐκ ἐναντιώτα-
τον ἔχθρα φιλίᾳ· οἷς τί ἀποκρινούμεθα· ἢ οὐκ ἀνάγκη ὁμο-
λογεῖν ὅτι ἀληθῆ λέγουσιν· ἀνάγκη· ἆρ' οὖν φήσουσι, τὸ
ἐχθρὸν τῷ φίλῳ φίλον· ἢ τὸ φίλον τῷ ἐχθρῷ; οὐδέτερα
ἔφη· ἀλλὰ τὸ δίκαιον τῷ ἀδίκῳ· ἢ τὸ σῶφρον τῷ ἀκολάστῳ·
ἢ τὸ ἀγαθὸν τῷ κακῷ; οὐκ ἄν μοι δοκεῖ οὕτως ἔχειν· ἀλλὰ
μέντοι ἦν δ' ἐγὼ, εἴπερ γε κατὰ τὴν ἐναντιότητά τί τῳ φίλον φί-
λον ἐστίν· ἀνάγκη καὶ ταῦτα φίλα εἶναι· ἀνάγκη· οὔτε ἄρα τὸ
ὅμοιον τῷ ὁμοίῳ· οὔτε τὸ ἐναντίον τῷ ἐναντίῳ φίλον· οὐκ ἔ-
οικεν· ἔτι δὲ καὶ τόδε σκεψώμεθα μὴ ἔτι μᾶλλον λανθάνει ἡμᾶς τὸ φίλον
ὡς ἀληθῶς· οὐδὲν τούτων ὂν· ἀλλὰ τὸ μήτε ἀγαθὸν μήτε κα-
κὸν· φίλον οὕτω ποτὲ γιγνόμενον τοῦ ἀγαθοῦ· πῶς ἦ δ' ὃς
λέγεις· ἀλλὰ μὰ δία ἦν δ' ἐγὼ οὐκ οἶδα· ἀλλὰ τῷ ὄντι αὐτὸς
ἰλιγγιῶ ὑπὸ τῆς τοῦ λόγου ἀπορίας· καὶ κινδυνεύει κατὰ τὴν
ἀρχαίαν παροιμίαν τὸ καλὸν φίλον εἶναι· ἔοικε γοῦν μαλακῷ
τινι, καὶ λείῳ, καὶ λιπαρῷ· διὸ καὶ ἴσως ῥᾳδίως διολισθαί-

μα καὶ διαδύεται ἡμᾶς ἀτεχνῶς οἷον ὄν· λέγω γὰρ τἀγαθὸν κα-
λὸν εἶναι· σὺ δ' οὐκ οἴει; Ἔγωγε. Λέγω τοίνυν ἀπομαντευό-
μενος, τοῦ καλοῦ τε καὶ ἀγαθοῦ φίλον εἶναι τὸ μήτε ἀγαθὸν μήτε
κακόν· πρὸς ἃ δὲ λέγων μαντεύομαι ἄκουσον. δοκεῖ μοι ὥσπερ
τρία ἄττα εἶναι γένη, τὸ μὲν ἀγαθόν, τὸ δὲ κακόν, τὸ δ' οὔτε
ἀγαθὸν οὔτε κακόν. τί δὲ σοί; Καὶ ἐμοί, ἔφη. Καὶ οὔτε τἀγα-
θὸν τἀγαθῷ, οὔτε τὸ κακὸν τῷ κακῷ, οὔτε τἀγαθὸν τῷ κακῷ
φίλον εἶναι, ὥσπερ οὐδ' ἐν τῷ πρόσθεν λόγος ἐᾷ. λείπεται δή, εἴπερ
τῳ τί ἐστιν φίλον, τὸ μήτε ἀγαθὸν μήτε κακὸν φίλον εἶναι ἢ τοῦ ἀ-
γαθοῦ ἢ τοῦ τοιούτου οἷον αὐτό ἐστιν· οὐ γὰρ ἄν που τῷ κακῷ φί-
λον ἄν ποτε γένοιτο. Ἀληθῆ. Οὐδὲ μὴν τὸ ὅμοιον τῷ ὁμοίῳ ἔφα-
μεν ἄρτι· ἦ γάρ; Ναί. Οὐκ ἄρα ἔσται τῷ μήτε ἀγαθῷ μήτε κακῷ
τὸ τοιοῦτον φίλον οἷον αὐτό. Οὐ φαίνεται. Τῷ ἀγαθῷ ἄρα τὸ
μήτε ἀγαθὸν μήτε κακὸν μόνῳ μόνον συμβαίνει γίγνεσθαι.
Ἀνάγκη, ὡς ἔοικεν. Ἆρ' οὖν καὶ καλῶς ἦν δ' ἐγώ, ὦ παῖδες, ὑφη-
γεῖται ἡμῖν τὸ νῦν λεγόμενον; εἰ γοῦν ἐθέλοιμεν ἐννοῆσαι τὸ ὑγι-
αῖνον σῶμα, οὐδὲν ἰατρικῆς δεῖται οὐδὲ ὠφελίας· ἱκανῶς
γὰρ ἔχει. ὥστε ὑγιαίνων οὐδεὶς ἰατρῷ φίλος διὰ τὴν ὑγίειαν.
ἦ γάρ; Οὐδείς. Ἀλλ' ὁ κάμνων οἶμαι διὰ τὴν νόσον. Πῶς γὰρ οὔ;
νόσος μὲν δὴ κακόν, ἰατρικὴ δὲ ὠφέλιμον καὶ ἀγαθόν; Ναί.
Σῶμα δέ γέ που κατὰ τὸ σῶμα εἶναι, οὔτε ἀγαθὸν οὔτε κακόν;
Οὕτως. Ἀναγκάζεται δέ γε σῶμα διὰ νόσον ἰατρικὴν ἀσπά-
ζεσθαι καὶ φιλεῖν; Δοκεῖ μοι. Τὸ μήτε κακὸν ἄρα μήτε ἀγαθὸν
φίλον γίγνεται τοῦ ἀγαθοῦ διὰ κακοῦ παρουσίαν. Ἔοικεν. Δῆ-
λον δέ γε ὅτι πρὶν γενέσθαι αὐτὸ κακόν, ὑπὸ τοῦ κακοῦ οὗ ἔχει·
οὐ γὰρ δὴ κακόν γε γεγονὸς ἔτι ἂν τοῦ ἀγαθοῦ ἐπιθυμοῖ
καὶ φίλον εἴη· ἀδύνατον γὰρ ἔφαμεν κακὸν ἀγαθῷ φίλον εἶ-
ναι. Ἀδύνατον γάρ. Σκέψασθε δὴ ὃ λέγω. λέγω γὰρ ὅτι ἔνια
μέν, οἷον ἂν ᾖ τὸ παρόν, τοιαῦτά ἐστι καὶ αὐτά· ἔνια δὲ οὔ. ὥσ-
περ εἰ ἐθέλοι τις χρώματί τῳ ὁτιοῦν τι ἀλεῖψαι, πάρεστί που
τῷ ἀλειφθέντι τὸ ἐπαλειφθέν. Πάνυ γε. Ἆρ' οὖν καὶ ἔστι τότε
τοιοῦτον τὴν χρόαν τὸ ἀλειφθέν, οἷον τὸ ἐπόν; Οὐ μανθάνω,
ἦ δ' ὅς. Ἀλλ' ὧδε, ἦν δ' ἐγώ. εἴ τίς σου ξανθὰς οὔσας τὰς τρί-
χας ψιμυθίῳ ἀλείψειεν, πότερον τότε λευκαὶ εἶεν ἢ φαίνοιν

ται· φαίνονται ἦ δ' ὅς· καὶ μὴν πάρεστί γ' αὐταῖς λευκότης·
ναί· ἀλλ' ὅμως οὐδέν τι μᾶλλόν ἀρ' εἰσὶ λευκαί πω· ἀλλὰ παρούσης
λευκότητος, οὔτε τι λευκαὶ, οὔτε μέλαιναί εἰσιν· ἀληθῆ· ἀλλ' ὅταν
δή, ὦ φίλε, τὸ γῆρας αὐταῖς ταὐτὸν τοῦτο χρῶμα ἐπαγάγῃ·
τότε ἐγένοντο οἷόνπερ τὸ παρὸν λευκοῦ παρουσίᾳ λευκαί·
πῶς γὰρ οὔ· τοῦτο τοίνυν ἐρωτῶ νυνδή· εἰ ᾧ ἄν τι παρῇ, τοι-
οῦτον ἔσται τὸ ἔχον, οἷον τὸ παρόν· ἢ ἐὰν μὲν κατά τινα τρόπον πα-
ρῇ ἔσται· ἐὰν δὲ μή, οὔ· οὕτω μᾶλλον ἔφη· καὶ τὸ μήτε κακὸν ἄρα
μήτε ἀγαθὸν ἐνίοτε κακοῦ παρόντος οὔπω κακόν ἐστιν· ἔστι δ' ὅ-
τε ἤδη τὸ τοιοῦτον γέγονεν· πάνυ γε· οὐκοῦν ὅταν μήπω
κακὸν ᾖ κακοῦ παρόντος· αὕτη μὲν ἡ παρουσία ἀγαθοῦ αὐ-
τὸ ποιεῖ ἐπιθυμεῖν· ἡ δὲ κακὸν ποιοῦσα ἀποστερεῖ αὐτὸ
τῆς ἐπιθυμίας ἅμα καὶ τῆς φιλίας τοῦ ἀγαθοῦ· οὐ γὰρ ἔτι
ἐστὶν, οὔτε κακὸν, οὔτε ἀγαθὸν, ἀλλὰ κακόν· φίλον δὲ ἀγαθῷ κα-
κὸν οὐκ ἦν· οὐ γὰρ οὖν· διὰ ταῦτα δὴ φαῖμεν ἂν καὶ τοὺς ἤδη
σοφοὺς μηκέτι φιλοσοφεῖν, εἴτε θεοὶ εἴτε ἄνθρωποί εἰσιν οὗ-
τοι· οὐδ' αὖ ἐκείνους φιλοσοφεῖν τοὺς οὕτως ἄγνοιαν ἔχον-
τας, ὥστε κακοὺς εἶναι· κακὸν γὰρ καὶ ἀμαθῆ οὐδένα φιλοσο-
φεῖν· λείπονται δὴ οἱ ἔχοντες μὲν τὸ κακὸν τοῦτο τὴν ἄγνοιαν·
μήπω δὲ ὑπ' αὐτοῦ ὄντες ἀγνώμονες, μηδὲ ἀμαθεῖς· ἀλλ' ἔτι
ἡγούμενοι μὴ εἰδέναι ἃ μὴ ἴσασιν· διὸ δὴ καὶ φιλοσοφοῦσιν
οἱ οὔτε ἀγαθοί, οὔτε κακοί πω ὄντες· ὅσοι δὲ κακοὶ οὐ φιλο-
σοφοῦσιν, οὐδὲ οἱ ἀγαθοί· οὔτε γὰρ τὸ ἐναντίον τοῦ ἐναντίου οὔ-
τε τὸ ὅμοιον τοῦ ὁμοίου φίλον ἡμῖν ἐφάνη ἐν τοῖς ἔμπροσθεν
λόγοις· ἢ οὐ μέμνησθε· πάνυ γε ἐφάτην· νῦν ἄρα, ἦν δ' ἐγώ,
ὦ Λύσι τε καὶ Μενέξενε παντὸς μᾶλλον ἐξηυρήκαμεν, ὃ ἔστιν τὸ φί-
λον καὶ οὔ· φαμὲν γὰρ αὐτὸ καὶ κατὰ τὴν ψυχὴν καὶ κατὰ τὸ σῶ-
μα, καὶ πανταχοῦ τὸ μήτε κακὸν μήτε ἀγαθὸν διὰ κακοῦ παρου-
σίαν, τοῦ ἀγαθοῦ φίλον εἶναι· παντάπασιν ἐφάτην τε καὶ
συνεχωρείτην οὕτω τοῦτ' ἔχειν· καὶ δὴ καὶ αὐτὸς ἐγὼ πάνυ
ἔχαιρον, ὥσπερ θηρευτής τις, ἔχων ἀγαπητῶς, ὃ ἐθηρευόμην·
κᾆτ' οὐκ οἶδ' ὁπόθεν μοι ἀτοπωτάτη τις ὑποψία εἰσῆλ-
θεν, ὡς οὐκ ἀληθῆ εἴη τὰ ὡμολογημένα ἡμῖν· καὶ εὐθὺς ἀ-
χθεσθεὶς εἶπον· βαβαί, ὦ Λύσι τε καὶ Μενέξενε κινδυνεύομεν

μὲν ὄναρ πεπλουτηκέναι. τί μάλιστα ἔφη ὁ Μενέξενος; φο-
βοῦμαι ἦν δ' ἐγώ, μὴ ὥσπερ ἀνθρώποις ἀλαζόσι λόγοις τισὶν
τοιούτοις ψευδέσιν ἐντετυχήκαμεν περὶ τοῦ φίλου. πῶς δή;
ἔφη. ὧδε ἦν δ' ἐγὼ σκοπῶμεν. φίλος ὃς ἂν ᾖ, πότερός
ἐστί τῳ φίλος ἢ οὔ; ἀνάγκη ἔφη. πότερον οὖν οὐδενὸς ἕ-
νεκα καὶ δι' οὐδὲν ἢ ἕνεκά του καὶ διά τι; ἕνεκά του καὶ διά τι.
πότερον φίλου ὄντος ἐκείνου τοῦ πράγματος, οὗ ἕνεκα φί-
λος ὁ φίλος τῷ φίλῳ, ἢ οὔτε φίλου οὔτε ἐχθροῦ; οὐ πάνυ
ἔφη ἕπομαι. εἰκότως γε ἦν δ' ἐγώ. ἀλλ' ὧδε ἴσως ἀκολου-
θήσεις. οἶμαι δὲ καὶ ἐγὼ μᾶλλον εἴσομαι ὅτι λέγω. ὁ κάμνων
νῦν δή φαμεν τοῦ ἰατροῦ φίλος· οὐχ οὕτως; ναί. οὐκοῦν διὰ νό-
σον ἕνεκα ὑγιείας τοῦ ἰατροῦ φίλος; ναί. ἡ δέ γε νόσος
κακόν; πῶς δ' οὔ; τί δαὶ ὑγίεια, ἦν δ' ἐγώ, ἀγαθὸν ἢ κακὸν ἢ
οὐδέτερα; ἀγαθὸν ἔφη. ἐλέγομεν δ' ἄρα ὡς ἔοικεν ὅτι τὸ
σῶμα, οὔτε ἀγαθὸν οὔτε κακὸν διὰ τὴν νόσον, τοῦτο δὲ διὰ τὸ κα-
κόν, τῆς ἰατρικῆς φίλον ἐστίν. ἀγαθὸν δὲ ἰατρική. ἕνεκα δὲ
τῆς ὑγιείας τὴν φιλίαν ἡ ἰατρικὴ ἐπανῄρηται. ἡ δὲ ὑγίεια ἀ-
γαθόν; ἦ γάρ; ναί. φίλον δὲ ἢ οὐ φίλον ἡ ὑγίεια; φίλον.
ἡ δὲ νόσος ἐχθρόν; πάνυ γε. τὸ οὔτε κακὸν οὔτε ἀγαθὸν
ἄρα διὰ τὸ κακὸν καὶ τὸ ἐχθρόν, τοῦ ἀγαθοῦ φίλον ἐστὶν ἕνεκα
τοῦ ἀγαθοῦ καὶ φίλου. φαίνεται. ἕνεκα ἄρα τοῦ φίλου,
τὸ φίλον φίλον διὰ τὸ ἐχθρόν. ἔοικεν. εἶεν ἦν δ' ἐγώ.
ἐπειδὴ ἐνταῦθα ἥκομεν ὦ παῖδες, προσσχῶμεν τὸν νοῦν, μὴ ἐ-
ξαπατηθῶμεν. ὅτι μὲν γὰρ φίλον τοῦ φίλου τὸ φίλον γέγο-
νεν, ἐῶ χαίρειν. καὶ τοῦ ὁμοίου γε τὸ ὅμοιον φίλον γίγνεται,
ὅ φαμεν ἀδύνατον εἶναι. ἀλλ' ὅμως τόδε σκεψώμεθα μὴ ἡ-
μᾶς ἐξαπατήσῃ τὸ νῦν λεγόμενον. ἡ ἰατρική φαμεν ἕνε-
κα τῆς ὑγιείας φίλον; ναί. οὐκοῦν καὶ ἡ ὑγίεια φίλον;
πάνυ γε. εἰ ἄρα φίλον, ἕνεκά του; ναί. φίλου γέ τινος δή,
εἴπερ ἀκολουθήσει τῇ πρόσθεν ὁμολογίᾳ; πάνυ γε. οὐ-
κοῦν καὶ ἐκεῖνο φίλον αὖ ἔσται ἕνεκα φίλου; ναί. ἆρ' οὖν οὐ-
κ ἀνάγκη ἀπειπεῖν ἡμᾶς οὕτως ἰόντας, καὶ ἀφικέσθαι ἐπί
τινα ἀρχήν, ἣ οὐκέτ' ἐπανοίσει ἐπ' ἄλλον φίλον. ἀλλ' ἥξει ἐ-
π' ἐκεῖνο, ὅ ἐστι πρῶτον φίλον, οὗ ἕνεκα καὶ τὰ ἄλλα φαμὲν

πάντα φίλα εἶναι· ἀληθῆ· τοῦτο δή ἐστιν ὃ λέγω μὴ ἡμᾶς τἆλλα
πάντα ἃ εἴπομεν ἐκείνου ἕνεκα φίλα εἶναι, ὥσπερ εἴδωλα ἄττα
ὄντα αὐτοῦ ἐξαπατᾷ· ᾖ δὲ ἐκεῖνο τὸ πρῶτον ὃ ὡς ἀληθῶς
ἐστι φίλον· ἐννοήσωμεν γὰρ οὑτωσί· ὅταν τίς τι περὶ πολλοῦ
ποιῆται, οἷόνπερ ἐνίοτε πατὴρ ὑὸν ἀντὶ πάντων τῶν ἄλλων
χρημάτων προτιμᾷ· ὁ δὴ τοιοῦτος ἕνεκα τοῦ τὸν ὑὸν περὶ
παντὸς ἡγεῖσθαι· ἆρα καὶ ἄλλο τι ἂν περὶ πολλοῦ ποιοῖτο· οἷον
εἰ αἰσθάνοιτο αὐτὸν κώνειον πεπωκότα· ἆρ' ἂν περὶ πολλοῦ ποι-
οῖτ' ἂν οἶνον, εἴπερ τοῦτο ἡγοῖτο τὸν ὑὸν σώσειν; τί μήν ἔφη·
οὐκοῦν καὶ τὸ ἀγγεῖον ἐν ᾧ ὁ οἶνος ἐνείη· πάνυ γε· ἆρ' οὖν
τότε οὐδὲν περὶ πλείονος ποιεῖται κύλικα κεραμέαν ἢ τὸν ὑ-
ὸν τὸν αὑτοῦ· οὐδὲ τρεῖς κοτύλας οἴνου ἢ τὸν ὑόν· ἢ ὧδέ πως
ἔχει· πᾶσα ἡ τοιαύτη σπουδὴ οὐκ ἐπὶ τούτοις ἐστὶν ἐσπουδα-
σμένη ἐπὶ τοῖς ἕνεκά του παρασκευαζομένοις· ἀλλ' ἐπ' ἐκεί-
νῳ οὗ ἕνεκα πάντα τὰ τοιαῦτα παρασκευάζεται· οὐχ ὅτι
πολλάκις λέγομεν ὡς περὶ πολλοῦ ποιούμεθα χρυσίον καὶ
ἀργύριον· ἀλλὰ μή τι μᾶλλον οὐδὲν οὕτω τό γε ἀληθὲς ἔχει· ἀλλ' ἐ-
κεῖνό ἐστιν ὃ περὶ παντὸς ποιούμεθα· ὃ ἂν φανῇ ὄν, ὅτου ἕνε-
κα καὶ χρυσίον καὶ πάντα τὰ παρασκευαζόμενα παρασκευά-
ζεται· ἆρ' οὕτως φήσομεν· πάνυ γε· οὐκοῦν καὶ περὶ τοῦ
φίλου ὁ αὐτὸς λόγος· ὅσα γάρ φαμεν φίλα εἶναι ἡμῖν ἕνεκα
φίλου τινὸς ἑτέρου, ῥήματι φαινόμεθα λέγοντες αὐτό· φίλον
δὲ τῷ ὄντι κινδυνεύει ἐκεῖνο αὐτὸ εἶναι εἰς ὃ πᾶσαι αὗται αἱ
λεγόμεναι φιλίαι τελευτῶσιν· κινδυνεύει οὕτως ἔφη ἔχειν·
οὐκοῦν τό γε τῷ ὄντι φίλον οὐ φίλου τινὸς ἕνεκα φίλον ἐστίν·
ἀληθῆ· τοῦτο μὲν δὴ ἀπήλλακται, μὴ φίλου τινὸς ἕνεκα τὸ
φίλον φίλον εἶναι· ἀλλ' ἆρα τὸ ἀγαθόν ἐστιν φίλον· ἔμοιγε δοκεῖ·
ἆρ' οὖν διὰ τὸ κακὸν τὸ ἀγαθὸν φιλεῖται, καὶ ἔχει ὧδε· εἰ τριῶν
ὄντων ὧν νυνδὴ ἐλέγομεν ἀγαθοῦ καὶ κακοῦ καὶ μήτε ἀγα-
θοῦ μήτε κακοῦ, τὰ δύο λειφθείη· τὸ δὲ κακὸν ἐκποδὼν ἀ-
πέλθοι καὶ μηδενὸς ἐφάπτοιτο μήτε σώματος μήτε ψυχῆς
μήτε τῶν ἄλλων ἃ δή φαμεν αὐτὰ καθ' αὑτὰ οὔτε κακὰ εἶναι
οὔτε ἀγαθά· ἆρ' ἂν τότε οὐδὲν ἂν ἡμῖν χρήσιμον εἴη τὸ ἀγα-
θόν, ἀλλ' ἄχρηστον ἂν γεγονὸς εἴη· εἰ γὰρ μηδὲν ἡμᾶς ἔτι βλάπτοι·

οὐδὲν ἂν οὐδεμιᾶς ὠφελίας δεοίμεθα· καὶ οὕτω δὴ ἂν τότε γέ
νοιτο καταφανὲς ὅτι διὰ τὸ κακὸν τἀγαθὸν ἠγαπῶμεν καὶ ἐφι
λοῦμεν ὡς φάρμακον ὂν τοῦ κακοῦ τὸ ἀγαθόν· τὸ δὲ κακὸν νόση
μα· νοσήματος δὲ μὴ ὄντος οὐδὲν δεῖ φαρμάκου· ἆρ' οὕτω πέ
φυκέ τε καὶ φιλεῖται τἀγαθὸν διὰ τὸ κακὸν ὑφ' ἡμῶν τῶν μεταξὺ
ὄντων τοῦ κακοῦ τε καὶ τἀγαθοῦ· αὐτὸ δ' ἑαυτοῦ ἕνεκα οὐδεμί
αν χρείαν ἔχει: ἔοικεν ἦ δ' ὅς οὕτως ἔχειν: τὸ ἄρα φίλον ἡμῖν
ἐκεῖνο εἰς ὃ ἐτελεύτα πάντα τὰ ἄλλα ἕνεκα ἑτέρου φίλου φίλα
ἔφαμεν εἶναι ἐκεῖνα· οὐδὲν δὲ τούτοις ἔοικεν· ταῦτα μὲν γὰρ
φίλου ἕνεκα φίλα κέκληται· τὸ δὲ τῷ ὄντι φίλον πᾶν τοὐναν
τίον τούτου φαίνεται πεφυκός· φίλον γὰρ ἡμῖν ἀνεφάνη ὂν ἐ
χθροῦ ἕνεκα· εἰ δὲ τὸ ἐχθρὸν ἀπέλθοι, οὐκέτι ὡς ἔοικεν ἔσθ'
ἡμῖν φίλον: οὔ μοι δοκεῖ ἔφη ὥς γε νῦν λέγεται: πότερον ἦν
δ' ἐγὼ πρὸς Διός· ἐὰν τὸ κακὸν ἀπόληται οὐδὲ πεινῆν ἔτι ἔσται·
οὐδὲ διψῆν οὐδὲ ἄλλο οὐδὲν τῶν τοιούτων; ἢ πείνη μὲν ἔσται
ἐάνπερ ἄνθρωποί τε καὶ τἆλλα ζῷα ᾖ, οὐ μέντοι βλαβερά γε·
καὶ δίψα δὴ καὶ αἱ ἄλλαι ἐπιθυμίαι· ἀλλ' οὐ κακαί· ἅτε τοῦ κακοῦ ἀπο
λωλότος· ἢ γελοῖον τὸ ἐρώτημα ὅτι ποτ' ἔσται τότε ἢ μὴ ἔσται:
τίς γὰρ οἶδεν· ἀλλ' οὖν τόδε γ' ἴσμεν ὅτι καὶ νῦν ἔστι πεινῶντα
βλάπτεσθαι· ἔστιν δὲ καὶ ὠφελεῖσθαι· ἦ γάρ: πάνυ γε: οὐκοῦν
καὶ διψῶντα καὶ τῶν ἄλλων τῶν τοιούτων πάντων ἐπιθυμοῦντα,
ἔστιν ἐνίοτε μὲν ὠφελίμως ἐπιθυμεῖν ἐνίοτε δὲ βλαβερῶς· ἐ
νίοτε δὲ μηδέτερα; σφόδρα γε: οὐκοῦν ἐὰν ἀπολλύηται τὰ
κακά, ἅ γε μὴ τυγχάνει ὄντα κακά, τί προσήκει τοῖς κακοῖς
συναπόλλυσθαι: οὐδέν: ἔσονται ἄρα αἱ μήτε ἀγαθαὶ μήτε
κακαὶ ἐπιθυμίαι καὶ ἐὰν ἀπόληται τὰ κακά: φαίνεται: οἷόν
τε οὖν ἐστιν ἐπιθυμοῦντα καὶ ἐρῶντα τούτου οὗ ἐπιθυμεῖ καὶ ἐρᾷ,
μὴ φιλεῖν: οὐκ ἔμοιγε δοκεῖ: ἔσται ἄρα καὶ τῶν κακῶν ἀπο
λομένων ὡς ἔοικεν φίλ' ἄττα: ναί: οὐκ ἄν, εἴ γε τὸ κακὸν αἴτιον
ἦν τοῦ φίλον τι εἶναι, οὐκ ἂν ἦν τούτου ἀπολομένου φίλον
ἕτερον ἑτέρῳ· αἰτίας γὰρ ἀπολομένης ἀδύνατόν που ἦν ἔτ' ἐκεῖνο
εἶναι, οὗ ἦν αὕτη ἡ αἰτία: ὀρθῶς λέγεις: οὐκοῦν
ὡμολόγηται ἡμῖν τὸ φίλον φιλεῖν τι καὶ διά τι· καὶ ᾠήθημεν
τότε γε διὰ τὸ κακὸν τὸ μήτε ἀγαθὸν μήτε κακὸν τὸ ἀγαθὸν

φιλεῖν: ἀληθῆ: μηδέν γε ὡς ἔοικε φαίνεται ἄλλη τις αἰτία τοῦ φι
λεῖν τε καὶ φιλεῖσθαι: ἔοικεν: ἆρ' οὖν τῷ ὄντι ὥσπερ ἄρτι ἐλέγο
μεν, ἡ ἐπιθυμία τῆς φιλίας αἰτία καὶ τὸ ἐπιθυμοῦν φίλον ἐστὶν
τούτῳ, οὗ ἐπιθυμεῖ· καὶ τότε ὅταν ἐπιθυμῇ· ὁ δὲ τὸ πρότε
ρον ἐλέγομεν φίλον εἶναι, ὕθλος τις ἦν ὥσπερ ποίημα μακρὸν
συγκείμενον: κινδυνεύσει ἔφη: ἀλλὰ μέντοι ἦν δ' ἐγὼ τό γε ἐ
πιθυμοῦν, οὗ ἂν ἐνδεὲς ᾖ, τούτου ἐπιθυμεῖ· ἢ γάρ: ναί: τὸ δ' ἐν
δεὲς ἄρα φίλον ἐκείνου, οὗ ἂν ἐνδεὲς ᾖ; δοκεῖ μοι: ἐνδεὲς δὲ
γίγνεται οὗ ἄν τις ἀφαιρῆται: πῶς δ' οὔ: τοῦ οἰκείου δὴ ὡς
ἔοικεν, ὅ τε ἔρως καὶ ἡ φιλία καὶ ἡ ἐπιθυμία τυγχάνει οὖσα,
ὡς φαίνεται ὦ μενέξενε καὶ λύσι: συνεφάτην: ὑμεῖς
ἄρα εἰ φίλοι ἐστὸν ἀλλήλοις, φύσει πῃ οἰκεῖοι ἐσθ' ὑμῖν αὐτοῖς:
κομιδῇ ἐφάτην: καὶ εἰ ἄρα τις ἕτερος ἑτέρου ἐπιθυμεῖ ἦν δ' ἐ
γὼ ὦ παῖδες ἢ ἐρᾷ· οὐκ ἄν ποτε ἐπεθύμει οὐδὲ ἤρα οὐδὲ
ἐφίλει εἰ μὴ οἰκεῖος πῃ τῷ ἐρωμένῳ ἐτύγχανεν ὢν ἢ κατὰ
τὴν ψυχὴν ἢ κατά τι τῆς ψυχῆς ἦθος ἢ τρόπους ἢ εἶδος:
πάνυ γε ἔφη ὁ μενέξενος· ὁ δὲ λύσις ἐσίγησεν: εἶεν ἦν δ' ἐ
γώ· τὸ μὲν δὴ φύσει οἰκεῖον ἀναγκαῖον ἡμῖν πέφανται φιλεῖν: ἔ
οικεν ἔφη: ἀναγκαῖον ἄρα τῷ γνησίῳ ἐραστῇ καὶ μὴ προσποι
ήτῳ φιλεῖσθαι ὑπὸ τῶν παιδικῶν: ὁ μὲν οὖν λύσις καὶ ὁ με
νέξενος μόγις πως ἐπενευσάτην· ὁ δὲ ἱπποθάλης ὑπὸ
τῆς ἡδονῆς παντοδαπὰ ἠφίει χρώματα· καὶ ἐγὼ εἶπον,
βουλόμενος τὸν λόγον ἐπισκέψασθαι· εἰ μέν τι τὸ οἰκεῖον τοῦ
ὁμοίου διαφέρει λέγοιμεν ἄν τι ὡς ἐμοὶ δοκεῖ ὦ λύσι τε καὶ
μενέξενε, περὶ φίλου ὃ ἔστιν· εἰ δὲ ταὐτὸν τυγχάνει ὂν ὅμοι
όν τε καὶ οἰκεῖον, οὐ ῥᾴδιον ἀποβαλεῖν τὸν πρόσθεν λόγον·
ὡς οὐ τὸ ὅμοιον τῷ ὁμοίῳ κατὰ τὴν ὁμοιότητα ἄχρηστον·
τὸ δὲ ἄχρηστον φίλον ὁμολογεῖν πλημμελές· βούλεσθ' οὖν
ἦν δ' ἐγὼ, ἐπειδὴ ὥσπερ μεθύομεν ὑπὸ τοῦ λόγου, συγχω
ρήσωμεν καὶ φῶμεν ἕτερόν τι εἶναι τὸ οἰκεῖον τοῦ ὁμοίου;
πάνυ γε: πότερον οὖν καὶ τἀγαθὸν οἰκεῖον θήσομεν παντί·
τὸ δὲ κακὸν ἀλλότριον εἶναι; ἢ τὸ μὲν κακὸν τῷ κακῷ οἰκεῖον·
τῷ δὲ ἀγαθῷ τὸ ἀγαθόν· τῷ δὲ μήτε ἀγαθῷ μήτε κακῷ
τὸ μήτε ἀγαθὸν μήτε κακόν: οὕτως ἐφάτην δοκεῖν σφίσιν.

ἕκαστον ἑκάστῳ οἰκεῖον εἶναι· πάλιν μ' ἄρα καί, ἦν δ' ἐγώ, ὦ παῖδες,
εἰς τοὺς πρότερον λόγους ἀπενεχθείημεν περὶ φιλίας. εἰ τοίνυν εἰς
ἐμπεπτώκαμεν· ὅ γὰρ ἄδικος τῷ ἀδίκῳ καὶ ὁ κακὸς τῷ κα-
κῷ, οὐδὲν ἧττον φίλος ἔσται ἢ ὁ ἀγαθὸς τῷ ἀγαθῷ: ἔοικεν
ἔφη: τί δαί; τὸ ἀγαθὸν καὶ τὸ οἰκεῖον ἂν, ταὐτὸν φῶμεν εἶναι, ἢ
ἄλλο τι ἢ ὁ ἀγαθὸς τῷ ἀγαθῷ μόνον φίλος: πάνυ γε: ἀλλὰ
μὴν καὶ τοῦτό γε ᾠόμεθα, ἐξελέγξαι ἡμᾶς αὐτούς· ἢ οὐ μέμνη-
σθε: μεμνήμεθα: τί οὖν ἂν ἔτι χρησαίμεθα τῷ λόγῳ· ἢ δῆλον
ὅτι οὐδέν· δέομαι οὖν ὥσπερ οἱ σοφοὶ οἱ ἐν τοῖς δικαστηρίοις· τὰ
εἰρημένα ἅπαντα ἀναπεμπάσασθαι· εἰ γὰρ μήτε οἱ φιλού-
μενοι· μήτε οἱ φιλοῦντες· μήτε οἱ ὅμοιοι· μήτε οἱ ἀνόμοιοι· μή-
τε οἱ ἀγαθοί· μήτε οἱ οἰκεῖοι· μήτε τὰ ἄλλα ὅσα διεληλύθαμεν,
οὐ γὰρ ἔγωγε ἔτι μέμνημαι ὑπὸ τοῦ πλήθους· ἀλλ' εἰ μηδὲν τού-
των φίλον ἐστίν· ἐγὼ μὲν οὐκέτι ἔχω τί λέγω· ταῦτα δ' εἰπὼν ἐν
νῷ εἶχον, ἄλλον ἤδη τινὰ τῶν πρεσβυτέρων κινεῖν· κᾆτα ὥσπερ
δαίμονές τινες προσελθόντες οἱ παιδαγωγοί, ὅ, τε τοῦ μενεξέ-
νου καὶ ὁ τοῦ λύσιδος· ἔχοντες αὐτῶν τοὺς ἀδελφούς· παρε-
κάλουν καὶ ἐκέλευον αὐτοὺς οἴκαδ' ἀπιέναι, ἤδη γὰρ ἦν ὀψέ·
τὸ μὲν οὖν πρῶτον, καὶ ἡμεῖς, καὶ οἱ περιεστῶτες αὐτούς· ἀπη-
λαύνομεν· ἐπειδὴ δὲ οὐδὲν ἐφρόντιζον ἡμῶν, ἀλλ' ὑποβαρβαρί-
ζοντες ἠγανάκτουν τε καὶ οὐδὲν ἧττον ἐκάλουν· ἀλλ' ἐδόκουν ἡ-
μῖν ὑποπεπωκότες ἐν τοῖς ἑρμαίοις ἄποροι εἶναι προσφέ-
ρεσθαι· ἡττηθέντες οὖν αὐτῶν, διελύσαμεν τὴν συνουσίαν· ὅ-
μως δ' ἔγωγε ἤδη ἀπιόντων αὐτῶν· νῦν μέν, ἦν δ' ἐγώ, ὦ λύσι τε
καὶ μενέξενε, καταγέλαστοι γεγόναμεν, ἐγώ τε γέρων ἀνήρ, καὶ
ὑμεῖς· ἐροῦσι γὰρ οἵδε ἀπιόντες· ὡς οἰόμεθα ἡμεῖς, ἀλλή-
λων φίλοι εἶναι· καὶ ἐμὲ γάρ, ἐν ὑμῖν τίθημι· οὔπω δὲ ὅ, τι ἐστὶν
ὁ φίλος· οἷοί τε ἐγενόμεθα ἐξευρεῖν :~

λύσις ἢ περὶ φιλίας :~

εὐθύδημος ※ ἢ ※ ἐριστικός ※ ἀνατρεπτικός

Τίς ἦν, ὦ σώκρατες, ᾧ χθὲς ἐν λυκείῳ διελέγου; ἦ πολὺς ὑμᾶς
ὄχλος περιειστήκει, ὥστ' ἔγωγε βουλόμενος ἀκούειν, προσελ-
θὼν οὐδὲν οἷός τ' ἦ ἀκούειν σαφές· ὑπερκύψας μέντοι κατεῖδον,
καί μοι ἔδοξε ξένος τις εἶναι ᾧ διελέγου. τίς ἦν; πότε-
ρον καὶ ἐρωτᾷς, ὦ κρίτων; οὐ γὰρ εἷς, ἀλλὰ δύο ἦσαν. ὃν μὲν ἐγὼ
λέγω, ἐκ δεξιᾶς τρίτος ἀπὸ σοῦ καθῆστο· ἐν μέσῳ δ' ὑμῶν τὸ ἀ-
ξιόχου μειράκιον ἦν. καὶ μάλα πολύ, ὦ σώκρατες, ἐπιδεδωκέναι
μοι ἔδοξε, καὶ τοῦ ἡμετέρου οὐ πολύ τι τὴν ἡλικίαν διαφέ-
ρειν κριτοβούλου· ἀλλ' ἐκεῖνος μὲν σκληφρός, οὗτος δὲ προφε-
ρὴς καὶ καλὸς καὶ ἀγαθὸς τὴν ὄψιν. εὐθύδημος οὗτός ἐστιν,
ὦ κρίτων, ὃν ἐρωτᾷς· ὁ δὲ παρ' ἐμὲ καθήμενος ἐξ ἀριστερᾶς
ἀδελφὸς τούτου διονυσόδωρος· μετέχει δὲ καὶ οὗτος τῶν λό-
γων. οὐδέτερον γιγνώσκω, ὦ σώκρατες. καινοί τινες αὖ οὗ-
τοι, ὡς ἔοικε, σοφισταί. ποδαποί; καὶ τίς ἡ σοφία; οὗτοι τὸ μὲν
γένος, ὡς ἐγᾦμαι, ἐντευθένποθέν εἰσιν ἐκ χίου· ἀπῴκησαν
δὲ ἐς θουρίους· φεύγοντες δὲ ἐκεῖθεν πολλὰ ἤδη ἔτη περὶ τούσ-
δε τοὺς τόπους διατρίβουσιν. ὃ δὲ σὺ ἐρωτᾷς, τὴν σοφίαν
αὐτοῖν, θαυμασία, ὦ κρίτων· πάσσοφοι ἀτεχνῶς τώ γε· οὐδ' ᾔ-
δη πρὸ τοῦ ὅ τι εἶεν οἱ παγκρατιασταί. τούτω γάρ ἐστον κομιδῇ
παμμάχω, οὐ κατὰ τὼ ἀκαρνᾶνε ἐγενέσθην τὼ παγκρατιαστὰ
ἀδελφώ· ἐκείνω μὲν γὰρ τῷ σώματι μόνον οἵω τε μάχεσθαι,
τούτω δὲ πρῶτον μὲν τῷ σώματι δεινοτάτω ἐστὸν καὶ μάχῃ ᾗ πάν-
των κρατεῖν· ἐν ὅπλοις γὰρ αὐτώ τε σοφὼ πάνυ μάχεσθαι καὶ ἄλ-
λον, ὃς ἂν διδῷ μισθόν, οἵω τε ποιῆσαι· ἔπειτα τὴν ἐν τοῖς δι-
καστηρίοις μάχην κρατίστω καὶ ἀγωνίσασθαι καὶ ἄλλον διδάξαι
λέγειν τε καὶ συγγράφεσθαι λόγους οἵους εἰς τὰ δικαστήρια. πρὸ
τοῦ μὲν οὖν ταῦτα δεινὼ ἤστην μόνον, νῦν δὲ τέλος ἐπιτεθή-
κατον παγκρατιαστικῇ τέχνῃ. ἣ γὰρ ἦν λοιπὴ αὐτοῖν μάχη ἄρ-
γος, ταύτην νῦν ἐξείργασθον, ὥστε μηδ' ἂν ἕνα αὐτοῖς οἷόν
τ' εἶναι μηδ' ἀντᾶραι· οὕτω δεινὼ γεγόνατον ἐν τοῖς λόγοις
μάχεσθαί τε καὶ ἐξελέγχειν τὸ ἀεὶ λεγόμενον, ὁμοίως ἐάν τε
ψεῦδος ἐάν τε ἀληθὲς ᾖ. ἐγὼ μὲν οὖν, ὦ κρίτων, ἐν νῷ ἔχω
τοῖν ἀνδροῖν παραδοῦναι ἐμαυτόν· καὶ γάρ φατον ἐν ὀλίγῳ
χρόνῳ ποιῆσαι ἂν καὶ ἄλλον ὁντινοῦν τὰ αὐτὰ ταῦτα δεινόν.

οὕτω λέγεται καὶ παρὰ ἀριστοτέλει ἰσχνὸς καὶ λεπτὸς τὸ σῶμα

365

τί δὲ ὦ Σώκρατες· οὐ φοβεῖ τὴν ἡλικίαν μὴ ἤδη πρεσβύτερος ᾖς·
ἥκιστά γε ὦ Κρίτων· ἱκανὸν τεκμήριον ἔχω καὶ παραμύθιον τοῦ μὴ
φοβεῖσθαι· αὐτὼ γὰρ τούτω ὡς ἔπος εἰπεῖν γέροντε ὄντε ἠρξά-
σθην ταύτης τῆς σοφίας ἧς ἔγωγε ἐπιθυμῶ τῆς ἐριστικῆς·
πέρυσιν ἢ προπέρυσιν οὐδέπω ἤστην σοφώ· ἀλλ' ἐγὼ ἓν μό-
νον φοβοῦμαι μὴ αὖ ὄνειδος τοῖν ξένοιν περιάψω ὥσπερ
Κόννῳ τῷ Μητροβίου τῷ κιθαριστῇ· ὃς ἐμὲ διδάσκει ἔτι καὶ
νῦν κιθαρίζειν· ὁρῶντες οὖν οἱ παῖδες οἱ συμφοιτηταί μου
ἐμοῦ τε καταγελῶσι καὶ τὸν Κόννον καλοῦσι γεροντοδιδάσκα-
λον· μὴ οὖν καὶ τοῖν ξένοιν τις ταὐτὸ τοῦτο ὀνειδίσῃ· οἱ δ' αὖ
τὸ τοῦτο ἴσως φοβούμενοι τάχα με οὐκ ἂν ἐθέλοιεν προσδέ-
ξασθαι· ἐγὼ δ' ὦ Κρίτων ἐκεῖ μὲν ἄλλους πέπεικα συμ-
μαθητάς μοι φοιτᾶν πρεσβύτας· ἐνταῦθα δέ γε ἑτέρους πει-
ράσομαι πείθειν· καὶ σὺ τί οὐ συμφοιτᾷς· ὡς δὲ δέλεαρ
αὐτοῖς ἄξομεν τοὺς σοὺς ὑεῖς· ἐφιέμενοι γὰρ ἐκείνων
οἶδ' ὅτι καὶ ἡμᾶς παιδεύσουσιν· ἀλλ' οὐδὲν κωλύει ὦ Σώ-
κρατες· ἐάν γε σοὶ δοκῇ· πρότερον δέ μοι διήγησαι τὴν σοφίαν
τοῖν ἀνδροῖν τίς ἐστιν ἵνα εἰδῶ ὅ τι καὶ μαθησόμεθα· οὐκ ἂν
φθάνοις ἀκούων· ὡς οὐκ ἂν ἔχοιμί γε εἰπεῖν ὅτι οὐ προσεῖχον
τὸν νοῦν αὐτοῖν· ἀλλὰ πάνυ καὶ προσεῖχον καὶ μέμνημαι· καί σοι
πειράσομαι ἐξ ἀρχῆς ἅπαντα διηγήσασθαι· κατὰ θεὸν γάρ
τινα ἔτυχον καθήμενος ἐνταῦθα οὗπερ σύ με εἶδες ἐν τῷ ἀπο-
δυτηρίῳ μόνος· καὶ ἤδη ἐν νῷ εἶχον ἀναστῆναι· ἀνισταμένου
δέ μου ἐγένετο τὸ εἰωθὸς σημεῖον τὸ δαιμόνιον· πάλιν οὖν ἐ-
καθεζόμην· καὶ ὀλίγῳ ὕστερον εἰσέρχεσθον τούτω ὅ τ' Εὐθύ-
δημος καὶ ὁ Διονυσόδωρος· καὶ ἄλλοι μαθηταὶ ἅμα αὖ πολλοὶ
ἐμοὶ δοκεῖν· εἰσελθόντε δὲ περιεπατείτην ἐν τῷ καταστέ-
γῳ δρόμῳ· καὶ οὔπω τούτω δύ' ἢ τρεῖς δρόμους περιεληλυ-
θότε ἤστην· καὶ εἰσέρχεται Κλεινίας ὃν σὺ φῂς πολὺ ἐπι-
δεδωκέναι ἀληθῆ λέγων· ὄπισθεν δὲ αὐτοῦ ἐρασταὶ πάνυ
πολλοί τε ἄλλοι καὶ Κτήσιππος νεανίσκος τις Παιανιεὺς μά-
λα καλός τε κἀγαθὸς τὴν φύσιν ὅσον μὴ ὑβριστὴς δὲ διὰ τὸ
νέος εἶναι· ἰδὼν οὖν με ὁ Κλεινίας ἀπὸ τῆς εἰσόδου μόνον
καθήμενον ἄντικρυς ἰὼν παρεκαθέζετο ἐκ δεξιᾶς ὥσπερ

σὺ φῄς· ἰδόντε δὲ αὐτὸν ὅ τε Διονυσόδωρος καὶ ὁ Εὐθύδημος
πρῶτον μὲν ἐπιστάντε διελεγέσθην ἀλλήλοιν ἄλλην καὶ ἄλλην ἀ-
ποβλέποντε εἰς ἡμᾶς. καὶ γὰρ πάνυ αὐτοῖν προσεῖχον τὸν
νοῦν. ἔπειτα ἰόντε ὁ μὲν παρὰ τὸ μειράκιον ἐκαθέζετο ὁ Εὐθύ-
δημος, ὁ δὲ παρ' αὐτὸν ἐμὲ ἐν ἀριστερᾷ. οἱ δ' ἄλλοι ὡς ἕκαστος
ἐτύγχανεν. ἠσπαζόμην οὖν αὐτὼ ἅτε διὰ χρόνου ἑωρακώς·
μετὰ δὲ τοῦτο εἶπον πρὸς τὸν Κλεινίαν· ὦ Κλεινία, τώδε μέντοι
τὼ ἄνδρε σοφὼ Εὐθύδημός τε καὶ Διονυσόδωρος οὐ τὰ σμι-
κρὰ ἀλλὰ τὰ μεγάλα· τὰ γὰρ περὶ τὸν πόλεμον πάντα ἐπίστα-
σθον ὅσα δεῖ τὸν μέλλοντα στρατηγὸν ἔσεσθαι, τάς τε τάξεις καὶ
τὰς ἡγεμονίας τῶν στρατοπέδων καὶ ὅσα ἐν ὅπλοις μάχε-
σθαι διδακτέον· οἵω τε δὲ καὶ ποιῆσαι δυνατὸν εἶναι αὐτὸν
αὑτῷ βοηθεῖν ἐν τοῖς δικαστηρίοις ἄν τις αὐτὸν ἀδικῇ· εἰ-
πὼν οὖν ταῦτα κατεφρονήθην ὑπ' αὐτοῖν· ἐγελασάτην οὖν
ἄμφω βλέψαντε εἰς ἀλλήλους· καὶ ὁ Εὐθύδημος εἶπεν: οὔ-
τοι ἔτι ταῦτα ὦ Σώκρατες σπουδάζομεν, ἀλλὰ παρέργοις αὐ-
τοῖς χρώμεθα: κἀγὼ θαυμάσας εἶπον· καλὸν ἄν τι τὸ ἔρ-
γον ὑμῶν εἴη, εἰ τηλικαῦτα πράγματα πάρεργα ὑμῖν τυγχά-
νει ὄντα· καὶ πρὸς θεῶν εἴπετόν μοι τί ἐστι τοῦτο τὸ καλόν: ἀρε-
τήν ἔφη ὦ Σώκρατες οἰόμεθα οἵω τ' εἶναι παραδοῦναι κάλ-
λιστ' ἀνθρώπων καὶ τάχιστα: ὦ Ζεῦ οἷον ἔφην ἦν δ' ἐγὼ λέ-
γετον πρᾶγμα· πόθεν τοῦτο τὸ ἕρμαιον ηὑρέτην· ἐγὼ δὲ περὶ ὑ-
μῶν διενοούμην ἔτι ὥσπερ νῦν δὴ ἔλεγον ὡς τὸ πολὺ τοῦτο δει-
νοῖν ὄντοιν ἐν ὅπλοις μάχεσθαι καὶ ταῦτα ἔλεγον περὶ σφῷν·
ὅτε γὰρ τὸ πρότερον ἐπεδημησάτην, τοῦτο μέμνημαι σφὼ
ἐπαγγελλομένω· εἰ δὲ νῦν ἀληθῶς ταύτην τὴν ἐπιστήμην ἔ-
χετον· ἵλεω εἴητον· ἀτεχνῶς γὰρ ἔγωγε σφὼ ὥσπερ θεὼ
προσαγορεύω συγγνώμην δεόμενος ἔχειν μοι τῶν ἔμπρο-
σθεν εἰρημένων· ἀλλ' ὁρᾶτον ὦ Εὐθύδημέ τε καὶ Διονυσόδωρε
εἰ ἀληθῆ λέγετον· ὑπὸ γὰρ τοῦ μεγέθους τοῦ ἐπαγγέλματος
οὐδὲν θαυμαστὸν ἀπιστεῖν: ἀλλ' εὖ ἴσθι ὦ Σώκρατες ἔφατον
τοῦτο οὕτως ἔχον: μακαρίζω ἄρ' ὑμᾶς ἔγωγε τοῦ κτήμα-
τος πολὺ μᾶλλον ἢ μέγαν βασιλέα τῆς ἀρχῆς· τοσόνδε δέ
μοι εἴπετον εἰ ἐν νῷ ἔχετον ἐπιδείκνυσθαι ταύτην τὴν σοφίαν

ἢ πῶς σφῷν βούλεσθαι· ἐπ᾽ αὐτό γε τοῦτο πάρεσμεν ὦ σώ-
κρατες ὡς ἐπιδείξοντε καὶ διδάξοντε ἐάν τις ἐθέλῃ μανθά-
νειν: ὅτι μὲν ἐθελήσουσιν ἅπαντες οἱ μὴ ἔχοντες ἐγὼ ὑμῖν
ἐγγυῶμαι· πρῶτος μὲν ἐγώ· ἔπειτα δὲ κλεινίας οὑτοσί· πρὸς
δ᾽ ἡμῖν κτήσιππος ὅδε καὶ οἱ ἄλλοι οὗτοι ἦν δ᾽ ἐγὼ δεικνὺς
αὐτῷ τοὺς ἐραστὰς τοὺς κλεινίου· οἱ δὲ ἐτύγχανον ἡμᾶς ἤδη
περιϊστάμενοι. ὁ γὰρ κτήσιππος ἔτυχε πόρρω καθεζόμενος
τοῦ κλεινίου. ἐμοὶ δοκεῖ ὡς ἐτύγχανεν ὁ εὐθύδημος ἐμοὶ δια-
λεγόμενος προνενευκὼς εἰς τὸ πρόσθεν ἐν μέσῳ ὄντος ἡ-
μῶν τοῦ κλεινίου ἐπεσκότει τῷ κτησίππῳ τῆς θέας· βουλό-
μενός τε οὖν θεάσασθαι ὁ κτήσιππος τὰ παιδικὰ καὶ ἅμα
φιλήκοος ὢν ἀναπηδήσας πρῶτος προσέστη ἡμῖν ἐν τῷ
καταντικρύ· οὕτως οὖν καὶ οἱ ἄλλοι ἐκεῖνον ἰδόντες περιέστη-
σαν ἡμᾶς· οἵ τε τοῦ κλεινίου ἐρασταὶ καὶ οἱ τοῦ εὐθυδήμου τε καὶ
διονυσοδώρου ἑταῖροι. τούτους δὴ ἐγὼ δεικνὺς ἔλεγον τῷ
εὐθυδήμῳ ὅτι πάντες ἕτοιμοι εἶεν μανθάνειν. ὅ τε οὖν κτή-
σιππος συνέφη μάλα προθύμως καὶ οἱ ἄλλοι καὶ ἐκέλευον
αὐτὸν κοινῇ πάντες ἐπιδείξασθαι τὴν δύναμιν τῆς σοφίας·
εἶπον οὖν ἐγὼ ὦ εὐθύδημε καὶ διονυσόδωρε· πάνυ μὲν οὖν
παντὶ τρόπῳ καὶ τούτοις χαρίσασθον καὶ ἐμοῦ ἕνεκα ἐ-
πιδείξατον. τὰ μὲν οὖν πλεῖστα δῆλον ὅτι οὐ σμικρὸν ἔρ-
γον ἐπιδεῖξαι· τόδε δέ μοι εἴπετον πότερον πεπεισμένον
ἤδη ὡς χρὴ παρ᾽ ὑμῶν μανθάνειν δύναισθ᾽ ἂν ἀγαθὸν ποιῆσαι
ἄνδρα μόνον ἢ καὶ ἐκεῖνον τὸν μήπω πεπεισμένον διὰ τὸ μὴ
οἴεσθαι ὅλως τὸ πρᾶγμα τὴν ἀρετὴν μαθητὸν εἶναι ἢ μὴ σφὼ
εἶναι αὐτῆς διδασκάλω· φέρε καὶ τὸν οὕτως ἔχοντα τῆς
αὐτῆς τέχνης ἔργον πεῖσαι ὡς καὶ διδακτὸν ἡ ἀρετὴ καὶ
οὗτοι ὑμεῖς ἐστε παρ᾽ ὧν ἂν κάλλιστα αὐτό τις μάθοι ἢ ἄλλης:
ταύτης μὲν οὖν ἔφη τῆς αὐτῆς ὦ σώκρατες ὁ διονυσόδω-
ρος: ὑμεῖς ἄρα ἦν δ᾽ ἐγὼ ὦ διονυσόδωρε τῶν νῦν ἀνθρώ-
πων κάλλιστ᾽ ἂν προτρέψαιτε εἰς φιλοσοφίαν καὶ ἀρετῆς ἐπι-
μέλειαν: οἰόμεθά γε δὴ ὦ σώκρατες: τὴν μὲν τοίνυν ἄλ-
λων τὴν ἐπίδειξιν ἡμῖν ἔφην εἰσαῦθις ἀπόθεσθον. τοῦτο
δ᾽ αὐτὸ ἐπιδείξασθον τουτονὶ τὸν νεανίσκον πείσατον ὡς

χρὴ φιλοσοφεῖν καὶ ἀρετῆς ἐπιμελεῖσθαι καὶ χαριεῖσθε ἐμοί
τε καὶ τουτοισὶ πᾶσιν· συμβέβηκεν γάρ τι τοιοῦτον τῷ μειρακί
ῳ τούτῳ· ἐγώ τε καὶ οἵδε πάντες τυγχάνομεν ἐπιθυμοῦντες
ὡς βέλτιστον αὐτὸν γενέσθαι· ἔστι δὲ οὗτος ἀξιόχου μὲν ὑὸς
τοῦ ἀλκιβιάδου τοῦ παλαιοῦ· αὐτανεψιὸς δὲ τοῦ νῦν ὄντος ἀλ
κιβιάδου· ὄνομα δ' αὐτῷ κλεινίας· ἔστι δὲ νέος· φοβούμεθα
δὴ περὶ αὐτῷ οἷον εἰκὸς περὶ νέῳ· μή τις φθῇ ἡμᾶς ἐπ' ἄλλο
τι ἐπιτήδευμα τρέψας τὴν διάνοιαν καὶ διαφθείρῃ· σφὼ οὖν
ἥκετον εἰς κάλλιστον· ἀλλ' εἰ μή τι διαφέρει ὑμῖν λάβετον πεῖραν τοῦ
μειρακίου καὶ διαλέχθητον ἐναντίον ἡμῶν· εἰπόντος οὖν ἐμοῦ
σχεδόν τι αὐτὰ ταῦτα· ὁ εὐθύδημος ἅμα ἀνδρείως τε καὶ θαρ
ραλέως· ἀλλ' οὐδὲν διαφέρει ὦ σώκρατες ἔφη ἐὰν μόνον ἐθέλῃ
ἀποκρίνεσθαι ὁ νεανίσκος· ἀλλὰ μὲν δή ἔφην ἐγὼ τοῦτό γε
καὶ εἴθισται· θαμὰ γὰρ αὐτῷ οἵδε προσιόντες πολλὰ ἐρωτῶσίν
τε καὶ διαλέγονται· ὥστε ἐπιεικῶς θαρρεῖ τὸ ἀποκρίνασθαι·
τὰ δὴ μετὰ ταῦτα ὦ κρίτων πῶς ἂν καλῶς σοι διηγησαίμην· οὐ
γὰρ σμικρὸν τὸ ἔργον δύνασθαι ἀναλαβεῖν διεξιόντα σοφίαν
ἀμήχανον ὅσην· ὥστ' ἔγωγε καθάπερ οἱ ποιηταὶ δέομαι ἀρ
χόμενος τῆς διηγήσεως μούσας τε καὶ μνήμην ἐπικαλεῖσθαι·
ἤρξατο δ' οὖν ἐνθένδε ποθὲν ὁ εὐθύδημος ὡς ἐγῷμαι· ὦ
κλεινία· πότεροί εἰσι τῶν ἀνθρώπων οἱ μανθάνοντες· οἱ σο
φοὶ ἢ οἱ ἀμαθεῖς· καὶ τὸ μειράκιον ἅτε μεγάλου ὄντος τοῦ
ἐρωτήματος ἠρυθρίασέν τε καὶ ἀπορήσας ἔβλεπεν εἰς ἐ
μέ· καὶ ἐγὼ γνοὺς αὐτὸν τεθορυβημένον· θάρρει ἦν δ' ἐγὼ ὦ
κλεινία καὶ ἀπόκριναι ἀνδρείως ὁπότερά σοι φαίνεται· ἴσως
γάρ τοι ὠφελεῖ τὴν μεγίστην ὠφέλειαν· καὶ ἐν τούτῳ ὁ διονυ
σόδωρος προσκύψας μοι μικρὸν πρὸς τὸ οὖς πάνυ μειδιάσας
τῷ προσώπῳ· καὶ μὴν ἔφη σοὶ ὦ σώκρατες προλέγω ὅ
τι ὁπότερ' ἂν ἀποκρίνηται τὸ μειράκιον ἐξελεγχθήσεται· καὶ
αὐτοῦ μεταξὺ ταῦτα λέγοντος· ὁ κλεινίας ἔτυχεν ἀποκρινά
μενος· ὥστε οὐδὲ παρακελεύσασθαί μοι ἐξεγένετο εὐλαβηθῆ
ναι τῷ μειρακίῳ· ἀλλ' ἀπεκρίνατο ὅτι οἱ σοφοὶ εἶεν οἱ μανθά
νοντες· καὶ ὁ εὐθύδημος καλεῖς δέ τινας ἔφη διδασκάλους
ἢ οὔ· ὡμολόγει· οὐκοῦν τῶν μανθανόντων οἱ διδάσκαλοι

διδάσκαλοί εἰσιν· ὥσπερ ὁ κιθαριστὴς καὶ ὁ γραμματιστὴς διδά-
σκαλοι δήπου ἦσαν σοῦ καὶ τῶν ἄλλων παίδων. ὑμεῖς δὲ μαθη-
ταί: συνέφη: ἄλλο τι οὖν ἡνίκα ἐμανθάνετε οὔπω ἠπίστα-
σθε ταῦτα ἃ ἐμανθάνετε: οὐκ ἔφη: ἆρ' οὖν σοφοὶ ἦτε ὅτε
ταῦτα οὐκ ἠπίστασθε: οὐ δῆτα ἦ δ' ὅς: οὐκοῦν εἰ μὴ σοφοὶ
ἀμαθεῖς: πάνυ γε: ὑμεῖς ἄρα μανθάνοντες ἃ οὐκ ἠπίστασθε
ἀμαθεῖς ὄντες ἐμανθάνετε: ἐπένευσε τὸ μειράκιον: οἱ ἀμα-
θεῖς ἄρα σοφοὶ μανθάνουσιν ὦ κλεινία ἀλλ' οὐχ οἱ σοφοὶ ὡς
σὺ οἴει: ταῦτ' οὖν εἰπόντος αὐτοῦ ὥσπερ ὑπὸ διδασκάλου
χορὸς ἀποσημήναντος ἅμα ἀνεθορύβησάν τε καὶ ἐγέλα-
σαν οἱ ἑπόμενοι ἐκεῖνοι μετὰ τοῦ διονυσοδώρου τε καὶ εὐθυ-
δήμου· καὶ πρὶν ἀναπνεῦσαι καλῶς τε καὶ εὖ τὸ μειράκιον· ἐκ-
δεξάμενος ὁ διονυσόδωρος· τί δὲ ὦ κλεινία ἔφη ὁπότε
ἀποστοματίζοι ὑμῖν ὁ γραμματιστής· πότεροι ἐμάνθανον τῶν
παίδων τὰ ἀποστοματιζόμενα οἱ σοφοὶ ἢ οἱ ἀμαθεῖς: οἱ
σοφοὶ ἔφη ὁ κλεινίας:. οἱ σοφοὶ ἄρα μανθάνουσιν ἀλλ' οὐχ οἱ ἀ-
μαθεῖς· καὶ οὐκ εὖ σὺ ἄρτι εὐθυδήμῳ ἀπεκρίνω: ἐνταῦθα
δὴ καὶ πάνυ ἐγέλασάν τε καὶ ἐθορύβησαν οἱ ἐρασταὶ τοῖν ἀν-
δροῖν· ἀγασθέντες τῆς σοφίας αὐτοῖν· οἱ δ' ἄλλοι ἡμεῖς ἐκ-
πεπληγμένοι ἐσιωπῶμεν· γνοὺς δὲ ἡμᾶς ὁ εὐθύδημος
ἐκπεπληγμένους· ἵν' ἔτι μᾶλλον θαυμάζοιμεν αὐτὸν οὐκ ἀνίει
τὸ μειράκιον ἀλλ' ἠρώτα· καὶ ὥσπερ οἱ ἀγαθοὶ ὀρχησταὶ διπλᾶ
ἔστρεφε τὰ ἐρωτήματα περὶ τοῦ αὐτοῦ καὶ ἔφη: πότερον γὰρ
οἱ μανθάνοντες μανθάνουσιν ἃ ἐπίστανται ἢ ἃ μὴ ἐπίστανται:
καὶ ὁ διονυσόδωρος πάνυ μικρὸν προσψιθυρίσας καὶ τοῦ-
τ' ἔφη ὦ σώκρατες ἕτερον τοιοῦτον οἷον τὸ πρότερον: ὦ ζεῦ
ἔφην ἐγὼ ἦ μὴν καὶ τὸ πρότερόν γε καλὸν ἡμῖν ἐφάνη τὸ ἐρώ-
τημα: πάντ' ἔφη ὦ σώκρατες τοιαῦτα ἡμεῖς ἐρωτῶμεν ἄφυκτα:
τοιγάρτοι ἦν δ' ἐγὼ δοκεῖτέ μοι εὐδοκιμεῖν παρὰ τοῖς μαθηταῖς:
ἐν δὲ τούτῳ ὁ μὲν κλεινίας τῷ εὐθυδήμῳ ἀπεκρίνατο ὅτι μαν-
θάνοιεν οἱ μανθάνοντες ἃ οὐκ ἐπίσταιντο: ὁ δὲ ἤρετο αὐτὸν διὰ
τῶν αὐτῶν ὧνπερ τὸ πρότερον· τί δὲ ἦ δ' ὅς οὐκ ἐπίστασαι
σὺ γράμματα: ναὶ ἔφη: οὐκοῦν ἅπαντα: ὡμολόγει: ὅ-
ταν οὖν τις ἀποστοματίζῃ ὁτιοῦν οὐ γράμματα ἀποστο-

ματίζει: ὡμολόγει: οὐκοῦν ὧν τι σὺ ἐπίστασαι ἔφη ἀποστομα-
τίζει εἴπερ πάντα ἐπίστασαι: καὶ τοῦτο ὡμολόγει: τί οὖν ἦ δ' ὅς·
ἆρα σὺ μανθάνεις ἅττ' ἂν ἀποστοματίζῃ τις· ὁ δὲ μὴ ἐπιστάμε-
νος γράμματα μανθάνει: οὐ καὶ μὴν ἦ δ' ὅς μανθάνω: οὐκοῦν
ἃ ἐπίστασαι ἔφη μανθάνεις εἴπερ γε ἅπαντα τὰ γράμματα
ἐπίστασαι: ὡμολόγησεν: οὐκ ἄρα ὀρθῶς ἀπεκρίνω ἔφη· καὶ
οὔπω σφόδρα τι ταῦτα εἴρητο τῷ εὐθυδήμῳ· καὶ ὁ διονυσό-
δωρος ὥσπερ σφαῖραν ἐκδεξάμενος τὸν λόγον πάλιν ἐστο-
χάζετο τοῦ μειρακίου καὶ εἶπεν: ἐξαπατᾷ σε εὐθύδημος ὦ
κλεινία· εἰπὲ γάρ μοι· τὸ μανθάνειν οὐκ ἐπιστήμην ἐστὶ λαμβάνειν
τούτου οὗ ἄν τις μανθάνῃ: ὡμολόγει ὁ κλεινίας: τὸ δ' ἐπίστα-
σθαι ἦ δ' ὅς ἄλλο τι ἢ ἔχειν ἐπιστήμην ἤδη ἐστίν: συνέφη: τὸ ἄ-
ρα μὴ ἐπίστασθαι μή πω ἔχειν ἐπιστήμην ἔχειν: ὡμολόγει αὐ-
τῷ: πότερον οὖν εἰσιν οἱ λαμβάνοντες ὅτι οὖν οἱ ἔχοντες ἤδη
ἢ οἳ ἂν μή: οἳ ἂν μὴ ἔχωσιν: οὐκοῦν ὡμολόγηκας εἶναι τού-
των καὶ τοὺς μὴ ἐπισταμένους τῶν μὴ ἐχόντων: κατένευσε:
τῶν λαμβανόντων ἄρ' εἰσὶν οἱ μανθάνοντες ἀλλ' οὐ τῶν ἐχόντων:
συνέφη: οἱ μὴ ἐπιστάμενοι ἄρα ἔφη μανθάνουσιν ὦ κλεινία ἀλλ'
οὐχ οἱ ἐπιστάμενοι: ἔτι δὴ ἐπὶ τὸ τρίτον καταβαλῶν ὥσπερ πά-
λαισμα ὥρμα ὁ εὐθύδημος τὸν νεανίσκον· καὶ ἐγὼ γνοὺς βαπ-
τιζόμενον τὸ μειράκιον βουλόμενος ἀναπαῦσαι αὐτὸ μὴ ἡ-
μῖν ἀποδειλιάσειε παραμυθούμενος εἶπον: ὦ κλεινία μὴ
θαύμαζε εἴ σοι φαίνονται ἀήθεις οἱ λόγοι· ἴσως γὰρ οὐκ αἰσθά-
νῃ οἷον ποιεῖτον τὼ ξένω περὶ σέ· ποιεῖτον δὲ ταὐτὸν ὅπερ
οἱ ἐν τῇ τελετῇ τῶν κορυβάντων ὅταν τὴν θρόνωσιν ποιῶσιν
περὶ τοῦτον ὃν ἂν μέλλωσι τελεῖν· καὶ γὰρ ἐκεῖ χορεία τίς ἐστι
καὶ παιδιά εἰ ἄρα καὶ τετέλεσαι· καὶ νῦν τούτω οὐδὲν ἄλλο ἢ χο-
ρεύετον περὶ σὲ καὶ οἷον ὀρχεῖσθον παίζοντε ὡς μετὰ τοῦτο
τελοῦντε· νῦν οὖν νόμισον τὰ πρῶτα τῶν ἱερῶν ἀκούειν τῶν
σοφιστικῶν· πρῶτον γάρ ὥς φησι πρόδικος περὶ ὀνομάτων
ὀρθότητος μαθεῖν δεῖ· ὃ δὴ καὶ ἐνδείκνυσθόν σοι τὼ ξένω ὅτι
οὐκ ᾔδησθα τὸ μανθάνειν· ὅτι οἱ ἄνθρωποι καλοῦσι μὲν ἐπὶ τῷ
τοιῷδε ὅταν τις ἐξ ἀρχῆς μηδεμίαν ἔχων ἐπιστήμην περὶ πρά-
γματός τινος· ἔπειτα ὕστερον αὐτοῦ λαμβάνῃ τὴν ἐπιστήμην·

καλοῦσι δὲ ταὐτὸ τοῦτο καὶ ἐπειδὰν ἔχων ἤδη τὴν ἐπιστήμην τῇ
τῇ ἐπιστήμῃ ταὐτὸν τοῦτο πρᾶγμα ἐπισκοπῇ ἢ πραττόμε-
νον ἢ λεγόμενον· μᾶλλον μὲν αὐτὸ συνιέναι καλοῦσιν ἢ μανθάνειν·
ἔστι δ' ὅτε καὶ μανθάνειν· σὺ δὲ τοῦτο ὡς οὗτοι ἐνδείκνυνται δια-
λέληθεν ταὐτὸ ὄνομα ἐπ' ἀνθρώποις ἐναντίως ἔχουσιν κείμε-
νον· τοῖς τε εἰδόσι καὶ τοῖς μή· παραπλήσιον δὲ τούτῳ καὶ τὸ
ἐν τῷ δευτέρῳ ἐρωτήματι ἐν ᾧ ἠρώτων σε πότερα μανθάνου-
σιν οἱ ἄνθρωποι ἃ ἐπίστανται ἢ ἃ μή· ταῦτα δὴ τῶν μαθημά-
των παιδιά ἐστιν· διὸ καὶ φημὶ ἐγώ σοι τούτους προσπαίζειν·
παιδιὰν δὲ λέγω διὰ ταῦτα ὅτι εἰ καὶ πολλά τις ἢ καὶ πάντα
τὰ τοιαῦτα μάθοι· τὰ μὲν πράγματα οὐδὲν ἂν μᾶλλον εἰδείη
πῇ ἔχει· προσπαίζειν δὲ οἷός τ' ἂν εἴη τοῖς ἀνθρώποις διὰ
τὴν τῶν ὀνομάτων διαφορὰν ὑποσκελίζων καὶ ἀνατρέπων·
ὥσπερ οἱ τὰ σκολύθρια τῶν μελλόντων καθιζήσεσθαι ὑπο-
σπῶντες χαίρουσι καὶ γελῶσιν ἐπειδὰν ἴδωσιν ὕπτιον ἀνα-
τετραμμένον· ταῦτα μὲν οὖν σοι παρὰ τούτων νόμιζε παιδιὰν
γεγονέναι· τὸ δὲ μετὰ ταῦτα δῆλον ὅτι τούτω γέ σοι αὐτὼ τὰ
σπουδαῖα ἐνδείξεσθον· καὶ ἐγὼ ὑφηγήσομαι αὐτοῖν ἵνα μοι ὃ
ὑπέσχοντο ἀποδῶσιν· ἐφάτην γὰρ ἐπιδείξασθαι τὴν προ-
τρεπτικὴν σοφίαν· νῦν δέ μοι δοκεῖ δεῖν ᾠήθητην πρότερον
δεῖν παῖσαι πρὸς σέ· ταῦτα μὲν οὖν ὦ εὐθύδημέ τε καὶ διονυ-
σόδωρε πεπαίσθω τε ὑμῖν καὶ ἴσως ἱκανῶς ἔχει· τὸ δὲ δὴ
μετὰ ταῦτα ἐπιδείξατον προτρέποντε τὸ μειράκιον ὅπως
χρὴ σοφίας τε καὶ ἀρετῆς ἐπιμεληθῆναι· πρότερον δ' ἐγὼ
σφῷν ἐνδείξομαι οἷον αὐτὸ ὑπολαμβάνω καὶ οἵου αὐτοῦ ἐπι-
θυμῶ ἀκοῦσαι· ἐὰν οὖν δόξω ὑμῖν ἰδιωτικῶς τε καὶ γελοί-
ως αὐτὸ ποιεῖν· μή μου καταγελᾶτε· ὑπὸ προθυμίας γὰρ
τοῦ ἀκοῦσαι τῆς ὑμετέρας σοφίας τολμήσω ἀπαυτοσχε-
διάσαι ἐναντίον ὑμῶν· ἀνασχέσθον οὖν ἀγελαστὶ ἀκούοντες
αὐτοί τε καὶ οἱ μαθηταὶ ὑμῶν· σὺ δέ μοι ὦ παῖ ἀξιόχου ἀπό-
κριναι· ἆρά γε πάντες ἄνθρωποι βουλόμεθα εὖ πράττειν; ἢ
τοῦτο μὲν ἐρώτημα ὧν νῦν δὴ ἐφοβούμην ἓν τῶν καταγελά-
στων· ἀνόητον γὰρ δήπου καὶ τὸ ἐρωτᾶν τὰ τοιαῦτα· τίς γὰρ
οὐ βούλεται εὖ πράττειν; οὐδεὶς ὅστις οὐκ ἔφη ὁ κλεινίας:

εἶεν ἦν δ' ἐγώ· τὸ δὴ μετὰ τοῦτο ἐπειδὴ βουλόμεθα εὖ πράττειν·
πῶς ἂν εὖ πράττοιμεν· ἆρ' ἂν εἰ ἡμῖν πολλὰ κἀγαθὰ εἴη· ἢ τοῦτο
εὐηθέστερον ἐκείνου· δῆλον γάρ που καὶ τοῦτο ὅτι οὕτως
ἔχει: συνέφη: φέρε δή· ἀγαθὰ δὲ ποῖα ἄρα τῶν ὄντων τυγ-
χάνει ἡμῖν ὄντα· ἢ οὐ χαλεπὸν οὐδὲ σεμνοῦ ἀνδρὸς πάνυ τι οὐδὲ
τοῦτο ἔοικεν εἶναι εὑρεῖν· πᾶς γὰρ ἂν ἡμῖν εἴποι ὅτι τὸ πλουτεῖν
ἀγαθόν· ἦ γάρ: πάνυ γ' ἔφη: οὐκοῦν καὶ τὸ ὑγιαίνειν καὶ τὸ καλὸν
εἶναι καὶ τἆλλα κατὰ τὸ σῶμα ἱκανῶς παρεσκευάσθαι: συνε-
δόκει: ἀλλὰ μὴν εὐγένειαί τε καὶ δυνάμεις καὶ τιμαὶ ἐν τῇ ἑαυτοῦ
δῆλά ἐστιν ἀγαθὰ ὄντα: ὡμολόγει: τί οὖν ἔφην ἔτι ἡμῖν λείπε-
ται τῶν ἀγαθῶν· τί ἄρα ἐστὶ τὸ σώφρονά τε εἶναι καὶ δίκαιον καὶ
ἀνδρεῖον· πότερον πρὸς Διὸς ὦ Κλεινία ἡγεῖ σὺ ἐὰν ταῦτα τι-
θῶμεν ὡς ἀγαθὰ ὀρθῶς ἡμᾶς θήσειν ἢ ἐὰν μή: ἴσως γὰρ
ἄν τις ἡμῖν ἀμφισβητήσειεν· σοὶ δὲ πῶς δοκεῖ: ἀγαθά ἔφη
ὁ Κλεινίας: εἶεν ἦν δ' ἐγώ· τὴν δὲ σοφίαν ποῦ χοροῦ τάξομεν·
ἐν τοῖς ἀγαθοῖς ἢ πῶς λέγεις: ἐν τοῖς ἀγαθοῖς: ἐνθυμοῦ
δὴ μή τι παραλείπομεν τῶν ἀγαθῶν ὅτι καὶ ἄξιον λόγου: ἀλ-
λά μοι δοκοῦμεν ἔφη οὐδὲν ὁ Κλεινίας: καὶ ἐγὼ ἀναμνησθεὶς
εἶπον ὅτι ναὶ μὰ Δία κινδυνεύομέν γε τὸ μέγιστον τῶν ἀγαθῶν πα-
ραλιπεῖν: τί τοῦτο ἦ δ' ὅς: τὴν εὐτυχίαν ὦ Κλεινία ὃ πάντες φα-
σὶ καὶ οἱ πάνυ φαῦλοι μέγιστον τῶν ἀγαθῶν εἶναι: ἀληθῆ λέγεις
ἔφη: καὶ ἐγὼ αὖ πάλιν μεταβουλευσάμενος εἶπον ὅτι ὀλίγου καταγέ-
λαστοι ἐγενόμεθα ὑπὸ τῶν ξένων ἐγώ τε καὶ σὺ ὦ παῖ Ἀξιόχου:
τί δὴ ἔφη τοῦτο: ὅτι εὐτυχίαν ἐν τοῖς ἔμπροσθεν θέμενοι νῦν
δὴ αὖθις περὶ τοῦ αὐτοῦ ἐλέγομεν: τί οὖν δὴ τοῦτο: καταγέ-
λαστον δήπου ὃ πάλαι πρόκειται τοῦτο πάλιν προτιθέναι καὶ δὶς
ταὐτὰ λέγειν: πῶς ἔφη τοῦτο λέγεις: ἡ σοφία δήπου ἦν
δ' ἐγὼ εὐτυχία ἐστίν· τοῦτο δὲ κἂν παῖς γνοίη: καὶ ὃς ἐθαύμα-
σεν· οὕτως ἔτι νέος τε καὶ εὐήθης ἐστί· κἀγὼ γνοὺς αὐτὸν θαυ-
μάζοντα ἆρ' οὐκ οἶσθα ἔφην ὦ Κλεινία ὅτι περὶ αὐλημάτων
εὐπραγίαν οἱ αὐληταί εἰσιν εὐτυχέστατοι: συνέφη: οὐκοῦν ἦν
δ' ἐγὼ καὶ περὶ γραμμάτων γραφῆς τε καὶ ἀναγνώσεως οἱ
γραμματισταί: πάνυ γε: τί δὲ πρὸς τοὺς τῆς θαλάττης κινδύνους
μῶν οἴει εὐτυχεστέρους τινὰς εἶναι τῶν σοφῶν κυβερ-

μὴ τῶν ὡς ἐπὶ πᾶν εἰπεῖν· οὐ δῆτα· τί δὲ στρατευόμενος μετὰ
ποτέρου ἂν ἥδιον τοῦ κινδύνου τε καὶ τῆς τύχης μετέχοις· μετὰ
σοφοῦ στρατηγοῦ ἢ μετὰ ἀμαθοῦς· μετὰ σοφοῦ· τί δὲ ἀσθενῶν
μετὰ ποτέρου ἂν ἡδέως κινδυνεύοις· μετὰ σοφοῦ ἰατροῦ ἢ μετὰ
ἀμαθοῦς· μετὰ σοφοῦ· ἆρ' οὖν ἦν δ' ἐγὼ ὅτι εὐτυχέστερον ἂν οἴει
πράττειν μετὰ σοφοῦ πράττων ἢ μετὰ ἀμαθοῦς· συνεχώρει·
ἡ σοφία ἄρα πανταχοῦ εὐτυχεῖν ποιεῖ τοὺς ἀνθρώπους· οὐ
γὰρ δήπου ἁμαρτάνοι γ' ἄν ποτέ τις σοφία· ἀλλ' ἀνάγκη ὀρθῶς
πράττειν καὶ τυγχάνειν· ἦ γὰρ ἂν οὐκέτι σοφία εἴη· συνωμο
λογησάμεθα τελευτῶντες οὐκ οἶδ' ὅπως ἐν κεφαλαίῳ οὕτω
τοῦτο ἔχειν σοφίας παρούσης ᾧ ἂν παρῇ μηδὲν προσδεῖσθαι
εὐτυχίας· ἐπειδὴ δὲ τοῦτο συνωμολογησάμεθα πάλιν ἐπυνθα
νόμην αὐτοῦ τὰ πρότερον ὡμολογημένα πῶς ἂν ἡμῖν ἔχοι·
ὡμολογήσαμεν γὰρ ἔφην εἰ ἡμῖν ἀγαθὰ πολλὰ παρείη εὐδαι
μονεῖν ἂν καὶ εὖ πράττειν· συνέφη· ἆρ' οὖν εὐδαιμονοῖμεν ἂν διὰ
τὰ παρόντα ἀγαθὰ εἰ μηδὲν ἡμᾶς ὠφελοῖ ἢ εἰ ὠφελοῖ· εἰ ὠ
φελοῖ ἔφη· ἆρ' οὖν ἄν τι ὠφελοῖ εἰ εἴη μόνον ἡμῖν χρώμεθα δὲ αὐ
τοῖς μή· οἷον σιτία εἰ ἡμῖν εἴη πολλὰ ἐσθίοιμεν δὲ μή· ἢ ποτὸν
πίνοιμεν δὲ μή· ἔσθ' ὅτι ὠφελοίμεθ' ἄν· οὐ δῆτα ἔφη· τί δέ·
οἱ δημιουργοὶ πάντες εἰ αὐτοῖς εἴη πάντα τὰ ἐπιτήδεια παρε
σκευασμένα ἑκάστῳ εἰς τὸ ἑαυτοῦ ἔργον χρῷντο δὲ αὐτοῖς μή·
ἆρ' οὗτοι εὖ πράττοιεν διὰ τὴν κτῆσιν ὅτι κεκτημένοι εἶεν πάντα
ἃ δεῖ κεκτῆσθαι τὸν δημιουργόν· οἷον τέκτων εἰ παρεσκευασμέ
νος εἴη τά τε ὄργανα ἅπαντα καὶ ξύλα ἱκανὰ τεκταίνοιτο δὲ
μή· ἔσθ' ὅτι ὠφελοῖτ' ἂν ἀπὸ τῆς κτήσεως· οὐδαμῶς ἔφη·
τί δὲ εἴ τις κεκτημένος εἴη πλοῦτόν τε καὶ ἃ νῦν δὴ ἐλέγομεν πάν
τα τὰ ἀγαθὰ χρῷτο δὲ αὐτοῖς μή· ἆρ' ἂν εὐδαιμονοῖ διὰ τὴν τού
των κτῆσιν τῶν ἀγαθῶν· οὐ δῆτα ὦ σώκρατες· δεῖ ἄρα ἔ
φην ὡς ἔοικε μὴ μόνον κεκτῆσθαι τὰ τοιαῦτα ἀγαθὰ τὸν μέλ
λοντα εὐδαίμονα ἔσεσθαι· ἀλλὰ καὶ χρῆσθαι αὐτοῖς· ὡς οὐδὲν
ὄφελος τῆς κτήσεως γίγνεται· ἀληθῆ λέγεις· ἆρ' οὖν
ὦ κλεινία ἤδη τοῦτο ἱκανὸν πρὸς τὸ εὐδαίμονα ποιῆσαί τινα
τό τε κεκτῆσθαι τἀγαθὰ καὶ τὸ χρῆσθαι αὐτοῖς· ἔμοιγε δο
κεῖ· πότερον ἦν δ' ἐγὼ ἐὰν ὀρθῶς χρῆταί τις ἢ καὶ ἐὰν μή·

ἐᾶν ὀρθῶς: καλῶς δὲ ἦν δ' ἐγὼ λέγεις· πλέον γάρ που οἶμαι
θάτερόν ἐστιν ἐάν τις χρῆται ὅτῳ οὖν μὴ ὀρθῶς πράγματι
ἢ ἐὰν ἐᾷ· τὸ μὲν γὰρ κακόν, τὸ δὲ οὔτε κακὸν οὔτε ἀγαθόν· ἢ
οὐχ οὕτω φαμέν: συνεχώρει: τί οὖν ἐν τῇ ἐργασίᾳ τε καὶ
χρήσει τῇ περὶ τὰ ξύλα μῶν ἄλλο τί ἐστιν τὸ ἀπεργαζόμενον ὀρ
θῶς χρῆσθαι ἢ ἐπιστήμη ἡ τεκτονική: οὐ δῆτα ἔφη: ἀλλὰ
μήν που καὶ ἐν τῇ περὶ τὰ σκεύη ἐργασίᾳ τὸ ὀρθῶς ἐπιστήμη
ἐστὶν ἡ ἀπεργαζομένη: συνέφη: ἆρ' οὖν ἦν δ' ἐγὼ καὶ περὶ
τὴν χρείαν ὧν ἐλέγομεν τὸ πρῶτον τῶν ἀγαθῶν πλούτου τε
καὶ ὑγιείας καὶ κάλλους τὸ ὀρθῶς πᾶσι τοῖς τοιούτοις χρῆ
σθαι ἐπιστήμη ἦν ἡγουμένη καὶ κατορθοῦσα τὴν πρᾶξιν ἢ
ἄλλο τι: ἐπιστήμη ἦ δ' ὅς: οὐ μόνον ἄρα εὐτυχίαν ἀλλὰ καὶ εὐ
πραγίαν ὡς ἔοικεν ἡ ἐπιστήμη παρέχει ἐν πάσῃ κτήσει τε καὶ
πράξει: ὡμολόγει: ἆρ' οὖν ὦ πρὸς Διὸς ἦν δ' ἐγὼ ὄφε
λός τι τῶν ἄλλων κτημάτων ἄνευ φρονήσεως καὶ σοφίας· ἆρα
γε ἂν ὄναιτο ἄνθρωπος πολλὰ κεκτημένος καὶ πολλὰ
πράττων νοῦν μὴ ἔχων ἢ μᾶλλον ὀλίγα νοῦν ἔχων· ὧδε δὲ
σκόπει· οὐκ ἐλάττω πράττων ἐλάττω ἂν ἐξαμαρτάνοι· ἐ
λάττω δὲ ἁμαρτάνων ἧττον ἂν κακῶς πράττοι· ἧττον δὲ κα
κῶς πράττων ἄθλιος ἧττον ἂν εἴη: πάνυ γ' ἔφη: πότε
ρον οὖν μᾶλλον ἐλάττω τις πράττοι πένης ὢν ἢ πλούσιος:
πένης ἔφη: πότερον δὲ ἀσθενὴς ἢ ἰσχυρός: ἀσθενής:
πότερον δὲ ἔντιμος ἢ ἄτιμος: ἄτιμος: πότερον δὲ ἀν
δρεῖος ὢν καὶ σώφρων ἐλάττω ἂν πράττοι ἢ δειλός: δει
λός: οὐκοῦν καὶ ἀργὸς μᾶλλον ἢ ἐργάτης: συνεχώρει:
καὶ βραδὺς μᾶλλον ἢ ταχὺς καὶ ἀμυδρὸν ὁρῶν καὶ ἀκούων μᾶλ
λον ἢ ὀξύ: πάντα τὰ τοιαῦτα ξυνεχωροῦμεν ἀλλήλοις:
ἐν κεφαλαίῳ δ' ἔφην ὦ κλεινία κινδυνεύει σύμπαντα ἃ τὸ
πρῶτον ἔφαμεν ἀγαθὰ εἶναι οὐ περὶ τούτου ὁ λόγος αὐ
τοῖς εἶναι ὅπως αὐτά γε καθ' αὑτὰ πέφυκεν ἀγαθά· ἀλλ'
ὡς ἔοικεν ὧδ' ἔχει· ἐὰν μὲν αὐτῶν ἡγῆται ἀμαθία μείζω
κακὰ εἶναι τῶν ἐναντίων ὅσῳ δυνατώτερα ὑπηρετεῖν τῷ
ἡγουμένῳ κακῷ ὄντι· ἐὰν δὲ φρόνησίς τε καὶ σοφία μείζω
ἀγαθά· αὐτὰ δὲ καθ' αὑτὰ οὐδέτερα αὐτῶν οὐδενὸς ἄξια

εἶναι· φαίνεται ἔφη ὡς ἔοικεν οὕτως ὡς σὺ λέγεις· τί οὖν ἡ-
μῖν συμβαίνει ἐκ τῶν εἰρημένων ἄλλο τι ἢ τῶν μὲν ἄλλων οὐδὲν
ὂν οὔτε ἀγαθὸν οὔτε κακόν· τούτοιν δὲ δυοῖν ὄντοιν ἡ μὲν σοφία
ἀγαθόν ἡ δὲ ἀμαθία κακόν· ὡμολόγει· ἔτι τοίνυν ἔφην τὸ
λοιπὸν ἐπισκεψώμεθα· ἐπειδὴ εὐδαίμονες μὲν εἶναι προθυ-
μούμεθα πάντες· ἐφάνημεν δὲ τοιοῦτοι γιγνόμενοι ἐκ τοῦ χρῆ-
σθαί τε τοῖς πράγμασιν καὶ ὀρθῶς χρῆσθαι· τὴν δὲ ὀρθότη-
τα καὶ εὐτυχίαν ἐπιστήμη ἦν ἡ παρέχουσα· δεῖ δή ὡς ἔοικεν ἐκ
παντὸς τρόπου ἅπαντα ἄνδρα τοῦτο παρασκευάζεσθαι ὅ-
πως ὡς σοφώτατος ἔσται· ἢ οὔ· ναὶ ἔφη· καὶ παρὰ πατρός
γε δήπου τοῦτο οἰόμενον δεῖν παραλαμβάνειν πολὺ μᾶλλον ἢ
χρήματα· καὶ παρ' ἐπιτρόπων καὶ φίλων τῶν τε ἄλλων καὶ τῶν
φασκόντων ἐραστῶν εἶναι καὶ ξένων καὶ πολιτῶν δεόμενον καὶ
ἱκετεύοντα σοφίας μεταδιδόναι· οὐδὲν αἰσχρὸν ὦ κλεινία οὐ-
δὲ νεμεσητὸν ἕνεκα τούτου ὑπηρετεῖν καὶ δουλεύειν καὶ ἐ-
ραστῇ καὶ παντὶ ἀνθρώπῳ ὁτιοῦν ἐθέλοντα ὑπηρετεῖν τῶν
καλῶν ὑπηρετημάτων προθυμούμενον σοφὸν γενέσθαι· ἢ
οὐ δοκεῖ σοι ἔφην ἐγὼ οὕτως· πάνυ μὲν οὖν εὖ μοι δοκεῖς
λέγειν ἦ δ' ὅς· εἰ ἔστιν γε ὦ κλεινία ἦν δ' ἐγὼ ἡ σοφία διδακτόν
ἀλλὰ μὴ ἀπὸ ταὐτομάτου παραγίγνεται τοῖς ἀνθρώποις·
τοῦτο γὰρ ἡμῖν ἔτι ἄσκεπτον καὶ οὔπω διωμολογημένον ἐμοί τε
καὶ σοί· ἀλλ' ἔμοιγε ἔφη ὦ σώκρατες διδακτὸν εἶναι δοκεῖ·
καὶ ἐγὼ ἡσθεὶς εἶπον· ἦ καλῶς λέγεις ὦ ἄριστε ἀνδρῶν καὶ εὖ
ἐποίησας ἀπαλλάξας με σκέψεως πολλῆς περὶ τούτου αὐ-
τοῦ πότερον διδακτὸν ἢ οὐ διδακτὸν ἡ σοφία· νῦν οὖν ἐπει-
δή σοι καὶ διδακτὸν δοκεῖ καὶ μόνον τῶν ὄντων εὐδαίμονα καὶ εὐ-
τυχῆ ποιεῖν τὸν ἄνθρωπον ἄλλο τι ἢ φαίης ἂν ἀναγκαῖον εἶ-
ναι φιλοσοφεῖν καὶ αὐτὸς ἐν νῷ ἔχεις αὐτὸ ποιεῖν· πάνυ
μὲν οὖν ἔφη ὦ σώκρατες ὡς οἷόν τε μάλιστα· κἀγὼ ταῦτα
ἄσμενος ἀκούσας· τὸ μὲν ἐμόν ἔφην παράδειγμα ὦ διο-
νυσόδωρέ τε καὶ εὐθύδημε οἷον ἐπιθυμῶ τῶν προτρεπτικῶν
λόγων εἶναι τοιοῦτον ἰδιωτικὸν ἴσως καὶ μόλις διὰ μακρῶν
λεγόμενον· σφῷν δὲ ὁπότερος βούλεται ταὐτὸν τοῦτο τέ-
χνῃ πράττων ἐπιδειξάτω ἡμῖν· εἰ δὲ μὴ τοῦτο βούλεσθον

ὅθεν ἐγὼ ἀπέλιπον· τὸ ἑξῆς ἐπιδεῖξαι αὐτὸν τῷ μειρακίῳ·
πότερον πάσας ἐπιστήμας δεῖ αὐτὸν κτᾶσθαι· ἢ ἔστι τις μία ἣν
δεῖ λαβόντα εὐδαιμονεῖν τε καὶ ἀγαθὸν ἄνδρα εἶναι· καὶ τίς
αὕτη· ὡς γὰρ ἔλεγον ἀρχόμενος περὶ πολλοῦ ἡμῖν τυγχάνει
ὄν· τόνδε τὸν νεανίσκον σοφόν τε καὶ ἀγαθὸν γενέσθαι: ἐγὼ
μὲν οὖν ταῦτα εἶπον ὦ κρίτων· τῷ δὲ μετὰ τοῦτο ἐσομένῳ πάνυ
σφόδρα προσεῖχον τὸν νοῦν καὶ ἐπεσκόπουν τίνα ποτὲ τρόπον
ἅψοιντο τοῦ λόγου· καὶ ὁπόθεν ἄρξοιντο παρακελευόμενοι τῷ
νεανίσκῳ σοφίαν τε καὶ ἀρετὴν ἀσκεῖν: ὁ οὖν πρεσβύτερος αὐ-
τῶν ὁ διονυσόδωρος πρότερος ἤρχετο τοῦ λόγου· καὶ ἡμεῖς πάν-
τες ἐβλέπομεν πρὸς αὐτὸν ὡς αὐτίκα μάλα ἀκουσόμενοι θαυ-
μασίους τινὰς λόγους· ὅπερ οὖν καὶ συνέβη ἡμῖν· θαυμαστὸν
γάρ τινα ὦ κρίτων ἀνὴρ κατῆρχε λόγον· οὗ σοὶ ἄξιον ἀκοῦσαι
ὡς παρακελευστικὸς ὁ λόγος ἦν ἐπ' ἀρετήν: εἰπέ μοι ἔφη ὦ σώ-
κρατές τε καὶ ὑμεῖς οἱ ἄλλοι ὅσοι φατὲ ἐπιθυμεῖν τόνδε τὸν νεανί-
σκον σοφὸν γενέσθαι· πότερον παίζετε ταῦτα λέγοντες· ἢ
ὡς ἀληθῶς ἐπιθυμεῖτέ τε καὶ σπουδάζετε: κἀγὼ διενοήθην
ὅτι ᾠήθητην ἄρα ἡμᾶς τὸ πρότερον παίζειν ἡνίκα ἐκελεύ-
ομεν διαλεχθῆναι τῷ νεανίσκῳ αὐτὼ· καὶ διὰ ταῦτα προσε-
παισάτην τε καὶ οὐκ ἐσπουδασάτην· ταῦτ' οὖν διανοηθεὶς
ἔτι μᾶλλον εἶπον ὅτι θαυμαστῶς σπουδάζοιμεν: καὶ ὁ διονυσό-
δωρος σκόπει μὴν ἔφη ὦ σώκρατες ὅπως μὴ ἔξαρνος ἔσῃ
ἃ νῦν λέγεις: ἔσκεμμαι ἦν δ' ἐγώ· οὐ γὰρ μή ποτ' ἔξαρνος γέ-
νωμαι: τί οὖν ἔφη φατὲ βούλεσθαι αὐτὸν σοφὸν γενέσθαι: πά-
νυ μὲν οὖν: νῦν δὲ ἦ δ' ὅς κλεινίας πότερον σοφός ἐστιν ἢ οὔ:
οὔκουν φησί γέ πω· ἔστιν δὲ οὐκ ἀλαζών: ὑμεῖς δὲ ἔφη βούλε-
σθε γενέσθαι αὐτὸν σοφὸν ἀμαθῆ δὲ μὴ εἶναι: ὡμολογοῦμεν:
οὐκοῦν ὃς μὲν οὐκ ἔστιν βούλεσθε αὐτὸν γενέσθαι ὃς δ' ἔστι νῦν μη-
κέτι εἶναι: καὶ ἐγὼ ἀκούσας ἐθορυβήθην· ὁ δέ μου θορυβου-
μένου ὑπολαβών· ἄλλο τι οὖν ἔφη ἐπεὶ βούλεσθε αὐτὸν ὃς νῦν
ἐστὶ μηκέτι εἶναι βούλεσθε αὐτὸν ὡς ἔοικεν ἀπολωλέναι· καίτοι
πολλοῦ ἂν ἄξιοι οἱ τοιοῦτοι εἶεν φίλοι τε καὶ ἐρασταὶ οἵτινες τὰ
παιδικὰ περὶ παντὸς ἂν ποιήσαιντο ἐξολωλέναι: καὶ ὁ κτή-
σιππος ἀκούσας ἠγανάκτησέν τε καὶ ὑπὲρ τῶν παιδικῶν καὶ

εἰπεῖν· ὦ ξένε θούριε εἰ μὴ ἀγροικότερον ἔφη ἦν εἰπεῖν· εἶπον
ἄν σοι εἰς κεφαλὴν ὅτι μαθὼν ἐμοῦ καὶ τῶν ἄλλων καταψεύδῃ τοιοῦτο
πρᾶγμα· ὃ ἐγὼ οἶμαι οὐδ' ὅσιον εἶναι λέγειν ὡς ἐγὼ τόνδε βουλοί
μην ἂν ἐξολωλέναι· τί δέ ἔφη ὦ κτήσιππε ὁ εὐθύδημος ἢ δοκεῖ
σοι οἷόν τ' εἶναι ψεύδεσθαι· νὴ δία ἔφη εἰ μὴ μαίνομαί γε· πότερον
λέγοντα τὸ πρᾶγμα περὶ οὗ ἂν ὁ λόγος ἦι· ἢ μὴ λέγοντα· λέ
γοντα ἔφη· οὐκοῦν εἴπερ λέγει αὐτὸ οὐκ ἄλλο λέγει τῶν ὄντων
ἢ ἐκεῖνο ὅπερ λέγει· πῶς γὰρ ἂν ἔφη ὁ κτήσιππος· ἓν μὴν
κἀκεῖνό γ' ἐστὶ τῶν ὄντων ὃ λέγει χωρὶς τῶν ἄλλων· πάνυ γε· οὐκοῦν
ὁ ἐκεῖνο λέγων τὸ ὂν ἔφη λέγει· ναί· ἀλλὰ μὴν ὅ γε τὸ ὂν λέγων
καὶ τὰ ὄντα τἀληθῆ λέγει· ὥστε ὁ διονυσόδωρος εἴπερ λέγει τὰ
ὄντα· λέγει τἀληθῆ καὶ οὐδὲν κατὰ σοῦ ψεύδεται· ναί ἔφη· ἀλλ' ὁ
ταῦτα λέγων ἔφη ὁ κτήσιππος ὦ εὐθύδημε οὐ τὰ ὄντα λέγει·
καὶ ὁ εὐθύδημος· τὰ δὲ μὴ ὄντα ἔφη ἄλλο τι ἢ οὐκ ἔστιν· οὐκ ἔστιν·
ἄλλο τι οὖν οὐδαμοῦ τά γε μὴ ὄντα ὄντα ἐστίν· οὐδαμοῦ· ἔστιν ὅπως
περὶ ταῦτα τὰ μὴ ὄντα πράξειεν ἄν τίς τι ὥστε ἐκεῖνα ποιή
σειεν ἂν καὶ ὁστισοῦν τὰ μηδαμοῦ ὄντα· οὐκ ἔμοιγε δοκεῖ ἔφη
ὁ κτήσιππος· τί οὖν οἱ ῥήτορες ὅταν λέγωσιν ἐν τῷ δήμῳ οὐ
δὲν πράττουσι· πράττουσι μὲν οὖν ἦ δ' ὅς· οὐκοῦν εἴπερ
πράττουσι καὶ ποιοῦσι· ναί· τὸ λέγειν ἄρα πράττειν τε καὶ
ποιεῖν ἐστίν· ὡμολόγησεν· οὐκ ἄρα τά γε μὴ ὄντα ἔφη λέγει
οὐδείς· ποιοῖ γὰρ ἂν ἤδη τι· σὺ δὲ ὡμολόγηκας τὸ μὴ ὂν μὴ
οἷόν τ' εἶναι μηδένα ποιεῖν· ὥστε κατὰ τὸν σὸν λόγον οὐδεὶς ψευδῆ λέγει·
ἀλλ' εἴπερ λέγει διονυσόδωρος τἀληθῆ τε καὶ τὰ ὄντα λέγει·
νὴ δία ἔφη ὁ κτήσιππος ὦ εὐθύδημε· ἀλλὰ τὰ ὄντα μὲν τρόπον
τινὰ λέγει· οὐ μέντοι ὥς γε ἔχει· πῶς λέγεις ἔφη ὁ διονυσό
δωρος ὦ κτήσιππε· εἰσὶν γάρ τινες οἳ λέγουσι τὰ πράγματα
ὡς ἔχει· εἰσὶν μέντοι ἔφη οἱ καλοί τε κἀγαθοὶ καὶ οἱ τἀληθῆ
λέγοντες· τί οὖν ἦ δ' ὅς· τἀγαθὰ οὐκ εὖ ἔφη ἔχει· τὰ δὲ κα
κὰ κακῶς· συνεχώρει· τοὺς δὲ καλούς τε καὶ ἀγαθοὺς ὁμο
λογεῖς λέγειν ὡς ἔχει τὰ πράγματα· ὁμολογῶ· κακῶς ἄρα
ἔφη λέγουσιν ὦ κτήσιππε οἱ ἀγαθοὶ τὰ κακὰ εἴπερ ὡς ἔχει
λέγουσιν· ναὶ μὰ δία ἦ δ' ὅς σφόδρα γε· τοὺς γοῦν κακοὺς
ἀνθρώπους ὧν σὺ ἐάν μοι πείθῃ φυλάξει εἶναι ἵνα μή σε οἱ

ἀγαθοὶ κακῶς λέγουσιν. ὥστ' εὖ ἴσθ' ὅτι κακῶς λέγουσιν οἱ ἀγα-
θοὶ τοὺς κακούς: καὶ τοὺς μεγάλους ἔφη ὁ εὐθύδημος μεγά-
λως λέγουσι καὶ τοὺς θερμοὺς θερμῶς: μάλιστα δή που ἔφη
ὁ κτήσιππος· τοὺς γοῦν ψυχροὺς ψυχρῶς λέγουσί τε καί φα-
σιν διαλέγεσθαι. σὺ μὲν ἔφη ὁ διονυσόδωρος λοιδορεῖ ὦ κτή-
σιππε λοιδορεῖ: μὰ δί' οὐκ ἔγωγε ἦ δ' ὅς ὦ διονυσόδωρε ἐπεὶ
φιλῶ σε· ἀλλὰ νουθετῶ σε ὡς ἑταῖρον καὶ πειρῶμαι πείθειν μηδέ-
ποτε ἐναντίον ἐμοῦ οὕτως ἀγροίκως λέγειν ὅτι ἐγὼ τούτους
βούλομαι ἐξολωλέναι οὓς περὶ πλείστου ποιοῦμαι: ἐγὼ οὖν
ἐπειδή μοι ἐδόκουν ἀγριωτέρως πρὸς ἀλλήλους ἔχειν. προσέ-
παιζόν τε τὸν κτήσιππον καὶ εἶπον ὅτι ὦ κτήσιππε ἐμοὶ μὲν δο-
κεῖ χρῆναι ἡμᾶς παρὰ τῶν ξένων δέχεσθαι ἃ λέγουσιν ἐὰν ἐ-
θέλωσι διδόναι καὶ μὴ ὀνόματι διαφέρεσθαι. εἰ γὰρ ἐπίστανται οὕ-
τως ἐξολλύναι ἀνθρώπους ὥστ' ἐκ πονηρῶν τε καὶ ἀφρόνων
χρηστούς τε καὶ ἔμφρονας ποιεῖν. καὶ τοῦτο εἴτε αὐτὼ εὑρή-
κατον εἴτε καὶ παρ' ἄλλου του ἐμαθέτην φθόρον τινὰ καὶ ὄλε-
θρον τοιοῦτον ὥστε ἀπολέσαντες πονηρὸν ὄντα χρηστὸν πά-
λιν ἀποφῆναι· εἰ τοῦτο ἐπίστασθον δῆλον δὲ ὅτι ἐπίστασθον
ἐφάτην γοῦν τὴν τέχνην σφῶν εἶναι τὴν νεωστὶ εὑρημένην
ἀγαθοὺς ποιεῖν τοὺς ἀνθρώπους ἐκ πονηρῶν. συγχωρή-
σωμεν οὖν αὐτοῖν αὐτό· ἀπολεσάντων ἡμῖν τὸ μειράκιον καὶ
φρόνιμον ποιησάντων καὶ ἅπαντάς γε ἡμᾶς τοὺς ἄλλους.
εἰ δὲ ὑμεῖς οἱ νέοι φοβεῖσθε ὥσπερ ἐν καρί. ἐν ἐμοὶ ἔστω ὁ
κίνδυνος ὡς ἐγὼ ἐπειδὴ καὶ πρεσβύτης εἰμὶ παρακινδυ-
νεύειν ἕτοιμος καὶ παραδίδωμι ἐμαυτὸν διονυσοδώρῳ τού-
τῳ ὥσπερ τῇ μηδείᾳ τῇ κόλχῳ· ἀπολλύτω με. καὶ εἰ μὲν βού-
λεται ἑψέτω· εἰ δ' ὅτι βούλεται τοῦτο ποιείτω· μόνον χρη-
στὸν ἀποφηνάτω: καὶ ὁ κτήσιππος ἐγὼ μὲν ἔφη καὶ αὐτὸς
ὦ σώκρατες ἕτοιμός εἰμι παρέχειν ἐμαυτὸν τοῖς ξένοις. καὶ
ἐὰν βούλωνται δέρειν ἔτι μᾶλλον ἢ νῦν δέρουσιν. εἴ μοι ἡ δορὰ
μὴ εἰς ἀσκὸν τελευτήσει ὥσπερ ἡ τοῦ μαρσύου ἀλλ' εἰς ἀρε-
τήν. καίτοι με οἴεται διονυσόδωρος οὑτοσὶ χαλεπαίνειν
αὐτῷ· ἐγὼ δὲ οὐ χαλεπαίνω ἀλλ' ἀντιλέγω πρὸς ταῦτα ἅ μοι
δοκεῖ πρός με μὴ καλῶς λέγειν· ἀλλὰ σὺ τοι ἀντιλέγειν ἔφη

ὦ γενναῖε διονυσοδώρῳ μὴ καταλοιδορεῖσθαι· ἕτερον γάρ
ἐστι τὸ λοιδορεῖσθαι· καὶ ὁ διονυσόδωρος ὡς ὄντος ἔφη τοῦ
ἀντιλέγειν ὦ κτήσιππε ποιεῖ τοὺς λόγους· πάντως δή
που ἔφη καὶ σφόδρα γε· ἢ σὺ ὦ διονυσόδωρε οὐκ οἴει εἶναι
ἀντιλέγειν· οὐκ οὖν σύ γ' ἂν ἔφη ἀποδείξαις πώποτε ἀκού
σας οὐδενὸς ἀντιλέγοντος ἑτέρου ἑτέρῳ· ἀληθῆ λέγεις
ἔφη· ἀλλ' ἀκούωμεν νῦν εἴ σοι ἀποδείκνυμι ἀντιλέγοντος κτη
σίππου διονυσοδώρῳ· ἦ καὶ ὑπόσχοις ἂν τούτου λόγον·
πάνυ ἔφη· τί οὖν ἦ δ' ὅς· εἰσὶν ἑκάστῳ τῶν ὄντων λόγοι· πά
νυ γε· οὐκοῦν ὡς ἔστιν ἕκαστον ἢ ὡς οὐκ ἔστιν· ὡς ἔστιν· εἰ
γὰρ μέμνησαι ἔφη ὦ κτήσιππε καὶ ἄρτι ἐπεδείξαμεν μηδένα
λέγοντα ὡς οὐκ ἔστι· τὸ γὰρ μὴ ὂν οὐδεὶς ἐφάνη λέγων· τί
οὖν δὴ τοῦτο ἦ δ' ὃς ὁ κτήσιππος· ἧττόν τι ἀντιλέγομεν ἐγώ
τε καὶ σύ· πότερον οὖν ἦ δ' ὃς ἀντιλέγοιμεν ἂν τοῦ αὐτοῦ πρά
γματος λόγον ἀμφότεροι λέγοντες· ἢ οὕτω μὲν ἂν δήπου ταὐ
τὰ λέγοιμεν· συνεχώρει· ἀλλ' ὅταν μηδέτερος ἔφη τὸν τοῦ
πράγματος λόγον λέγῃ τότε ἀντιλέγοιμεν ἄν· ἢ οὕτω γε
τὸ παράπαν οὐδ' ἂν μεμνημένος εἴη τοῦ πράγματος οὐδέ
τερος ἡμῶν· καὶ τοῦτο συνωμολόγει· ἀλλ' ἆρα ὅταν ἐγὼ μὲν
τὸν τοῦ πράγματος λόγον λέγω· σὺ δὲ ἄλλου τινὸς ἄλλον· τό
τε ἀντιλέγομεν· ἢ ἐγὼ λέγω μὲν τὸ πρᾶγμα· σὺ δὲ οὐδὲ λέ
γεις τὸ παράπαν· ὁ δὲ μὴ λέγων τῷ λέγοντι πῶς ἀντιλέγοι·
καὶ ὁ μὲν κτήσιππος ἐσίγησεν· ἐγὼ δὲ θαυμάσας τὸν λόγον·
πῶς ἔφην ὦ διονυσόδωρε λέγεις· οὐ γάρ τοι ἀλλὰ τοῦτόν
γε τὸν λόγον πολλῶν δὴ καὶ πολλάκις ἀκηκοὼς ἀεὶ θαυμά
ζω· καὶ γὰρ οἱ ἀμφὶ πρωταγόραν σφόδρα ἐχρῶντο αὐτῷ·
καὶ οἱ ἔτι παλαιότεροι· ἐμοὶ δὲ ἀεὶ θαυμαστός τις δοκεῖ εἶναι
καὶ τούς τε ἄλλους ἀνατρέπειν καὶ αὐτὸς αὑτόν· οἶμαι δὲ αὐ
τοῦ τὴν ἀλήθειαν παρὰ σοῦ κάλλιστα πεύσεσθαι· ἄλλο τι ψευ
δῆ λέγειν οὐκ ἔστιν· τοῦτο γὰρ δύναται ὁ λόγος· ἦ γάρ· ἀλλ' ἢ λέ
γοντα ἀληθῆ λέγειν ἢ μὴ λέγειν· συνεχώρει· πότερον
οὖν ψευδῆ μὲν λέγειν οὐκ ἔστι· δοξάζειν μέντοι ἔστιν· οὐδὲ δο
ξάζειν ἔφη· οὐδ' ἄρα ψευδὴς ἦν δ' ἐγὼ δόξα ἐστὶ τὸ παρά
παν· οὐκ ἔφη· οὐδ' ἄρα ἀμαθία οὐδ' ἀμαθεῖς ἄνθρωποι

ἢ οὐ τοῦτ' ἄρ' ἂν εἴη ἀμαθία, ᾧ παρείη τὸ ψεύδεσθαι τῶν πραγμά-
των; πάνυ γε, ἔφη. ἀλλὰ τοῦτο οὐκ ἔστιν, ἦν δ' ἐγώ; οὐκ ἔφη.
λόγου ἕνεκα, ὦ Διονυσόδωρε, λέγεις τὸν λόγον, ἵνα δὴ ἄτοπον
λέγῃς, ἢ ὡς ἀληθῶς δοκεῖ σοι οὐδεὶς εἶναι ἀμαθὴς ἀνθρώ-
πων; ἀλλὰ σύ, ἔφη, ἔλεγξον. ἦ καὶ ἔστι τοῦτο κατὰ τὸν σὸν λό-
γον, ἐξελέγξαι μηδενὸς ψευδομένου; οὐκ ἔστιν, ἔφη ὁ Εὐθύ-
δημος. οὐδ' ἄρα ἐκέλευσεν, ἔφη ἐγώ, νῦν δὴ Διονυσόδωρος
ἐξελέγξαι; τὸ γὰρ μὴ ὂν πῶς ἄν τις κελεύσαι; σὺ δὲ κελεύεις;
ὅτι, ἦν δ' ἐγώ, ὦ Εὐθύδημε, τὰ σοφὰ ταῦτα καὶ τὰ εὖ ἔχοντα
οὐ πάνυ τι μανθάνω, ἀλλὰ παχέως πως ἐννοῶ. ἴσως μὲν οὖν
φορτικώτερόν τι ἐρήσομαι, ἀλλὰ συγγίγνωσκε. ὅρα δέ. εἰ γὰρ
μήτε ψεύδεσθαι ἔστιν μήτε ψευδῆ δοξάζειν μήτε ἀμαθῆ εἶναι,
ἄλλο τι οὐδ' ἐξαμαρτάνειν ἔστιν, ὅταν τίς τι πράττῃ; πράττοντα
γὰρ οὐκ ἔστιν ἁμαρτάνειν τούτου ὃ πράττει· οὐχ οὕτω λέ-
γετε; πάνυ γ', ἔφη. τοῦτ' ἔστιν ἤδη, ἦν δ' ἐγώ, τὸ φορτικὸν ἐρώ-
τημα. εἰ γὰρ μὴ ἁμαρτάνομεν μήτε πράττοντες μήτε λέγοντες μή-
τε διανοούμενοι, ὑμεῖς, ὦ πρὸς Διός, εἰ ταῦτα οὕτως ἔχει, τί-
νος διδάσκαλοι ἥκετε; ἢ οὐκ ἄρτι ἔφατε ἀρετὴν κάλλιστ' ἂν πα-
ραδοῦναι ἀνθρώπων τῷ ἐθέλοντι μανθάνειν; εἶτ', ἔφη, ὦ Σώ-
κρατες, ὁ Διονυσόδωρος ὑπολαβών, οὕτως εἶ Κρόνος, ὥστε ἃ
τὸ πρῶτον εἴπομεν, νῦν ἀναμιμνῄσκει, καὶ εἴ τι πέρυσιν εἴπομεν,
νῦν ἀναμνησθήσει, τοῖς δ' ἐν τῷ παρόντι λεγομένοις οὐχ ἕ-
ξεις ὅτι χρῇ; καὶ γάρ, ἔφην ἐγώ, χαλεποί εἰσιν πάνυ, εἰκό-
τως· παρὰ σοφῶν γὰρ λέγονται· ἐπεὶ καὶ τούτῳ τῷ τελευ-
ταίῳ παγχάλεπόν ἐστιν χρήσασθαι, ὃ λέγεις. τὸ γὰρ οὐκ ἔχω
ὅτι χρῶμαι τί ποτε λέγεις, ὦ Διονυσόδωρε; ἢ δῆλον ὅτι
ὡς οὐκ ἔχω ἐξελέγξαι αὐτόν; ἐπεὶ εἰπέ, τί σοι ἄλλο ἐννοεῖ
τοῦτο τὸ ῥῆμα, τὸ οὐκ ἔχω ὅτι χρήσομαι τοῖς λόγοις;
ἀλλ' ὃ σὺ λέγεις, ἔφη, τούτῳ τῷ πάνυ χαλεπὸν χρῆσθαι· ἐπεὶ
ἀπόκριναι. πρὶν σὲ ἀποκρίνασθαι, ἦν δ' ἐγώ, ὦ Διονυσόδωρε;
οὐκ ἀποκρινῇ, ἔφη. ἦ καὶ δίκαιον; δίκαιον μέντοι, ἔφη. κατὰ
τίνα λόγον; ἦν δ' ἐγώ. ἢ δῆλον ὅτι κατὰ τόνδε, ὅτι σὺ νῦν πάμ-
σοφος ἥκεις ἀφῖξαι περὶ λόγους, καὶ οἶσθα ὅτε δεῖ ἀπο-
κρίνασθαι καὶ ὅτε μή; καὶ νῦν οὐδ' ἂν ὁτιοῦν ἀποκρινῇ, αἰσθα-

γνώσκων ὅτι οὐ δεῖ· λαλεῖς ἔφη ἀμελήσας ἀποκρίνασθαι· ἀλλ' ὦ
γαθὲ πείθου καὶ ἀποκρίνου ἐπειδὴ καὶ ὁμολογεῖς με σοφὸς
εἶναι· πειστέον τοίνυν ἦν δ' ἐγὼ καὶ ἀνάγκη ὡς ἔοικεν· σὺ γὰρ ἄρ
χεις· ἀλλ' ἐρώτα· πότερον οὖν ψυχὴν ἔχοντα νοεῖ τὰ νοοῦντα
ἢ καὶ τὰ ἄψυχα· τὰ ψυχὴν ἔχοντα· οἶσθα οὖν ὅτι ἔφη ῥῆμα ψυ
χὴν ἔχον· μὰ Δία οὐκ ἔγωγε· τί οὖν ἄρτι ἤρου ὅτι μοι νοοῖ
τὸ ῥῆμα· τί ἄλλο γε ἦν δ' ἐγὼ ἢ ἐξήμαρτον διὰ τὴν ἀναισθησίαν
ἢ οὐκ ἐξήμαρτον ἀλλὰ καὶ τοῦτο ὀρθῶς εἶπον εἰπὼν ὅτι νοοῖ
τὰ ῥήματα· πότερα φῂς ἐξαμαρτάνειν με ἢ οὔ· εἰ γὰρ μὴ ἐ
ξήμαρτον οὐδὲ σὺ ἐξελέγξεις καίπερ σοφὸς ὢν οὐδ' ἔχεις
ὅτι χρῇ τῷ λόγῳ· εἰ δ' ἐξήμαρτον· οὐδ' οὕτως ὀρθῶς λέγεις
φάσκων οὐκ εἶναι ἐξαμαρτάνειν· καὶ ταῦτα οὐ πρὸς ἃ πέρυσιν
ἔλεγες λέγω· ἀλλ' ἔοικεν ἔφην ἐγὼ ὦ διονυσόδωρε καὶ εὐθύ
δημε· οὗτος μὲν ὁ λόγος ἐν ταὐτῷ μένειν· καὶ ἔτι ὥσπερ τὸ πα
λαιὸν καταβαλὼν πίπτειν· καὶ ὥστε τοῦτο μὴ πάσχειν οὐδ' ὑπὸ
τῆς ὑμετέρας τέχνης ἐξευρῆσθαι καὶ ταῦτα οὕτως
θαυμαστῆς οὔσης εἰς ἀκρίβειαν λόγων· καὶ ὁ κτήσιππος
θαυμάσιά γε λέγετε ἔφη ὦ ἄνδρες θούριοι εἴτε χῖοι εἴθ' ὁπόθεν
καὶ ὅπῃ χαίρετον ὀνομαζόμενοι ὡς οὐδὲν ὑμῖν μέλει τοῦ πα
ραληρεῖν· καὶ ἐγὼ φοβηθεὶς μὴ λοιδορία γένηται· πάλιν κα
τεπράϋνον τὸν κτήσιππον καὶ εἶπον· ὦ κτήσιππε καὶ νυνδὴ
ἃ πρὸς κλεινίαν ἔλεγον· καὶ πρὸς σὲ ταὐτὰ ταῦτα λέγω ὅτι οὐ
γιγνώσκεις τῶν ξένων τὴν σοφίαν ὅτι θαυμασία ἐστίν· ἀλλ' οὐκ
ἐθέλετον ἡμῖν ἐπιδείξασθαι σπουδάζοντε· ἀλλὰ τὸν πρωτέα
μιμεῖσθον τὸν αἰγύπτιον σοφιστὴν γοητεύοντε ἡμᾶς· ἡμεῖς οὖν
τὸν μενέλαον μιμώμεθα καὶ μὴ ἀφιώμεθα τοῖν ἀνδροῖν ἕως ἂν
ἡμῖν ἐκφανῆτον ἐφ' ᾧ αὐτὼ σπουδάζετον· οἶμαι γάρ τι αὐτοῖν
πάγκαλον φανεῖσθαι ἐπειδὰν ἄρξωνται σπουδάζειν· ἀλλὰ δεώ
μεθα καὶ παραμυθώμεθα καὶ προσευχώμεθα αὐτοῖν ἐκ
φανῆναι· ἐγὼ οὖν μοι δοκῶ καὶ αὐτὸς πάλιν ὑφηγήσασθαι
οἵω προσεύχομαι αὐτὼ φανῆναί μοι· ὅθεν γὰρ τὸ πρότερον
ἀπέλιπον τὰ ἑξῆς τούτοις πειράσομαι· ὅπως ἂν δύνωμαι
διελθεῖν· ἐάν πως ἐκκαλέσωμαι· καὶ ἐλεήσαντέ με καὶ οἰ
κτείραντε συντεταμένον καὶ σπουδάζοντα καὶ αὐτὼ σπουδάση

τον· σὺ δὲ ὦ κλεινία ἔφην ἀνάμνησόν με πόθεν τότε ἀπελείπομεν·
ὡς μὲν οὖν ἐγῷμαι ἐνθένδε ποθέν· φιλοσοφητέον ὡμολογήσα-
μεν τελευτῶντες· ἦ γάρ; ναί ἦ δ' ὅς· ἡ δέ γε φιλοσοφία κτῆσις
ἐπιστήμης· οὐχ οὕτως; ἔφην· ναὶ ἔφη· τίνα ποτ' οὖν ἂν κτησά-
μενοι ἐπιστήμην ὀρθῶς κτησαίμεθα; ἆρ' οὐ τοῦτο μὲν ἁπλοῦν
ἥτις ἡμᾶς ὀνήσει; πάνυ γ' ἔφη· ἆρ' οὖν ἄν τι ἡμᾶς ὀνήσειεν
εἰ ἐπισταίμεθα γιγνώσκειν περιιόντες ὅπου τῆς γῆς χρυσίον
πλεῖστον κατορώρυκται; ἴσως ἔφη· ἀλλὰ τὸ πρότερον ἦν δ' ἐγὼ
τοῦτό γε ἐξηλέγξαμεν ὅτι οὐδὲν πλέον οὐδ' εἰ ἄνευ πραγμάτων
καὶ τοῦ ὀρύττειν τὴν γῆν τὸ πᾶν ἡμῖν χρυσίον γένοιτο· ὥστε οὐ
δ' εἰ τὰς πέτρας χρυσᾶς ἐπισταίμεθα ποιεῖν, οὐδενὸς ἂν ἀ-
ξία ἡ ἐπιστήμη εἴη· εἰ γὰρ μὴ καὶ χρῆσθαι ἐπιστησόμεθα τῷ χρυ-
σίῳ, οὐδὲν ὄφελος αὐτοῦ ἐφάνη ὄν· ἢ οὐ μέμνησαι ἔφην ἐγώ;
πάνυ γ' ἔφη μέμνημαι· οὐδέ γε ὡς ἔοικε τῆς ἄλλης ἐπιστήμης
ὄφελος γίγνεται οὐδὲν οὔτε χρηματιστικῆς οὔτε ἰατρικῆς
οὔτε ἄλλης οὐδεμιᾶς ἥτις ποιεῖν μὴ ἐπίσταται χρῆσθαι δὲ μὴ
ᾧ ἂν ποιήσῃ· οὐχ οὕτως; συνέφη· οὐδ' εἴ γέ τις ἔστιν
ἐπιστήμη ὥστε ἀθανάτους ποιεῖν ἄνευ τοῦ ἐπίστασθαι τῇ ἀθα-
νασίᾳ χρῆσθαι, οὐδὲ ταύτης ἔοικεν ὄφελος οὐδὲν εἶναι, εἴ τι δεῖ τοῖς
πρόσθεν ὡμολογημένοις τεκμαίρεσθαι δεῖ· συνεδόκει ἡμῖν
πάντα ταῦτα· τοιαύτης τινὸς ἄρα ἡμῖν ἐπιστήμης δεῖ, ὦ
καλὲ παῖ ἦν δ' ἐγώ, ἐν ᾗ συμπέπτωκεν ἅμα τό τε ποιεῖν καὶ τὸ
ἐπίστασθαι χρῆσθαι τούτῳ ὃ ἂν ποιῇ· φαίνεται ἔφη· πολλοῦ
ἄρα δεῖ ὡς ἔοικεν ἡμᾶς μυροποιοὺς δεῖν εἶναι καὶ τοιαύ-
της τινὸς ἐπιστήμης ἐπηβόλους· ἐνταῦθα γὰρ δὴ χωρὶς
μὲν ἡ ποιοῦσα τέχνη, χωρὶς δὲ ἡ χρωμένη· διῄρηται δὲ
τοῦ αὐτοῦ πέρι· ἡ γὰρ μυροποιικὴ καὶ ἡ κιθαριστικὴ πολὺ δια-
φέρετον ἀλλήλοιν· οὐχ οὕτως; συνέφη· οὐδὲ μὴν αὐλοποι-
ικῆς γε δῆλον ὅτι δεόμεθα· καὶ γὰρ αὕτη ἑτέρα τοιαύτη· συ-
νεδόκει· ἀλλὰ πρὸς θεῶν ἔφην ἐγώ, εἰ τὴν λογοποιικὴν
τέχνην μάθοιμεν, ἆρ' αὕτη ἐστὶν ἣν ἔδει κεκτημένους ἡμᾶς
εὐδαίμονας εἶναι; οὐκ οἶμαι ἔφη ἐγὼ ὁ κλεινίας ὑπολαβών·
τίνι τεκμηρίῳ ἦν δ' ἐγώ χρῇ; ὁρῶ ἔφη τινὰς λογοποιοὺς
οἳ τοῖς ἰδίοις λόγοις οἷς αὐτοὶ ποιοῦσιν οὐκ ἐπίστανται

χρῆσθαι ὥσπερ οἱ λυροποιοὶ ταῖς λύραις· ἀλλὰ καὶ ἐνταῦθα ἄλ-
λοι δυνατοὶ χρῆσθαι οἷς ἐκεῖνοι εἰργάσαντο· οἱ λυροποιοὶ δ'
αὐτοὶ ἀδύνατοι· δῆλον οὖν ὅτι καὶ περὶ λόγους χωρὶς ἡ τοῦ
ποιεῖν τέχνη καὶ ἡ τοῦ χρῆσθαι: ἱκανόν μοι δοκεῖς ἔφην ἐγὼ
τεκμήριον λέγειν ὅτι οὐχ αὕτη ἐστὶν ἡ τῶν λογοποιῶν τέχνη
ἣν ἄν τις κτησάμενος εὐδαίμων εἴη· καίτοι ἐγὼ ᾤμην ἐνταῦ-
θά που φανήσεσθαι τὴν ἐπιστήμην ἣν δὴ πάλαι ζητοῦμεν·
καὶ γάρ μοι οἵ τε ἄνδρες αὐτοὶ οἱ λογοποιοὶ ὅταν συγγένωμαι
αὐτοῖς ὑπέρσοφοι ὦ κλεινία δοκοῦσιν εἶναι· καὶ αὐτὴ ἡ τέ-
χνη αὐτῶν θεσπεσία τις καὶ ὑψηλή· καὶ μέντοι οὐδὲν θαυμαστόν·
ἔστι γὰρ τῆς τῶν ἐπῳδῶν τέχνης μόριον μικρῷ τε ἐκείνης
ὑποδεεστέρα· ἡ μὲν γὰρ τῶν ἐπῳδῶν ἔχεών τε καὶ φαλαγγίων
καὶ σκορπίων καὶ τῶν ἄλλων θηρίων τε καὶ νόσων κήλησίς ἐ-
στιν· ἡ δὲ δικαστῶν τε καὶ ἐκκλησιαστῶν καὶ τῶν ἄλλων ὄχλων κή-
λησίς τε καὶ παραμυθία τυγχάνει οὖσα· ἢ σοὶ ἔφην ἐγὼ ἄλ-
λως πως δοκεῖ: οὐκ ἀλλ' οὕτω μοι φαίνεται ἔφη ὡς σὺ λέγεις:
ποῖ οὖν ἔφην ἐγὼ τραποίμεθ' ἂν ἔτι ἐπὶ ποίαν τέχνην: ἐγὼ
μὲν οὐκ εὐπορῶ ἔφη: ἀλλ' ἐγὼ ἦν δ' ἐγὼ ἐμὲ οἶμαι ηὑρηκέναι: τίνα
ἔφη ὁ κλεινίας: ἡ στρατηγική μοι δοκεῖ ἔφην ἐγὼ τέχνη παν-
τὸς μᾶλλον εἶναι ἣν ἄν τις κτησάμενος εὐδαίμων εἴη: οὐκ ἔ-
μοιγε δοκεῖ: πῶς ἦν δ' ἐγώ: θηρευτική τις ἥδε γε ἐστὶ τέ-
χνη ἀνθρώπων: τί δὴ οὖν ἔφην ἐγώ: οὐδεμία ἔφη τῆς
θηρευτικῆς αὐτῆς ἐπὶ πλέον ἐστὶν ἢ ὅσον θηρεῦσαι καὶ χειρώ-
σασθαι· ἐπειδὰν δὲ χειρώσωνται τοῦτο ὃ ἂν θηρεύωνται·
οὐ δύνανται τούτῳ χρῆσθαι· ἀλλ' οἱ μὲν κυνηγέται καὶ οἱ ἁλιεῖς
τοῖς ὀψοποιοῖς παραδιδόασιν· οἱ δ' αὖ γεωμέτραι καὶ οἱ
ἀστρονόμοι καὶ οἱ λογιστικοὶ θηρευτικοὶ γάρ εἰσι καὶ οὗτοι·
οὐ γὰρ ποιοῦσι τὰ διαγράμματα ἕκαστοι τούτων· ἀλλὰ τὰ ὄν-
τα ἀνευρίσκουσιν· ἅτε οὖν χρῆσθαι αὐτοῖς οὐκ ἐπιστάμε-
νοι ἀλλὰ θηρεῦσαι μόνον· παραδιδόασι δήπου τοῖς δια-
λεκτικοῖς καταχρῆσθαι αὐτῶν τοῖς εὑρήμασιν ὅσοι γε αὐ-
τῶν μὴ παντάπασιν ἀνόητοί εἰσιν: εἶεν ἦν δ' ἐγὼ ὦ κάλλιστε
καὶ σοφώτατε κλεινία τοῦτο οὕτως ἔχει: πάνυ μὲν οὖν: καὶ
οἵ γε στρατηγοὶ ἔφη οὕτω τὸν αὐτὸν τρόπον· ἐπειδὰν ἢ πό-

λιν ἐπὰν θηρεύσωνται ἢ στρατόπεδον παραδιδόασι τοῖς πολιτικοῖς
ἀνδράσιν· αὐτοὶ γὰρ οὐκ ἐπίστανται χρῆσθαι τούτοις ἃ ἐθήρευ-
σαν· ὥσπερ οἶμαι οἱ ὀρτυγοθῆραι τοῖς ὀρτυγοτρόφοις παρα-
διδόασιν· εἰ οὖν ἢ δέος δεόμεθα ἐκείνης τῆς τέχνης ἥτις ὃ
ἂν κτήσηται ἢ ποιήσασα ἢ θηρευσαμένη αὐτὴ καὶ ἐπιστήσεται
χρῆσθαι καὶ ἡ τοιαύτη ποιήσει ἡμᾶς μακαρίους· ἄλλην δή τι-
να ἔφη ζητητέον ἀντὶ τῆς στρατηγικῆς· τί λέγεις σύ, ὦ σώ-
κρατες· ἐκεῖνο τὸ μειράκιον τοιοῦτον ἐφθέγξατο· οὐκ οἴει, ὦ
κρίτων· μὰ δί' οὐ μέντοι· οἶμαι γὰρ αὐτὸν εἰ ταῦτ' εἶπεν
οὔτ' εὐθυδήμου οὔτ' ἄλλου οὐδενὸς ἔτ' ἀνθρώπου δεῖσθαι εἰς
παιδείαν· ἀλλ' ἄρα, ὦ πρὸς διός, μὴ ὁ κτήσιππος ἦν ὁ ταῦ-
τ' εἰπών, ἐγὼ δὲ οὐ μέμνημαι· ποῖος κτήσιππος· ἀλλὰ μὴν
τόδε γε εὖ οἶδα ὅτι οὔτε εὐθύδημος οὔτε διονυσόδωρος ἦν ὁ
εἰπὼν ταῦτα· ἀλλ', ὦ δαιμόνιε κρίτων, μή τις τῶν κρειττόνων πα-
ρὼν αὐτὰ ἐφθέγξατο· ὅτι γὰρ ἤκουσά γε ταῦτα εὖ οἶδα·
ναὶ μὰ δία, ὦ σώκρατες, κρειττόνων μέντοι τις ἔμοιγε δοκεῖ, καὶ
πολύ γε· ἀλλὰ μετὰ τοῦτο ἔτι τινὰ ἐζητήσατε τέχνην· καὶ ηὕρε-
τε ἐκείνην ἢ οὐχ ηὕρετε οὗ ἕνεκα ἐζητεῖτε· πόθεν, ὦ μα-
κάριε, ηὕρομεν· ἀλλὰ μὲν πάνυ γελοῖοι· ὥσπερ τὰ παιδία τὰ τοὺς
κορύδους διώκοντα, ἀεὶ ᾠόμεθα ἑκάστην τῶν ἐπιστημῶν αὐ-
τίκα λήψεσθαι· αἱ δ' ἀεὶ ὑπεξέφευγον· τὰ μὲν οὖν πολλὰ τί
ἄν σοι λέγοιμι· ἐπὶ δὲ δὴ τὴν βασιλικὴν ἐλθόντες τέχνην καὶ
διασκοπούμενοι αὐτὴν εἰ αὐτὴ εἴη ἡ τὴν εὐδαιμονίαν ἀπερ-
γαζομένη, ἐνταῦθα ὥσπερ εἰς λαβύρινθον ἐμπεσόντες, οἰό-
μενοι ἤδη ἐπὶ τέλει εἶναι, περικάμψαντες πάλιν ὥσπερ ἐν
ἀρχῇ τῆς ζητήσεως ἀνεφάνημεν ὄντες καὶ τοῦ ἴσου δεό-
μενοι ὅσουπερ ὅτε τὸ πρῶτον ἐζητοῦμεν· πῶς δὴ τοῦτο ὑ-
μῖν συνέβη, ὦ σώκρατες· ἐγὼ φράσω· ἔδοξε γὰρ δὴ ἡμῖν ἡ πολι-
τικὴ καὶ ἡ βασιλικὴ τέχνη ἡ αὐτὴ εἶναι· τί οὖν δή· ταύτῃ τῇ τέχνῃ
ἥ τε στρατηγικὴ καὶ αἱ ἄλλαι παραδιδόναι ἄρχειν τῶν ἔργων ὧν
αὐταὶ δημιουργοί εἰσιν, ὡς μόνῃ ἐπισταμένῃ χρῆσθαι· σαφῶς
οὖν ἐδόκει ἡμῖν αὕτη εἶναι ἣν ἐζητοῦμεν, καὶ ἡ αἰτία τοῦ ὀρθῶς
πράττειν ἐν τῇ πόλει, καὶ ἀτεχνῶς κατὰ τὸ αἰσχύλου ἰαμβεῖον
μόνη ἐν τῇ πρύμνῃ καθῆσθαι, τὰ πάντα κυβερνῶσα

καὶ πάντων ἄρχουσαν πάντα χρήσιμα ποιεῖν: οὐκοῦν καλῶς ὑ-
μῖν ἐδόκει ὦ σώκρατες: σὺ κρινεῖς ὦ κρίτων ἐὰν βούλῃ ἀκούειν τὰ
μετὰ γὰρ τὰ ἔμπροσθεν συμβάντα ἡμῖν αὖθις μετὰ ταῦτα ἀνεσκοποῦ-
μεν ὧδέ πως· φέρε πάντων ἄρχουσα ἡ βασιλικὴ τέχνη τί ἡμῖν
ἀπεργάζεται ἔργον ἢ οὐδέν: πάντως δήπου ἡμεῖς ἔφαμεν
πρὸς ἀλλήλους. οὐ καὶ σὺ ἂν ταῦτα φαίης ὦ κρίτων: ἔγωγε: τί
οὖν ἂν φαίης αὐτῆς ἔργον εἶναι; ὥσπερ εἰ σὲ ἐγὼ ἐροίμην πάν-
των ἄρχουσα ἡ ἰατρικὴ ὧν ἄρχει τί ἔργον παρέχεται; οὐ τὴν ὑ-
γίειαν φαίης: ἔγωγε: τί δὲ ἡ ὑμετέρα τέχνη ἡ γεωργία πάν-
των ἄρχουσα ὧν ἄρχει τί ἔργον ἀπεργάζεται; οὐ τὴν τροφὴν ἂν
φαίης τὴν ἐκ τῆς γῆς παρέχειν ἡμῖν: ἔγωγε: τί δὲ ἡ βασιλικὴ
πάντων ἄρχουσα ὧν ἄρχει τί ἀπεργάζεται; ἴσως οὐ πάνυ εὐ-
πορεῖς: μὰ τὸν δία ὦ σώκρατες: οὐδὲ γὰρ ἡμεῖς ὦ κρίτων· ἀλ-
λὰ τοσόνδε γε οἶσθα ὅτι εἴπερ ἐστὶν αὕτη ἣν ἡμεῖς ζητοῦμεν, ὠ-
φέλιμον αὐτὴν δεῖ εἶναι: πάνυ γε: οὐκοῦν ἀγαθόν γέ τι δεῖ ἡμῖν
αὐτὴν παραδιδόναι: ἀνάγκη ὦ σώκρατες: ἀγαθὸν δέ γέ που
ὡμολογήσαμεν ἀλλήλοις ἐγώ τε καὶ κλεινίας οὐδὲν εἶναι ἄλλο
ἢ ἐπιστήμην τινά: ναὶ οὕτως ἔλεγες: οὐκοῦν τὰ μὲν ἄλλα ἔρ-
γα ἃ φαίη ἄν τις πολιτικῆς εἶναι. πολλὰ δ' ἄν που ταῦτ' εἴη. οἷ-
ον πλουσίους τοὺς πολίτας παρέχειν καὶ ἐλευθέρους καὶ ἀστα-
σιάστους. πάντα ταῦτα οὔτε κακὰ οὔτε ἀγαθὰ ἐφάνη. ἔδει
δὲ σοφοὺς ποιεῖν καὶ ἐπιστήμης μεταδιδόναι εἴπερ ἔμελλεν αὕτη
εἶναι ἡ ὠφελοῦσά τε καὶ εὐδαίμονας ποιοῦσα: ἔστι ταῦτα. τότε
γοῦν οὕτως ὑμῖν ὡμολογήθη ὡς σὺ τοὺς λόγους ἀπήγγειλας:
ἆρ' οὖν ἡ βασιλικὴ σοφοὺς ποιεῖ τοὺς ἀνθρώπους καὶ ἀγαθούς;
τί γὰρ κωλύει ὦ σώκρατες: ἀλλ' ἆρα πάντας καὶ πάντα ἀγαθούς·
καὶ πᾶσαν ἐπιστήμην σκυτοτομικήν τε καὶ τεκτονικὴν καὶ τὰς
ἄλλας ἁπάσας αὕτη ἡ παραδιδοῦσά ἐστιν; οὐκ οἶμαι ἔγωγε
ὦ σώκρατες: ἀλλὰ τίνα δὴ ἐπιστήμην ἢ τί χρησόμεθα. τῶν
μὲν γὰρ ἔργων οὐδενὸς δεῖ αὐτὴν δημιουργὸν εἶναι, τῶν μήτε
κακῶν μήτε ἀγαθῶν. ἐπιστήμην δὲ παραδιδόναι μηδεμίαν ἄλ-
λην ἢ αὐτὴν ἑαυτήν. λέγωμεν δὴ οὖν τίς ποτ' ἐστὶν αὕτη ἢ τί χρη-
σόμεθα. βούλει φῶμεν ὦ κρίτων ᾗ ἄλλους ἀγαθοὺς ποιήσομεν:
πάνυ γε: οἳ τί ἔσονται ἡμῖν ἀγαθοὶ καὶ τί χρήσιμοι; ἢ ἔτι λέγωμεν

ὅτι ἄλλους ποιήσουσιν· οἱ δὲ ἄλλοι ἐκεῖνοι ἄλλους· ὅτι δέ ποτε
ἀγαθοί εἰσιν οὐδαμοῦ ἡμῖν φαίνονται, ἐπειδήπερ τὰ ἔργα τὰ
λεγόμενα εἶναι τῆς πολιτικῆς ἠτιμάσαμεν· ἀλλ' ἀτεχνῶς τὸ
λεγόμενον ὁ Διὸς Κόρινθος γίγνεται· καὶ ὅπερ ἔλεγον τοῦ ἴσου
ἡμῖν ἐνδεῖ· ἢ ἔτι πλέονος πρὸς τὸ εἰδέναι τίς ποτε ἐστὶν ἡ ἐπιστή
μη ἐκείνη ἣ ἡμᾶς εὐδαίμονας ποιήσει: νὴ τὸν Δία ὦ Σώ
κρατες εἰς πολλήν γε ἀπορίαν ὡς ἔοικεν ἀφίκεσθε: ἔγωγ' οὖν
καὶ αὐτὸς ὦ Κρίτων ἐπειδὴ ἐν ταύτῃ τῇ ἀπορίᾳ ἐνεπεπτώκειν·
πᾶσαν ἤδη φωνὴν ἠφίην δεόμενος τοῖν ξένοιν ὥσπερ Διοσκού
ρων ἐπικαλούμενος σῶσαι ἡμᾶς ἐμέ τε καὶ τὸ μειράκιον ἐκ τῆς
τρικυμίας τοῦ λόγου· καὶ παντὶ τρόπῳ σπουδάσαι καὶ σπου
δάσαντας ἐπιδεῖξαι τίς ποτ' ἐστὶν ἡ ἐπιστήμη ἧς τυχόντες ἂν
καλῶς τὸν ἐπίλοιπον βίον διέλθοιμεν: τί οὖν ἠθέλησέ τι
ὑμῖν ἐπιδεῖξαι ὁ Εὐθύδημος: πῶς γὰρ οὔ· καὶ ἤρξατό γε
ὦ ἑταῖρε πάνυ μεγαλοφρόνως τοῦ λόγου ὧδε: πότερον
δή σε ἔφη ὦ Σώκρατες ταύτην τὴν ἐπιστήμην περὶ ἣν πάλαι
ἀπορεῖτε διδάξω ἢ ἐπιδείξω ἔχοντα: ὦ μακάριε ἦν δ' ἐγώ
ἔστι δὲ ἐπὶ σοὶ τοῦτο: πάνυ μὲν οὖν ἔφη: ἐπίδειξον τοίνυν με νὴ
Δί' ἔφην ἐγὼ ἔχοντα· πολὺ γὰρ ῥᾷον ἢ μανθάνειν τηλικόνδε
ἄνδρα: φέρε δή μοι ἀπόκριναι ἔφη· ἔστιν ὅ τι ἐπίστασαι: πά
νυ γε ἦν δ' ἐγὼ καὶ πολλά, σμικρά γε: ἀρκεῖ ἔφη: ἆρ' οὖν δο
κεῖς οἷόν τέ τι τῶν ὄντων τοῦτο ὃ τυγχάνει ὂν αὐτὸ τοῦτο μὴ εἶ
ναι: ἀλλὰ μὰ Δί' οὐκ ἔγωγε: οὐκοῦν σὺ ἔφη ἐπίστασαί τι:
ἔγωγε: οὐκοῦν ἐπιστήμων εἶ εἴπερ ἐπίστασαι: πάνυ γε
τούτου γε αὐτοῦ· οὐδὲν διαφέρει· ἀλλ' οὐκ ἀνάγκη σε ἔχει πάντα
ἐπίστασθαι ἐπιστήμονά γε ὄντα: μὰ Δί' ἔφην ἐγὼ ἐπεὶ πολλὰ
ἄλλ' οὐκ ἐπίσταμαι: οὐκοῦν εἴ τι μὴ ἐπίστασαι οὐκ ἐπιστήμων εἶ:
ἐκείνου γε ὦ φίλε ἦν δ' ἐγώ: ἧττον οὖν τι ἔφη οὐκ ἐπιστήμων
εἶ· ἄρτι δὲ ἐπιστήμων ἔφησθα εἶναι· καὶ οὕτως τυγχάνεις
ὢν αὐτὸς οὗτος ὃς εἶ καὶ αὖ πάλιν οὐκ εἶ κατὰ ταὐτὰ ἅμα:
εἶεν ἦν δ' ἐγὼ Εὐθύδημε· τὸ γὰρ λεγόμενον καλὰ δὴ πάντα λέ
γεις· πῶς οὖν ἐπίσταμαι ἐκείνην τὴν ἐπιστήμην ἣν ἐζη
τοῦμεν· ὡς δὴ τοῦτο ἀδύνατον εἶναί τε τὸ αὐτὸ εἶναί τε καὶ μή·
εἴπερ ἓν ἐπίσταμαι ἅπαντα ἐπίσταμαι· οὐ γὰρ ἂν εἴην ἐπιστή

μων τε καὶ ἀνεπιστήμων ἅμα· ἐγὼ δὲ πάντα ἐπίσταμαι· καίτοι μὴν
δὴ τὴν ἐπιστήμην ἔχω· ἆρ' οὖν οὕτως λέγετε καὶ τοῦτό ἐστιν τὸ σο-
φόν: αὐτὸς σαυτόν γε δὴ ἐξελέγχεις ἔφη ὦ σώκρατες: τί δὲ
ἦν δ' ἐγὼ ὦ εὐθύδημε σὺ οὐ πέπονθας τοῦτο τὸ αὐτὸ πάθος·
ἐγὼ γάρ τοι μετὰ σοῦ ὁτιοῦν ἂν πάσχων καὶ μετὰ διονυσοδώρου
τοῦδε φίλης κεφαλῆς· οὐκ ἂν πάνυ ἀγανακτοίην· εἰπέ μοι
σφὼ οὐχὶ τὰ μὲν ἐπίστασθον τῶν ὄντων τὰ δὲ οὐκ ἐπίστασθον: ἥ-
κιστά γε ἔφη ὦ σώκρατες ὁ διονυσόδωρος: πῶς λέγετον ἔφην
ἐγώ· ἀλλ' οὐδὲν ἄρα ἐπίστασθον: καὶ μάλα ἦ δ' ὅς: πάντ' ἄρα ἔ-
φην ἐγὼ ἐπίστασθον ἐπειδήπερ καὶ ὁτιοῦν: πάντ' ἔφη καὶ
σύ γε πρὸς εἴπερ καὶ ἓν ἐπίστασαι πάντα ἐπίστασαι: ὦ ζεῦ
ἔφην ἐγὼ ὡς θαυμαστὸν λέγεις καὶ ἀγαθὸν μέγα πεφάνθαι·
μῶν καὶ οἱ ἄλλοι πάντες ἄνθρωποι πάντ' ἐπίστανται ἢ οὐδέν: οὐ
γὰρ δήπου ἔφη τὰ μὲν ἐπίστανται τὰ δ' οὐκ ἐπίστανται· καὶ εἰσὶν
ἅμα ἐπιστήμονές τε καὶ ἀνεπιστήμονες· ἀλλὰ τί ἦν δ' ἐγώ: πάν-
τες ἦ δ' ὅς πάντα ἐπίστανται εἴπερ καὶ ἕν: ὦ πρὸς τῶν θεῶν
ἦν δ' ἐγὼ ὦ διονυσόδωρε δῆλοι γάρ μοι ἐστὸν ἤδη ὅτι σπουδάζε-
τον καὶ μόλις ὑμᾶς προυκαλεσάμην σπουδάζειν· αὐτὼ τῷ
ὄντι πάντα ἐπίστασθον οἷον τεκτονικὴν καὶ σκυτικήν: πάνυ γ' ἔ-
φη: ἦ καὶ νευρορραφεῖν δυνατὼ ἐστόν: καὶ ναὶ μὰ δί' ἂν καττύειν
ἔφη: ἦ καὶ τὰ τοιαῦτα τοὺς ἀστέρας ὁπόσοι εἰσὶ καὶ τὴν ἄμ-
μον: πάνυ γε ἦ δ' ὅς· εἶτ' οὐκ ἂν οἴει ὁμολογῆσαι ἡμᾶς: καὶ
ὁ κτήσιππος ὑπολαβὼν πρὸς διὸς ἔφη διονυσόδωρε τε-
κμήριόν τί μοι τούτων ἐπιδείξατον τοιόνδε ᾧ εἴσομαι ὅτι ἀ-
ληθῆ λέγετον: τί ἐπιδείξω ἔφη: οἶσθα εὐθύδημον ὁπό-
σους ὀδόντας ἔχει· καὶ ὁ εὐθύδημος ὁπόσους σύ: οὐκ ἐ-
ξαρκεῖ σοι ἔφη ἀκοῦσαι ὅτι πάντα ἐπιστάμεθα: μηδαμῶς
ἦ δ' ὅς: ἀλλὰ τοῦτο ἔτι ἡμῖν μόνον εἴπατον καὶ ἐπιδείξατον
ὅτι ἀληθῆ λέγετον· καὶ ἐὰν εἴπητον ὁπόσους ἑκάτερος ἔχει
ὑμῶν καὶ φανῆσθε γνόντες ἡμῶν ἀριθμησάντων ἤδη πει-
σόμεθα ὑμῖν καὶ τἆλλα: ἡγουμένω οὖν σκώπτεσθαι οὐκ ἠ-
θελέτην· ἀλλ' ὡμολογησάτην πάντα χρήματα ἐπίστασθαι κα-
θ' ἓν ἕκαστον ἐρωτώμενοι ὑπὸ κτησίππου· ὁ γὰρ κτήσιππος
πάνυ ἀπαρακαλύπτως οὐδὲν ὅτι οὐκ ἠρώτα τελευτῶν καὶ

τὰ αἴσχιστα εἰ ἐπισταίσθην· τὼ δὲ ἀνδρειότατα ὁμόσε ᾔτην τοῖς
ἐρωτήμασιν ὁμολογοῦντε εἰδέναι ὥσπερ οἱ κάπροι οἱ πρὸς τὴν
πληγὴν ὁμόσε ὠθούμενοι· ὥστ' ἔγωγε καὶ αὐτὸς ὦ Κρίτων ὑπ' ἀπι-
στίας ἠναγκάσθην τελευτῶν ἐρέσθαι τὸν Εὐθύδημον εἰ καὶ ὀρ-
χεῖσθαι ἐπίσταιτο ὁ Διονυσόδωρος: ὁ δὲ πάνυ ἔφη: οὐ δήπου
ἦν δ' ἐγὼ καὶ ἐς μαχαίρας γε κυβιστᾶν· καὶ ἐπὶ τροχοῦ δινεῖσθαι τη-
λικοῦτος ὢν οὕτω πόρρω σοφίας ἥκεις: οὐδὲν ἔφη ὅ τι οὔ:
πότερον δὲ ἦν δ' ἐγὼ τὰ πάντα νῦν μόνον ἐπίστασθον ἢ καὶ ἀεί: καὶ
ἀεί ἔφη: καὶ ὅτε παιδία ἤστην καὶ εὐθὺς γενόμενοι ἠπίστα-
σθε: πάντα ἐφάτην ἅμα ἀμφοτέρω: καὶ ἡμῖν μὲν ἄπιστον ἐ-
δόκει τὸ πρᾶγμα εἶναι· ὁ δ' Εὐθύδημος ἀπιστεῖς ἔφη ὦ Σώκρα-
τες: πλήν γ' ὅτι ἐγὼ εἰκὸς ὑμᾶς εἶ σοφοὺς εἶναι: ἀλλ' ἢν ἔφη
ἐθελήσῃς μοι ἀποκρίνεσθαι· ἐγὼ ἐπιδείξω καὶ σὲ ταῦτα τὰ
θαυμαστά: ἀλλὰ μὴν ἦν δ' ἐγὼ ἥδιστα ταῦτα ἐξελέγχομαι· εἰ
γάρ τοι λέληθα ἐμαυτὸν σοφὸς ὤν· οὐ δὲ τοῦτο ἐπιδείξεις
ὡς πάντα ἐπίσταμαι καὶ ἀεί· τί μεῖζον ἕρμαιον αὐτοῦ ἂν εὕροι-
μι ἐν παντὶ τῷ βίῳ: ἀποκρίνου δή ἔφη: ὡς ἀποκρινουμέ-
νου ἐρώτα: ἆρ' οὖν ἔφη ὦ Σώκρατες ἐπιστήμων του εἶ ἢ οὔ:
ἔγωγε: πότερον οὖν ᾧ ἐπιστήμων εἶ τούτῳ καὶ ἐπίστασαι ἢ
ἄλλῳ τῳ: ᾧ ἐπιστήμων· οἶμαι γάρ σε τὴν ψυχὴν λέγειν ἢ οὐ
τοῦτο λέγεις: οὐκ αἰσχύνῃ ἔφη ὦ Σώκρατες ἐρωτώμενος
ἀντερωτῶν: εἶεν ἦν δ' ἐγώ· ἀλλὰ πῶς ποιῶ· οὕτω γὰρ ποιή-
σω ὅπως ἂν σὺ κελεύῃς· ὅταν μὴ εἰδῶ ὅ τι ἐρωτᾷς· κελεύ-
εις με ὅμως ἀποκρίνεσθαι: ἀλλὰ μὴν ἐπανερέσθαι· ὑπολαμ-
βάνεις γὰρ δήπου τι ἔφη ὃ λέγω: ἔγωγε ἦν δ' ἐγώ: πρὸς τοῦτο
τοίνυν ἀποκρίνου ὃ ὑπολαμβάνεις: τί οὖν ἔφη ἢν ἂν σὺ μὲν
ἄλλῃ ἐρωτᾷς διανοούμενος· ἐγὼ δὲ ἄλλῃ ὑπολάβω· ἔπειτα
πρὸς τοῦτο ἀποκρίνωμαι· ἐξαρκεῖ σοι ἐὰν μηδὲν πρὸς ἔπος
ἀποκρίνωμαι: ἔμοιγε ἦ δ' ὅς· οὐ μέντοι σοί γε ὡς ἐγᾦμαι:
οὐ τοίνυν μὰ Δία ἀποκρινοῦμαι ἦν δ' ἐγὼ πρότερον· πρὶν ἂν
πύθωμαι: οὐκ ἀποκρινεῖ ἔφη πρὸς ἃ ἂν ἀεὶ ὑπολαμβάνῃς
ὅτι ἔχων φλυαρεῖς καὶ ἀρχαιότερος εἶ τοῦ δέοντος: κἀγὼ
ἔγνων αὐτὸν ὅτι μοι χαλεπαίνοι διαστέλλοντι τὰ λεγόμενα βουλό-
μενός με θηρεῦσαι τὰ ὀνόματα περιστήσας· ἀνεμνήσθην

οὖν τοῦ Κόννου ὅτι μοι καὶ ἐκεῖνος χαλεπαίνει ἑκάστοτε ὅταν αὐτῷ
μὴ ὑπείκω· ἔπειτά μου ἧττον ἐπιμελεῖται ὡς ἀμαθοῦς ὄντος·
ἐπειδὴ δὲ οὖν διενενοήμην καὶ παρὰ τοῦτον φοιτᾶν ᾠήθην δεῖν
ὑπείκειν μή με σκαιὸν ἡγησάμενος φοιτητὴν μὴ προσδέχοιτο·
ἀπον οὖν ἀλλ' εἰ δοκεῖ σοι Εὐθύδημε οὕτω ποιεῖν· ποιητέον· σὺ γὰρ
πάντως που κάλλιον ἐπίστασαι διαλέγεσθαι ἢ ἐγώ, τέχνην ἔχων
ἰδιώτου ἀνθρώπου· ἐρώτα οὖν πάλιν ἐξ ἀρχῆς: ἀποκρίνου
δὴ ἔφη πάλιν πότερον ἐπίστασαί τῳ ἃ ἐπίστασαι ἢ οὔ: ἔγωγε
ἔφην τῇ γε ψυχῇ: οὗτος αὖ ἔφη προσαποκρίνεται τοῖς ἐ-
ρωτωμένοις· οὐ γὰρ ἔγωγε ἐρωτῶ ὅτῳ, ἀλλ' εἰ ἐπίστασαί τῳ:
πλέον αὖ ἔφην ἐγὼ τοῦ δέοντος ἀπεκρινάμην ὑπὸ ἀπαιδευ-
σίας· ἀλλὰ συγγίγνωσκέ μοι· ἀποκρινοῦμαι γὰρ ἤδη ἁπλῶς
ὅτι ἐπίσταμαί τῳ ἃ ἐπίσταμαι: πότερον ἦ δ' ὅς τῷ αὐτῷ
τούτῳ γ' ἀεί· ἢ ἔστι μὲν ὅτε τούτῳ ἔστιν δὲ ὅτε ἑτέρῳ: ἀεὶ ὅταν ἐπί-
στωμαι ἦν δ' ἐγὼ τούτῳ: οὐκ αὖ ἔφη παύσει παραφθεγγόμενος:
ἀλλ' ὅπως μή τι ἡμᾶς σφήλῃ τὸ ἀεὶ τοῦτο: οὔκουν ἡμᾶς γ' ἔφη
ἀλλὰ πάλιν ἀλλ' ἀποκρίνου· ἦ ἀεὶ τούτῳ ἐπίστασαι: ἀεὶ ἦν δ' ἐ-
γὼ ἐπειδὴ δεῖ ἀφελεῖν τὸ ὅταν: οὐκοῦν ἀεὶ μὲν τούτῳ ἐπίστα-
σαι ᾧ ἐπίστασαι ἢ ἄλλῳ ἢ τούτῳ πάντα: τούτῳ ἔφην ἐγὼ ἅ-
παντα ἅ γ' ἐπίσταμαι: τοῦτ' ἐκεῖνο ἔφη ἥκει τὸ αὐτὸ παράφθε-
γμα: ἀλλ' ἀφαιρῶ ἔφην ἐγὼ τὸ ἅ γ' ἐπίσταμαι: ἀλλὰ μηδὲ ἓν ἔφη
ἀφέλῃς· οὐδὲν γάρ σου δέομαι· ἀλλά μοι ἀπόκριναι· δύναιο ἂν ἅ-
παντα ἐπίστασθαι εἰ μὴ πάντα ἐπίσταιο: τέρας γὰρ ἂν εἴη ἦν
δ' ἐγώ: καὶ ὃς εἶπεν προστίθει τοίνυν ἤδη ὅτι βούλει· ἅπαντα γὰρ
ὁμολογεῖς ἐπίστασθαι: ἔοικα ἔφην ἐγὼ ἐπειδή γε οὐ-
δεμίαν ἔχει δύναμιν τὸ ἃ ἐπίσταμαι· πάντα δὲ ἐπίσταμαι: οὐ-
κοῦν καὶ ἀεὶ ὡμολόγηκας ἐπίστασθαι τούτῳ ᾧ ἐπίστασαι εἴτε
ὅταν ἐπίστῃ εἴτε ὅπως βούλει· ἀεὶ γὰρ ὡμολόγηκας ἐπίστα-
σθαι καὶ ἅμα πάντα· δῆλον οὖν ὅτι καὶ παῖς ὢν ἠπίστω καὶ ὅ-
τ' ἐγίγνου καὶ ὅτ' ἐφύου καὶ πρὶν αὐτὸς γενέσθαι· καὶ πρὶν οὐρα-
νὸν καὶ γῆν γενέσθαι ἠπίστω ἅπαντα εἴπερ ἀεὶ ἐπίστασαι· καὶ
ναὶ μὰ Δία ἔφη αὐτὸς ἀεὶ ἐπιστήσει· καὶ ἅπαντα ἂν ἐγὼ βούλω-
μαι: ἀλλὰ βουληθείης ἦν δ' ἐγὼ ὦ πολυτίμητε Εὐθύδημε·
εἰ δὴ τῷ ὄντι ἀληθῆ λέγετον· ἀλλ' οὔ σοι πάνυ πιστεύω ἱκανὼ εἶναι

μαι ἂν μή σοι καὶ οὐ μεθῇ ἦ ὁ ἀδελφός σου οὑτοσὶ Διονυσόδωρος οὐ-
πω ταχὺ ἂν ἢ πείσομαι δέομαι. ἦν δ' ἐγώ· τὰ μὲν γὰρ ἄλλα οὐκ ἔχω ὑμῖν
πῶς ἀμφισβητοίην, οὕτως ἢ σοφίαν τερατώδει ἀνθρώ-
ποις, ὅπως οὐ πάντα ἐπίσταμαι, ἐπειδή γε ὑμεῖς φατε· τὰ δὲ
τοιάδε πῶς φῶ ἐπίστασθαι, Εὐθύδημε, ὡς οἱ ἀγαθοὶ ἄνδρες
ἄδικοί εἰσιν; φέρε εἰπέ, τοῦτο ἐπίσταμαι ἢ οὐκ ἐπίσταμαι; ἐπί-
στασαι μέντοι, ἔφη. τί, ἦν δ' ἐγώ; ὅτι οὐκ ἄδικοί εἰσιν οἱ ἀγαθοί.
πάλαι γε, ἦν δ' ἐγώ, πάλαι· ἀλλ' οὐ τοῦτο ἐρωτῶ· ἀλλ' ὡς ἄδικοί εἰ-
σιν οἱ ἀγαθοί, ποῦ ἐγὼ τοῦτο ἔμαθον; οὐδαμοῦ, ἔφη ὁ Διονυ-
σόδωρος. οὐκ ἄρα οὐκ ἐπίσταμαι, ἔφην, τοῦτο ἐγώ. διαφθείρεις,
ἔφη, τὸν λόγον ὁ Εὐθύδημος πρὸς τὸν Διονυσόδωρον, καὶ φα-
νήσεται οὑτοσὶ οὐκ ἐπιστάμενος, καὶ ἐπιστήμων ἅμα ὢν καὶ ἀ-
νεπιστήμων. καὶ ὁ Διονυσόδωρος ἠρυθρίασεν. ἀλλὰ σύ, ἦν δ' ἐγώ,
πῶς λέγεις, ὦ Εὐθύδημε; οὐ δοκεῖ σοι ὀρθῶς ὁ ἀδελφὸς λέγειν ὁ πάν-
τα εἰδώς; ἀδελφὸς γάρ, ἔφη, ἐγώ εἰμι Εὐθυδήμου, ταχὺ ὑπολα-
βὼν ὁ Διονυσόδωρος; κἀγὼ εἶπον· ἔασον, ὠγαθέ, ἕως ἂν Εὐ-
θύδημός με διδάξῃ ὡς ἐπίσταμαι τοὺς ἀγαθοὺς ἄνδρας ὅτι
ἄδικοί εἰσι, καὶ μή μοι φθονήσῃς τοῦ μαθήματος. φεύγεις,
ἔφη, ὦ Σώκρατες, ὁ Διονυσόδωρος, καὶ οὐκ ἐθέλεις ἀποκρίνεσθαι.
εἰκότως γ', εἶπον ἐγώ· ἥττων γάρ εἰμι καὶ τοῦ ἑτέρου ὑμῶν, ὥστε πολ-
λοῦ δέω μὴ οὐ δύο γε φεύγειν. πολὺ γάρ που εἰμὶ φαυλότερος
τοῦ Ἡρακλέους, ὃς οὐχ οἷός τε ἦν τῇ τε ὕδρᾳ διαμάχεσθαι σο-
φιστρίᾳ οὔσῃ καὶ διὰ τὴν σοφίαν ἀνιείσῃ, εἰ μίαν κεφαλὴν τοῦ
λόγου τις ἀποτέμοι, πολλὰς ἀντὶ τῆς μιᾶς, καὶ καρκίνῳ
τινὶ ἑτέρῳ σοφιστῇ ἐκ θαλάττης ἀφιγμένῳ νεωστί μοι δο-
κεῖν καταπεπλευκότι· ὃς ἐπειδὴ αὐτὸν ἐλύπει οὕτως ἐκ τοῦ
ἐπ' ἀριστερὰ λέγων καὶ δάκνων, τὸν Ἰόλεων τὸν ἀδελφιδοῦν βοη-
θὸν ἐπεκαλέσατο· ὁ δὲ αὐτῷ ἱκανῶς ἐβοήθησεν. ὁ δ' ἐμὸς
Ἰόλεως Πατροκλῆς εἰ ἔλθοι, πλέον ἂν θάτερον ποιήσειεν.
ἀποκρίναι δή, ἔφη ὁ Διονυσόδωρος, ὁπότε σοι ταῦτα ὕμνηται·
πότερον ὁ Ἰόλεως τοῦ Ἡρακλέους μᾶλλον ἦν ἀδελφιδοῦς ἢ
σός; κράτιστον τοίνυν μοι, ὦ Διονυσόδωρε, ἦν δ' ἐγώ, ἀποκρί-
νασθαί σοι. οὐ γὰρ μὴ ἀνῇς ἐρωτῶν, σχεδόν τι ἐγὼ τοῦτ' εὖ
οἶδα, φθονῶν καὶ διακωλύων ἵνα μὴ διδάξῃ με Εὐθύδημος

εἰκάζομεν τὸ σοφόν: ἀποκρίνου δή ἔφη: ἀποκρινοῦμαι δή ἔφην
ὅτι τοῦ ἡρακλέους ἦν ὁ ἰόλεως ἀδελφιδοῦς ἐμὸς δ' ὡς ἐμοὶ
δοκεῖ οὐδ' ὁπωστιοῦν· οὐ γὰρ πατροκλῆς ἦν αὐτῷ πατὴρ ὁ
ἐμὸς ἀδελφὸς· ἀλλὰ παραπλήσιον μὲν τοὔνομα ἰφικλῆς
ὁ ἡρακλέους ἀδελφός: πατροκλῆς δὲ ἦ δ' ὅς σός: πάνυ
γ' ἔφην ἐγὼ ὁμομήτριός γε οὐ μέντοι ὁμοπάτριος: ἀδελ
φὸς ἄρα ἐστί σοι καὶ οὐκ ἀδελφός: οὐχ ὁμοπάτριός γε ὦ βέλ
τιστε ἔφην· ἐκείνου μὲν γὰρ χαιρέδημος ἦν πατὴρ ἐμὸς
δὲ σωφρονίσκος: πατὴρ δὲ ἦν ἔφη σωφρονίσκος καὶ
χαιρέδημος: πάνυ γ' ἔφην ὁ μέν γε ἐμὸς ὁ δὲ ἐκείνου: οὐ
κοῦν ἦ δ' ὃς ἕτερος ἦν χαιρέδημος τοῦ πατρός: τοὐμοῦ
γ' ἔφην ἐγώ: ἆρ' οὖν πατὴρ ἦν ἕτερος ὢν πατρός· ἢ σὺ
εἶ ὁ αὐτὸς τῷ λίθῳ: δέδοικα μὲν ἔγωγ' ἔφην μὴ φανῶ ὑπὸ
σοῦ ὁ αὐτός· οὐ μέντοι μοι δοκῶ: οὐκοῦν ἕτερος εἶ ἔφη τοῦ
λίθου: ἕτερος μέντοι: ἄλλο τι οὖν ἕτερος ἦ δ' ὃς ὢν λίθου
οὐ λίθος εἶ· καὶ ἕτερος ὢν χρυσοῦ οὐ χρυσὸς εἶ: ἔστι ταῦ
τα: οὐκοῦν καὶ ὁ χαιρέδημος ἔφη ἕτερος ὢν πατρὸς οὐ
κ' ἂν πατὴρ εἴη: ἔοικεν ἦν δ' ἐγὼ οὐ πατὴρ εἶναι· εἰ γὰρ δή
που ἔφη πατήρ ἐστιν ὁ χαιρέδημος ὑπολαβὼν ὁ εὐθύδημος
πάλιν αὖ ὁ σωφρονίσκος ἕτερος ὢν πατρὸς οὐ πατήρ ἐστιν·
ὥστε σύ ὦ σώκρατες ἀπάτωρ εἶ: καὶ ὁ κτήσιππος ἐκδε
ξάμενος· ὁ δὲ ὑμέτερος ἔφη αὖ πατὴρ οὐ ταὐτὰ ταῦτα πέ
πονθεν ἕτερός ἐστιν τοὐμοῦ πατρός: πολλοῦ γ' ἔφη δεῖ ὁ
εὐθύδημος: ἀλλὰ ἦ δ' ὃς ὁ αὐτός: ὁ αὐτὸς μέντοι: οὐκ ἂν
συμβουλοίμην: ἀλλὰ πότερον ὦ εὐθύδημε ἐμὸς μόνος
ἐστὶ πατὴρ ἢ καὶ τῶν ἄλλων ἀνθρώπων: καὶ τῶν ἄλλων ἔφη· ἢ
οἴει τὸν αὐτὸν πατέρα ὄντα οὐ πατέρα εἶναι: ᾤμην δῆτα
ἔφη ὁ κτήσιππος: τί δέ ἦ δ' ὅς· χρυσὸν ὄντα μὴ χρυσὸν
εἶναι· ἢ ἄνθρωπον ὄντα μὴ ἄνθρωπον: μὴ γὰρ ἔφη ὁ κτή
σιππος ὦ εὐθύδημε τὸ λεγόμενον οὐ λίνον λίνῳ συνάπτεις
δεινὸν γὰρ λέγεις πρᾶγμα εἰ ὁ σὸς πατὴρ πάντων ἐστὶ πα
τήρ: ἀλλ' ἔστιν ἔφη: πότερον ἀνθρώπων ἦ δ' ὃς ὁ κτήσιπ
πος· ἢ καὶ ἵππων ἢ καὶ τῶν ἄλλων πάντων ζῴων: πάν
των ἔφη: ἦ καὶ μήτηρ μήτηρ: καὶ ἡ μήτηρ γε: καὶ τῶν ἐχί

[illegible]ρα ἔφη καὶ σοὶ μήτηρ, μήτηρ ἐστὶ τῶν θαλαττίων· καὶ σοί γ' ἔφη:
καὶ σὺ ἄρα ἀδελφὸς εἶ τῶν κωβιδίων καὶ κυναρίων· καὶ χοιριδί-
ων· καὶ γὰρ σύ ἔφη: καὶ πρός γ' ἄρα σοι πατήρ ἐστι καὶ κύων:
καὶ γὰρ σύ ἔφη: αὐτίκα δέ γε καὶ σύ ἔφη ὁ Διονυσόδωρος ἄν μοι
ἀποκρίνῃ ὦ Κτήσιππε ὁμολογήσεις ταῦτα· εἰπὲ γάρ μοι ἔστι
σοι κύων: καὶ μάλα πονηρός ἔφη ὁ Κτήσιππος: ἔστιν οὖν
αὐτῷ κυνίδια: καὶ μάλ' ἔφη ἕτερα τοιαῦτα: οὐκοῦν πατήρ ἐ-
στιν αὐτῶν ὁ κύων: ἔγωγέ τοι εἶδον ἔφη αὐτὸν ὀχεύοντα τὴν
κύνα: τί οὖν οὐ σός ἐστιν ὁ κύων: πάνυ γ' ἔφη: οὐκοῦν πα-
τὴρ ὢν σός ἐστιν· ὥστε σὸς πατὴρ γίγνεται ὁ κύων· καὶ σὺ κυ-
ναρίων ἀδελφός: καὶ αὖθις ταχὺ ὑπολαβὼν ὁ Διονυσόδω-
ρος ἵνα μὴ πρότερόν τι εἴποι ὁ Κτήσιππος καὶ ἔτι γέ μοι μι-
κρὸν ἔφη ἀπόκριναι· τύπτεις τὸν κύνα τοῦτον: καὶ ὁ Κτήσιπ-
πος γελάσας νὴ τοὺς θεοὺς ἔφη· οὐ γὰρ δύναμαι σέ: οὐκοῦν
τὸν σαυτοῦ πατέρα ἔφη τύπτεις: πολὺ μέντοι ἔφη δικαιό-
τερον τὸν ὑμέτερον πατέρα τύπτοιμι ὅτι μαθὼν σοφοὺς υἱεῖς
οὕτως ἔφυσεν· ἀλλ' ἦ που ὦ Εὐθύδημε ὁ Κτήσιππος πόλλ' ἀ-
γαθὰ ἀπὸ τῆς ὑμετέρας σοφίας ταύτης ἀπολέλαυκεν
ὁ πατὴρ ὁ ὑμέτερός τε καὶ ὁ τῶν κυνιδίων: ἀλλ' οὐδὲν δεῖται πολ-
λῶν ἀγαθῶν ὦ Κτήσιππε οὔτ' ἐκεῖνος οὔτε σύ: οὐδὲ σὺ ἦ
δ' ὅς ὦ Εὐθύδημε αὐτός: οὐδὲ ἄλλος γε οὐδεὶς ἀνθρώπων·
εἰπὲ γάρ μοι ὦ Κτήσιππε εἰ ἀγαθὸν νομίζεις εἶναι ἀσθενοῦν-
τι φάρμακον πιεῖν ἢ οὐκ ἀγαθὸν εἶναι δοκεῖ σοι ὅταν δέηται·
ἢ εἰς πόλεμον ὅταν ἴῃ ὅπλα ἔχοντα μᾶλλον ἰέναι ἢ ἄνοπλον:
ἔμοιγε ἔφη· καίτοι οἶμαί τι σε τῶν καλῶν ἐρεῖν: σὺ ἄριστα εἴσει
ἔφη· ἀλλ' ἀποκρίνου· ἐπειδὴ γὰρ ὡμολόγησας ἀγαθὸν εἶναι φάρ-
μακον ὅταν δέῃ πίνειν ἀνθρώπῳ· ἀλλ' ὅτι τοῦτο ἀγαθὸν ὡς
πλεῖστον δεῖ πίνειν· καὶ καλῶς ἐκεῖ ἕξει ἐάν τις αὐτῷ τρί-
ψας ἐγκεράσῃ ἐλλεβόρου ἅμαξαν: καὶ ὁ Κτήσιππος εἶπεν·
πάνυ γε σφόδρα ὦ Εὐθύδημε ἐάν γε ᾖ ὁ πίνων ὅσος ὁ ἀν-
δριὰς ὁ ἐν Δελφοῖς: οὐκοῦν ἔφη καὶ ἐν τῷ πολέμῳ ἐπειδὴ
ἀγαθόν ἐστιν ὅπλα ἔχειν ὡς πλεῖστα δεῖ ἔχειν δόρατά τε καὶ ἀ-
σπίδας· ἐπειδήπερ ἀγαθόν ἐστιν: μάλα δήπου ἔφη ὁ Κτήσιπ-
πος· σὺ δ' οὐκ οἴει ὦ Εὐθύδημε ἀλλὰ μίαν καὶ ἓν δόρυ: ἔγωγε:

ἢ καὶ τὸν γηρυόνην ἂν ἔφη καὶ τὸν βριάρεων οὕτως σὺ ὑπολαμβάνεις·
ἐγὼ δὲ ᾤμην ὡς ἀμφοτέρους εἶναι αὐτὼ ὁπλομάχω ὄντε καὶ τὸν
δὲ τὸν ἑταῖρον· καὶ ὁ μὲν εὐθύδημος ἐσίγησεν· ὁ δὲ διονυσόδω-
ρος πρὸς τὰ πρότερον αὖ ἀποκεκριμένα τῷ κτησίππῳ ἤρετο·
Οὐκοῦν καὶ χρυσίον ἦ δ' ὃς ἀγαθὸν δοκεῖ σοι εἶναι ἔχειν· πάνυ
καὶ ταῦτά γε πολύ ἔφη ὁ κτήσιππος· τί οὖν ἀγαθὰ οὐ δοκεῖ
σοι χρήματα ἀεί τε ἔχειν καὶ πανταχοῦ· σφόδρα γ' ἔφη· οὐ-
κοῦν καὶ τὸ χρυσίον ἀγαθὸν ὁμολογεῖς εἶναι· ὡμολόγη-
κα μὲν οὖν ἦ δ' ὅς· οὐκοῦν ἀεὶ δεῖ αὐτὸ ἔχειν καὶ πανταχοῦ καὶ
ὡς μάλιστα ἐν ἑαυτῷ· καὶ εἴη ἂν εὐδαιμονέστατος εἰ ἔχοι χρυσί-
ου μὲν τρία τάλαντα ἐν τῇ γαστρί, τάλαντον δ' ἐν τῷ κρανίῳ, στατῆ-
ρα δὲ χρυσοῦ ἐν ἑκατέρῳ τῷ ὀφθαλμῷ· φασί γε οὖν ὦ εὐθύ-
δημε ἔφη ὁ κτήσιππος τούτους εὐδαιμονεστάτους εἶναι σκυ-
θῶν καὶ ἀρίστους ἄνδρας οἳ χρυσίον τε ἐν τοῖς κρανίοις ἔχου-
σιν πολὺ τοῖς ἑαυτῶν ὥσπερ σὺ νῦν δὴ ἔλεγες τὸν κύνα τὸν πα-
τέρα· καὶ ὃ θαυμασιώτερόν γε ἔτι ὅτι καὶ πίνουσιν ἐκ τῶν ἑ-
αυτῶν κρανίων κεχρυσωμένων καὶ ταῦτα ἐντὸς καθορῶσι τὴν
ἑαυτῶν κορυφὴν ἐν ταῖς χερσὶν ἔχοντες· πότερον δὲ ὁρῶσιν
ἔφη ὁ εὐθύδημος καὶ σκύθαι τε καὶ οἱ ἄλλοι ἄνθρωποι τὰ δυνα-
τὰ ὁρᾶν ἢ τὰ ἀδύνατα· τὰ δυνατὰ δήπου· οὐκοῦν καὶ σύ·
ἔφη κἀγώ· ὁρᾷς οὖν τὰ ἡμέτερα ἱμάτια· ναί· δυνατὰ οὖν ὁ-
ρᾶν ἐστὶν ταῦτα· ὑπερφυῶς ἔφη ὁ κτήσιππος· τί δὲ ἦ δ' ὅς·
μηδέν· σὺ δὲ ἴσως οὐκ οἴει αὐτὰ ὁρᾶν, οὕτως ἡδὺς εἶ· ἀλλά μοι
δοκεῖς εὐθύδημε οὐ καθεύδων ἐπικεκοιμᾶσθαι. καὶ εἰ οἷόν τε
λέγοντα μηδὲν λέγειν. καὶ σὺ τοῦτο ποιεῖν. ἢ γὰρ οὐχ οἷόν τε ἔφη
ὁ διονυσόδωρος σιγῶντα λέγειν· οὐδ' ὁπωστιοῦν ἦ δ' ὃς ὁ κτή-
σιππος· ἆρ' οὐδὲ λέγοντα σιγᾶν· ἔτι ἧττον ἔφη· ὅταν οὖν
λίθους λέγῃς καὶ ξύλα καὶ σιδήρια, οὐ σιγῶντα λέγεις· οὐ-
κουν εἴγε ἐγὼ ἔφη παρέρχομαι ἐν τοῖς χαλκείοις ἀλλὰ φθεγ-
γόμενα καὶ βοῶντα μέγιστον τὰ σιδήρια λέγεται ἐάν τις ἅ-
πτηται. ὥστε τοῦτο μὲν ὑπὸ σοφίας ἔλαθες οὐδὲν εἰπών.
ἀλλ' ἔτι μοι τὸ ἕτερον ἐπιδείξατον ὅπως αὖ ἐστὶν λέγοντα σιγᾶν.
καί μοι ἐδόκει ὑπεραγωνιᾶν ὁ κτήσιππος διὰ τὰ παιδικά·
Ὅταν σιγᾷς ἔφη ὁ εὐθύδημος οὐ πάντα σιγᾷς· ἔγωγε

οὐκοῦν καὶ τὰ λέγοντα σιγᾷ ἐπείπερ τῶν ἁπάντων ἐστὶ
τὰ λεγόμενα· τί δέ ἔφη ὁ κτήσιππος οὐ σιγᾷ τὰ πάντα· οὐ δή-
που ἔφη ὁ εὐθύδημος· ἀλλ' ἆρα ὦ βέλτιστε λέγει τὰ πάντα·
τά γε δήπου λέγοντα· ἀλλ' ἦ δ' ὅς οὐ τοῦτο ἐρωτῶ ἀλλὰ τὰ
πάντα σιγᾷ ἢ λέγει· οὐδέτερα καὶ ἀμφότερα ἔφη ὑφαρ-
πάσας ὁ διονυσόδωρος· εὖ γὰρ οἶδα ὅτι τῇ ἀποκρίσει οὐχ ἕ-
ξεις ὅτι χρῇ· καὶ ὁ κτήσιππος ὥσπερ εἰώθει μέγα πάνυ
ἀνακαγχάσας· ὦ εὐθύδημε ἔφη ὁ ἀδελφός σου ἐξημφοτέρικεν
τὸν λόγον καὶ ἀπόλωλέ τε καὶ ἥττηται· καὶ ὁ κλεινίας πάνυ ἥ-
σθη καὶ ἐγέλασεν ὥστε ὁ κτήσιππος ἐγένετο πλεῖον ἢ δεκαπλά-
σιος· ὁ δέ μοι πανοῦργος ὢν ὁ κτήσιππος παρ' αὐτῶν τούτων
αὐτὰ ταῦτα παρειληφώς· οὐ γάρ ἐστιν ἄλλων τοιαύτη σοφία τῶν
νῦν ἀνθρώπων· κἀγὼ εἶπον τί γελᾷς ὦ κλεινία ἐπὶ σπουδαί-
οις οὕτω πράγμασι καὶ καλοῖς· σὺ γὰρ ἤδη τι πώποτε εἶδες ὦ
σώκρατες καλὸν πρᾶγμα ἔφη ὁ διονυσόδωρος· ἔγωγε ἔ-
φην καὶ πολλά γε ὦ διονυσόδωρε· ἆρα ἕτερα ὄντα τοῦ καλοῦ
ἔφη ἢ ταὐτὰ τῷ καλῷ· κἀγὼ ἐν παντὶ ἐγενόμην ὑπὸ ἀπο-
ρίας καὶ ἡγούμην δίκαια πεπονθέναι ὅτι ἔγρυξα· ὅμως δὲ
ἕτερα ἔφην αὐτοῦ γε τοῦ καλοῦ· πάρεστιν μέντοι ἑκάστῳ αὐτῶν
κάλλος τι· ἐὰν οὖν ἔφη παραγένηταί σοι βοῦς βοῦς εἶ· καὶ ὅτι
νῦν ἐγώ σοι πάρειμι διονυσόδωρος εἶ· εὐφήμει τοῦτό γε ἦν
δ' ἐγώ· ἀλλὰ τίνα τρόπον ἔφη ἑτέρου ἑτέρῳ παραγενομένου
τὸ ἕτερον ἕτερον ἂν εἴη· ἆρα τοῦτο ἔφην ἐγὼ ἀπορεῖς· ἤδη
τοῖν ἀνδροῖν τὴν σοφίαν ἐπεχείρουν μιμεῖσθαι ἅτε ἐπιθυ-
μῶν αὐτῆς· πῶς γὰρ οὐκ ἀπορῶ ἔφη καὶ ἐγὼ καὶ οἱ ἄλλοι ἅ-
παντες ἄνθρωποι ὃ μή ἐστι· τί λέγεις ἦν δ' ἐγὼ ὦ διονυσό-
δωρε· οὐ τὸ καλὸν καλόν ἐστιν καὶ τὸ αἰσχρὸν αἰσχρόν· ἐάν γ' ἐμοί
γε ἔφη δοκῇ· οὐκοῦν δοκεῖ· πάνυ γ' ἔφη· οὐκοῦν καὶ τὸ ταὐ-
τὸν ταὐτὸν καὶ τὸ ἕτερον ἕτερον· οὐ γὰρ δήπου τό γε ἕτερον ταὐ-
τόν· ἀλλ' ἔγωγε οὐδ' ἂν παῖδα ᾤμην τοῦτο ἀπορῆσαι· ὡς
οὐ τὸ ἕτερον ἕτερόν ἐστιν· ἀλλ' ὦ διονυσόδωρε τοῦτο μὲν ἑ-
κὼν παρῆκας· ἐπεὶ τὰ ἄλλα μοι δοκεῖτε ὥσπερ οἱ δημιουργοὶ
οἷς ἕκαστα προσήκει ἀπεργάζεσθαι καὶ ὑμεῖς τὸ διαλέγε-
σθαι παγκάλως ἀπεργάζεσθαι· οἶσθα οὖν ἔφη ὅ τι προσή-

κει ἑκάστοις τῶν δημιουργῶν; πρῶτον τίνα χαλκεύειν προ-
σήκει; οἶσθα; ἔγωγε· ὅτι χαλκέα· τί δὲ κεραμεύειν; κεραμέα·
τί δὲ σφάττειν τε καὶ ἐκδέρειν καὶ τὰ μικρὰ κρέα κατακόπτοντα
ἕψειν καὶ ὀπτᾶν; μαγείρου, ἦν δ' ἐγώ· οὐκοῦν ἐάν τις ἔφη τὰ
προσήκοντα πράττῃ ὀρθῶς πράξει; μάλιστα· προσήκει
δέ γε ὡς φῄς τὸν μάγειρον κατακόπτειν καὶ ἐκδέρειν; ὡμο-
λόγησας ταῦτα ἢ οὔ; ὡμολόγησα ἔφην, ἀλλὰ συγγνώ-
μην μοι ἔχε· δῆλον τοίνυν ἦ δ' ὅς, ὅτι ἄν τις σφάξας τὸν
μάγειρον καὶ κατακόψας ἑψήσῃ καὶ ὀπτήσῃ, τὰ προσήκον-
τα ποιήσει· καὶ ἐὰν τὸν χαλκέα τις αὐτὸν χαλκεύῃ καὶ τὸν
κεραμέα κεραμεύῃ, καὶ οὗτος τὰ προσήκοντα πράξει· ὦ
πόσειδον ἦν δ' ἐγώ, ἤδη κολοφῶνα ἐπιτιθεῖς τῇ σοφίᾳ· ἆρα
μοί ποτε αὕτη παραγενήσεται ὥστε μοι οἰκεία γενέσθαι; ἐπι-
γνοίης ἂν αὐτήν, ὦ σώκρατες ἔφη, οἰκείαν γενομένην; ἐὰν
σύ γε βούλῃ ἔφην· ἐγὼ δῆλον ὅτι· τί δέ, ἦ δ' ὅς, τὰ σαυτοῦ
οἴει γιγνώσκειν; εἰ μή τι σὺ ἄλλο λέγεις· ἀπὸ σοῦ γὰρ δεῖ ἄρ-
χεσθαι, τελευτᾶν δὲ εἰς εὐθύδημον τόνδε· ἆρ' οὖν ἔφη ταῦτα
ἡγῇ σὰ εἶναι ὧν ἂν ἄρξῃς καὶ ἐξῇ σοι αὐτοῖς χρῆσθαι ὅτι
ἂν βούλῃ; οἷον βοῦς καὶ πρόβατον ἆρ' ἂν ἡγοῖο ταῦτα σὰ εἶ-
ναι ἅ σοι ἐξείη καὶ ἀποδόσθαι καὶ δοῦναι καὶ θῦσαι ὅτῳ βούλοιο
θεῶν· ἃ δ' ἂν μὴ οὕτως ἔχῃ, οὐ σά; κἀγὼ ᾔδη γὰρ ὅτι ἐξ αὐτῶν
καλόν τι ἀνακύψοιτο τῶν ἐρωτημάτων· καὶ ἅμα βουλόμενος ὅτι
τάχιστα ἀκοῦσαι· πάνυ μὲν οὖν ἔφην οὕτως ἔχει· τὰ τοιαῦτ' ἔστιν
μόνα ἐμά· τί δέ; ζῷα ἔφη οὐ ταῦτα καλεῖς ἃ ἂν ψυχὴν ἔχῃ;
ναί ἔφην· ὁμολογεῖς οὖν τῶν ζῴων ταῦτα μόνα εἶναι σά,
περὶ ἃ ἄν σοι ἐξουσία ᾖ πάντα ταῦτα ποιεῖν ἃ νυνδὴ ἐγὼ
ἔλεγον; ὁμολογῶ· καὶ ὃς εἰρωνικῶς πάνυ ἐπισχὼν ὡς τι
μέγα σκοπούμενος· εἰπέ μοι ἔφη ὦ σώκρατες, ἔστιν σοι ζεὺς
πατρῷος; καὶ ἐγὼ ὑποπτεύσας ἥξειν τὸν λόγον οἷπερ
ἐτελεύτησεν, ἄπορόν τινα στροφὴν ἔφευγόν τε καὶ ἐστρεφό-
μην ἤδη ὥσπερ ἐν δικτύῳ εἰλημμένος· οὐκ ἔστιν ἦν δ' ἐγὼ
ὦ διονυσόδωρε· ταλαίπωρος ἄρα τις σύ γε ἄνθρωπος
εἶ καὶ οὐδὲ ἀθηναῖος, ᾧ μήτε θεοὶ πατρῷοί εἰσιν μήτε ἱ-
ερὰ μήτε ἄλλο μηδὲν καλὸν καὶ ἀγαθόν· ἔα κἂν δ' ἐγὼ ὦ διο-
νύσο

...ωρε εὐφήμει τε καὶ μὴ χαλεπῶς με προδίδασκε· ἔστι γάρ ἔ-
μοιγε καὶ ἱερὰ οἰκεῖα καὶ πατρῷα καὶ τὰ ἄλλα ὅσαπερ τοῖς
ἄλλοις Ἀθηναίοις τῶν τοιούτων· εἶτα τοῖς ἄλλοις ἔφη Ἀθη-
ναίοις οὐκ ἔστι Ζεὺς ὁ πατρῷος· οὐκ ἔστιν ἦν δ' ἐγὼ αὕτη
ἡ ἐπωνυμία Ἰώνων οὐδενὶ οὔθ' ὅσοι ἐκ τῆσδε τῆς πόλεως ἀπῳ-
κισμένοι εἰσὶν οὔθ' ἡμῖν· ἀλλὰ Ἀπόλλων πατρῷος διὰ τὴν
τοῦ Ἴωνος γένεσιν· Ζεὺς δ' ἡμῖν πατρῷος μὲν οὐ καλεῖται
ἑρκεῖος δὲ καὶ φράτριος καὶ Ἀθηναία φρατρία· ἀλλ' ἀρκεῖ γ' ἔ-
φη ὁ Διονυσόδωρος· ἔστιν γάρ σοι ὡς ἔοικεν Ἀπόλλων τε καὶ Ζεὺς
καὶ Ἀθηνᾶ· πάνυ ἦν δ' ἐγώ· οὐκοῦν καὶ οὗτοί σοι θεοὶ ἂν
εἶεν ἔφη· πρόγονοι ἦν δ' ἐγὼ καὶ δεσπόται· ἀλλ' οὖν σοί γε ἔ-
φη· ἢ οὐ σοὺς ὡμολόγηκας αὐτοὺς εἶναι· ὡμολόγηκα ἔφην·
τί γὰρ πάθω· οὐκοῦν ἔφη καὶ ζῷά εἰσιν οὗτοι οἱ θεοί· ὡμο-
λόγηκας γὰρ ὅσα ψυχὴν ἔχει ζῷα εἶναι· ἢ οὗτοι οἱ θεοὶ οὐκ ἔ-
χουσι ψυχήν· ἔχουσιν ἦν δ' ἐγώ· οὐκοῦν καὶ ζῷά εἰσιν· ζῷα
ἔφην· τῶν δὲ ζῴων ἔφη ὡμολόγηκας ταῦτ' εἶναι σὰ ὅ-
σα ἄν σοι ἐξῇ καὶ δοῦναι καὶ ἀποδόσθαι καὶ θῦσαι ἂν θεῷ
ὅτῳ ἂν βούλῃ· ὡμολόγηκα ἔφην· οὐκ ἔστιν γάρ μοι ἀνά-
δυσις ὦ Εὐθύδημε· ἴθι δή μοι εὐθύς ἦ δ' ὅς εἰπέ· ἐπειδὴ
σὸν ὁμολογεῖς εἶναι τὸν Δία καὶ τοὺς ἄλλους θεούς· ἆρα ἔ-
ξεστί σοι αὐτοὺς ἀποδόσθαι ἢ δοῦναι ἢ ἄλλ' ὅτι ἂν βούλῃ χρῆ-
σθαι ὥσπερ τοῖς ἄλλοις ζῴοις· ἐγὼ μὲν οὖν ὦ Κρίτων
ὥσπερ πληγεὶς ὑπὸ τοῦ λόγου ἐκείμην ἄφωνος· ὁ δὲ Κτή-
σιππός μοι ἰὼν ὡς βοηθήσων· πυππὰξ ὦ Ἡράκλεις ἔφη
καλοῦ λόγου· καὶ ὁ Διονυσόδωρος πότερον οὖν ἔφη ὁ Ἡρα-
κλῆς πυππάξ ἐστιν ἢ ὁ πυππὰξ Ἡρακλῆς· καὶ ὁ Κτήσιππος
ὦ Πόσειδον ἔφη δεινῶν λόγων· ἀφίσταμαι· ἀμάχω τὼ ἄνδρε·
ἐνταῦθα μέντοι ὦ φίλε Κρίτων οὐδεὶς ὅστις οὐ τῶν παρόντων
ὑπερεπῄνεσε τὸν λόγον καὶ τὼ ἄνδρε καὶ γελῶντες καὶ κρο-
τοῦντες καὶ χαίροντες ὀλίγου παρετάθησαν· ἐπὶ μὲν γὰρ τοῖς
ἔμπροσθεν ἐφ' ἑκάστοις πᾶσι παγκάλως ἐθορύβουν μόνοι
οἱ τοῦ Εὐθυδήμου ἐρασταί· ἐνταῦθα δὲ ὀλίγου καὶ οἱ κίονες
οἱ ἐν τῷ Λυκείῳ ἐθορύβησάν τ' ἐπὶ τοῖν ἀνδροῖν καὶ ἥσθησαν·
ἐγὼ μὲν οὖν καὶ αὐτὸς οὕτω διετέθην ὥστε ὁμολογεῖν μη-

δέρας πώποτε ἀνθρώπους ἰδεῖν οὕτω σοφούς· καὶ παντάπασι
καταδουλωθεὶς ὑπὸ τῆς σοφίας αὐτοῖν ἐπὶ τὸ ἐπαινεῖν τε καὶ ἐγ-
κωμιάζειν αὐτὼ ἐτραπόμην· καὶ εἶπον· ὦ μακάριοι σφὼ τῆς θαυ-
μαστῆς φύσεως, οἳ τοσοῦτον πρᾶγμα οὕτω ταχὺ καὶ ἐν ὀλίγῳ
χρόνῳ ἐξειργάσθον. πολλὰ μὲν οὖν καὶ ἄλλα οἱ λόγοι ὑμῶν κα-
λὰ ἔχουσιν ὦ Εὐθύδημέ τε καὶ Διονυσόδωρε· ἐν δὲ τοῖς καὶ τοῦ-
το μεγαλοπρεπέστερον, ὅτι τῶν πολλῶν ἀνθρώπων καὶ τῶν
σεμνῶν δὴ καὶ δοκούντων τὶ εἶναι οὐδὲν ὑμῖν μέλει, ἀλλὰ τῶν ὁμοί-
ων ὑμῖν μόνον. ἐγὼ γὰρ εὖ οἶδα ὅτι τούτους τοὺς λόγους πά-
νυ μὲν ἂν ὀλίγοι ἀγαπῷεν ἄνθρωποι ὅμοιοι ὑμῖν· οἱ δ' ἄλλοι
οὕτω νοοῦσιν αὐτοὺς ὥστ' εὖ οἶδ' ὅτι αἰσχυνθεῖεν ἂν μᾶλλον
ἐξελέγχοντες τοιούτοις λόγοις τοὺς ἄλλους ἢ αὐτοὶ ἐξελεγ-
χόμενοι. καὶ τόδε αὖ ἕτερον δημοτικόν τι καὶ πρᾶον ἐν τοῖς λό-
γοις· ὁπόταν φῆτε μήτε καλὸν εἶναι μηδὲν μηδὲ τὸ παράπαν
ἕτερον ἑτέρου· ἀτεχνῶς μὲν τῷ ὄντι συρράπτετε τὰ στόματα
τῶν ἀνθρώπων ὥσπερ καὶ φατέ· ὅτι δ' οὐ μόνον τὰ τῶν ἄλλων ἀλλὰ
δόξαιτε ἂν καὶ τὰ ὑμέτερα αὐτῶν, τοῦτο πάνυ χαρίεν τέ ἐστιν καὶ
τὸ ἐπαχθὲς τῶν λόγων ἀφαιρεῖται. τὸ δὲ δὴ μέγιστον ὅτι ταῦτα
οὕτως ἔχει ὑμῖν καὶ τεχνικῶς ἐξηύρηται ὥστ' ἐν πάνυ ὀλίγῳ
χρόνῳ ὁντινοῦν ἂν μαθεῖν ἀνθρώπων· ἔγνων ἔγωγε καὶ τῷ
Κτησίππῳ τὸν νοῦν προσέχων ὡς ταχὺ ὑμᾶς ἐκ τοῦ παραχρῆ-
μα μιμεῖσθαι οἷός τ' ἦν. τοῦτο μὲν οὖν τοῦ πράγματος σφῷν
πρὸς μὲν τὸ ταχὺ παραδιδόναι καλόν, ἐναντίον δ' ἀνθρώπων
διαλέγεσθαι οὐκ ἐπιτήδειον· ἀλλ' ἄν γέ μοι πείθησθε, εὐλαβή-
σεσθε μὴ πολλῶν ἐναντίον λέγειν, ἵνα μὴ ταχὺ ἐκμαθόντες
ὑμῖν μὴ εἰδῶσιν χάριν. ἀλλὰ μάλιστα μὲν αὐτὼ πρὸς ἀλλήλω μό-
νω διαλέγεσθον· εἰ δὲ μή, εἴπερ ἄλλου του ἐναντίον, ἐκείνου μό-
νου ὃς ἂν ὑμῖν διδῷ ἀργύριον. τὰ αὐτὰ δὲ ταῦτα ἐὰν σωφρο-
νῆτε καὶ τοῖς μαθηταῖς συμβουλεύσετε, μηδέποτε μηδενὶ
ἀνθρώπων διαλέγεσθαι ἀλλ' ἢ ὑμῖν τε καὶ αὐτοῖς. τὸ γὰρ σπάνι-
ον ὦ Εὐθύδημε τίμιον, τὸ δὲ ὕδωρ εὐωνότατον ἄριστον ὄν, ὡς
ἔφη Πίνδαρος. ἀλλ' ἄγετε ἦν δ' ἐγὼ ὅπως κἀμὲ καὶ Κλεινίαν
τόνδε παραδέξεσθον. ταῦτα ὦ Κρίτων καὶ ἄλλα ἄττα βραχέα δια-
λεχθέντες ἀπῇμεν. σκόπει οὖν ὅπως συμφοιτήσεις

παρ' αὐτὼ ἄνδρε ὡς ἐκείνω φατὸν οἵω τε εἶναι παιδεῦσαι τὸν ἐθέλον-
τα ἀργύριον διδόναι· καὶ οὔτε φύσιν οὔθ' ἡλικίαν ἐξείργειν οὐδεμίαν·
ὃ δὲ καὶ σοὶ μάλιστα προσήκει ἀκοῦσαι, ὅτι οὐδὲ τοῦ χρηματίζε-
σθαι φατὸν διακωλύειν οὐδὲν μὴ οὐ παραλαβεῖν ὁντινοῦν εὐπε-
τῶς τὴν σφετέραν σοφίαν: καὶ μὴν ὦ σώκρατες φιλήκοος μὲν
ἔγωγε καὶ ἡδέως ἄν τι μανθάνοιμι· κινδυνεύω μέντοι κἀγὼ εἷς
εἶναι τῶν οὐχ ὁμοίων εὐθυδήμῳ· ἀλλ' ἐκείνων ὧν δὴ καὶ σὺ ἔλε-
γες· τῶν ἥδιον ἂν ἐξελεγχομένων ὑπὸ τῶν τοιούτων λόγων
ἢ ἐξελεγχόντων· ἀτὰρ γελοῖον μέν μοι δοκεῖ εἶναι τὸ νουθετεῖν σε·
ὅμως δὲ ἅ γ' ἤκουσα ἐθέλω σοι ἀπαγγεῖλαι· τῶν ἀφ' ὑμῶν ἀπι-
όντων οἶσθ' ὅτι προσελθών τίς μοι περιπατοῦντι ἀνὴρ οἰόμενος
πάνυ εἶναι σοφὸς τούτων τις τῶν περὶ τοὺς λόγους τοὺς εἰς
τὰ δικαστήρια δεινῶν· ὦ κρίτων ἔφη οὐδὲν ἀκροᾷ τῶνδε τῶν
σοφῶν: οὐ μὰ τὸν δία ἦν δ' ἐγώ: οὐ γὰρ οἷός τ' ἦ προστὰς κατα-
κούειν ὑπὸ τοῦ ὄχλου· καὶ μὴν ἔφη ἄξιόν γ' ἦν ἀκοῦσαι. τί δέ
ἦν δ' ἐγώ: ἵνα ἤκουσας ἀνδρῶν διαλεγομένων οἳ νῦν σοφώτα-
τοί εἰσι τῶν περὶ τοὺς τοιούτους λόγους: κἀγὼ εἶπον· τί οὖν
ἐφαίνοντό σοι· τί δὲ ἄλλο ἦ δ' ὅς· ἢ οἷάπερ ἀεὶ ἄν τις τῶν τοιού-
των ἀκούσαι ληρούντων· καὶ περὶ οὐδενὸς ἀξίων ἀναξίαν σπου-
δὴν ποιουμένων· οὑτωσὶ γάρ πως καὶ εἶπεν τοῖς ὀνόμασιν:
καὶ ἐγὼ ἀλλὰ μέντοι ἔφην χαρίεν γέ τι πρᾶγμά ἐστιν ἡ φιλοσοφία:
ποῖον ἔφη χαρίεν ὦ μακάριε: οὐδενὸς μὲν οὖν ἄξιον· ἀλλὰ καὶ εἰ
νῦν παρεγένου· πάνυ ἄν σε οἶμαι αἰσχυνθῆναι ὑπὲρ τοῦ σεαυ-
τοῦ ἑταίρου· οὕτως ἦν ἄτοπος ἐθέλων ἑαυτὸν παρέχειν ἀν-
θρώποις οἷς οὐδὲν μέλει ὅτι ἂν λέγωσιν· παντὸς δὲ ῥήματος
ἀντέχονται· καὶ οὗτοι ὅπερ ἄρτι ἔλεγον ἐν τοῖς κρατίστοις
εἰσὶ τῶν νῦν· ἀλλὰ γὰρ ὦ κρίτων ἔφη τὸ πρᾶγμα αὐτὸ καὶ οἱ ἄν-
θρωποι οἱ ἐπὶ τῷ πράγματι διατρίβοντες· φαῦλοί εἰσιν καὶ
καταγέλαστοι· ἐμοὶ δὲ ὦ σώκρατες τὸ πρᾶγμα ἐδόκει οὐκ ὀρ-
θῶς ψέγειν οὔτε ἐκεῖνος οὔτ' εἴ τις ἄλλος ψέγει· τὸ μέντοι ἐθέ-
λειν διαλέγεσθαι τοιούτοις ἐναντίον πολλῶν ἀνθρώπων ὀρ-
θῶς μοι ἐδόκει μέμφεσθαι: ὦ κρίτων θαυμάσιοί εἰσιν οἱ τοιοῦ-
τοι ἄνδρες· ἀτὰρ οὔπω οἶδα ὅτι μέλλω ἐρεῖν· ποτέρων ἦν ὁ προ-
σελθών σοι καὶ μεμφόμενος τὴν φιλοσοφίαν· πότερον τῶν

ἀγωνίσασθαι δεινῶν ἐν τοῖς δικαστηρίοις ῥήτορσιν· ἢ τῶν τοὺς
τοιούτους εἰσπεμπόντων ποιητὴς τῶν λόγων οἷς οἱ ῥήτο-
ρες ἀγωνίζονται: ἥκιστα νὴ τὸν δία ῥήτωρ· οὐδὲ οἶμαι πώπο-
τε αὐτὸν ἐπὶ δικαστήριον ἀναβεβηκέναι· ἀλλ' ἐπαΐειν αὐτόν φασι πε-
ρὶ τοῦ πράγματος νὴ τὸν δία καὶ δεινὸν εἶναι καὶ δεινοὺς λό-
γους συντιθέναι: ἤδη μανθάνω· περὶ τούτων καὶ αὐτὸς νῦν δὴ
ἔμελλον λέγειν· οὗτοι γάρ εἰσιν ὦ κρίτων οὓς ἔφη πρόδικος με-
θόρια φιλοσόφου τε ἀνδρὸς καὶ πολιτικοῦ· οἴονται δ' εἶναι πάν-
των σοφώτατοι ἀνθρώπων· πρὸς δὲ τῷ εἶναι καὶ δοκεῖν πάνυ
παρὰ πολλοῖς· ὥστε παρὰ πᾶσιν εὐδοκιμεῖν ἐμποδὼν σφίσιν εἶ-
ναι οὐδένας ἄλλους ἢ τοὺς περὶ φιλοσοφίαν ἀνθρώπους· ἡγοῦν-
ται οὖν ἐὰν τούτους εἰς δόξαν καταστήσωσιν μηδενὸς δοκεῖν
ἀξίους εἶναι· ἀναμφισβητήτως ἤδη παρὰ πᾶσιν τὰ νικητή-
ρια εἰς δόξαν οἴσεσθαι σοφίας πέρι· εἶναι μὲν γὰρ τῇ ἀληθείᾳ
σφᾶς σοφωτάτους· ἐν δὲ τοῖς ἰδίοις λόγοις ὅταν ἀποληφ-
θῶσιν ὑπὸ τῶν ἀμφὶ εὐθύδημον κολούεσθαι· σοφοὶ δὲ ἡγοῦν-
ται εἶναι πάνυ εἰκότως· μετρίως μὲν γὰρ φιλοσοφίας ἔχειν
μετρίως δὲ πολιτικῶν πάνυ ἐξ εἰκότος λόγου· μετέχειν γὰρ
ἀμφοτέρων ὅσον ἔδει· ἐκτὸς δὲ ὄντες κινδύνων καὶ ἀγώνων καρ-
ποῦσθαι τὴν σοφίαν: τί οὖν δοκοῦσί σοί τι ὦ σώκρατες λέγειν·
οὐ γάρ τοι ἀλλ' ὅ γε λόγος ἔχει τινὰ εὐπρέπειαν τῶν ἀνδρῶν:
καὶ γὰρ ἔχει οὕτως ὦ κρίτων εὐπρέπειαν μᾶλλον ἢ ἀλήθειαν· οὐ
γὰρ ῥᾴδιον αὐτοὺς πεῖσαι ὅτι καὶ ἄνθρωποι καὶ τἆλλα πάντα
ὅσα μεταξύ τινοιν δυοῖν ἐστιν καὶ ἀμφοτέροιν τυγχάνει μετέχον-
τα· ὅσα μὲν ἐκ κακοῦ καὶ ἀγαθοῦ τοῦ μὲν βελτίω τοῦ δὲ χείρω
γίγνεται· ὅσα δὲ ἐκ δυοῖν ἀγαθοῖν μὴ πρὸς ταὐτὸν ἀμφοῖν χεί-
ρω πρὸς ὃ ἂν ἑκάτερον ᾖ χρηστὸν ἐκείνων ἐξ ὧν συνετέθη· ὅ-
σα δ' ἐκ δυοῖν κακοῖν συντεθέντα μὴ πρὸς τὸ αὐτὸ ὄντοιν ἐν τῷ
μέσῳ ἐστὶν ταῦτα μόνα βελτίω ἑκατέρου ἐκείνων ἐστὶν ὧν ἀμφο-
τέρων μέρος μετέχουσιν· εἰ μὲν οὖν ἡ φιλοσοφία ἀγαθόν ἐ-
στιν καὶ ἡ πολιτικὴ πρᾶξις πρὸς ἄλλο δὲ ἑκατέρα· οὗτοι
δ' ἀμφοτέρων μετέχοντες τούτων ἐν μέσῳ εἰσὶν οὐδὲν λέγουσιν·
ἀμφοτέρων γάρ εἰσι φαυλότεροι· εἰ δὲ ἀγαθὸν καὶ κακὸν τῶν
μὲν βελτίους τῶν δὲ χείρους· εἰ δὲ κακὰ ἀμφότερα οὕτως

ἄν τι λέγοιεν ἀληθές. ἄλλως δ' οὐδαμῶς. οὐκ ἂν οὖν οἶμαι αὐτοὺς
ὁμολογῆσαι οὔτε κακὼ αὐτὼ ἀμφοτέρω εἶναι οὔτε τὸ μὲν κακὸν
τὸ δὲ ἀγαθόν. ἀλλ' αὐτὼ ὄντι οὗτοι ἀμφοτέρων μετέχοντες. ἀμφο-
τέρων ἥττους εἶναι πρὸς ἑκάτερον πρὸς ὃ ἥ τε πολιτικὴ καὶ
ἡ φιλοσοφία ἀξίω λόγου ἐστόν. καὶ τρίτοι ὄντες τῇ ἀληθείᾳ
ζητοῦσι πρῶτοι δοκεῖν εἶναι. συγγιγνώσκειν μὲν οὖν αὐτοῖς
χρὴ τῆς ἐπιθυμίας καὶ μὴ χαλεπαίνειν. ἡγεῖσθαι μέντοι τοι-
ούτους εἶναι οἷοί εἰσιν· πάντα γὰρ ἄνδρα χρὴ ἀγαπᾶν ὅστις
καὶ ὅτι οὖν λέγει ἐχόμενον φρονήσεως πρᾶγμα καὶ ἀνδρεί-
ως ἐπεξιὼν διαπονεῖται: καὶ μὴν ὦ Σώκρατες καὶ αὐτὸς
περὶ τῶν υἱέων ὥσπερ ἀεὶ πρός σε λέγω ἐν ἀπορίᾳ εἰμὶ τί δεῖ αὐ-
τοῖς χρήσασθαι. ὁ μὲν οὖν νεώτερος ἔτι καὶ σμικρός ἐστιν. Κρι-
τόβουλος δ' ἤδη ἡλικίαν ἔχει καὶ δεῖταί τινος ὅστις αὐτὸν ὀνή-
σει. ἐγὼ μὲν οὖν ὅταν σοι ξυγγένωμαι οὕτω διατίθεμαι ὥστ' ἐμοὶ
δοκεῖ μανίαν εἶναι τὸ ἕνεκα τῶν παίδων ἄλλων μὲν πολλῶν σπου-
δὴν τοιαύτην ἐσχηκέναι καὶ περὶ τοῦ γάμου ὅπως ἐκ γενναι-
οτάτης ἔσονται μητρός. καὶ περὶ τῶν χρημάτων ὅπως ὡς
πλουσιώτατοι. αὐτῶν δὲ περὶ παιδείας ἀμελῆσαι. ὅταν δὲ
εἴς τινα ἀποβλέψω τῶν φασκόντων ἂν παιδεῦσαι ἀνθρώπους.
ἐκπέπληγμαι καί μοι δοκεῖ εἷς ἕκαστος αὐτῶν σκοποῦντι
πάνυ ἀλλόκοτος εἶναι. ὥς γε πρὸς σὲ τἀληθῆ εἰρῆσθαι. ὥστε
οὐκ ἔχω ὅπως προτρέπω τὸ μειράκιον ἐπὶ φιλοσοφίαν:
ὦ φίλε Κρίτων οὐκ οἶσθα ὅτι ἐν παντὶ ἐπιτηδεύματι οἱ μὲν φαῦ-
λοι πολλοὶ καὶ οὐδενὸς ἄξιοι. οἱ δὲ σπουδαῖοι ὀλίγοι καὶ παν-
τὸς ἄξιοι. ἐπεὶ γυμναστικὴ οὐ καλὸν δοκεῖ σοι εἶναι καὶ χρημα-
τιστικὴ καὶ ῥητορικὴ καὶ στρατηγία: ἔμοιγε πάντως δήπου:
τί οὖν ἐν ἑκάστῃ τούτων τοὺς πολλοὺς πρὸς ἕκαστον τὸ ἔργον
οὐ καταγελάστους ὁρᾷς: ναὶ μὰ τὸν Δία καὶ μάλα ἀληθῆ λέ-
γεις: ἦ οὖν τούτου ἕνεκα αὐτὸς φεύξει πάντα τὰ ἐπιτη-
δεύματα καὶ τοῖς υἱέσιν οὐκ ἐπιτρέψεις: οὔκουν δίκαιόν γε ὦ
Σώκρατες: μὴ τοίνυν ὅ γε οὐ χρὴ ποίει ὦ Κρίτων. ἀλλ' ἐάσας
χαίρειν τοὺς ἐπιτηδεύοντας φιλοσοφίαν εἴτε χρηστοί εἰσιν εἴτε
πονηροί. αὐτὸ τὸ πρᾶγμα βασανίσας καλῶς τε καὶ εὖ. ἐὰν
μέν σοι φαίνηται φαῦλον ὂν πάντ' ἄνδρα ἀπότρεπε μὴ μόνον

τοῖς νέοις. ἐὰν δὲ φαίνηται οἷόν οἶμαι αὐτὸ ἐγὼ εἶναι, θαρρῶν δίωκε καὶ ἄσκει, τὸ λεγόμενον δὴ τοῦτο αὐτός τε καὶ τὰ παιδία.

Εὐθύδημος ἢ ἐριστικός

Πρωταγόρας ἢ σοφισταί· ἐνδεικτικός

Πόθεν, ὦ Σώκρατες, φαίνῃ; ἢ δῆλα δὴ ὅτι ἀπὸ κυνηγεσίου τοῦ περὶ τὴν Ἀλκιβιάδου ὥραν; καὶ μήν μοι καὶ πρῴην ἰδόντι καλὸς μὲν ἐφαίνετο ἀνὴρ ἔτι, ἀνὴρ μέντοι, ὦ Σώκρατες, ὥς γ᾽ ἐν αὐτοῖς ἡμῖν εἰρῆσθαι, καὶ πώγωνος ἤδη ὑποπιμπλάμενος. — Εἶτα τί τοῦτο; οὐ σὺ μέντοι Ὁμήρου ἐπαινέτης εἶ, ὃς ἔφη χαριεστάτην ἥβην εἶναι τοῦ ὑπηνήτου, ἣν νῦν Ἀλκιβιάδης ἔχει; — Τί οὖν τὰ νῦν; ἢ παρ᾽ ἐκείνου φαίνῃ; καὶ πῶς πρὸς σὲ ὁ νεανίας διάκειται; — Εὖ ἔμοιγε ἔδοξεν, οὐχ ἥκιστα δὲ καὶ τῇ νῦν ἡμέρᾳ· καὶ γὰρ πολλὰ ὑπὲρ ἐμοῦ εἶπε βοηθῶν ἐμοί, καὶ οὖν καὶ ἄρτι ἀπ᾽ ἐκείνου ἔρχομαι. ἄτοπον μέντοι τί σοι ἐθέλω εἰπεῖν· παρόντος γὰρ ἐκείνου, οὔτε προσεῖχον τὸν νοῦν, ἐπελανθανόμην τε αὐτοῦ θαμά. — Καὶ τί ἂν γεγονὸς εἴη περὶ σὲ κἀκεῖνον τοσοῦτον πρᾶγμα; οὐ γὰρ δήπου τινὶ καλλίονι ἐνέτυχες ἄλλῳ ἔν γε τῇδε τῇ πόλει. — Καὶ πολύ γε. — Τί φῄς; ἀστῷ ἢ ξένῳ; — Ξένῳ. — Ποδαπῷ; — Ἀβδηρίτῃ. — Καὶ οὕτω καλός τις ὁ ξένος ἔδοξέν σοι εἶναι, ὥστε τοῦ Κλεινίου ὑέος καλλίων σοι φανῆναι; — Πῶς δ᾽ οὐ μέλλει, ὦ μακάριε, τὸ σοφώτατον κάλλιον φαίνεσθαι; — Ἀλλ᾽ ἦ σοφῷ τινι ἡμῖν, ὦ Σώκρατες, ἐντυχὼν πάρει; — Σοφωτάτῳ μὲν οὖν δήπου τῶν γε νῦν, εἴ σοι δοκεῖ σοφώτατος εἶναι Πρωταγόρας. — Ὢ τί λέγεις; Πρωταγόρας ἐπιδεδήμηκεν; — Τρίτην γε ἤδη ἡμέραν. — Καὶ ἄρτι ἄρα ἐκείνῳ συγγεγονὼς ἥκεις; — Πάνυ γε, πολλὰ καὶ εἰπὼν καὶ ἀκούσας. — Τί οὖν οὐ διηγήσω ἡμῖν τὴν συνουσίαν, εἰ μή σέ τι κωλύει, καθιζόμενος ἐνταυθί, ἐξαναστήσας τὸν παῖδα τουτονί; — Πάνυ μὲν οὖν· καὶ χάριν γε εἴσομαι, ἐὰν ἀκούητε. — Καὶ μὴν καὶ ἡμεῖς σοί, ἐὰν λέγῃς. — Διπλῆ ἂν εἴη ἡ χάρις. ἀλλ᾽ οὖν ἀκούετε. Τῆς γὰρ παρελθούσης νυκτὸς ταυτησί, ἔτι βαθέος ὄρθρου, Ἱπποκράτης ὁ Ἀπολλοδώρου ὑὸς, Φάσωνος δὲ ἀδελφός, τὴν θύραν

τῆι βακτηρίαι πάνυ σφόδρα ἔκρουε· καὶ ἐπειδὴ αὐτῶι ἀνέωιξέ τις εὐθὺς εἴσω ἤ-
ιει ἐπειγόμενος καὶ τῆι φωνῆι μέγα λέγων· ὦ σώκρα-
τες ἔφη ἐγρήγορας ἢ καθεύδεις: καὶ ἐγὼ τὴν φωνὴν γνοὺς
αὐτοῦ, ἱπποκράτης ἔφην οὗτος· μή τι νεώτερον ἀγγέλλεις: οὐ-
δέν γ' ἦ δ' ὅς εἰ μὴ ἀγαθά γε: εὖ ἂν λέγοις ἦν δ' ἐγώ· ἔστι δὲ τί καὶ τοῦ
ἕνεκα τηνικάδε ἀφίκου: πρωταγόρας ἔφη ἥκει. στὰς παρ' ἐ-
μοί: πρώην ἔφην ἐγώ· σὺ δὲ ἄρτι πέπυσαι: νὴ τοὺς θεοὺς
ἔφη ἑσπέρας γε· καὶ ἅμα ἐπιψηλαφήσας τοῦ σκίμποδος ἐκα-
θέζετο παρὰ τοὺς πόδας μου· καὶ εἶπεν· ἑσπέρας δῆτα μάλα γε
ὀψὲ ἀφικόμενος ἐξ οἰνόης· ὁ γάρ τοι παῖς με ὁ σάτυρος ἀ-
πέδρα· καὶ δῆτα μέλλων σοι φράζειν ὅτι διωξοίμην αὐτόν, ὑπό
τινος ἄλλου ἐπελαθόμην· ἐπειδὴ δὲ ἦλθον καὶ δεδειπνηκότες
ἦμεν καὶ ἐμέλλομεν ἀναπαύεσθαι· τότε μοι ἀδελφὸς λέγει ὅτι
ἥκει πρωταγόρας· καὶ ἔτι μὲν ἐνεχείρησα εὐθὺς παρὰ σὲ ἰέ-
ναι· ἔπειτά μοι λίαν πόρρω ἔδοξε τῶν νυκτῶν εἶναι· ἐπειδὴ δὲ
τάχιστά με ἐκ τοῦ κόπου ὁ ὕπνος ἀνῆκεν· εὐθὺς ἀναστὰς οὕτω
δεῦρο ἐπορευόμην: καὶ ἐγὼ γιγνώσκων αὐτοῦ τὴν ἀνδρείαν
καὶ τὴν πτοίησιν· τί οὖν σοι ἦν δ' ἐγὼ τοῦτο· μῶν τί σε ἀδικεῖ
πρωταγόρας: καὶ ὃς γελάσας νὴ τοὺς θεοὺς ἔφη ὦ σώκρα-
τες· ὅτι γε μόνος ἐστὶ σοφός· ἐμὲ δὲ οὐ ποιεῖ: ἀλλὰ ναὶ μὰ δία ἔ-
φην ἐγὼ ἂν αὐτῶι διδῶις ἀργύριον καὶ πείθηις ἐκεῖνον ποιήσει
καὶ σὲ σοφόν: εἰ γάρ ἦ δ' ὅς ὦ ζεῦ καὶ θεοὶ ἐν τούτωι εἴη· ὡς οὔτ' ἂν
τῶν ἐμῶν ἐπιλίποιμι οὐδὲν οὔτε τῶν φίλων· ἀλλ' αὐτὰ ταῦτα καὶ
νυνὶ ἥκω παρὰ σέ, ἵνα ὑπὲρ ἐμοῦ διαλεχθῆις αὐτῶι· ἐγὼ γὰρ ἅμα
μὲν καὶ νεώτερός εἰμι· ἅμα δὲ οὐδὲ ἑώρακα πρωταγόραν πώ-
ποτε οὐδ' ἀκήκοα οὐδέν· ἔτι γὰρ παῖς ἦ ὅτε τὸ πρότερον ἐπε-
δήμησε· ἀλλὰ γάρ ὦ σώκρατες πάντες τὸν ἄνδρα ἐπαινοῦσι καὶ
φασὶ σοφώτατον εἶναι λέγειν· ἀλλὰ τί οὐ βαδίζομεν παρ' αὐτόν
ἵν' ἔνδον καταλάβωμεν· καταλύει δ' ὡς ἐγὼ ἤκουσα παρὰ καλ-
λίαι τῶι ἱππονίκου· ἀλλ' ἴωμεν: καὶ ἐγὼ εἶπον μήπω ἀγαθέ ἐ-
κεῖσε ἴωμεν· πρωὶ γάρ ἐστιν· ἀλλὰ δεῦρο ἐξαναστῶμεν εἰς τὴν αὐλήν
καὶ περιϊόντες αὐτοῦ διατρίψωμεν ἕως ἂν φῶς γένηται· εἶτα
ἴωμεν· καὶ γὰρ τὰ πολλὰ πρωταγόρας ἔνδον διατρίβει· ὥστε
θάρρει καταληψόμεθα αὐτὸν ὡς τὸ εἰκὸς ἔνδον: μετὰ ταῦτα ἀνα-

ταῦτα· εἰς τὴν αὐλὴν περιῇμεν· καὶ ἐγὼ ἀποπειρώμενος τοῦ ἱπ-
ποκράτους τῆς ῥώμης, διεσκόπουν αὐτὸν καὶ ἠρώτων· εἰπέ μοι
ἔφην ἐγώ, ὦ ἱππόκρατες· παρὰ πρωταγόραν νῦν ἐπιχειρεῖς
ἰέναι ἀργύριον τελῶν ἐκείνῳ μισθὸν ὑπὲρ σεαυτοῦ, ὡς παρὰ τί-
να ἀφιξόμενος καὶ τίς γενησόμενος· ὥσπερ ἂν εἰ ἐπενόεις
παρὰ τὸν σαυτοῦ ὁμώνυμον ἐλθὼν ἱπποκράτη τὸν κῷον τὸν τῶν
ἀσκληπιαδῶν ἀργύριον τελεῖν ὑπὲρ σαυτοῦ μισθὸν ἐκείνῳ, εἴ
τίς σε ἤρετο· εἰπέ μοι μέλλεις τελεῖν ὦ ἱππόκρατες ἱπποκράτει μι-
σθὸν ὡς τίνι ὄντι; τί ἂν ἀπεκρίνω; εἶπον ἄν, ἔφη, ὅτι ὡς ἰατρῷ·
ὡς τίς γενησόμενος; ὡς ἰατρός, ἔφη· εἰ δὲ παρὰ πολύκλειτον
τὸν ἀργεῖον ἢ φειδίαν τὸν ἀθηναῖον ἐπενόεις ἀφικόμενος μι-
σθὸν ὑπὲρ σαυτοῦ τελεῖν ἐκείνοις, εἴ τίς σε ἤρετο· τελεῖν τοῦτο
τὸ ἀργύριον ὡς τίνι ὄντι ἐν νῷ ἔχεις πολυκλείτῳ τε καὶ φειδίᾳ,
τί ἂν ἀπεκρίνω; εἶπον ἂν ὡς ἀγαλματοποιοῖς· ὡς τίς δὲ γενη-
σόμενος αὐτός; δῆλον ὅτι ἀγαλματοποιός· εἶεν, ἦν δ' ἐγώ·
παρὰ δὲ δὴ πρωταγόραν νῦν ἀφικόμενοι ἐγώ τε καὶ σὺ ἀργύριον
ἐκείνῳ μισθὸν ἕτοιμοι ἐσόμεθα τελεῖν ὑπὲρ σοῦ· ἂν μὲν ἐξικνῆ-
ται τὰ ἡμέτερα χρήματα καὶ τούτοις πείθωμεν αὐτόν· εἰ δὲ μή, καὶ
τὰ τῶν φίλων προσαναλίσκοντες· εἰ οὖν τις ἡμᾶς περὶ ταῦτα
οὕτω σφόδρα σπουδάζοντας ἔροιτο· εἰπέ μοι ὦ σώκρατές τε
καὶ ἱππόκρατες, ὡς τίνι ὄντι τῷ πρωταγόρᾳ ἐν νῷ ἔχετε χρή-
ματα τελεῖν; τί ἂν αὐτῷ ἀποκριναίμεθα; τί ὄνομα ἄλλο γε λεγό-
μενον περὶ πρωταγόρου ἀκούομεν; ὥσπερ περὶ φειδίου ἀγαλ-
ματοποιόν· καὶ περὶ ὁμήρου ποιητήν· τί τοιοῦτον περὶ πρω-
ταγόρου ἀκούομεν; σοφιστὴν δή τοι ὀνομάζουσί γε ὦ σώ-
κρατες τὸν ἄνδρα εἶναι ἔφη· ὡς σοφιστῇ ἄρα ἐρχόμεθα τε-
λοῦντες τὰ χρήματα; μάλιστα· εἰ οὖν καὶ τοῦτό τις σε προσέ-
ροιτο· αὐτὸς δὲ δὴ ὡς τίς γενησόμενος ἔρχῃ παρὰ τὸν πρωτα-
γόραν; καὶ ὃς εἶπεν ἐρυθριάσας· ἤδη γὰρ ὑπέφαινέν τι ἡ-
μέρας ὥστε καταφανῆ αὐτὸν γενέσθαι· εἰ μέν τι τοῖς ἔμπροσθεν
ἔοικεν, δῆλον ὅτι σοφιστὴς γενησόμενος· σὺ δέ, ἦν δ' ἐγώ,
πρὸς θεῶν· οὐκ ἂν αἰσχύνοιο εἰς τοὺς ἕλληνας αὐτὸν σοφιστὴν
παρέχων; νὴ τὸν δία ὦ σώκρατες, εἴπερ γε ἃ διανοοῦμαι χρὴ
λέγειν· ἀλλ' ἄρα ὦ ἱππόκρατες μὴ οὐ τοιαύτην ὑπολαμβάνεις

[...] παρὰ Πρωταγόρου μάθησιν ἔσεσθαι· ἀλλ' οἵαπερ ἡ παρὰ τοῦ γραμ-
ματιστοῦ ἐγένετο καὶ κιθαριστοῦ καὶ παιδοτρίβου· τούτων γὰρ σὺ ἑ-
κάστην οὐκ ἐπὶ τέχνῃ ἔμαθες ὡς δημιουργὸς ἐσόμενος· ἀλλ' ἐπὶ
παιδείᾳ ὡς τὸν ἰδιώτην καὶ τὸν ἐλεύθερον πρέπει: πάνυ μὲν
οὖν μοι δοκεῖ ἔφη τοιαύτη μᾶλλον εἶναι ἡ παρὰ Πρωταγόρου μά-
θησις: οἶσθα οὖν ὃ μέλλεις νῦν πράττειν ἤ σε λανθάνει· ἦν
δ' ἐγώ: τοῦ πέρι: ὅτι μέλλεις τὴν ψυχὴν τὴν σαυτοῦ παρασχεῖν
θεραπεῦσαι ἀνδρὶ ὡς φῄς σοφιστῇ· ὅ τι δέ ποτε ὁ σοφιστής ἐσ-
τιν θαυμάζοιμ' ἂν εἰ οἶσθα· καίτοι εἰ τοῦτ' ἀγνοεῖς· οὐδὲ ὅτῳ
παραδίδως τὴν ψυχὴν οἶσθα· οὔτ' εἰ ἀγαθῷ οὔτ' εἰ κακῷ πρά-
γματι: οἶμαί γ' ἔφη εἰδέναι: λέγε δή τί ἡγῇ εἶναι τὸν σοφιστήν:
ἐγὼ μὲν ἦ δ' ὅς ὥσπερ τοὔνομα λέγει τοῦτον εἶναι τὸν τῶν σοφ-
ῶν ἐπιστήμονα: οὐκοῦν ἦν δ' ἐγὼ τοῦτο μὲν ἔξεστι λέγειν καὶ
περὶ ζωγράφων καὶ περὶ τεκτόνων ὅτι οὗτοί εἰσιν οἱ τῶν σοφῶν
ἐπιστήμονες· ἀλλ' εἴ τις ἔροιτο ἡμᾶς τῶν τί σοφῶν εἰσιν οἱ ζωγρά-
φοι ἐπιστήμονες· εἴποιμεν ἄν που αὐτῷ ὅτι τῶν πρὸς τὴν ἀπερ-
γασίαν τὴν τῶν εἰκόνων καὶ τἆλλα οὕτως· εἰ δέ τις ἐκεῖνο ἔροι-
το· ὁ δὲ σοφιστὴς τῶν τί σοφῶν ἐστιν· τί ἂν ἀποκρινοίμεθα αὐ-
τῷ ποίας ἐργασίας ἐπιστάτης: τί ἂν εἴποιμεν αὐτὸν εἶναι
ὦ Σώκρατες ἐπιστάτην τοῦ ποιῆσαι δεινὸν λέγειν: ἴσως ἂν
ἦν δ' ἐγὼ ἀληθῆ λέγοιμεν· οὐ μέντοι γε ἱκανῶς γε· ἐρωτήσεως
γὰρ ἔτι ἡ ἀπόκρισις ἡμῖν δεῖται περὶ ὅτου ὁ σοφιστὴς δει-
νὸν ποιεῖ λέγειν· ὥσπερ ὁ κιθαριστὴς δεινὸν δήπου ποιεῖ λέγειν
περὶ οὗπερ καὶ ἐπίσταται: εἰκός γε: τί δή ἐστιν τοῦτο περὶ οὗ
αὐτός τε ἐπιστήμων ἐστὶν ὁ σοφιστὴς καὶ τὸν μαθητὴν ποιεῖ: μὰ
Δί' ἔφη οὐκέτι ἔχω σοι λέγειν: καὶ ἐγὼ εἶπον μετὰ τοῦτο· τί οὖν
οἶσθα εἰς οἷόν τινα κίνδυνον ἔρχει ὑποθήσων τὴν ψυχήν· ἢ
εἰ μὲν τὸ σῶμα ἐπιτρέπειν σε ἔδει τῳ διακινδυνεύοντα ἢ χρη-
στὸν αὐτὸ γενέσθαι ἢ πονηρόν· πολλὰ ἂν περιεσκέψω εἴτ' ἐπι-
τρεπτέον εἴτε οὔ· καὶ εἰς συμβουλὴν τούς τε φίλους ἂν παρακά-
λεις καὶ τοὺς οἰκείους σκοπούμενος ἡμέρας συχνάς· ὃ δὲ
περὶ πλείονος τοῦ σώματος ἡγῇ τὴν ψυχὴν καὶ ἐν ᾧ πάντ' ἐσ-
τὶν τὰ σὰ ἢ εὖ ἢ κακῶς πράττειν χρηστοῦ ἢ πονηροῦ αὐτοῦ γε-
νομένου· περὶ δὲ τούτου οὔτε τῷ πατρὶ οὔτε τῷ ἀδελφῷ ἐπεκοι-

νώσω οὔτε ἡμῶν τῶν ἑταίρων οὐδενὶ εἴτε ἐπιτρεπτέον εἴτε [illegible]
ἀφικομένῳ τούτῳ ξένῳ τὴν σὴν ψυχήν ἀλλ' ἑσπέρας ἀκούσας ὡς
φῄς· ὄρθριος ἥκων περὶ μὲν τούτου οὐδένα λόγον οὐδὲ συμβου
λὴν ποιῇ εἴτε χρὴ ἐπιτρέπειν σαυτὸν αὐτῷ εἴτε μή· ἕτοιμος δ' εἶ
ἀναλίσκειν τά τε σαυτοῦ καὶ τὰ τῶν φίλων χρήματα ὡς ἤδη δι
εγνωκὼς ὅτι πάντως συνεστέον πρωταγόρᾳ ὃν οὔτε γιγνώ
σκεις ὡς φῄς οὔτε διείλεξαι οὐδεπώποτε σοφιστὴν δ' ὀνο
μάζεις· τὸν δὲ σοφιστὴν ὅτι ποτ' ἔστιν φαίνει ἀγνοῶν ᾧ μέλλεις
σαυτὸν ἐπιτρέπειν: καὶ ὃς ἀκούσας ἔοικεν ἔφη ὦ σώκρατες
ἐξ ὧν σὺ λέγεις: ἆρ' οὖν ὦ ἱππόκρατες ὁ σοφιστὴς τυγχάνει ὢν
ἔμπορός τις ἢ κάπηλος τῶν ἀγωγίμων ἀφ' ὧν ψυχὴ τρέφεται· φαί
νεται γὰρ ἔμοιγε τοιοῦτός τις: τρέφεται δὲ ὦ σώκρατες ψυχὴ τίνι:
μαθήμασιν δήπου ἦν δ' ἐγώ· καὶ ὅπως γε μὴ ὦ ἑταῖρε ὁ σοφιστὴς ἐ
παινῶν ἃ πωλεῖ ἐξαπατήσῃ ἡμᾶς ὥσπερ οἱ περὶ τὴν τοῦ σώ
ματος τροφὴν ὁ ἔμπορός τε καὶ κάπηλος· καὶ γὰρ οὗτοί που ὧν
ἄγουσιν ἀγωγίμων οὔτε αὐτοὶ ἴσασιν ὅτι χρηστὸν ἢ πονηρὸν πε
ρὶ τὸ σῶμα· ἐπαινοῦσιν δὲ πάντα πωλοῦντες· οὔτε οἱ ὠνούμε
νοι παρ' αὐτῶν ἐὰν μή τις τύχῃ γυμναστικὸς ἢ ἰατρὸς ὤν· οὕτω
δὲ καὶ οἱ τὰ μαθήματα περιάγοντες κατὰ τὰς πόλεις καὶ πωλοῦν
τες καὶ καπηλεύοντες τῷ ἀεὶ ἐπιθυμοῦντι ἐπαινοῦσιν μὲν πάν
τα ἃ πωλοῦσιν· τάχα δ' ἄν τινες ὦ ἄριστε καὶ τούτων ἀγνοοῖεν ὧν
πωλοῦσι ὅτι χρηστὸν ἢ πονηρὸν πρὸς τὴν ψυχήν· ὡς δ' αὔτως
καὶ οἱ ὠνούμενοι παρ' αὐτῶν ἐὰν μή τις τύχῃ περὶ τὴν ψυχὴν αὖ ἰα
τρικὸς ὤν· εἰ μὲν οὖν σὺ τυγχάνεις ἐπιστήμων τούτων τί χρηστὸν
καὶ πονηρὸν ἀσφαλές σοι ὠνεῖσθαι μαθήματα καὶ παρὰ πρωταγό
ρου καὶ παρ' ἄλλου ὁτουοῦν· εἰ δὲ μή. ὅρα ὦ μακάριε μὴ περὶ τοῖς
φιλτάτοις κυβεύῃς τε καὶ κινδυνεύῃς· καὶ γὰρ δὴ καὶ πολὺ μεί
ζων κίνδυνος ἐν τῇ τῶν μαθημάτων ὠνῇ ἢ ἐν τῇ τῶν σιτίων· σι
τία μὲν γὰρ καὶ ποτὰ πριάμενον παρὰ τοῦ καπήλου καὶ ἐμπό
ρου ἔξεστιν ἐν ἄλλοις ἀγγείοις ἀποφέρειν· καὶ πρὶν δέξασθαι αὐ
τὰ εἰς τὸ σῶμα πιόντα ἢ φαγόντα καταθέμενον οἴκαδε ἔξεστιν
συμβουλεύσασθαι παρακαλέσαντα τὸν ἐπαΐοντα ὅτι τε ἐδεστέον
ἢ ποτέον καὶ ὅτι μή· καὶ ὁπόσον καὶ ὁπότε· ὥστε ἐν τῇ ὠνῇ οὐ
μέγας ὁ κίνδυνος· μαθήματα δὲ οὐκ ἔστιν ἐν ἄλλῳ ἀγγείῳ ἀπε

μεγάλῳ· ἀλλ' ἀνάγκη καταθέντα τὴν τιμὴν τὸ μάθημα ἐν αὐτῇ τῇ ψυ
χῇ λαβόντα καὶ μαθόντα ἀπιέναι· ἢ βεβλαμμένον ἢ ὠφελημένον·
ταῦτα οὖν σκοπώμεθα καὶ μετὰ τῶν πρεσβυτέρων ἡμῶν· ἡμεῖς γὰρ
ἔτι νέοι ὥστε τοσοῦτον πρᾶγμα διελέσθαι· νῦν μέντοι ὥσπερ ὡρμή
σαμεν ἴωμεν καὶ ἀκούσωμεν τοῦ ἀνδρός· ἔπειτα ἀκούσαντες
καὶ ἄλλοις ἀνακοινωσώμεθα· καὶ γὰρ οὐ μόνος πρωταγόρας αὐτό
θι ἐστίν· ἀλλὰ καὶ ἱππίας ὁ ἠλεῖος· οἶμαι δὲ καὶ πρόδικον τὸν κεῖον·
καὶ ἄλλοι πολλοὶ καὶ σοφοί: δόξαν ἡμῖν ταῦτα ἐπορευόμεθα· ἐπει
δὴ δὲ ἐν τῷ προθύρῳ ἐγενόμεθα· ἐπιστάντες περί τινος λόγου
διελεγόμεθα ὃς ἡμῖν κατὰ τὴν ὁδὸν ἐνέπεσεν· ἵν' οὖν μὴ ἀτελὴς
γένοιτο ἀλλὰ διαπερανάμενοι οὕτως ἐσίοιμεν· στάντες ἐν τῷ
προθύρῳ διελεγόμεθα ἕως συνωμολογήσαμεν ἀλλήλοις· δο
κεῖ οὖν μοι ὁ θυρωρὸς εὐνοῦχός τις κατήκουεν ἡμῶν· κινδυνεύ
ει δὲ διὰ τὸ πλῆθος τῶν σοφιστῶν ἄχθεσθαι τοῖς φοιτῶσιν εἰς τὴν
οἰκίαν· ἐπειδὴ γοῦν ἐκρούσαμεν τὴν θύραν ἀνοίξας καὶ ἰδὼν
ἡμᾶς ἔα ἔφη σοφισταί τινες· οὐ σχολὴ αὐτῷ· καὶ ἅμα ἀμφοῖν
τοῖν χεροῖν τὴν θύραν πάνυ προθύμως ὡς οἷός τ' ἦν ἐπήραξεν·
καὶ ἡμεῖς πάλιν ἐκρούομεν· καὶ ὃς ἐγκεκλῃμένης τῆς θύρας ἀ
ποκρινόμενος εἶπεν· ὦ ἄνθρωποι ἔφη οὐκ ἀκηκόατε ὅτι οὐ
σχολὴ αὐτῷ: ἀλλ' ὠγαθὲ ἔφην ἐγώ· οὔτε παρὰ καλλίαν ἥκομεν
οὔτε σοφισταί ἐσμεν· ἀλλὰ θάρρει· πρωταγόραν γάρ τοι δεόμενοι
ἰδεῖν ἤλθομεν· εἰσάγγειλον οὖν· μόγις οὖν ποτε ἡμῖν ἄνθρωπος
ἀνέῳξε τὴν θύραν· ἐπειδὴ δὲ εἰσήλθομεν κατελάβομεν πρω
ταγόραν ἐν τῷ προστῴῳ περιπατοῦντα· ἑξῆς δ' αὐτῷ συμ
περιεπάτουν· ἔνθεν μὲν τοῦ ἐπὶ θάτερα καλλίας ὁ ἱππονίκου καὶ ὁ
ἀδελφὸς αὐτοῦ ὁ ὁμομήτριος πάραλος ὁ περικλέους· καὶ χαρ
μίδης ὁ γλαύκωνος· ἔνθεν δὲ τοῦ ἐπὶ θάτερα ὁ ἕτερος τῶν περι
κλέους ξάνθιππος καὶ φιλιππίδης ὁ φιλομήλου· καὶ ἀντίμοι
ρος ὁ μενδαῖος· ὅσπερ εὐδοκιμεῖ μάλιστα τῶν πρωταγόρου μα
θητῶν καὶ ἐπὶ τέχνῃ μανθάνει ὡς σοφιστὴς ἐσόμενος· τού
των δὲ οἳ ὄπισθεν ἠκολούθουν ἐπακούοντες τῶν λεγομένων· τὸ
μὲν πολὺ ξένοι ἐφαίνοντο οὓς ἄγει ἐξ ἑκάστων τῶν πόλεων ὁ
πρωταγόρας δι' ὧν διεξέρχεται κηλῶν τῇ φωνῇ ὥσπερ ὀρ
φεύς· οἱ δὲ κατὰ τὴν φωνὴν ἕπονται κεκηλημένοι· ἦσαν δέ τινες

καὶ τῶν ἐπιχωρίων ἐν τῷ χορῷ· τοῦτον τὸν χορὸν μάλιστα ἔγωγε ἰ-
δὼν ἥσθην ὡς καλῶς εὐλαβοῦντο μηδέποτε ἐμποδὼν ἐν τῷ πρό-
σθεν εἶναι πρωταγόρου· ἀλλ' ἐπειδὴ αὐτὸς ἀναστρέφοι καὶ οἱ
μετ' ἐκείνου, εὖ πως καὶ ἐν κόσμῳ περιεσχίζοντο οὗτοι οἱ ἐπήκοοι
ἔνθεν καὶ ἔνθεν· καὶ ἐν κύκλῳ περιιόντες· ἀεὶ εἰς τὸ ὄπισθεν κα-
θίσταντο κάλλιστα. τὸν δὲ μετ' εἰσενόησα, ἔφη ὅμηρος, ἱππίαν τὸν ἠ-
λεῖον καθήμενον ἐν τῷ καταντικρὺ προστῴῳ ἐν θρόνῳ· περὶ αὐ-
τὸν δ' ἐκάθηντο ἐπὶ βάθρων ἐρυξίμαχός τε ὁ ἀκουμενοῦ καὶ φαῖ-
δρος ὁ μυρρινούσιος· καὶ ἄνδρων ὁ ἀνδροτίωνος· καὶ τῶν ξένων
πολῖταί τε αὐτοῦ καὶ ἄλλοι τινές· ἐφαίνοντο δὲ περὶ φύσεώς τε καὶ
τῶν μετεώρων ἀστρονομικὰ ἄττα διερωτᾶν τὸν ἱππίαν· ὁ δ' ἐν θρό-
νῳ καθήμενος ἑκάστοις αὐτῶν διέκρινεν καὶ διεξῄει τὰ ἐρω-
τώμενα· καὶ μὲν δὴ καὶ τάνταλόν γε εἰσεῖδον· ἐπιδημεῖ γὰρ ἄρα καὶ προ-
δικος ὁ κεῖος· ἦν δὲ ἐν οἰκήματί τινι ᾧ πρὸ τοῦ μὲν ὡς ταμιείῳ
ἐχρῆτο ἱππόνικος· νῦν δὲ ὑπὸ τοῦ πλήθους τῶν καταλυόντων
ὁ καλλίας καὶ τοῦτο ἐκκενώσας ξένοις κατάλυσιν πεποίηκεν.
ὁ μὲν οὖν πρόδικος ἔτι κατέκειτο ἐγκεκαλυμμένος ἐν κῳδίοις τι-
σὶν καὶ στρώμασιν καὶ μάλα πολλοῖς ὡς ἐφαίνετο· παρεκάθηντο
δὲ αὐτῷ ἐπὶ ταῖς πλησίον κλίναις παυσανίας τε ὁ ἐκ κεραμέων· καὶ
μετὰ παυσανίου νέον τι ἔτι μειράκιον ὡς μὲν ἐγῷμαι καλόν τε
κἀγαθὸν τὴν φύσιν· τὴν δ' οὖν ἰδέαν πάνυ καλός· ἔδοξα ἀκοῦσαι
ὄνομα αὐτῷ εἶναι ἀγάθωνα· καὶ οὐκ ἂν θαυμάζοιμι εἰ παιδικὰ
παυσανίου τυγχάνει ὤν· τοῦτ' ἦν τὸ μειράκιον καὶ τὼ ἀδειμάντω
ἀμφοτέρω ὅ τε κήπιδος καὶ ὁ λευκολοφίδου καὶ ἄλλοι τινὲς ἐ-
φαίνοντο· περὶ δὲ ὧν διελέγοντο οὐκ ἐδυνάμην ἔγωγε μαθεῖν
ἔξωθεν καίπερ λιπαρῶς ἔχων ἀκούειν τοῦ προδίκου· πάσσο-
φος γάρ μοι δοκεῖ ἀνὴρ εἶναι καὶ θεῖος· ἀλλὰ διὰ τὴν βαρύτητα
τῆς φωνῆς βόμβος τις ἐν τῷ οἰκήματι γιγνόμενος· ἀσαφῆ
ἐποίει τὰ λεγόμενα· καὶ ἡμεῖς μὲν ἄρτι εἰσεληλύθεμεν· κατὰ
δὲ ἡμᾶς ἐπεισῆλθον ἀλκιβιάδης ὁ καλὸς ὡς φῂς σὺ καὶ
ἐγὼ πείθομαι· καὶ κριτίας ὁ καλλαίσχρου· ἡμεῖς οὖν ὡς εἰσήλ-
θομεν ἔτι σμίκρ' ἄττα διατρίψαντες καὶ ταῦτα διαθεασάμενοι·
προσῇμεν πρὸς τὸν πρωταγόραν· καὶ ἐγὼ εἶπον· ὦ πρωταγό-
ρα πρὸς σέ τοι ἤλθομεν ἐγώ τε καὶ ἱπποκράτης οὗτος· πότε

ρομηθῆ· μόνον βουλόμενοι διαλεχθῆναι ἢ καὶ μετὰ τῶν ἄλλων: ἡμῖν
μὲν ἦν δ' ἐγὼ οὐδὲν διαφέρει· ἀκούσας δὲ οὗ ἕνεκα ἤλθομεν αὐτὸς
σκέψαι: τί οὖν δή ἐστιν ἔφη οὗ ἕνεκα ἥκετε: ἱπποκράτης ὅδε ἐστὶν
μὲν τῶν ἐπιχωρίων ἀπολλοδώρου ὑὸς οἰκίας μεγάλης τε καὶ εὐδαί-
μονος· αὐτὸς δὲ τὴν φύσιν δοκεῖ ἐνάμιλλος εἶναι τοῖς ἡλικιώ-
ταις· ἐπιθυμεῖν δέ μοι δοκεῖ ἐλλόγιμος γενέσθαι ἐν τῇ πόλει· τοῦ-
το δὲ οἴεταί οἱ μάλιστα γενέσθαι εἰ σοὶ συγγένοιτο· ταῦτ' οὖν ἤδη σὺ
σκόπει· πότερον περὶ αὐτῶν μόνος οἴει δεῖν διαλέγεσθαι πρὸς
μόνους ἢ μετ' ἄλλων: ὀρθῶς ἔφη προμηθῆ ὦ σώκρατες ὑπὲρ ἐ-
μοῦ· ξένον γὰρ ἄνδρα καὶ ἰόντα εἰς πόλεις μεγάλας καὶ ἐν ταύταις
πείθοντα τῶν νέων τοὺς βελτίστους ἀπολείποντας τὰς τῶν ἄλ-
λων συνουσίας καὶ οἰκείων καὶ ὀθνείων καὶ πρεσβυτέρων καὶ νεω-
τέρων ἑαυτῷ συνεῖναι ὡς βελτίους ἐσομένους διὰ τὴν ἑαυτοῦ
συνουσίαν χρὴ εὐλαβεῖσθαι τὸν ταῦτα πράττοντα· οὐ γὰρ σμι-
κροὶ περὶ αὐτὰ φθόνοι τε γίγνονται καὶ ἄλλαι δυσμένειαί τε καὶ ἐ-
πιβουλαί· ἐγὼ δὲ τὴν σοφιστικὴν τέχνην φημὶ μὲν εἶναι παλαιάν·
τοὺς δὲ μεταχειριζομένους αὐτὴν τῶν παλαιῶν ἀνδρῶν φοβου-
μένους τὸ ἐπαχθὲς αὐτῆς πρόσχημα ποιεῖσθαι καὶ προκαλύ-
πτεσθαι· τοὺς μὲν ποίησιν οἷον ὅμηρόν τε καὶ ἡσίοδον καὶ σιμωνί-
δην· τοὺς δὲ αὖ τελετάς τε καὶ χρησμῳδίας τοὺς ἀμφί τε ὀρφέα
καὶ μουσαῖον· ἐνίους δέ τινας ᾔσθημαι καὶ γυμναστικήν οἷον ἴκ-
κος τε ὁ ταραντῖνος καὶ ὁ νῦν ἔτι ὢν οὐδενὸς ἥττων σοφιστὴς ἡρό-
δικος ὁ σηλυμβριανός· τὸ δὲ ἀρχαῖον μεγαρεύς· μουσικὴν δὲ ἀ-
γαθοκλῆς τε ὁ ὑμέτερος πρόσχημα ἐποιήσατο μέγας ὢν σο-
φιστὴς καὶ πυθοκλείδης ὁ κεῖος καὶ ἄλλοι πολλοί· οὗτοι πάντες
ὥσπερ λέγω φοβηθέντες τὸν φθόνον ταῖς τέχναις ταύταις πα-
ραπετάσμασιν ἐχρήσαντο· ἐγὼ δὲ τούτοις ἅπασι κατὰ τοῦτο
εἶναι οὐ ξυμφέρομαι· ἡγοῦμαι γὰρ αὐτοὺς οὔτι διαπράξασθαι
ὃ ἐβουλήθησαν· οὐ γὰρ λαθεῖν τῶν ἀνθρώπων τοὺς δυναμένους
ἐν ταῖς πόλεσι πράττειν ὧνπερ ἕνεκα ταῦτ' ἐστὶν τὰ προσχήματα·
ἐπεὶ οἵ γε πολλοὶ ὡς ἔπος εἰπεῖν οὐδὲν αἰσθάνονται· ἀλλ' ἅττ' ἂν
οὗτοι διαγγέλλωσι ταῦτα ὑμνοῦσιν· τὸ οὖν ἀποδιδράσκοντα
μὴ δύνασθαι ἀποδρᾶναι ἀλλὰ καταφανῆ εἶναι πολλὴ μωρία
καὶ τοῦ ἐπιχειρήματος καὶ πολὺ δυσμενεστέρους παρέχεσθαι

ἀνάγκη τοὺς ἀνθρώπους· ἡγοῦνται γὰρ τὸν τοιοῦτον πρὸς τοῖς ἄλλοις
καὶ πανοῦργον εἶναι. ἐγὼ οὖν τούτων τὴν ἐναντίαν ἅπασαν ὁδὸν
ἐλήλυθα καὶ ὁμολογῶ τε σοφιστὴς εἶναι καὶ παιδεύειν ἀνθρώπους
καὶ εὐλάβειαν ταύτην οἶμαι βελτίω ἐκείνης εἶναι τὸ ὁμολογεῖν μᾶλ-
λον ἢ ἔξαρνον εἶναι· καὶ ἄλλας πρὸς ταύτῃ ἔσκεμμαι ὥστε σὺν θε-
ῷ εἰπεῖν μηδὲν δεινὸν πάσχειν διὰ τὸ ὁμολογεῖν σοφιστὴς εἶναι. καί-
τοι πολλά γε ἔτη ἤδη εἰμὶ ἐν τῇ τέχνῃ· καὶ γὰρ καὶ τὰ ξύμπαντα
πολλά μοί ἐστιν· οὐδενὸς ὅτου οὐ πάντων ἂν ὑμῶν καθ' ἡλικίαν πα-
τὴρ εἴην· ὥστε πολύ μοι ἥδιστόν ἐστιν εἴ τι βούλεσθε περὶ τούτων ἁ-
πάντων ἐναντίον τῶν ἔνδον ὄντων τὸν λόγον ποιεῖσθαι· καὶ ἐγὼ ὑ-
πώπτευσα γὰρ βούλεσθαι αὐτὸν τῷ τε Προδίκῳ καὶ τῷ Ἱππίᾳ ἐνδεί-
ξασθαι καὶ καλλωπίσασθαι ὅτι ἐρασταὶ αὐτοῦ ἀφιγμένοι εἶμεν·
τί οὖν ἔφην ἐγὼ οὐ καὶ Πρόδικον καὶ Ἱππίαν ἐκαλέσαμεν καὶ τοὺς
μετ' αὐτῶν ἵνα ἐπακούσωσιν ἡμῶν; πάνυ μὲν οὖν ἔφη ὁ Πρωταγό-
ρας· βούλεσθε οὖν ὁ Καλλίας ἔφη συνέδριον κατασκευάσωμεν ἵνα
καθεζόμενοι διαλέγησθε; ἐδόκει χρῆναι· ἄσμενοι δὲ πάν-
τες ἡμεῖς ὡς ἀκουσόμενοι ἀνδρῶν σοφῶν, καὶ αὐτοί τε ἀντιλαβό-
μενοι τῶν βάθρων καὶ τῶν κλινῶν κατεσκευάζομεν παρὰ τῷ Ἱπ-
πίᾳ· ἐκεῖ γὰρ προϋπῆρχε τὰ βάθρα· ἐν δὲ τούτῳ Καλλίας τε καὶ Ἀλ-
κιβιάδης ἡκέτην ἄγοντε τὸν Πρόδικον ἀναστήσαντες ἐκ τῆς κλί-
νης καὶ τοὺς μετὰ τοῦ Προδίκου. ἐπεὶ δὲ πάντες συνεκαθεζό-
μεθα, ὁ Πρωταγόρας νῦν δὴ ἄν ἔφη λέγοις ὦ Σώκρατες ἐπειδὴ
καὶ οἵδε πάρεισιν περὶ ὧν ὀλίγον πρότερον μνείαν ἐποιοῦ πρός
με ὑπὲρ τοῦ νεανίσκου· καὶ ἐγὼ εἶπον ὅτι ἡ αὐτή μοι ἀρχή ἐστιν
ὦ Πρωταγόρα ἥπερ ἄρτι περὶ ὧν ἀφικόμην· Ἱπποκράτης γὰρ ὅ-
δε τυγχάνει ἐν ἐπιθυμίᾳ ὢν τῆς σῆς συνουσίας· ὅτι οὖν αὐτῷ
ἀποβήσεται ἐάν σοι συνῇ ἡδέως ἄν φησι πυθέσθαι. τοσοῦτος ὅ
γε ἡμέτερος λόγος· ὑπολαβὼν οὖν ὁ Πρωταγόρας εἶπεν·
ὦ νεανίσκε ἔσται τοίνυν σοι ἐὰν ἐμοὶ συνῇς ᾗ ἂν ἡμέρᾳ ἐμοὶ συγ-
γένῃ ἀπιέναι οἴκαδε βελτίονι γεγονότι καὶ ἐν τῇ ὑστεραίᾳ ταὐ-
τὰ ταῦτα· καὶ ἑκάστης ἡμέρας αἰεὶ ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι·
καὶ ἐγὼ ἀκούσας εἶπον· ὦ Πρωταγόρα τοῦτο μὲν οὐδὲν θαυμα-
στὸν λέγεις ἀλλὰ εἰκός· ἐπεὶ κἂν σὺ καίπερ τηλικοῦτος ὢν καὶ
οὕτω σοφὸς εἴ τίς σε διδάξειεν ὃ μὴ τυγχάνοις ἐπιστάμενος

βελτίων γενόμενος. ἀλλὰ μὴ οὕτως, ἀλλ' ὥσπερ ἂν εἰ αὐτίκα μάλα μεταβα-
λὼν τὴν ἐπιθυμίαν ἱπποκράτης ὅδε ἐπιθυμήσειεν τῆς συνουσί-
ας τούτου τοῦ νεανίσκου τοῦ νῦν νεωστὶ ἐπιδημοῦντος ζευξίπ-
που τοῦ ἡρακλεώτου καὶ ἀφικόμενος παρ' αὐτὸν ὥσπερ παρὰ
σὲ νῦν ἀκούσειεν αὐτοῦ ταὐτὰ ταῦτα ἅπερ σοῦ ὅτι ἑκάστης ἡ-
μέρας ξυνὼν αὐτῷ βελτίων ἔσται καὶ ἐπιδώσει. εἰ αὐτὸν ἐπανέ-
ροιτο τί δὴ φῂς βελτίω ἔσεσθαι καὶ εἰς τί ἐπιδώσειν, εἴποι ἂν αὐτῷ
ὁ ζευξιππος ὅτι πρὸς γραφικήν· κἂν εἰ ὀρθαγόρᾳ τῷ θηβαί-
ῳ συγγενόμενος ἀκούσας ἐκείνου ταὐτὰ ταῦτα ἅπερ σοῦ ἐπανέ-
ροιτο αὐτὸν εἰς ὅτι βελτίων καθ' ἡμέραν ἔσται συγγιγνόμενος ἐ-
κείνῳ, εἴποι ἂν ὅτι εἰς αὔλησιν· οὕτω δὴ καὶ σὺ εἰπὲ τῷ νεαν-
ίσκῳ καὶ ἐμοὶ ὑπὲρ τούτου ἐρωτῶντι. ἱπποκράτης ὅδε πρω-
ταγόρᾳ συγγενόμενος ᾗ ἂν αὐτῷ ἡμέρᾳ συγγένηται βελτίων
ἄπεισι γενόμενος· καὶ τῶν ἄλλων ἡμερῶν ἑκάστης οὕτως ἐπι-
δώσει· εἰς τί ὦ πρωταγόρα καὶ περὶ τοῦ; Καὶ ὁ πρωταγόρας
ἐμοῦ ταῦτα ἀκούσας· σύ τε καλῶς ἐρωτᾷς ἔφη ὦ σώκρατες
καὶ ἐγὼ τοῖς καλῶς ἐρωτῶσι χαίρω ἀποκρινόμενος. ἱπποκρά-
της γὰρ παρ' ἐμὲ ἀφικόμενος, οὐ πείσεται ἅπερ ἂν ἔπαθεν ἄλ-
λῳ τῳ συγγενόμενος τῶν σοφιστῶν. οἱ μὲν γὰρ ἄλλοι λωβῶνται
τοὺς νέους· τὰς γὰρ τέχνας αὐτοὺς πεφευγότας ἄκοντας
πάλιν αὖ ἄγοντες ἐμβάλλουσιν εἰς τέχνας, λογισμούς τε καὶ ἀστρο-
νομίαν καὶ γεωμετρίαν καὶ μουσικὴν διδάσκοντες· καὶ ἅμα εἰς
τὸν ἱππίαν ἀπέβλεψεν· παρὰ δ' ἐμὲ ἀφικόμενος μαθήσεται οὐ
περὶ ἄλλου του ἢ περὶ οὗ ἥκει. τὸ δὲ μάθημά ἐστιν εὐβουλία πε-
ρὶ τῶν οἰκείων, ὅπως ἂν ἄριστα τὴν αὑτοῦ οἰκίαν διοικοῖ· καὶ
περὶ τῶν τῆς πόλεως, ὅπως τὰ τῆς πόλεως δυνατώτατος
ἂν εἴη καὶ πράττειν καὶ λέγειν: ἆρα ἔφην ἐγὼ ἕπομαί σου
τῷ λόγῳ· δοκεῖς γάρ μοι λέγειν τὴν πολιτικὴν τέχνην καὶ ὑπι-
σχνεῖσθαι ποιεῖν ἄνδρας ἀγαθοὺς πολίτας: αὐτὸ μὲν οὖν τοῦ-
τό ἐστιν ἔφη ὦ σώκρατες τὸ ἐπάγγελμα ὃ ἐπαγγέλλομαι: ἦ καλὸν ἦ
δ' ἐγὼ τέχνημα ἄρα κέκτησαι, εἴπερ κέκτησαι. οὐ γάρ τι ἄλλο πρός
γε σὲ εἰρήσεται ἢ ἅπερ νοῶ. ἐγὼ γὰρ τοῦτο ὦ πρωταγόρα οὐ-
κ ᾤμην διδακτὸν εἶναι· σοὶ δὲ λέγοντι οὐκ ἔχω ὅπως ἂν ἀπιστῶ.
ὅθεν δὲ αὐτὸ ἡγοῦμαι οὐ διδακτὸν εἶναι μηδ' ὑπ' ἀνθρώπων παρα-

ρασκευαστὸν ἀνθρώποις. δίκαιος δ' εἰμὶ εἰπεῖν. ἐγὼ γὰρ ἀθηναίους
ὥσπερ καὶ οἱ ἄλλοι ἕλληνες φημὶ σοφοὺς εἶναι. ὁρῶ οὖν ὅταν συλλε
γῶμεν εἰς τὴν ἐκκλησίαν, ἐπειδὰν μὲν περὶ οἰκοδομίας τι δέῃ πρᾶ
ξαι τὴν πόλιν, τοὺς οἰκοδόμους μεταπεμπομένους συμβούλους
περὶ τῶν οἰκοδομημάτων. ὅταν δὲ περὶ ναυπηγίας τοὺς ναυπη
γούς. καὶ τἆλλα πάντα οὕτως ὅσα ἡγοῦνται μαθητά τε καὶ διδα
κτὰ εἶναι. ἐὰν δέ τις ἄλλος ἐπιχειρῇ αὐτοῖς συμβουλεύειν ὃν ἐκεῖ
νοι μὴ οἴονται δημιουργὸν εἶναι κἂν πάνυ καλὸς ᾖ καὶ πλούσιος
καὶ τῶν γενναίων οὐδέν τι μᾶλλον ἀποδέχονται. ἀλλὰ καταγελῶσι
καὶ θορυβοῦσιν ἕως ἂν ἢ αὐτὸς ἀποστῇ ὁ ἐπιχειρῶν λέγειν κατα
θορυβηθεὶς. ἢ οἱ τοξόται αὐτὸν ἀφελκύσωσιν ἢ ἐξαίρωνται κε
λευόντων τῶν πρυτάνεων. περὶ μὲν οὖν ὧν οἴονται ἐν τέχνῃ εἶναι.
οὕτω διαπράττονται. ἐπειδὰν δέ τι περὶ τῶν τῆς πόλεως διοική
σεως δέῃ βουλεύσασθαι. συμβουλεύει αὐτοῖς ἀνιστάμενος περὶ
τούτων. ὁμοίως μὲν τέκτων. ὁμοίως δὲ χαλκεὺς. σκυτοτόμος.
ἔμπορος. ναύκληρος. πλούσιος. πένης. γενναῖος. ἀγεννής.
καὶ τούτοις οὐδεὶς τοῦτο ἐπιπλήττει ὥσπερ τοῖς πρότερον ὅτι
οὐδαμόθεν μαθὼν. οὐδὲ ὄντος διδασκάλου οὐδενὸς αὐτῷ. ἔπει
τα συμβουλεύειν ἐπιχειρεῖ. δῆλον γὰρ ὅτι οὐχ ἡγοῦνται διδακτὸν
εἶναι. μὴ τοίνυν ὅτι τὸ κοινὸν τῆς πόλεως οὕτως ἔχει. ἀλλὰ ἰδί
ᾳ ἡμῖν οἱ σοφώτατοι καὶ ἄριστοι τῶν πολιτῶν ταύτην τὴν ἀρετὴν
ἣν ἔχουσιν οὐχ οἷοί τε ἄλλοις παραδιδόναι. ἐπεὶ περικλῆς ὁ
τουτωνὶ τῶν νεανίσκων πατήρ. τούτους ἃ μὲν διδασκάλων εἴχετο
καλῶς καὶ εὖ ἐπαίδευσεν. ἃ δὲ αὐτὸς σοφός ἐστιν. οὔτε αὐτὸς
παιδεύει οὔτε ἄλλῳ παραδίδωσιν. ἀλλ' αὐτοὶ περιιόντες νέ
μονται ὥσπερ ἄφετοι ἐάν που αὐτόματοι περιτύχωσιν τῇ ἀρετῇ.
εἰ δὲ βούλει κλεινίαν τὸν ἀλκιβιάδου τουτουῒ νεώτερον ἀδελφὸν ἐπι
τροπεύων ὁ αὐτὸς οὗτος ἀνὴρ περικλῆς δεδιὼς περὶ αὐτοῦ
μὴ διαφθαρῇ δὴ ὑπὸ ἀλκιβιάδου ἀποσπάσας ἀπὸ τούτου κα
ταθέμενος ἐν ἀρίφρονος ἐπαίδευε. καὶ πρὶν ἓξ μῆνας γε
γονέναι ἀποδέδωκε τούτῳ οὐκ ἔχων ὅτι χρήσαιτο αὐτῷ. καὶ ἄλλους
σοι παμπόλλους ἔχω λέγειν. οἳ αὐτοὶ ἀγαθοὶ ὄντες οὐδένα πώ
ποτε βελτίω ἐποίησαν οὔτε τῶν οἰκείων οὔτε τῶν ἀλλοτρίων. ἐγὼ οὖν
ὦ πρωταγόρα εἰς ταῦτα ἀποβλέπων. οὐχ ἡγοῦμαι διδακτὸν εἶναι

ἀρ[illegible] δὴ δὲ σου ἀκούω ταυτὰ λέγοντος. κάμπτομαι καὶ οἶμαί τι
σε λέγειν διὰ τὸ ἡγεῖσθαί σε πολλῶν μὲν ἔμπειρον γεγονέναι· πολ-
λὰ δὲ μεμαθηκέναι· τὰ δὲ αὐτὸν ἐξευρηκέναι· εἰ οὖν ἔχεις ἐναρ-
γέστερον ἡμῖν ἐπιδεῖξαι ὡς διδακτόν ἐστιν ἡ ἀρετή, μὴ φθονήσῃς ἀλλ'
ἐπίδειξον: ἀλλ' ὦ Σώκρατες ἔφη, οὐ φθονήσω· ἀλλὰ πότερον
ὑμῖν ὡς πρεσβύτερος νεωτέροις μῦθον λέγων ἐπιδείξω, ἢ λόγῳ
διεξελθών: πολλοὶ οὖν αὐτῷ ὑπέλαβον τῶν παρακαθημένων ὁ-
ποτέρως βούλοιτο οὕτως διεξιέναι: δοκεῖ τοίνυν μοι ἔφη χαρι-
έστερον εἶναι μῦθον ὑμῖν λέγειν· ἦν γάρ ποτε χρόνος ὅτε θεοὶ μὲν
ἦσαν θνητὰ δὲ γένη οὐκ ἦν· ἐπειδὴ δὲ καὶ τούτοις χρόνος ἦλ-
θεν εἱμαρμένος γενέσεως· τυποῦσιν αὐτὰ θεοὶ γῆς ἔνδον· ἐκ
γῆς καὶ πυρὸς μίξαντες καὶ τῶν ὅσα πυρὶ καὶ γῇ κεράννυται· ἐ-
πειδὴ δ' ἄγειν αὐτὰ πρὸς φῶς ἔμελλον· προσέταξαν Προμηθεῖ
καὶ Ἐπιμηθεῖ κοσμῆσαί τε καὶ νεῖμαι δυνάμεις ἑκάστοις ὡς πρέπει·
Προμηθέα δὲ παραιτεῖται Ἐπιμηθεὺς αὐτὸς νεῖμαι· νείμαντος
δέ μου ἔφη ἐπίσκεψαι· καὶ οὕτως πείσας νέμει· νέμων δὲ τοῖς
μὲν ἰσχὺν ἄνευ τάχους προσῆπτεν· τοὺς δ' ἀσθενεστέρους τάχει
ἐκόσμει· τοὺς δὲ ὥπλιζε· τοῖς δ' ἄοπλον διδοὺς φύσιν· ἄλλην
τιν' αὐτοῖς ἐμηχανᾶτο δύναμιν εἰς σωτηρίαν· ἃ μὲν γὰρ αὐτῶν
σμικρότητι ἤμπισχεν, πτηνὸν φυγὴν ἢ κατάγειον οἴκησιν ἔνεμεν·
ἃ δὲ ηὖξε μεγέθει, τῷδε αὐτῷ αὐτὰ ἔσωζεν· καὶ τἆλλα οὕτως ἐ-
πανισῶν ἔνεμεν· ταῦτα δὲ ἐμηχανᾶτο εὐλάβειαν ἔχων μή τι γέ-
νος ἀϊστωθείη· ἐπειδὴ δὲ αὐτοῖς ἀλληλοφθοριῶν διαφυγὰς ἐ-
πήρκεσε· πρὸς τὰς ἐκ Διὸς ὥρας εὐμαρείαν ἐμηχανᾶτο ἀμφιεν-
νὺς αὐτὰ πυκναῖς τε θριξὶν καὶ στερεοῖς δέρμασιν· ἱκανοῖς μὲν
ἀμῦναι χειμῶνα, δυνατοῖς δὲ καὶ καύματα· καὶ εἰς εὐνὰς ἰοῦ-
σιν ὅπως ὑπάρχοι τὰ αὐτὰ ταῦτα στρωμνὴ οἰκεία τε καὶ αὐτοφυ-
ὴς ἑκάστῳ· καὶ ὑποδῶν τὰ μὲν ὁπλαῖς· τὰ δὲ θριξὶν καὶ δέρμα-
σιν στερεοῖς καὶ ἀναίμοις· τοὐντεῦθεν τροφὰς ἄλλοις ἄλλας
ἐξεπόριζεν· τοῖς μὲν ἐκ γῆς βοτάνην· ἄλλοις δὲ δένδρων καρπούς·
τοῖς δὲ ῥίζας· ἔστι δ' οἷς ἔδωκεν εἶναι τροφὴν ζῴων ἄλλων βο-
ράν· καὶ τοῖς μὲν ὀλιγογονίαν προσῆψε· τοῖς δ' ἀναλισκομένοις
ὑπὸ τούτων πολυγονίαν σωτηρίαν τῷ γένει πορίζων· ἅτε δὴ
οὖν οὐ πάνυ τι σοφὸς ὢν ὁ Ἐπιμηθεὺς ἔλαθεν αὐτὸν καταναλώ

σασ ἀπὸ δυνάμεως· λοιπὸν δὴ ἀκόσμητον ἔτι αὐτῷ ἦν τὸ ἀνθρώπων γέ-
νος. καὶ ἠπόρει ὅτι χρήσαιτο· ἀποροῦντι δὲ αὐτῷ ἔρχεται προ-
μηθεὺς ἐπισκεψόμενος τὴν νομήν· καὶ ὁρᾷ τὰ μὲν ἄλλα ζῷα ἐμμε-
λῶς πάντων ἔχοντα· τὸν δὲ ἄνθρωπον γυμνόν τε καὶ ἀνυπόδη-
τον καὶ ἄστρωτον καὶ ἄοπλον· ἤδη δὲ καὶ ἡ εἱμαρμένη ἡμέρα παρῆν,
ἐν ᾗ ἔδει καὶ ἄνθρωπον ἐξιέναι ἐκ γῆς εἰς φῶς· ἀπορίᾳ οὖν
σχόμενος ὁ προμηθεὺς ἥντινα σωτηρίαν τῷ ἀνθρώπῳ εὕροι,
κλέπτει ἡφαίστου καὶ ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν σὺν πυρί· ἀμή-
χανον γὰρ ἦν ἄνευ πυρὸς αὐτὴν κτητήν τῳ ἢ χρησίμην γενέ-
σθαι· καὶ οὕτω δὴ δωρεῖται ἀνθρώπῳ· τὴν μὲν οὖν περὶ τὸν βίον
σοφίαν ἄνθρωπος ταύτῃ ἔσχεν· τὴν δὲ πολιτικὴν οὐκ εἶχεν· ἦν
γὰρ παρὰ τῷ διΐ· τῷ δὲ προμηθεῖ εἰς μὲν τὴν ἀκρόπολιν τὴν τοῦ
διὸς οἴκησιν οὐκέτι ἐνεχώρει εἰσελθεῖν· πρὸς δὲ καὶ αἱ διὸς φυλα-
καὶ φοβεραὶ ἦσαν· εἰς δὲ τὸ τῆς ἀθηνᾶς καὶ ἡφαίστου οἴκημα τὸ
κοινόν, ἐν ᾧ ἐφιλοτεχνείτην, λαθὼν εἰσέρχεται· καὶ κλέψας τήν
τε ἔμπυρον τέχνην τὴν τοῦ ἡφαίστου καὶ τὴν ἄλλην τὴν τῆς ἀθη-
νᾶς, δίδωσιν ἀνθρώπῳ· καὶ ἐκ τούτου εὐπορία μὲν ἀνθρώπῳ
τοῦ βίου γίγνεται· προμηθέα δὲ δι' ἐπιμηθέα ὕστερον ἧπερ λέ-
γεται κλοπῆς δίκη μετῆλθεν· ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας
μετέσχε μοίρας, πρῶτον μὲν διὰ τὴν τοῦ θεοῦ συγγένειαν ζῴων
μόνον θεοὺς ἐνόμισεν· καὶ ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλ-
ματα θεῶν· ἔπειτα φωνὴν καὶ ὀνόματα ταχὺ διηρθρώσατο τῇ
τέχνῃ καὶ οἰκήσεις καὶ ἐσθῆτας καὶ ὑποδέσεις καὶ στρωμνὰς
καὶ τὰς ἐκ γῆς τροφὰς εὕρετο· οὕτω δὴ παρεσκευασμένοι κα-
τ' ἀρχὰς ἄνθρωποι ᾤκουν σποράδην· πόλεις δὲ οὐκ ἦσαν· ἀ-
πώλλυντο οὖν ὑπὸ τῶν θηρίων διὰ τὸ πανταχῇ αὐτῶν ἀσθενέ-
στεροι εἶναι· καὶ ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν
ἱκανὴ βοηθὸς ἦν· πρὸς δὲ τὸν τῶν θηρίων πόλεμον ἐνδεής·
πολιτικὴν γὰρ τέχνην οὔπω εἶχον, ἧς μέρος πολεμική· ἐζή-
τουν δὴ ἀθροίζεσθαι καὶ σώζεσθαι κτίζοντες πόλεις· ὅτ' οὖν ἀ-
θροισθεῖεν, ἠδίκουν ἀλλήλους ἅτε οὐκ ἔχοντες τὴν πολιτικὴν
τέχνην· ὥστε πάλιν σκεδαννύμενοι διεφθείροντο· ζεὺς οὖν δείσας
περὶ τῷ γένει ἡμῶν μὴ ἀπόλοιτο πᾶν, ἑρμῆν πέμπει ἄγοντα
εἰς ἀνθρώπους αἰδῶ τε καὶ δίκην, ἵν' εἶεν πόλεων κόσμοι τε καὶ

δεσμοὶ φιλίας συναγωγοί· ἐρωτᾷ οὖν Ἑρμῆς Δία τίνα οὖν τρόπον
δοίη δίκην καὶ αἰδῶ ἀνθρώποις· πότερον ὡς αἱ τέχναι νενέμην-
ται, οὕτω καὶ ταύτας νείμω· νενέμηνται δὲ ὧδε· εἷς ἔχων ἰατρι-
κὴν πολλοῖς ἱκανὸς ἰδιώταις· καὶ οἱ ἄλλοι δημιουργοί· καὶ δί-
κην δὴ καὶ αἰδῶ οὕτω θῶ ἐν τοῖς ἀνθρώποις, ἢ ἐπὶ πάντας νεί-
μω: ἐπὶ πάντας ἔφη ὁ Ζεύς· καὶ πάντες μετεχόντων· οὐ γὰρ ἂν
γένοιντο πόλεις εἰ ὀλίγοι αὐτῶν μετέχοιεν ὥσπερ ἄλλων τεχνῶν·
καὶ νόμον γε θὲς παρ' ἐμοῦ τὸν μὴ δυνάμενον αἰδοῦς καὶ δίκης
μετέχειν κτείνειν ὡς νόσον πόλεως: οὕτω δή, ὦ Σώκρατες, καὶ
διὰ ταῦτα οἵ τε ἄλλοι καὶ Ἀθηναῖοι, ὅταν μὲν περὶ ἀρετῆς τεκτονι-
κῆς ᾖ λόγος ἢ ἄλλης τινὸς δημιουργικῆς· ὀλίγοις οἴονται
μετεῖναι συμβουλῆς· καὶ ἐάν τις ἐκτὸς ὢν τῶν ὀλίγων συμβου-
λεύῃ, οὐκ ἀνέχονται ὡς σὺ φῄς· εἰκότως ὡς ἐγώ φημι· ὅταν
δὲ εἰς συμβουλὴν πολιτικῆς ἀρετῆς ἴωσιν, ἣν δεῖ διὰ δικαιο-
σύνης πᾶσαν ἰέναι καὶ σωφροσύνης· εἰκότως ἅπαντος ἀν-
δρὸς ἀνέχονται ὡς παντὶ προσῆκον ταύτης γε μετέχειν τῆς ἀρε-
τῆς· ἢ μὴ εἶναι πόλεις: αὕτη ὦ Σώκρατες τούτου αἰτία· ἵνα
δὲ μὴ οἴῃ ἀπατᾶσθαι ὡς τῷ ὄντι ἡγοῦνται πάντες ἄνθρωποι παν-
τα ἄνδρα μετέχειν δικαιοσύνης τε καὶ τῆς ἄλλης πολιτικῆς ἀρε-
τῆς· τόδε αὖ λαβὲ τεκμήριον· ἐν γὰρ ταῖς ἄλλαις ἀρεταῖς ὥσ-
περ σὺ λέγεις, ἐάν τις φῇ ἀγαθὸς αὐλητὴς εἶναι· ἢ ἄλλην ἡν-
τινοῦν τέχνην ἣν μή ἐστιν ἢ καταγελῶσιν ἢ χαλεπαίνουσιν· καὶ
οἱ οἰκεῖοι προσιόντες νουθετοῦσιν ὡς μαινόμενον· ἐν δὲ δικαιο-
σύνῃ καὶ ἐν τῇ ἄλλῃ πολιτικῇ ἀρετῇ ἐάν τινα καὶ εἰδῶσιν ὅτι ἄ-
δικός ἐστιν, ἐὰν οὗτος αὐτὸς καθ' αὑτοῦ τἀληθῆ λέγῃ ἐναντίον
πολλῶν, ὃ ἐκεῖ σωφροσύνην ἡγοῦντο εἶναι τἀληθῆ λέγειν ἐνταῦ-
θα μανίαν· καὶ φασὶν πάντας δεῖν φάναι εἶναι δικαίους ἐὰν μὴ
τε ὦσιν ἐὰν μή· ἢ μαίνεσθαι τὸν μὴ προσποιούμενον δικαιοσύ-
νην· ὡς ἀναγκαῖον οὐδένα ὅντιν' οὐχὶ ἁμῶς γέ πως μετέχειν αὐ-
τῆς ἢ μὴ εἶναι ἐν ἀνθρώποις: ὅτι μὲν οὖν πάντ' ἄνδρα εἰκό-
τως ἀποδέχονται περὶ ταύτης τῆς ἀρετῆς σύμβουλον διὰ τὸ
ἡγεῖσθαι παντὶ μετεῖναι αὐτῆς ταῦτα λέγω· ὅτι δὲ αὐτὴν οὐ φύ-
σει ἡγοῦνται εἶναι οὐδ' ἀπὸ τοῦ αὐτομάτου ἀλλὰ διδακτόν τε καὶ
ἐξ ἐπιμελείας παραγίγνεσθαι ᾧ ἂν παραγίγνηται τοῦτό σοι

μενα τοῦτο πειράσομαι ἀποδεῖξαι. ὅσα γὰρ ἡγοῦνται ἀλλήλους κακὰ
ἔχειν ἄνθρωποι φύσει ἢ τύχῃ, οὐδεὶς θυμοῦται οὐδὲ νουθετεῖ οὐδὲ
διδάσκει οὐδὲ κολάζει τοὺς ταῦτα ἔχοντας, ἵνα μὴ τοιοῦτοι ὦσιν,
ἀλλ' ἐλεοῦσιν· οἷον τοὺς αἰσχροὺς ἢ σμικροὺς ἢ ἀσθενεῖς· τίς
οὕτως ἀνόητος ὥστε τι τούτων ἐπιχειρεῖν ποιεῖν; ταῦτα μὲν γὰρ
οἶμαι ἴσασιν ὅτι φύσει τε καὶ τύχῃ τοῖς ἀνθρώποις γίγνεται,
τὰ καλὰ καὶ τἀναντία τούτοις· ὅσα δὲ ἐξ ἐπιμελείας καὶ ἀσκή-
σεως καὶ διδαχῆς οἴονται γίγνεσθαι ἀγαθὰ ἀνθρώποις, ἐάν
τις ταῦτα μὴ ἔχῃ, ἀλλὰ τἀναντία τούτων κακά, ἐπὶ τούτοις που οἵ
τε θυμοὶ γίγνονται καὶ αἱ κολάσεις καὶ αἱ νουθετήσεις. ὧν ἐστιν ἓν
καὶ ἡ ἀδικία καὶ ἡ ἀσέβεια καὶ συλλήβδην πᾶν τὸ ἐναντίον τῆς
πολιτικῆς ἀρετῆς. ἔνθα δὴ πᾶς παντὶ θυμοῦται καὶ νουθετεῖ,
δῆλον ὅτι ὡς ἐξ ἐπιμελείας καὶ μαθήσεως κτητῆς οὔσης.
εἰ γὰρ ἐθέλεις ἐννοῆσαι τὸ κολάζειν ὦ Σώκρατες τοὺς ἀδικοῦν-
τας τί ποτε δύναται, αὐτό σε διδάξει ὅτι οἵ γε ἄνθρωποι ἡ-
γοῦνται παρασκευαστὸν εἶναι ἀρετήν. οὐδεὶς γὰρ κολάζει τοὺς
ἀδικοῦντας πρὸς τούτῳ τὸν νοῦν ἔχων καὶ τούτου ἕνεκα ὅτι
ἠδίκησεν, ὅστις μὴ ὥσπερ θηρίον ἀλογίστως τιμωρεῖται· ὁ δὲ
μετὰ λόγου ἐπιχειρῶν κολάζειν, οὐ τοῦ παρεληλυθότος ἕνε-
κα ἀδικήματος τιμωρεῖται· οὐ γὰρ ἂν τό γε πραχθὲν ἀγένητον
θείη· ἀλλὰ τοῦ μέλλοντος χάριν, ἵνα μὴ αὖθις ἀδικήσῃ ἵνα
μήτε αὐτὸς οὗτος μήτε ἄλλος ὁ τοῦτον ἰδὼν κολασθέντα. καὶ
τοιαύτην διάνοιαν ἔχων διανοεῖται παιδευτὴν εἶναι ἀρετήν·
ἀποτροπῆς γοῦν ἕνεκα κολάζει. ταύτην οὖν τὴν δόξαν
πάντες ἔχουσιν ὅσοι περ τιμωροῦνται καὶ ἰδίᾳ καὶ δημοσίᾳ.
τιμωροῦνται δὲ καὶ κολάζονται οἵ τε ἄλλοι ἄνθρωποι οὓς ἂν
οἴωνται ἀδικεῖν, καὶ οὐχ ἥκιστα Ἀθηναῖοι οἱ σοὶ πολῖται· ὥστε
κατὰ τοῦτον τὸν λόγον καὶ Ἀθηναῖοί εἰσι τῶν ἡγουμένων παρα-
σκευαστὸν εἶναι καὶ διδακτὸν ἀρετήν. ὡς μὲν οὖν εἰκότως
ἀποδέχονται οἱ σοὶ πολῖται καὶ χαλκέως καὶ σκυτοτόμου συμ-
βουλεύοντος τὰ πολιτικά, καὶ ὅτι διδακτὸν καὶ παρασκευαστὸν
ἡγοῦνται ἀρετήν, ἀποδέδεικταί σοι ὦ Σώκρατες ἱκανῶς ὥς
γέ μοι φαίνεται. ἔτι δὴ λοιπὴ ἀπορία ἐστὶν ἣν ἀπορεῖς περὶ τῶν
ἀνδρῶν τῶν ἀγαθῶν, τί δήποτε οἱ ἄνδρες οἱ ἀγαθοὶ τὰ μὲν ἄλλα

τὰ μὲν ἄλλα τοὺς υἱεῖς διδάσκουσιν ἃ διδασκάλων ἔχεται καὶ σοφοὺς
ποιοῦσιν· ἣν δὲ αὐτοὶ ἀρετὴν ἀγαθοὶ οὐδενὸς βελτίους ποιοῦσιν·
τούτου δὴ πέρι ὦ Σώκρατες οὐκέτι μῦθόν σοι ἐρῶ ἀλλὰ λόγον· ὧδε
γὰρ ἐννόησον πότερον ἔστιν τι ἓν ἢ οὐκ ἔστιν· οὗ ἀναγκαῖον πάντας
τοὺς πολίτας μετέχειν εἴπερ μέλλει πόλις εἶναι· ἐν τούτῳ γὰρ
αὕτη λύεται ἡ ἀπορία ἣν σὺ ἀπορεῖς ἢ ἄλλοθι οὐδαμοῦ· εἰ μὲν
γὰρ ἔστιν καὶ τοῦτό ἐστιν τὸ ἓν οὐ τεκτονικὴ οὐδὲ χαλκεία οὐδὲ
κεραμεία ἀλλὰ δικαιοσύνη καὶ σωφροσύνη καὶ τὸ ὅσιον εἶναι· καὶ
συλλήβδην ἓν αὐτὸ προσαγορεύω εἶναι ἀνδρὸς ἀρετήν· εἰ τοῦτ'
ἐστὶν οὗ δεῖ πάντας μετέχειν καὶ μετὰ τούτου πάντ' ἄνδρα ἐάν τι καὶ
ἄλλο βούληται μανθάνειν ἢ πράττειν οὕτω πράττειν· ἄνευ δὲ τού-
του μή· ἢ τὸν μὴ μετέχοντα καὶ διδάσκειν καὶ κολάζειν καὶ παῖδα
καὶ ἄνδρα καὶ γυναῖκα· ἕωσπερ ἂν κολαζόμενος βελτίων γένη-
ται· ὃς δ' ἂν μὴ ὑπακούῃ κολαζόμενος καὶ διδασκόμενος ὡς
ἀνίατον ὄντα τοῦτον ἐκβάλλειν ἐκ τῶν πόλεων ἢ ἀποκτείνειν· εἰ
οὕτω μὲν ἔχει· οὕτω δ' αὐτοῦ πεφυκότος οἱ ἀγαθοὶ ἄνδρες εἰ
τὰ μὲν ἄλλα διδάσκονται τοὺς υἱεῖς τοῦτο δὲ μή· σκέψαι ὡς θαυ-
μασίως γίγνονται οἱ ἀγαθοί· ὅτι μὲν γὰρ διδακτὸν αὐτὸ ἡγοῦν-
ται καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἀπεδείξαμεν· διδακτοῦ δὲ ὄντος
καὶ θεραπευτοῦ τὰ μὲν ἄλλα ἄρα τοὺς υἱεῖς διδάσκονται ἐφ' οἷς
οὐκ ἔστι θάνατος ἡ ζημία ἐὰν μὴ ἐπίστωνται· ἐφ' ᾧ δὲ ἥ τε ζη-
μία θάνατος αὐτῶν τοῖς παισὶ καὶ φυγαὶ μὴ μαθοῦσι μηδὲ θερα-
πευθεῖσιν εἰς ἀρετὴν καὶ πρὸς τῷ θανάτῳ χρημάτων τε δημεύ-
σεις καὶ ὡς ἔπος εἰπεῖν συλλήβδην τῶν οἴκων ἀνατροπαί· ταῦ-
τα δ' ἄρα οὐ διδάσκονται οὐδ' ἐπιμελοῦνται πᾶσαν ἐπιμέλειαν· οἴ-
εσθαί γε χρὴ ὦ Σώκρατες· ἐκ παίδων σμικρῶν ἀρξάμενοι μέχρι
οὗπερ ἂν ζῶσι καὶ διδάσκουσι καὶ νουθετοῦσιν· ἐπειδὰν θᾶττον
συνιῇ τις τὰ λεγόμενα καὶ τροφὸς καὶ μήτηρ καὶ παιδαγωγὸς
καὶ αὐτὸς ὁ πατὴρ περὶ τούτου διαμάχονται ὅπως βέλτιστος
ἔσται ὁ παῖς· παρ' ἕκαστον καὶ ἔργον καὶ λόγον διδάσκοντες
καὶ ἐνδεικνύμενοι ὅτι τὸ μὲν δίκαιον τὸ δὲ ἄδικον· καὶ τόδε μὲν
καλὸν τόδε δὲ αἰσχρόν· καὶ τόδε μὲν ὅσιον τόδε δὲ ἀνόσιον· καὶ
τὰ μὲν ποίει τὰ δὲ μὴ ποίει· καὶ ἐὰν μὲν ἑκὼν πείθηται· εἰ δὲ μὴ
ὥσπερ ξύλον διαστρεφόμενον καὶ καμπτόμενον εὐθύνουσιν ἀπ-

ειλαῖς καὶ πληγαῖς· μετὰ δὲ ταῦτα εἰς διδασκάλων πέμποντες
πολὺ μᾶλλον ἐντέλλονται ἐπιμελεῖσθαι εὐκοσμίας τῶν παίδων ἢ γραμ-
μάτων τε καὶ κιθαρίσεως· οἱ δὲ διδάσκαλοι τούτων τε ἐπιμελοῦν-
ται· καὶ ἐπειδὰν αὖ γράμματα μάθωσιν καὶ μέλλωσιν συνήσειν τὰ γε-
γραμμένα ὥσπερ τότε τὴν φωνήν, παρατιθέασιν αὐτοῖς ἐπὶ τῶν βά-
θρων ἀναγιγνώσκειν ποιητῶν ἀγαθῶν ποιήματα καὶ ἐκμανθάν-
ειν ἀναγκάζουσιν ἐν οἷς πολλαὶ μὲν νουθετήσεις ἔνεισιν· πολλαὶ
δὲ διέξοδοι καὶ ἔπαινοι καὶ ἐγκώμια παλαιῶν ἀνδρῶν ἀγαθῶν·
ἵνα ὁ παῖς ζηλῶν μιμῆται καὶ ὀρέγηται τοιοῦτος γενέσθαι· οἵ τ' αὖ
κιθαρισταὶ ἕτερα τοιαῦτα σωφροσύνης τε ἐπιμελοῦνται καὶ ὅπως
ἂν οἱ νέοι μηδὲν κακουργῶσιν· πρὸς δὲ τούτοις ἐπειδὰν κιθαρίζειν
μάθωσιν ἄλλων αὖ ποιητῶν ἀγαθῶν ποιήματα διδάσκουσι μελο-
ποιῶν εἰς τὰ κιθαρίσματα ἐντείνοντες καὶ τοὺς ῥυθμούς τε καὶ τὰς
ἁρμονίας ἀναγκάζουσιν οἰκειοῦσθαι ταῖς ψυχαῖς τῶν παίδων·
ἵνα ἡμερώτεροί τε ὦσιν καὶ εὐρυθμότεροι καὶ εὐαρμοστότεροι γιγνό-
μενοι χρήσιμοι ὦσιν εἰς τὸ λέγειν τε καὶ πράττειν· πᾶς γὰρ ὁ βίος τοῦ
ἀνθρώπου εὐρυθμίας τε καὶ εὐαρμοστίας δεῖται· ἔτι τοίνυν πρὸς
τούτοις εἰς παιδοτρίβου πέμπουσιν ἵνα τὰ σώματα βελτίω ἔχοντες
ὑπηρετῶσι τῇ διανοίᾳ χρηστῇ οὔσῃ καὶ μὴ ἀναγκάζωνται ἀποδει-
λιᾶν διὰ τὴν πονηρίαν τῶν σωμάτων καὶ ἐν τοῖς πολέμοις καὶ ἐν ταῖς
ἄλλαις πράξεσιν· καὶ ταῦτα ποιοῦσιν οἱ μάλιστα δυνάμενοι· μάλιστα
δὲ δύνανται οἱ πλουσιώτατοι· καὶ οἱ τούτων υἱεῖς πρῳαίτατα εἰς
διδασκάλων τῆς ἡλικίας ἀρξάμενοι φοιτᾶν ὀψιαίτατα ἀπαλλάτ-
τονται· ἐπειδὰν δὲ ἐκ διδασκάλων ἀπαλλαγῶσιν ἡ πόλις αὖ τούς
τε νόμους ἀναγκάζει μανθάνειν καὶ κατὰ τούτους ζῆν κατὰ παρά-
δειγμα· ἵνα μὴ αὐτοὶ ἐφ' αὑτῶν εἰκῇ πράττωσιν· ἀλλ' ἀτεχνῶς
ὥσπερ οἱ γραμματισταὶ τοῖς μήπω δεινοῖς γράφειν τῶν παίδων
ὑπογράψαντες γραμμὰς τῇ γραφίδι οὕτω τὸ γραμματεῖον δι-
δόασιν· καὶ ἀναγκάζουσι γράφειν κατὰ τὴν ὑφήγησιν τῶν γραμ-
μῶν· ὣς δὲ καὶ ἡ πόλις νόμους ὑπογράψασα ἀγαθῶν καὶ πα-
λαιῶν νομοθετῶν εὑρήματα· κατὰ τούτους ἀναγκάζει καὶ ἄρχειν
καὶ ἄρχεσθαι· ὃς δ' ἂν ἐκτὸς βαίνῃ τούτων κολάζει καὶ ὄνομα τῇ
κολάσει ταύτῃ καὶ παρ' ὑμῖν καὶ ἄλλοθι πολλαχοῦ ὡς εὐθυνού-
σης τῆς δίκης εὐθῦναι· τοσαύτης οὖν τῆς ἐπιμελείας οὔ-

[…] περὶ ἀρετῆς ἰδίαι καὶ δημοσίαι θαυμάζεις ὦ σώκρατες
καὶ ἀπορεῖς εἰ διδακτόν ἐστιν ἀρετή· ἀλλ' οὐ χρὴ θαυμάζειν. ἀλλὰ πο-
λὺ μᾶλλον εἰ μὴ διδακτόν: διὰ τί οὖν τῶν ἀγαθῶν πατέρων πολ-
λοὶ υἱεῖς φαῦλοι γίγνονται· τοῦτο αὖ μάθε· οὐδὲν γὰρ θαυμαστὸν
εἴπερ ἀληθῆ ἐγὼ ἐν τοῖς ἔμπροσθεν ἔλεγον ὅτι τούτου τοῦ πρά-
γματος τῆς ἀρετῆς εἰ μέλλει πόλις εἶναι· οὐδένα δεῖ ἰδιωτεύ-
ειν· εἰ γὰρ δὴ ὃ λέγω οὕτως ἔχει· ἔχει δὲ μάλιστα πάντων οὕτως.
ἐνθυμήθητι ἄλλο τῶν ἐπιτηδευμάτων ὁτιοῦν καὶ μαθημάτων
προελόμενος· εἰ μὴ οἷόν τ' ἦν πόλιν εἶναι εἰ μὴ πάντες αὐληταὶ
ἦμεν· ὁποῖός τις ἐδύνατο ἕκαστος καὶ τοῦτο καὶ ἰδίαι καὶ δημο-
σίαι πᾶς πάντα καὶ ἐδίδασκε καὶ ἐπέπληττε τὸν μὴ καλῶς αὐ-
λοῦντα καὶ μὴ ἐφθόνει τούτου ὥσπερ νῦν τῶν δικαίων καὶ τῶν
νομίμων οὐδεὶς φθονεῖ οὐδ' ἀποκρύπτεται ὥσπερ τῶν ἄλλων τε-
χνημάτων· λυσιτελεῖ γὰρ οἶμαι ἡμῖν ἡ ἀλλήλων δικαιοσύνη καὶ
ἀρετή· διὰ ταῦτα πᾶς παντὶ προθύμως λέγει καὶ διδάσκει καὶ
τὰ δίκαια καὶ τὰ νόμιμα· εἰ οὖν οὕτω καὶ ἐν αὐλήσει πᾶσαν προ-
θυμίαν καὶ ἀφθονίαν εἴχομεν ἀλλήλους διδάσκειν· οἴει ἄν τι ἔφη
μᾶλλον ὦ σώκρατες τῶν ἀγαθῶν αὐλητῶν ἀγαθοὺς αὐλητὰς
τοὺς υἱεῖς γίγνεσθαι ἢ τῶν φαύλων; οἶμαι μὲν οὔ· ἀλλ' ὅτου
ἔτυχεν ὁ υἱὸς εὐφυέστατος γενόμενος εἰς αὔλησιν· οὗτος ἂν
ἐλλόγιμος ηὐξήθη· ὅτου δὲ ἀφυής· ἀκλεής· καὶ πολλάκις
μὲν ἀγαθοῦ αὐλητοῦ φαῦλος ἂν ἀπέβη· πολλάκις δ' ἂν φαύ-
λου ἀγαθός· ἀλλ' οὖν αὐληταί γ' ἂν πάντες ἦσαν ἱκανοὶ ὡς
πρὸς τοὺς ἰδιώτας καὶ μηδὲν αὐλήσεως ἐπαΐοντας: οὕτως
Ὅιου καὶ νῦν ὅστις σοι ἀδικώτατος φαίνεται ἄνθρωπος τῶν ἐν
νόμοις καὶ ἀνθρώποις τεθραμμένων· δίκαιον αὐτὸν εἶναι
καὶ δημιουργὸν τούτου τοῦ πράγματος· εἰ δέοι αὐτὸν κρί-
νεσθαι πρὸς ἀνθρώπους οἷς μήτε παιδεία ἐστὶν μήτε δικα-
στήρια μήτε νόμοι μηδὲ ἀνάγκη μηδεμία διὰ παντὸς ἀναγ-
κάζουσα ἀρετῆς ἐπιμελεῖσθαι· ἀλλ' εἶεν ἄγριοί τινες οἷοίπερ
οὓς πέρυσιν φερεκράτης ὁ ποιητὴς ἐδίδαξεν ἐπὶ ληναί-
ῳ ἦ σφόδρα ἐν τοῖς τοιούτοις ἀνθρώποις γενόμενος ὥσπερ
οἱ ἐν ἐκείνῳ τῷ χορῷ μισάνθρωποι· ἀγαπήσαις ἂν εἰ ἐν-
τύχοις εὐρυβάτωι καὶ φρυνώνδαι καὶ ἀνολοφύραι' ἂν ποθῶν

τὴν τῶν ἐνθάδε ἀνθρώπων πονηρίαν· νῦν δὲ τρυφᾷς ὦ σώκρα-
τες διότι πάντες διδάσκαλοί εἰσιν ἀρετῆς καθ' ὅσον δύνανται ἕκασ-
τος καὶ οὐδείς σοι φαίνεται· εἶθ' ὥσπερ ἂν εἰ ζητοῖς τίς διδάσκα-
λος τοῦ ἑλληνίζειν οὐδ' ἂν εἷς φανείη· οὐδέ γ' ἂν οἶμαι εἰ ζητοῖς
τίς ἂν ἡμῖν διδάξειεν τοὺς τῶν χειροτεχνῶν υἱεῖς αὐτὴν ταύτην τὴν
τέχνην ἣν δὴ παρὰ τοῦ πατρὸς μεμαθήκασιν καθ' ὅσον οἷός τ' ἦν
ὁ πατὴρ καὶ οἱ τοῦ πατρὸς φίλοι ὄντες ὁμότεχνοι· τούτους ἔτι τίς
ἂν διδάξειεν· οὐ ῥᾴδιον οἶμαι εἶναι ὦ σώκρατες τούτων διδάσκα-
λον φανῆναι· τῶν δὲ ἀπείρων παντάπασι ῥᾴδιον· οὕτω δὲ ἀρε-
τῆς καὶ τῶν ἄλλων πάντων· ἀλλὰ κἂν εἰ ὀλίγον ἔστιν τις ὅστις δια-
φέρει ἡμῶν προβιβάσαι εἰς ἀρετὴν ἀγαπητόν· ὧν δὴ ἐγὼ οἶμαι εἷς
εἶναι καὶ διαφερόντως ἂν τῶν ἄλλων ἀνθρώπων ὀνῆσαί τινα πρὸς
τὸ καλὸν καὶ ἀγαθὸν γενέσθαι· καὶ ἀξίως τοῦ μισθοῦ ὃν πράττομαι
καὶ ἔτι πλείονος· ὥστε καὶ αὐτῷ δοκεῖν τῷ μαθόντι· διὰ ταῦτα καὶ
τὸν τρόπον τῆς πράξεως τοῦ μισθοῦ τοιοῦτον πεποίημαι· ἐπει-
δὰν γάρ τις παρ' ἐμοῦ μάθῃ· ἐὰν μὲν βούληται ἀποδέδωκεν ὃ ἐ-
γὼ πράττομαι ἀργύριον· ἐὰν δὲ μή· ἐλθὼν εἰς ἱερὸν ὀμόσας ὅ-
σου ἂν φῇ ἄξια εἶναι τὰ μαθήματα τοσοῦτον κατέθηκε· τοι-
οῦτόν σοι ἔφη ὦ σώκρατες ἐγὼ καὶ μῦθον καὶ λόγον εἴρηκα· ὡς
διδακτὸν ἀρετή· καὶ ἀθηναῖοι οὕτως ἡγοῦνται· καὶ ὅτι οὐδὲν θαυ-
μαστὸν τῶν ἀγαθῶν πατέρων φαύλους υἱεῖς γίγνεσθαι καὶ τῶν
φαύλων ἀγαθούς· ἐπεὶ καὶ οἱ πολυκλείτου υἱεῖς παράλου καὶ
ξανθίππου τοῦδε ἡλικιῶται οὐδὲν πρὸς τὸν πατέρα εἰσίν· καὶ ἄλ-
λοι ἄλλων δημιουργῶν· τῶνδε δὲ οὔπω ἄξιον τοῦτο κατηγορεῖν·
ἔτι γὰρ ἐν αὐτοῖς εἰσὶν ἐλπίδες· νέοι γάρ: πρωταγόρας μὲν το-
σαῦτα καὶ τοιαῦτα ἐπιδειξάμενος ἀπεπαύσατο τοῦ λόγου·
καὶ ἐγὼ ἐπὶ μὲν πολὺν χρόνον κεκηλημένος ἔτι πρὸς αὐτὸν ἔ-
βλεπον ὡς ἐροῦντά τι ἐπιθυμῶν ἀκούειν· ἐπεὶ δὲ δὴ ᾐσθόμην
ὅτι τῷ ὄντι πεπαυμένος εἴη· μόγις πως ἐμαυτὸν ὥσπερ εἰ συ-
ναγείρας εἶπον βλέψας πρὸς τὸν ἱπποκράτη· ὦ παῖ ἀπολλο-
δώρου ὡς χάριν σοι ἔχω ὅτι προύτρεψάς με ὧδε ἀφικέσθαι·
πολλοῦ γὰρ ποιοῦμαι ἀκηκοέναι ἃ ἀκήκοα πρωταγόρου· ἐ-
γωγε· ἐν μὲν τῷ ἔμπροσθεν χρόνῳ ἡγούμην οὐκ εἶναι ἀνθρω-
πίνην ἐπιμέλειαν ᾗ ἀγαθοὶ οἱ ἀγαθοὶ γίγνονται· νῦν δὲ πέπεισ-

σμικρόν τι μοι ἐμποδών, ὃ δῆλον ὅτι Πρωταγόρας ῥᾳ-
δίως ἐπεκδιδάξει, ἐπειδὴ καὶ τὰ πολλὰ ταῦτα ἐξεδίδαξεν. καὶ γὰρ
εἰ μέν τις περὶ αὐτῶν τούτων συγγένοιτο ὁτῳοῦν τῶν δημηγόρων
τάχ' ἂν καὶ τοιούτους λόγους ἀκούσειεν ἢ Περικλέους ἢ ἄλλου τι-
νὸς τῶν ἱκανῶν εἰπεῖν· εἰ δὲ ἐπανέροιτό τινά τι, ὥσπερ βιβλία οὐ-
δὲν ἔχουσιν οὔτε ἀποκρίνασθαι οὔτε αὐτοὶ ἐρέσθαι· ἀλλ' ἐάν τις καὶ
σμικρὸν ἐπερωτήσῃ τι τῶν ῥηθέντων, ὥσπερ τὰ χαλκία πληγέντα
μακρὸν ἠχεῖ καὶ ἀποτείνει ἐὰν μὴ ἐπιλάβηταί τις· καὶ οἱ ῥήτορες
οὕτω, σμικρὰ ἐρωτηθέντες δόλιχον κατατείνουσι τοῦ λόγου·
Πρωταγόρας δὲ ὅδε ἱκανὸς μὲν μακροὺς λόγους καὶ καλοὺς εἰ-
πεῖν, ὡς αὐτὰ δηλοῖ· ἱκανὸς δὲ καὶ ἐρωτηθεὶς ἀποκρίνασθαι κα-
τὰ βραχὺ καὶ ἐρόμενος περιμεῖναί τε καὶ ἀποδέξασθαι τὴν ἀπό-
κρισιν, ἃ ὀλίγοις ἐστὶ παρεσκευασμένα. νῦν οὖν ὦ Πρωταγόρα
σμικροῦ τινος ἐνδεής εἰμι πάντ' ἔχειν, εἴ μοι ἀποκρίναιο τόδε· τὴν
ἀρετὴν φῂς διδακτὸν εἶναι· καὶ ἐγὼ εἴπερ ἄλλῳ τῳ ἀνθρώπων
πειθοίμην ἄν, καὶ σοὶ πείθομαι· ὃ δ' ἐθαύμασά σου λέγοντος, τοῦ-
τό μοι ἐν τῇ ψυχῇ ἀποπλήρωσον· ἔλεγες γὰρ ὅτι ὁ Ζεὺς τὴν δικαιοσύ-
νην καὶ τὴν αἰδῶ πέμψειε τοῖς ἀνθρώποις· καὶ αὖ
πολλαχοῦ ἐν τοῖς λόγοις ἐλέγετο ὑπὸ σοῦ ἡ δικαιοσύνη καὶ σω-
φροσύνη καὶ ὁσιότης καὶ πάντα ταῦτα ὡς ἕν τι εἴη συλλήβδην ἀ-
ρετή· ταῦτ' οὖν αὐτὰ δίελθέ μοι ἀκριβῶς τῷ λόγῳ· πότερον ἓν
μέν τί ἐστιν ἡ ἀρετή, μόρια δὲ αὐτῆς ἐστιν ἡ δικαιοσύνη καὶ σωφροσύνη
καὶ ὁσιότης, ἢ ταῦτ' ἐστὶν ἃ νῦν δὴ ἐγὼ ἔλεγον πάντα ὀνόματα τοῦ
αὐτοῦ ἑνὸς ὄντος· τοῦτ' ἐστὶν ὃ ἔτι ἐπιποθῶ: ἀλλὰ ῥᾴδιον τοῦτό
γ' ἔφη ὦ Σώκρατες ἀποκρίνασθαι, ὅτι ἑνὸς ὄντος τῆς ἀρετῆς
μόριά ἐστιν ἃ ἐρωτᾷς: πότερον ἔφην ὥσπερ προσώπου τὰ
μόρια μόριά ἐστι στόμα τε καὶ ῥὶς καὶ ὀφθαλμοὶ καὶ ὦτα, ἢ ὥσπερ
τὰ τοῦ χρυσοῦ μόρια οὐδὲν διαφέρει τὰ ἕτερα τῶν ἑτέρων,
ἀλλήλων καὶ τοῦ ὅλου ἀλλ' ἢ μεγέθει καὶ σμικρότητι: ἐκεί-
νως μοι φαίνεται ὦ Σώκρατες ὥσπερ τὰ τοῦ προσώπου μόρια ἔ-
χει πρὸς τὸ ὅλον πρόσωπον: πότερον οὖν ἦν δ' ἐγὼ καὶ μεταλαμ-
βάνουσιν οἱ ἄνθρωποι τούτων τῶν τῆς ἀρετῆς μορίων οἱ μὲν ἄλλο
οἱ δὲ ἄλλο ἢ ἀνάγκη ἐάνπερ τις ἓν λάβῃ ἅπαντ' ἔχειν: οὐδαμῶς
ἔφη ἐπεὶ πολλοὶ ἀνδρεῖοί εἰσιν ἄδικοι δέ, καὶ δίκαιοι αὖ σοφοὶ δὲ

οὐ· ἔστιν γὰρ οὖν καὶ ταῦτα μόρια τῆς ἀρετῆς ἔφην ἐγὼ σοφία τε
καὶ ἀνδρεία· πάντων μάλιστα δήπου ἔφη καὶ μέγιστόν γε ἡ σοφία
τῶν μορίων· ἕκαστον δὲ αὐτῶν ἐστιν ἦν δ' ἐγὼ ἄλλο· τὸ δὲ ἄλλο· ναί·
ἦ καὶ δύναμιν αὐτῶν ἕκαστον ἰδίαν ἔχει· ὥσπερ τὰ τοῦ προσώπου·
οὐκ ἔστιν ὀφθαλμὸς οἷον τὰ ὦτα· οὐδ' ἡ δύναμις αὐτοῦ ἡ αὐτή· οὐ
δὲ τῶν ἄλλων οὐδέν ἐστιν οἷον τὸ ἕτερον οὔτε κατὰ τὴν δύναμιν οὔτε
κατὰ τὰ ἄλλα· ἆρ' οὖν οὕτω καὶ τὰ τῆς ἀρετῆς μόρια οὐκ ἔστιν τὸ ἕ-
τερον οἷον τὸ ἕτερον· οὔτε αὐτὸ οὔτε ἡ δύναμις αὐτοῦ· ἢ δῆλα δὴ
ὅτι οὕτως ἔχει εἴπερ τῷ παραδείγματί γε ἔοικε· ἀλλ' οὕτως
ἔφη· καὶ ἐγὼ εἶπον οὐδὲν ἄρα ἐστὶν τῶν τῆς ἀρετῆς μορίων ἄλλο οἷον
ἐπιστήμη· οὐδ' οἷον δικαιοσύνη· οὐδ' οἷον ἀνδρεία· οὐδ' οἷον σωφρο-
σύνη· οὐδ' οἷον ὁσιότης· οὐκ ἔφη· φέρε δή ἔφην ἐγὼ κοινῇ σκε-
ψώμεθα ποῖόν τι αὐτῶν ἐστιν ἕκαστον· πρῶτον μὲν τὸ τοιόνδε· ἡ δι-
καιοσύνη πρᾶγμά τί ἐστιν ἢ οὐδὲν πρᾶγμα· ἐμοὶ μὲν γὰρ δοκεῖ· τί
δὲ σοί· καὶ ἐμοί ἔφη· τί οὖν εἴ τις ἔροιτο ἐμέ τε καὶ σὲ ὦ πρωταγό-
ρα τε καὶ σώκρατες εἴπετον δή μοι τοῦτο τὸ πρᾶγμα ὃ ὠνομάσατε
ἄρτι· ἡ δικαιοσύνη αὐτὸ τοῦτο δίκαιόν ἐστιν ἢ ἄδικον· ἐγὼ μὲν ἂν
αὐτῷ ἀποκριναίμην ὅτι δίκαιον· σὺ δὲ τίν' ἂν ψῆφον θεῖο· τὴν αὐτὴν
ἐμοὶ ἢ ἄλλην· τὴν αὐτήν ἔφη· ἔστιν ἄρα τοιοῦτον ἡ δικαιοσύνη οἷον
δίκαιον εἶναι φαίην ἂν ἔγωγε ἀποκρινόμενος τῷ ἐρωτῶντι· οὐ-
κοῦν καὶ σύ· ναί ἔφη· εἰ οὖν μετὰ τοῦτο ἡμᾶς ἔροιτο οὐκοῦν καὶ ὁ-
σιότητά τινα φατὲ εἶναι· φαῖμεν ἄν ὡς ἐγᾦμαι· ναί ἦ δ' ὅς· οὐ-
κοῦν φατὲ καὶ τοῦτο πρᾶγμά τι εἶναι· φαῖμεν ἄν ἢ οὔ· καὶ τοῦτο
συνέφη· πότερον δὲ τοῦτο αὐτὸ τὸ πρᾶγμά φατε τοιοῦτον πε-
φυκέναι οἷον ἀνόσιον εἶναι ἢ οἷον ὅσιον· ἀγανακτήσαιμ' ἂν ἔγω-
γ' ἔφην τῷ ἐρωτήματι καὶ εἴποιμ' ἂν εὐφήμει ὦ ἄνθρωπε· σχολῇ
μεντἂν τι ἄλλο ὅσιον εἴη εἰ μὴ αὐτή γε ἡ ὁσιότης ὅσιον ἔσται· τί δὲ
σὺ οὐχ οὕτως ἂν ἀποκρίναιο· πάνυ μὲν οὖν ἔφη· εἰ οὖν μετὰ τοῦτο
εἴποι ἐρωτῶν ἡμᾶς· πῶς οὖν ὀλίγον πρότερον ἐλέγετε· ἆρ' οὐ-
κ ὀρθῶς ὑμῶν κατήκουσα· ἐδόξατέ μοι φάναι τῆς ἀρετῆς μόρια
εἶναι οὕτως ἔχοντα πρὸς ἄλληλα ὡς οὐκ εἶναι τὸ ἕτερον αὐτῶν
οἷον τὸ ἕτερον· εἴποιμ' ἂν ἔγωγε ὅτι τὰ μὲν ἄλλα ὀρθῶς ἤκουσας·
ὅτι δὲ καὶ ἐμὲ οἴει εἰπεῖν τοῦτο παρήκουσας· πρωταγόρας
γὰρ ὅδε ταῦτα ἀπεκρίνατο· ἐγὼ δὲ ἠρώτων· εἰ οὖν εἴποι ἀληθῆ

ὁ δ' εἴποι ὦ πρωταγόρα· σὺ φῂς οὐκ εἶναι τὸ ἕτερον μόριον οἷον
τὸ ἕτερον τῶν τῆς ἀρετῆς· σὸς οὗτος ὁ λόγος ἐστίν· τί ἂν αὐτῷ
ἀποκρίναιο: ἀνάγκη ἔφη ὦ σώκρατες ὁμολογεῖν: τί οὖν ὦ πρω
ταγόρα ἀποκρινούμεθα αὐτῷ ταῦτα ὁμολογήσαντες· ἐὰν ἡ
μᾶς ἐπανέρηται· οὐκ ἄρα ἐστὶν ὁσιότης οἷον δίκαιον εἶναι πρᾶ
γμα οὐδὲ δικαιοσύνη οἷον ὅσιον· ἀλλ' οἷον μὴ ὅσιον· ἡ δ' ὁσιότης
οἷον μὴ δίκαιον· ἀλλ' ἄδικον ἄρα· τὸ δὲ ἀνόσιον· τί αὐτῷ ἀπο
κρινούμεθα· ἐγὼ μὲν γὰρ αὐτὸς ὑπέρ γε ἐμαυτοῦ φαίην ἂν καὶ
τὴν δικαιοσύνην ὅσιον εἶναι· καὶ τὴν ὁσιότητα δίκαιον· καὶ
ὑπὲρ σοῦ δὲ εἴ με ἐῴης ταὐτὰ ἂν ταῦτα ἀποκρινοίμην· ὅτι
ἤτοι ταὐτόν γ' ἐστὶν δικαιότης ὁσιότητι· ἢ ὅτι ὁμοιότατον· καὶ
μάλιστα πάντων ἥ τε δικαιοσύνη οἷον ὁσιότης καὶ ἡ ὁσιότης
οἷον δικαιοσύνη· ἀλλ' ὅρα εἰ διακωλύεις ἀποκρίνεσθαι· ἢ καὶ σοὶ
συνδοκεῖ οὕτως: οὐ πάνυ μοι δοκεῖ ἔφη ὦ σώκρατες οὕτως
ἁπλοῦν εἶναι ὥστε συγχωρῆσαι τήν τε δικαιοσύνην ὅσιον εἶναι
καὶ τὴν ὁσιότητα δίκαιον· ἀλλά τί μοι δοκεῖ ἐν αὐτῷ διάφορον
εἶναι· ἀλλὰ τί τοῦτο διαφέρει ἔφη· εἰ γὰρ βούλει ἔστω ἡμῖν καὶ δι
καιοσύνη ὅσιον καὶ ὁσιότης δίκαιον: μή μοι ἦν δ' ἐγώ· οὐδὲν
γὰρ δέομαι τὸ εἰ βούλει τοῦτο καὶ εἴ σοι δοκεῖ ἐλέγχεσθαι· ἀλλ' ἐμέ
τε καὶ σέ· τὸ δ' ἐμέ τε καὶ σὲ τοῦτο λέγω· οἰόμενος οὕτω τὸν
λόγον βέλτιστ' ἂν ἐλέγχεσθαι· εἴ τις τὸ εἰ ἀφέλοι αὐτοῦ: ἀλλὰ μέν
τοι ἦ δ' ὅς· προσέοικέν τι δικαιοσύνη ὁσιότητι· καὶ γὰρ ὅτι οὖν ὅ
τῳ οὖν ἁμῇ γέ πῃ προσέοικεν· τὸ γὰρ λευκὸν τῷ μέλανι ἔστιν ὅ
πῃ προσέοικεν· καὶ τὸ σκληρὸν τῷ μαλακῷ· καὶ τἆλλα ἃ δοκεῖ ἐ
ναντιώτατα εἶναι ἀλλήλοις· καὶ ἃ τότε ἔφαμεν ἄλλην δύναμιν
ἔχειν καὶ οὐκ εἶναι τὸ ἕτερον οἷον τὸ ἕτερον· τὰ τοῦ προσώπου μό
ρια ἁμῇ γέ πῃ προσέοικε καὶ ἔστιν τὸ ἕτερον οἷον τὸ ἕτερον· ὥστε
τούτῳ γε τῷ τρόπῳ κἂν ταῦτα ἐλέγχοις εἰ βούλοιο ὡς ἅπαν
τά ἐστιν ὅμοια ἀλλήλοις· ἀλλ' οὐχὶ τὰ ὅμοιόν τι ἔχοντα ὅμοια δίκαι
ον καλεῖν· οὐδὲ τὰ ἀνόμοιόν τι ἔχοντα ἀνόμοια· κἂν πάνυ σμικρὸν
ἔχῃ τὸ ὅμοιον: καὶ ἐγὼ θαυμάσας εἶπον πρὸς αὐτόν· ἢ γὰρ οὔ
τως σοι τὸ δίκαιον καὶ τὸ ὅσιον πρὸς ἄλληλα ἔχει· ὥστε ὅμοιόν τι σμι
κρὸν ἔχειν ἀλλήλοις: οὐ πάνυ ἔφη οὕτως· οὐ μέντοι οὐδὲ αὖ ὡς
σύ μοι δοκεῖς οἴεσθαι: ἀλλὰ μήν ἔφην ἐγώ ἐπειδὴ δυσχερῶς

κ(αὶ) τὸ ὁπωσοῦν

δοκεῖ σοι ἔχειν πρὸς ταῦτα· τοῦτο μὲν ἐάσωμεν· τῶν δὲ ἄλλων ὧν ἔλε-
γες ἐπισκεψώμεθα. ἀφροσύνην τι καλεῖς; ἔφη. τούτῳ τῷ πρά-
γματι οὐ πᾶν τοὐναντίον ἐστὶν ἡ σοφία; ἔμοιγε δοκεῖ ἔφη. πότε-
ρον δὲ ὅταν πράττωσιν ἄνθρωποι ὀρθῶς τε καὶ ὠφελίμως, τότε
σωφρονεῖν σοι δοκοῦσιν οὕτω πράττοντες, ἢ τοὐναντίον εἰ ἔπρατ-
τον; σωφρονεῖν ἔφη. οὐκοῦν σωφροσύνῃ σωφρονοῦσιν; ἀ-
νάγκη. οὐκοῦν οἱ μὴ ὀρθῶς πράττοντες ἀφρόνως πράττουσιν
καὶ οὐ σωφρονοῦσιν οὕτω πράττοντες; συνδοκεῖ μοι ἔφη. του-
ναντίον ἄρα ἐστὶν τὸ ἀφρόνως πράττειν τῷ σωφρόνως; ἔφη.
οὐκοῦν τὰ μὲν ἀφρόνως πραττόμενα ἀφροσύνῃ πράττεται, τὰ
δὲ σωφρόνως σωφροσύνῃ; ὡμολόγει. οὐκοῦν εἴ τι ἰσχύϊ πράτ-
τεται, ἰσχυρῶς πράττεται, καὶ εἴ τι ἀσθενείᾳ ἀσθενῶς; ἐδόκει.
καὶ εἴ τι μετὰ τάχους ταχέως, καὶ εἴ τι μετὰ βραδυτῆτος βραδέ-
ως; ἔφη. καὶ εἴ τι δὴ ὡσαύτως πράττεται ὑπὸ τοῦ αὐτοῦ πράτ-
τεται, καὶ εἴ τι ἐναντίως ὑπὸ τοῦ ἐναντίου; συνέφη. φέρε δή ἦν
δ' ἐγώ, ἔστιν τι καλόν; συνεχώρει. τούτῳ ἔστιν τι ἐναντίον πλὴν τὸ
αἰσχρόν; οὐκ ἔστιν. τί δέ; ἔστιν τι ἀγαθόν; ἔστιν. τούτῳ ἔστιν τι ἐ-
ναντίον πλὴν τὸ κακόν; οὐκ ἔστιν. τί δέ; ἔστιν τι ὀξὺ ἐν φωνῇ;
ἔφη. τούτῳ μὴ ἔστιν τι ἐναντίον ἄλλο πλὴν τὸ βαρύ; οὐκ ἔφη.
οὐκοῦν ἦν δ' ἐγὼ ἑνὶ ἑκάστῳ τῶν ἐναντίων ἓν μόνον ἐστὶν ἐναντί-
ον καὶ οὐ πολλά; συνωμολόγει. ἴθι δή ἦν δ' ἐγώ, ἀναλογισώμε-
θα τὰ ὡμολογημένα ἡμῖν. ὡμολογήκαμεν ἓν ἑνὶ μόνον ἐναντί-
ον εἶναι, πλείω δὲ μή; ὡμολογήκαμεν. τὸ δὲ ἐναντίως πραττ-
όμενον ὑπὸ ἐναντίων πράττεσθαι; ἔφη. ὡμολογήκαμεν δὲ
ἐναντίως πράττεσθαι ὃ ἂν ἀφρόνως πράττηται τῷ σωφρό-
νως πραττομένῳ; ἔφη. τὸ δὲ σωφρόνως πραττόμενον ὑπὸ
σωφροσύνης πράττεσθαι, τὸ δὲ ἀφρόνως ὑπὸ ἀφροσύνης;
συνεχώρει. οὐκοῦν εἴπερ ἐναντίως πράττεται ὑπὸ ἐναντίου
πράττοιτ' ἄν; ναί. πράττεται δὲ τὸ μὲν ὑπὸ σωφροσύνης, τὸ δὲ ὑ-
πὸ ἀφροσύνης; ναί. ἐναντίως; πάνυ γε. οὐκοῦν ὑπὸ ἐναντίων
ὄντων; ναί. ἐναντίον ἄρ' ἐστὶν ἀφροσύνη σωφροσύνης; φαίνεται.
μέμνησαι οὖν ὅτι ἐν τοῖς ἔμπροσθεν ὡμολόγηται ἡμῖν ἀφροσύνη
σοφίᾳ ἐναντίον εἶναι; συνωμολόγει. ἓν δὲ ἑνὶ μόνον ἐναντίον
εἶναι; φημί. πότερον οὖν ὦ πρωταγόρα λύσωμεν τὸν λό-

ἓν μόνον ἐναντίον εἶναι ἢ ἐκεῖνον ἐν ᾧ ἐλέγετο ἕτερον εἶναι
σωφροσύνης σοφία· μόριον δὲ ἑκάτερον ἀρετῆς καὶ πρὸς τῷ ἕτε-
ρον εἶναι καὶ ἀνόμοια καὶ αὐτὰ καὶ αἱ δυνάμεις αὐτῶν· ὥσπερ τὰ τοῦ
προσώπου μόρια· πότερον οὖν δὴ λύσωμεν· οὗτοι γὰρ οἱ λόγοι
ἀμφότεροι οὐ πάνυ μουσικῶς λέγονται· οὐ γὰρ συνᾴδουσιν οὐδὲ συ-
ναρμόττουσιν ἀλλήλοις· πῶς γὰρ ἂν συνᾴδοιεν εἴπερ γε ἀνάγκη
ἑνὶ μὲν ἓν μόνον ἐναντίον εἶναι πλείοσιν δὲ μή· τῇ δὲ ἀφροσύνῃ
ἑνὶ ὄντι· σοφία ἐναντία καὶ σωφροσύνη αὖ φαίνεται· ἦ γὰρ ὦ πρω-
ταγόρα ἔφην ἐγὼ ἢ ἄλλως πως: ὡμολόγησεν καὶ μάλ᾽ ἀκόντως:
οὐκοῦν ἓν ἂν εἴη ἡ σωφροσύνη καὶ ἡ σοφία· τὸ δὲ πρότερον αὖ ἐφά-
νη ἡμῖν ἡ δικαιοσύνη καὶ ἡ ὁσιότης σχεδόν τι ταὐτὸν ὄν: ἴθι δὴ
ἦν δ᾽ ἐγὼ ὦ πρωταγόρα μὴ ἀποκάμωμεν ἀλλὰ καὶ τὰ λοιπὰ διασκε-
ψώμεθα· ἆρά τίς σοι δοκεῖ ἀδικῶν ἄνθρωπος σωφρονεῖν ὅτι ἀδι-
κεῖ: αἰσχυνοίμην ἂν ἔγωγ᾽ ἔφη ὦ σώκρατες τοῦτο ὁμολογεῖν· ἐπεὶ
πολλοί γέ φασιν τῶν ἀνθρώπων: πότερον οὖν πρὸς ἐκείνους
τὸν λόγον ποιήσομαι ἔφην ἢ πρὸς σέ: εἰ βούλει ἔφη πρὸς τοῦτον πρῶ-
τον τὸν λόγον διαλέχθητι τὸν τῶν πολλῶν: ἀλλ᾽ οὐδέν μοι διαφέρει
ἐὰν μόνον σύ γε ἀποκρίνῃ εἴτ᾽ οὖν δοκεῖ σοι ταῦτα εἴτε μή· τὸν γὰρ λό-
γον ἔγωγε μάλιστα ἐξετάζω· συμβαίνει μέντοι ἴσως καὶ ἐμὲ
τὸν ἐρωτῶντα καὶ τὸν ἀποκρινόμενον ἐξετάζεσθαι: τὸ μὲν οὖν
πρῶτον ἐκαλλωπίζετο ἡμῖν ὁ πρωταγόρας· τὸν γὰρ λόγον ᾐτιᾶτο
δυσχερῆ εἶναι· ἔπειτα μέντοι συνεχώρησεν ἀποκρίνεσθαι: ἴθι δὴ
ἔφην ἐγὼ ἐξ ἀρχῆς μοι ἀπόκριναι· δοκοῦσί τινές σοι σωφρονεῖν
ἀδικοῦντες: ἔστω ἔφη: τὸ δὲ σωφρονεῖν λέγεις εὖ φρονεῖν: ἔφη:
τὸ δ᾽ εὖ φρονεῖν εὖ βουλεύεσθαι ὅτι ἀδικοῦσιν: ἔστω ἔφη: πότερον
ἦν δ᾽ ἐγὼ εἰ εὖ πράττουσιν ἀδικοῦντες ἢ εἰ κακῶς: εἰ εὖ: λέγεις
οὖν ἀγαθὰ ἄττα εἶναι: λέγω: ἆρ᾽ οὖν ἦν δ᾽ ἐγὼ ταῦτ᾽ ἐστὶν ἀγαθὰ
ἅ ἐστιν ὠφέλιμα τοῖς ἀνθρώποις: καὶ ναὶ μὰ δί᾽ ἔφη κἂν μὴ τοῖς
ἀνθρώποις ὠφέλιμα ᾖ ἔγωγε καλῶ ἀγαθά: καί μοι ἐδόκει ὁ
πρωταγόρας ἤδη τετραχύνθαι τε καὶ ἀγωνιᾶν καὶ παρατετάχθαι
πρὸς τὸ ἀποκρίνεσθαι· ἐπεὶ δὴ οὖν ἑώρων αὐτὸν οὕτως ἔχοντα·
εὐλαβούμενος ἠρέμα ἠρόμην: πότερον ἦν δ᾽ ἐγὼ λέγεις ὦ
πρωταγόρα ἃ μηδενὶ ἀνθρώπων ὠφέλιμά ἐστιν ἢ ἃ μηδὲ τὸ πα-
ράπαν ὠφέλιμα· καὶ τὰ τοιαῦτα σὺ ἀγαθὰ καλεῖς: οὐδαμῶς

ἔφη· ἀλλ' ἔγωγε πολλὰ οἶδ' ἃ ἀνθρώποις μὲν ἀνωφελῆ ἐστι, καὶ σιτία
καὶ ποτὰ καὶ φάρμακα καὶ ἄλλα μυρία· τὰ δέ γε ὠφέλιμα· τὰ δὲ ἀν-
θρώποις μὲν οὐδέτερα, ἵπποις δέ· τὰ δὲ βουσὶν μόνον· τὰ δὲ κυ-
σίν· τὰ δέ γε τούτων μὲν οὐδενί, δένδροις δέ· τὰ δὲ τοῦ δένδρου τοῖς
μὲν ῥίζαις ἀγαθά, ταῖς δὲ βλάσταις πονηρά· οἷον καὶ ἡ κόπρος πάν-
των τῶν φυτῶν ταῖς μὲν ῥίζαις ἀγαθὸν παραβαλλομένη· εἰ δ'
ἐθέλοις ἐπὶ τοὺς πτόρθους καὶ τοὺς νέους κλῶνας ἐπιβάλλειν, πάν-
τα ἀπόλλυσιν· ἐπεὶ καὶ τὸ ἔλαιον τοῖς μὲν φυτοῖς ἅπασίν ἐστιν
πάγκακον καὶ ταῖς θριξὶν πολεμιώτατον ταῖς τῶν ἄλλων ζῴων πλὴν
ταῖς τοῦ ἀνθρώπου· ταῖς δὲ τοῦ ἀνθρώπου ἀρωγὸν καὶ τῷ ἄλλῳ
σώματι. οὕτω δὲ ποικίλον τί ἐστιν τὸ ἀγαθὸν καὶ παντοδαπόν, ὥστε
καὶ ἐνταῦθα τοῖς μὲν ἔξωθεν τοῦ σώματος ἀγαθόν ἐστιν τῷ ἀν-
θρώπῳ, τοῖς δ' ἐντὸς ταὐτὸ τοῦτο κάκιστον· καὶ διὰ τοῦτο οἱ ἰα-
τροὶ πάντες ἀπαγορεύουσιν τοῖς ἀσθενοῦσιν μὴ χρῆσθαι ἐλαίῳ
ἀλλ' ἢ ὅτι σμικροτάτῳ ἐν τούτοις οἷς μέλλει ἔδεσθαι, ὅσον μόνον
τὴν δυσχέρειαν κατασβέσαι τὴν ἐπὶ ταῖς αἰσθήσεσι ταῖς διὰ τῶν
ῥινῶν γιγνομένην ἐν τοῖς σιτίοις καὶ ὄψοις. εἰπόντος οὖν ταῦ-
τα αὐτοῦ οἱ παρόντες ἀνεθορύβησαν ὡς εὖ λέγοι. καὶ ἐγὼ εἶπον·
ὦ Πρωταγόρα, ἐγὼ τυγχάνω ἐπιλήσμων τις ὢν ἄνθρωπος, καὶ
ἐάν τίς μοι μακρὰ λέγῃ, ἐπιλανθάνομαι περὶ οὗ ἂν ᾖ ὁ λόγος.
ὥσπερ οὖν εἰ ἐτύγχανον ὑπόκωφος ὤν, ᾤου ἂν χρῆναι, εἴπερ ἔ-
μελλές μοι διαλέξεσθαι, μεῖζον φθέγγεσθαι ἢ πρὸς τοὺς ἄλλους, οὕ-
τω καὶ νῦν, ἐπειδὴ ἐπιλήσμονι ἐνέτυχες, σύντεμνέ μοι τὰς ἀποκρί-
σεις καὶ βραχυτέρας ποίει, εἰ μέλλω σοι ἕπεσθαι. πῶς οὖν κελεύεις
με βραχέα ἀποκρίνεσθαι; ἢ βραχύτερά σοι, ἔφη, ἀποκρίνωμαι ἢ δεῖ;
μηδαμῶς, ἦν δ' ἐγώ. ἀλλ' ὅσα δεῖ; ἔφη. ναί, ἦν δ' ἐγώ. πότερα οὖν
ὅσα ἐμοὶ δοκεῖ δεῖν ἀποκρίνεσθαι, τοσαῦτά σοι ἀποκρίνωμαι, ἢ ὅσα
σοί; ἀκήκοα γοῦν, ἦν δ' ἐγώ, ὅτι σὺ οἷός τ' εἶ καὶ αὐτὸς καὶ ἄλλον διδά-
ξαι περὶ τῶν αὐτῶν καὶ μακρὰ λέγειν, ἐὰν βούλῃ, οὕτως ὥστε τὸν
λόγον μηδέποτε ἐπιλιπεῖν, καὶ αὖ βραχέα οὕτως ὥστε μηδένα
σοῦ ἐν βραχυτέροις εἰπεῖν· εἰ οὖν μέλλεις ἐμοὶ διαλέξεσθαι, τῷ ἑ-
τέρῳ χρῶ τρόπῳ πρός με, τῇ βραχυλογίᾳ. ὦ Σώκρατες, ἔφη,
ἐγὼ πολλοῖς ἤδη εἰς ἀγῶνα λόγων ἀφικόμην ἀνθρώποις, καὶ
εἰ τοῦτο ἐποίουν ὃ σὺ κελεύεις, ὡς ὁ ἀντιλέγων ἐκέλευέν με διαλέ-

γεσθαι οὕτω διελεγόμην· οὐδενὸς ἂν βελτίων ἐφαινόμην· οὐδ᾽ ἂν
ἐγένετο πρωταγόρου ὄνομα ἐν τοῖς ἕλλησιν· καὶ ἐγὼ ἔγνων γὰρ ὅ
τι οὐκ ἤρεσεν αὐτὸς αὑτῷ ταῖς ἀποκρίσεσιν ταῖς ἔμπροσθεν·
καὶ ὅτι οὐκ ἐθελήσοι ἑκὼν εἶναι ἀποκρινόμενος διαλέγεσθαι· ἡ
γησάμενος οὐκέτι ἐμὸν ἔργον εἶναι παρεῖναι ἐν ταῖς συνουσίαις·
ἀλλά τοι ἔφην ὦ πρωταγόρα οὐδ᾽ ἐγὼ λιπαρῶς ἔχω παρὰ τὰ σοὶ
δοκοῦντα τὴν συνουσίαν ἡμῖν γίγνεσθαι· ἀλλ᾽ ἐπειδὰν σὺ βούλῃ
διαλέγεσθαι ὡς ἐγὼ δύναμαι ἕπεσθαι· τότε σοι διαλέξομαι· σὺ
μὲν γὰρ ὡς λέγεται περὶ σοῦ· φῂς δὲ καὶ αὐτὸς καὶ ἐν μακρολο
γίᾳ καὶ ἐν βραχυλογίᾳ οἷός τ᾽ εἶ συνουσίας ποιεῖσθαι· σοφὸς γὰρ
εἶ· ἐγὼ δὲ τὰ μακρὰ ταῦτα ἀδύνατος· ἐπεὶ ἐβουλόμην ἂν οἷός τ᾽ εἶ
ναι· ἀλλὰ σὲ ἐχρῆν ἡμῖν συγχωρεῖν τὸν ἀμφότερα δυνάμενον· ἵνα
ἡ συνουσία ἐγίγνετο· νῦν δὲ ἐπειδὴ οὐκ ἐθέλεις καὶ ἐμοί τις ἀσχο
λία ἐστὶν καὶ οὐκ ἂν οἷός τ᾽ εἴην σοι παραμεῖναι ἀποτείνοντι μακροὺς
λόγους· ἐλθεῖν γάρ ποί με δεῖ· εἶμι· ἐπεὶ καὶ ταῦτ᾽ ἂν ἴσως οὐκ ἀη
δῶς σου ἤκουον· καὶ ἅμα ταῦτ᾽ εἰπὼν ἀνιστάμην ὡς ἀπιών·
καί μου ἀνισταμένου ἐπιλαμβάνεται ὁ καλλίας τῆς χειρὸς τῇ δεξιᾷ
τῇ δ᾽ ἀριστερᾷ ἀντελάβετο τοῦ τρίβωνος τουτουΐ· καὶ εἶπεν· οὐκ ἀ
φήσομέν σε ὦ σώκρατες· ἐὰν γὰρ σὺ ἐξέλθῃς· οὐχ ὁμοίως
ἡμῖν ἔσονται οἱ διάλογοι· δέομαι οὖν σου παραμεῖναι ἡμῖν· ὡς ἐγὼ
οὐδ᾽ ἂν ἑνὸς ἥδιον ἀκούσαιμι ἢ σοῦ τε καὶ πρωταγόρου διαλεγο
μένων· ἀλλὰ χάρισαι ἡμῖν πᾶσιν· καὶ ἐγὼ εἶπον ἤδη δὲ ἀνειστήκη
ὡς ἐξιών· ὦ παῖ ἱππονίκου· ἀεὶ μὲν ἔγωγέ σου τὴν φιλοσοφίαν
ἄγαμαι· ἀτὰρ καὶ νῦν ἐπαινῶ καὶ φιλῶ· ὥστε βουλοίμην ἂν χαρίζεσθαί
σοι εἴ μου δυνατὰ δέοιο· νῦν δ᾽ ἐστὶν ὥσπερ ἂν εἰ δέοιό μου κρίσωνι
τῷ ἱμεραίῳ δρομεῖ ἀκμάζοντι ἕπεσθαι ἢ τῶν δολιχοδρόμων
τῳ ἢ τῶν ἡμεροδρόμων διαθεῖν τε καὶ ἕπεσθαι· εἴποιμι ἄν σοι ὅτι
πολὺ σοῦ μᾶλλον ἐγὼ ἐμαυτοῦ δέομαι θέουσιν τούτοις ἀκολου
θεῖν· ἀλλ᾽ οὐ γὰρ δύναμαι· ἀλλ᾽ εἴ τι δέῃ θεάσασθαι ἐν τῷ αὐτῷ ἐμέ τε
καὶ κρίσωνα θέοντας· τούτου δέου συγκαθεῖναι· ἐγὼ μὲν γὰρ οὐ
δύναμαι ταχὺ θεῖν· οὗτος δὲ δύναται βραδέως· εἰ οὖν ἐπιθυ
μεῖς ἐμοῦ καὶ πρωταγόρου ἀκούειν· τούτου δέου ὥσπερ τὸ πρῶ
τόν μοι ἀπεκρίνατο διὰ βραχέων τε καὶ αὐτὰ τὰ ἐρωτώμενα
οὕτω καὶ νῦν ἀποκρίνεσθαι· εἰ δὲ μή· τίς ὁ τρόπος ἔσται τῶν δια

λόγων· χωρὶς γὰρ ἔγωγε ᾤμην εἶναι τὸ συνεῖναί τε ἀλλήλοις δια-
λεγομένους καὶ τὸ δημηγορεῖν: ἀλλ' ὁρᾷς ἔφη ὦ σώκρατες
καὶ δίκαια δοκεῖ λέγειν πρωταγόρας ἀξιῶν αὐτῷ τε ἐξεῖναι διαλέ-
γεσθαι ὅπως βούλεται καὶ σοὶ ὅπως ἂν αὖ σὺ βούλῃ: ὑπολαβὼν
οὖν ὁ ἀλκιβιάδης οὐ καλῶς λέγεις ἔφη ὦ καλλία· σωκράτης μὲν γὰρ
ὅδε ὁμολογεῖ μὴ μετεῖναί οἱ μακρολογίας καὶ παραχωρεῖ πρω-
ταγόρᾳ· τοῦ δὲ διαλέγεσθαι οἷός τ' εἶναι καὶ ἐπίστασθαι λόγον τε
δοῦναι καὶ δέξασθαι θαυμάζοιμ' ἂν εἴ τῳ ἀνθρώπων παραχωρεῖ·
εἰ μὲν οὖν καὶ πρωταγόρας ὁμολογεῖ φαυλότερος εἶναι σωκρά-
τους διαλεχθῆναι ἐξαρκεῖ σωκράτει· εἰ δὲ ἀντιποιεῖται διαλεγέ-
σθω ἐρωτῶν τε καὶ ἀποκρινόμενος· μὴ ἐφ' ἑκάστῃ ἐρωτήσει μα-
κρὸν λόγον ἀποτείνων ἐκκρούων τοὺς λόγους καὶ οὐκ ἐθέλων δι-
δόναι λόγον ἀλλ' ἀπομηκύνων ἕως ἂν ἐπιλάθωνται περὶ ὅτου τὸ
ἐρώτημα ἦν οἱ πολλοὶ τῶν ἀκουόντων· ἐπεὶ σωκράτη γε ἐγὼ ἐγγυῶ-
μαι μὴ ἐπιλήσεσθαι οὐχ ὅτι παίζει καί φησιν ἐπιλήσμων εἶναι· ἐμοὶ
μὲν οὖν δοκεῖ ἐπιεικέστερα σωκράτης λέγειν· χρὴ γὰρ ἕκαστον τὴν
ἑαυτοῦ γνώμην ἀποφαίνεσθαι: μετὰ δὲ τὸν ἀλκιβιάδην ὡς ἐγῷμαι
κριτίας ἦν ὁ εἰπών· ὦ πρόδικε καὶ ἱππία· καλλίας μὲν δοκεῖ μοι
μάλα πρὸς πρωταγόρου εἶναι· ἀλκιβιάδης δὲ ἀεὶ φιλόνικός ἐσ-
τι πρὸς ὃ ἂν ὁρμήσῃ· ἡμᾶς δὲ οὐδὲν δεῖ συμφιλονικεῖν οὔτε
σωκράτει οὔτε πρωταγόρᾳ· ἀλλὰ κοινῇ ἀμφοτέρων δεῖσθαι μὴ
μεταξὺ διαλῦσαι τὴν συνουσίαν: εἰπόντος δὲ αὐτοῦ ταῦτα ὁ πρό-
δικος καλῶς μοι ἔφη δοκεῖς λέγειν ὦ κριτία· χρὴ γὰρ τοὺς ἐν τοι-
οῖσδε λόγοις παραγιγνομένους κοινοὺς μὲν εἶναι ἀμφοῖν τοῖν
διαλεγομένοιν ἀκροατάς· ἴσους δὲ μή· ἔστιν γὰρ οὐ ταυτόν· κοινῇ
μὲν γὰρ ἀκοῦσαι δεῖ ἀμφοτέρων μὴ ἴσον δὲ νεῖμαι ἑκατέρῳ· ἀλλὰ
τῷ μὲν σοφωτέρῳ πλέον· τῷ δὲ ἀμαθεστέρῳ ἔλαττον· ἐγὼ μὲν
καὶ αὐτὸς ὦ πρωταγόρα τε καὶ σώκρατες ἀξιῶ ὑμᾶς συγχωρεῖν
καὶ ἀλλήλοις περὶ τῶν λόγων ἀμφισβητεῖν μὲν ἐρίζειν δὲ μή·
ἀμφισβητοῦσι μὲν γὰρ καὶ δι' εὔνοιαν οἱ φίλοι τοῖς φίλοις· ἐρί-
ζουσιν δὲ οἱ διάφοροί τε καὶ ἐχθροὶ ἀλλήλοις· καὶ οὕτως ἂν καλλί-
στη ἡμῖν ἡ συνουσία γίγνοιτο· ὑμεῖς τε γὰρ οἱ λέγοντες μάλιστ' ἂν
οὕτως ἐν ἡμῖν τοῖς ἀκούουσιν εὐδοκιμοῖτε καὶ οὐκ ἐπαινοῖσθε·
εὐδοκιμεῖν μὲν γὰρ ἔστιν παρὰ ταῖς ψυχαῖς τῶν ἀκουόντων ἄνευ

ἐπαινεῖσθαι δὲ ἐν λόγῳ πολλάκις παρὰ δόξαν ψευδομένων·
ἡμεῖς τ' αὖ οἱ ἀκούοντες μάλιστ' ἂν οὕτως εὐφραινοίμεθα, οὐχ ἡδοί-
μεθα· εὐφραίνεσθαι μὲν γὰρ ἔστιν μανθάνοντά τι καὶ φρονήσεως μετα-
λαμβάνοντα αὐτῇ τῇ διανοίᾳ· ἥδεσθαι δὲ ἐσθίοντά τι ἢ ἄλλο ἡδὺ πά-
σχοντα αὐτῷ τῷ σώματι: ταῦτα οὖν εἰπόντος τοῦ προδίκου πολ-
λοὶ πάνυ τῶν παρόντων ἀπεδέξαντο: μετὰ δὲ τὸν πρόδικον ἱππίας
ὁ σοφὸς εἶπεν· ὦ ἄνδρες ἔφη οἱ παρόντες· ἡγοῦμαι ἐγὼ ὑμᾶς
συγγενεῖς τε καὶ οἰκείους καὶ πολίτας ἅπαντας εἶναι φύσει οὐ νό-
μῳ· τὸ γὰρ ὅμοιον τῷ ὁμοίῳ φύσει συγγενές ἐστιν· ὁ δὲ νόμος τύραν-
νος ὢν τῶν ἀνθρώπων πολλὰ παρὰ τὴν φύσιν βιάζεται· ἡμᾶς
οὖν αἰσχρὸν τὴν μὲν φύσιν τῶν πραγμάτων εἰδέναι· σοφωτάτους
δὲ ὄντας τῶν ἑλλήνων καὶ κατ' αὐτὸ τοῦτο νῦν συνεληλυθότας·
τῆς ἑλλάδος εἰς αὐτὸ τὸ πρυτανεῖον τῆς σοφίας καὶ αὐτῆς τῆς
πόλεως εἰς τὸν μέγιστον καὶ ὀλβιώτατον οἶκον τόνδε· μηδὲν τούτου
τοῦ ἀξιώματος ἄξιον ἀποφήνασθαι· ἀλλ' ὥσπερ τοὺς φαυλοτά-
τους τῶν ἀνθρώπων διαφέρεσθαι ἀλλήλοις· ἐγὼ μὲν οὖν καὶ δέο-
μαι καὶ συμβουλεύω ὦ πρωταγόρα τε καὶ σώκρατες συμβῆναι
ὑμᾶς ὥσπερ ὑπὸ διαιτητῶν ἡμῶν συμβιβαζόντων εἰς τὸ μέσον· καὶ
μήτε σὲ τὸ ἀκριβὲς τοῦτο εἶδος τῶν διαλόγων ζητεῖν τὸ κατὰ βρα-
χὺ λίαν εἰ μὴ ἡδὺ πρωταγόρᾳ· ἀλλ' ἐφεῖναι καὶ χαλάσαι τὰς ἡνίας
τοῖς λόγοις· ἵνα μεγαλοπρεπέστεροι καὶ εὐσχημονέστεροι ὑμῖν
φαίνωνται· μήτ' αὖ πρωταγόραν πάντα κάλων ἐκτείναντα οὐρί-
ᾳ ἐφέντα φεύγειν εἰς τὸ πέλαγος τῶν λόγων ἀποκρύψαντα γῆν·
ἀλλὰ μέσον τι ἀμφοτέρους τεμεῖν· ὡς οὖν ποιήσετε καὶ πείθεσθέ
μοι ῥαβδοῦχον καὶ ἐπιστάτην καὶ πρύτανιν ἑλέσθαι ὃς ὑμῖν φυ-
λάξει τὸ μέτριον μῆκος τῶν λόγων ἑκατέρου: ταῦτα ἤρεσε τοῖς
παροῦσι· καὶ πάντες ἐπῄνεσαν· καὶ ἐμέ τε ὁ καλλίας οὐκ ἔφη ἀφή-
σειν καὶ ἑλέσθαι ἐδέοντο ἐπιστάτην: εἶπον οὖν ἐγὼ ὅτι αἰσχρὸν
εἴη βραβευτὴν ἑλέσθαι τῶν λόγων· εἴτε γὰρ χείρων ἔσται ἡμῶν ὁ
αἱρεθεὶς οὐκ ὀρθῶς ἂν ἔχοι τὸν χείρω τῶν βελτιόνων ἐπιστατεῖν·
εἴτε ὅμοιος οὐδ' οὕτως ὀρθῶς· ὁ γὰρ ὅμοιος ἡμῖν ὅμοια καὶ
ποιήσει· ὥστε ἐκ περιττοῦ ᾑρήσεται· ἀλλὰ δὴ βελτίονα ἡμῶν
αἱρήσεσθε· τῇ μὲν ἀληθείᾳ ὡς ἐγᾦμαι ἀδύνατον ὑμῖν ὥστε πρω-
ταγόρου τοῦδε σοφώτερόν τινα ἑλέσθαι· εἰ δὲ αἱρήσεσθε μὲν

μὴ βελτίω φήσεται δέ· αἰσχρὸν καὶ τοῦτο τῷδε γίγνεται, ὥσπερ φαύ-
λῳ ἀνθρώπῳ ἐπιστάτην αἱρεῖσθαι· ἐπεὶ τό γ' ἐμὸν οὐδέν μοι διαφέ-
ρει· ἀλλ' οὑτωσὶ ἐθέλω ποιῆσαι, ἵν' ὃ προθυμεῖσθε συνουσία τε καὶ
διάλογοι ἡμῖν γίγνωνται· εἰ μὴ βούλεται Πρωταγόρας ἀποκρίνε-
σθαι· οὗτος μὲν ἐρωτάτω· ἐγὼ δὲ ἀποκρινοῦμαι· καὶ ἅμα πειράσο-
μαι αὐτῷ δεῖξαι ὡς ἐγώ φημι χρῆναι τὸν ἀποκρινόμενον ἀποκρί-
νεσθαι· ἐπειδὰν δὲ ἐγὼ ἀποκρίνωμαι· ὁπόσ' ἂν οὗτος βούληται
ἐρωτᾶν· πάλιν οὗτος ἐμοὶ λόγον ὑποσχέτω ὁμοίως· ἐὰν οὖν μὴ
δοκῇ πρόθυμος εἶναι πρὸς αὐτὸ τὸ ἐρωτώμενον ἀποκρίνεσθαι·
καὶ ἐγὼ καὶ ὑμεῖς κοινῇ δεησόμεθα αὐτοῦ ἅπερ ὑμεῖς ἐμοῦ μὴ
διαφθείρειν τὴν συνουσίαν· καὶ οὐδὲν δεῖ τούτου ἕνεκα ἕνα ἐπι-
στάτην γενέσθαι, ἀλλὰ πάντες κοινῇ ἐπιστατήσετε: ἐδόκει πᾶσιν
οὕτω ποιητέον εἶναι· καὶ ὁ Πρωταγόρας πάνυ μὲν οὐκ ἤθελεν· ὅ-
μως δὲ ἠναγκάσθη ὁμολογῆσαι ἐρωτήσειν· καὶ ἐπειδὰν ἱκανῶς
ἐρωτήσῃ· πάλιν δώσειν λόγον κατὰ σμικρὸν ἀποκρινόμενος·
ἤρξατο οὖν ἐρωτᾶν οὑτωσί πως: ἡγοῦμαι ἔφη ὦ Σώκρατες ἐγὼ
ἀνδρὶ παιδείας μέγιστον μέρος εἶναι περὶ ἐπῶν δεινὸν εἶναι· ἔστιν
δὲ τοῦτο τὰ ὑπὸ τῶν ποιητῶν λεγόμενα οἷόν τ' εἶναι συνιέναι ἅ τε
ὀρθῶς πεποίηται καὶ ἃ μή· καὶ ἐπίστασθαι διελεῖν τε καὶ ἐρωτώμε-
νον λόγον δοῦναι· καὶ δὴ καὶ νῦν ἔσται τὸ ἐρώτημα περὶ τοῦ αὐτοῦ
μὲν περὶ οὗπερ ἐγώ τε καὶ σὺ νῦν διαλεγόμεθα περὶ ἀρετῆς· με-
τενηνεγμένον δ' εἰς ποίησιν· τοσοῦτον μόνον διοίσει· λέγει γάρ που
Σιμωνίδης πρὸς Σκόπαν τὸν Κρέοντος υἱὸν τοῦ Θετταλοῦ· ὅτι
ἄνδρ' ἀγαθὸν μὲν ἀλαθέως γενέσθαι χαλεπὸν χερσίν τε καὶ ποσὶ
καὶ νόῳ τετράγωνον ἄνευ ψόγου τετυγμένον: τοῦτο ἐπίστασαι τὸ
ᾆσμα ἢ πᾶν σοι διεξέλθω: καὶ ἐγὼ εἶπον ὅτι οὐδὲν δεῖ· ἐπίστα-
μαί τε γὰρ καὶ πάνυ μοι τυγχάνει μεμεληκὸς τοῦ ᾄσματος: εὖ
ἔφη λέγεις· πότερον οὖν καλῶς σοι δοκεῖ πεποιῆσθαι καὶ ὀρθῶς
ἢ οὔ: πάνυ ἔφην ἐγώ τε καὶ ὀρθῶς: δοκεῖ δέ σοι καλῶς πεποι-
ῆσθαι εἰ ἐναντία λέγει αὐτὸς αὑτῷ ὁ ποιητής: οὐ καλῶς ἦν
δ' ἐγώ: ὅρα δή ἔφη βέλτιον: ἀλλ' ὠγαθὲ ἔσκεμμαι ἱκανῶς:
οἶσθα οὖν ἔφη ὅτι προϊόντος τοῦ ᾄσματος λέγει που· οὐδέ
μοι ἐμμελέως τὸ Πιττάκειον νέμεται· καίτοι σοφοῦ παρὰ φωτὸς
εἰρημένον χαλεπὸν φάτ' ἐσθλὸν ἔμμεναι· ἐννοεῖς ὅτι ὁ αὐτὸς

οὗτος καὶ τάδε λέγει καὶ ἅμα τὰ ἔμπροσθεν: οἶδα ἦν δ᾽ ἐγώ:
δοκεῖ οὖν σοι ἔφη ταῦτα ἐκείνοις ὁμολογεῖσθαι: φαίνεται ἔμοιγε
καὶ ἅμα μέντοι ἐφοβούμην μή τι λέγοι: ἀτὰρ ἔφην ἐγὼ σοὶ οὐ
φαίνεται: πῶς γὰρ ἂν φαίνοιτο ὁμολογεῖν αὐτὸς ἑαυτῷ ὁ ταῦ-
τα ἀμφότερα λέγων· ὅς γε τὸ μὲν πρῶτον αὐτὸς ὑπέθετο χαλεπὸν
εἶναι ἄνδρα ἀγαθὸν γενέσθαι ἀλαθείαι· ὀλίγον δὲ τοῦ ποιήματος
εἰς τὸ πρόσθεν προελθὼν ἐπελάθετο καὶ πιττακὸν τὸν ταὐτὰ
λέγοντα ἑαυτῷ ὅτι χαλεπὸν ἐσθλὸν ἔμμεναι· τοῦτον μέμφεταί
τε καὶ οὔ φησιν ἀποδέχεσθαι αὐτοῦ τὰ αὐτὰ ἑαυτῷ λέγοντος·
καίτοι ὁπότε τὸν ταὐτὰ λέγοντα αὑτῷ μέμφεται· δῆλον ὅτι
καὶ ἑαυτὸν μέμφεται· ὥστε ἤτοι τὸ πρότερον ἢ ὕστερον οὐκ ὀρθῶς
λέγει: εἰπὼν οὖν ταῦτα· πολλοῖς θόρυβον παρέσχεν καὶ ἔπαι-
νον τῶν ἀκουόντων: καὶ ἐγὼ τὸ μὲν πρῶτον ὡσπερεὶ ὑπὸ ἀγα-
θοῦ πύκτου πληγεὶς· ἐσκοτώθην τε καὶ εἰλιγγίασα εἰπόντος
αὐτοῦ ταῦτα καὶ τῶν ἄλλων ἐπιθορυβησάντων· ἔπειτα ὥς γε πρὸς
σὲ εἰρῆσθαι τἀληθῆ, ἵνα μοι χρόνος ἐγγένηται τῇ σκέψει τί λέ-
γοι ὁ ποιητής· τρέπομαι πρὸς τὸν πρόδικον καὶ καλέσας αὐτόν·
ὦ πρόδικε ἔφην ἐγώ· σός μέντοι σιμωνίδης πολίτης· δίκαι-
ος εἶ βοηθεῖν τῷ ἀνδρί· δοκῶ οὖν μοι ἐγὼ παρακαλεῖν σε ὥσ-
περ ἔφη ὅμηρος τὸν σκάμανδρον πολιορκούμενον ὑπὸ τοῦ ἀ-
χιλλέως τὸν σιμόεντα παρακαλεῖν εἰπόντα· φίλε κασίγνητε
σθένος ἀνέρος ἀμφότεροί περ σχῶμεν· ἀτὰρ καὶ ἐγὼ σὲ παρακα-
λῶ μὴ ἡμῖν ὁ πρωταγόρας τὸν σιμωνίδην ἐκπέρσῃ· καὶ γὰρ οὖν
καὶ δεῖται τὸ ὑπὲρ σιμωνίδου ἐπανόρθωμα τῆς σῆς μουσικῆς ᾗ
τό τε βούλεσθαι καὶ ἐπιθυμεῖν διαιρεῖς ὡς οὐ ταὐτὸν ὄν· καὶ ἃ νυν-
δὴ εἶπες πολλά τε καὶ καλά· καὶ νῦν σκόπει εἴ σοι συνδοκεῖ ὅπερ
ἐμοί· οὐ γὰρ φαίνεται ἐναντία λέγειν αὐτὸς αὑτῷ σιμωνίδης·
σὺ γὰρ ὦ πρόδικε προαπόφηναι τὴν σὴν γνώμην ταὐτόν σοι δο-
κεῖ εἶναι τὸ γενέσθαι καὶ τὸ εἶναι ἢ ἄλλο: ἄλλο, νὴ δί᾽ ἔφη ὁ πρό-
δικος: οὐκοῦν ἔφην ἐγὼ ἐν μὲν τοῖς πρώτοις αὐτὸς ὁ σιμω-
νίδης τὴν ἑαυτοῦ γνώμην ἀπεφήνατο ὅτι ἄνδρα ἀγαθὸν ἀλη-
θείαι γενέσθαι χαλεπὸν εἴη: ἀληθῆ λέγεις ἔφη ὁ πρόδικος:
τὸν δέ γε πιττακὸν ἦν δ᾽ ἐγὼ μέμφεται· οὐχ ὡς οἴεται πρωταγό-
ρας τὸ αὐτὸν ἑαυτῷ λέγοντα· ἀλλ᾽ ἄλλο· οὐ γὰρ τοῦτο ὁ πιττακὸς

ἔλεγεν τὸ χαλεπὸν γενέσθαι ἐσθλὸν ὦ ἄνερ ὁ Σιμωνίδης· ἀλλ' οὐ τὸ ἔμ-
μεναι· ἔστιν δὲ οὐ ταὐτόν ὦ Πρωταγόρα ὥς φησιν Πρόδικος ὅδε
τὸ εἶναι καὶ τὸ γενέσθαι· εἰ δὲ μὴ τὸ αὐτό ἐστιν τὸ εἶναι καὶ τὸ γενέσθαι·
οὐκ ἐναντία λέγει ὁ Σιμωνίδης αὐτὸς αὑτῷ· καὶ ἴσως ἂν φαίη
Πρόδικος ὅδε καὶ ἄλλοι πολλοὶ καθ' Ἡσίοδον γενέσθαι μὲν ἀγαθὸν
χαλεπὸν εἶναι· τῆς γὰρ ἀρετῆς ἔμπροσθεν τοὺς θεοὺς ἱδρῶτα θεῖ-
ναι· ὅταν δέ τις αὐτῆς εἰς ἄκρον ἵκηται, ῥηιδίην δἤπειτα πέλειν
χαλεπήν περ ἐοῦσαν ἐκτῆσθαι· ὁ μὲν οὖν Πρόδικος ἀκούσας ταῦτα
ἐπῄνεσέν με· ὁ δὲ Πρωταγόρας τὸ ἐπανόρθωμά σοι ἔφη ὦ Σώ-
κρατες μεῖζον ἁμάρτημα ἔχει ἢ ὃ ἐπανορθοῖς· καὶ ἐγὼ εἶπον κα-
κὸν ἄρα μοι εἴργασται ὡς ἔοικεν ὦ Πρωταγόρα καὶ εἰμί τις γελοῖ-
ος ἰατρός· ἰώμενος μεῖζον τὸ νόσημα ποιῶ· ἀλλ' οὕτως ἔχει ἔφη·
πῶς δὴ ἦν δ' ἐγώ· πολλὴ ἂν ἔφη ἀμαθία εἴη τοῦ ποιητοῦ εἰ οὕτω
φαῦλόν τι φησὶν εἶναι τὴν ἀρετὴν ἐκτῆσθαι ὅ ἐστιν πάντων χαλεπώτα-
τον ὡς ἅπασιν δοκεῖ ἀνθρώποις· καὶ ἐγὼ εἶπον· μὰ τὸν Δία εἰς
καιρόν γε παρατετύχηκεν ἡμῖν ἐν τοῖς λόγοις Πρόδικος ὅδε· κιν-
δυνεύει γάρ τοι ὦ Πρωταγόρα ἡ Προδίκου σοφία θεία τις εἶναι
πάλαι· ἤτοι ἀπὸ Σιμωνίδου ἀρξαμένη ἢ καὶ ἔτι παλαιοτέρα· σὺ
δὲ ἄλλων πολλῶν ἔμπειρος ὢν ταύτης ἄπειρος εἶναι φαίνῃ·
οὐχ ὥσπερ ἐγὼ ἔμπειρος διὰ τὸ μαθητὴς εἶναι Προδίκου τουτου-
τουΐ· καὶ νῦν μοι δοκεῖς οὐ μανθάνειν ὅτι καὶ τὸ χαλεπὸν τοῦτο
ἴσως οὐχ οὕτως Σιμωνίδης ὑπελάμβανεν ὥσπερ σὺ ὑπο-
λαμβάνεις· ἀλλ' ὥσπερ περὶ τοῦ δεινοῦ Πρόδικός με οὑτοσὶ νου-
θετεῖ ἑκάστοτε ὅταν ἐπαινῶν ἐγὼ ἢ σὲ ἢ ἄλλον τινὰ λέγω ὅτι Πρω-
ταγόρας σοφὸς καὶ δεινός ἐστιν ἀνήρ· ἐρωτᾷ εἰ οὐκ αἰσχύνο-
μαι τἀγαθὰ δεινὰ καλῶν· τὸ γὰρ δεινόν φησιν κακόν ἐστιν· οὐ-
δεὶς γοῦν λέγει ἑκάστοτε δεινοῦ πλούτου οὐδὲ δεινῆς εἰρή-
νης· οὐδὲ δεινῆς ὑγιείας· ἀλλὰ δεινῆς νόσου καὶ δεινοῦ πολέ-
μου· καὶ δεινῆς πενίας· ὡς τοῦ δεινοῦ κακοῦ ὄντος· ἴσως οὖν
καὶ τὸ χαλεπὸν αὖ οἱ Κεῖοι καὶ ὁ Σιμωνίδης ἢ κακὸν ὑπολαμβά-
νουσιν ἢ ἄλλο τι ὃ σὺ οὐ μανθάνεις· ἐρώμεθα οὖν Πρόδικον· δί-
καιον γὰρ τὴν Σιμωνίδου φωνὴν τοῦτον ἐρωτᾶν· τί ἔλεγεν ὦ
Πρόδικε τὸ χαλεπὸν Σιμωνίδης· κακὸν ἔφη· διὰ ταῦτ' ἄρα
καὶ μέμφεται ἦν δ' ἐγὼ ὦ Πρόδικε τὸν Πιττακὸν λέγοντα χαλε-

ἐσθλὸν ἔμμεναι. ὥσπερ ἂν εἰ ἤκουεν αὐτοῦ λέγοντος ὅτι ἐστὶν
κακὸν ἐσθλὸν ἔμμεναι: ἀλλὰ τί οἴει ἔφη λέγειν ὦ σώκρατες σι
μωνίδην ἄλλο ἢ τοῦτο. καὶ ὀνειδίζειν τῷ πιττακῷ ὅτι τὰ ὀνό
ματα οὐκ ἠπίστατο ὀρθῶς διαιρεῖν ἅτε λέσβιος ὢν καὶ ἐν φω
νῇ βαρβάρῳ τεθραμμένος: ἀκούεις δὴ ἔφην ἐγὼ ὦ πρωτα
γόρα προδίκου τοῦδε. ἔχεις τι πρὸς ταῦτα λέγειν: καὶ ὁ πρωταγό
ρας πολλοῦ γε δεῖ ἔφη οὕτως ἔχειν ὦ πρόδικε. ἀλλ' ἐγὼ εὖ οἶ
δ' ὅτι καὶ σιμωνίδης τὸ χαλεπὸν ἔλεγεν ὅπερ ἡμεῖς οἱ ἄλλοι οὐ τὸ
κακόν. ἀλλ' ὃ ἂν μὴ ῥᾴδιον ᾖ ἀλλὰ διὰ πολλῶν πραγμάτων γίγνη
ται: ἀλλὰ καὶ ἐγὼ οἶμαι ἔφην ὦ πρωταγόρα τοῦτο λέγειν σιμω
νίδην καὶ πρόδικόν γε τόνδε εἰδέναι. ἀλλὰ παίζειν. καὶ σοῦ δοκεῖν
ἀποπειρᾶσθαι εἰ οἷος τ' ἔσει τῷ σαυτοῦ λόγῳ βοηθεῖν. ἐπεὶ ὅτι
γε σιμωνίδης οὐ λέγει τὸ χαλεπὸν κακόν. μέγα τεκμήριόν ἐστιν
εὐθὺς τὸ μετὰ τοῦτο ῥῆμα. λέγει γὰρ ὅτι θεὸς ἂν μόνος τοῦτο
ἔχοι γέρας. οὐ δήπου τοῦτό γε λέγων κακὸν ἐσθλὸν ἔμμεναι. εἶτα
τὸν θεόν φησιν μόνον τοῦτο ἂν ἔχειν καὶ τῷ θεῷ τοῦτο γέρας
ἀπένειμε μόνῳ. ἀκόλαστον γὰρ ἄν τινα λέγοι σιμωνίδην πρόδι
κος καὶ οὐδαμῶς κεῖον. ἀλλ' ἅ μοι δοκεῖ διανοεῖσθαι σιμωνίδης
ἐν τούτῳ τῷ ᾄσματι ἐθέλω σοι εἰπεῖν. εἰ βούλει λαβεῖν μου πεῖ
ραν ὅπως ἔχω ὃ σὺ λέγεις τοῦτο περὶ ἐπῶν. ἐὰν δὲ βούλῃ σοῦ
ἀκούσομαι: ὁ μὲν οὖν πρωταγόρας ἀκούσας μου ταῦτα λέγον
τος. εἰ σὺ βούλει ἔφη ὦ σώκρατες. ὁ δὲ πρόδικός τε καὶ ὁ ἱππίας
ἐκελευέτην πάνυ καὶ οἱ ἄλλοι: ἐγὼ τοίνυν ἦν δ' ἐγὼ ἅ γέ μοι δοκεῖ
περὶ τοῦ ᾄσματος τούτου πειράσομαι ὑμῖν διεξελθεῖν. φιλο
σοφία γάρ ἐστιν παλαιοτάτη τε καὶ πλείστη τῶν ἑλλήνων ἐν κρήτῃ
τε καὶ ἐν λακεδαίμονι. καὶ σοφισταὶ πλεῖστοι γῆς ἐκεῖ εἰσιν. ἀλλ' ἐξ
αρνοῦνται καὶ σχηματίζονται ἀμαθεῖς εἶναι. ἵνα μὴ κατάδηλοι
ὦσιν ὅτι σοφίᾳ τῶν ἑλλήνων περίεισιν ὥσπερ οὓς πρωταγόρας
ἔλεγε τοὺς σοφιστάς. ἀλλὰ δοκῶσιν τῷ μάχεσθαι καὶ ἀνδρείᾳ περιεῖ
ναι ἡγούμενοι εἰ γνωσθεῖεν ᾧ περίεισιν. πάντας τοῦτο ἀ
σκήσειν τὴν σοφίαν. νῦν δὲ ἀποκρυψάμενοι ἐκεῖνο ἐξηπατήκα
σιν τοὺς ἐν ταῖς πόλεσι λακωνίζοντας. καὶ οἱ μὲν ὦτά τε κατά
γνυνται μιμούμενοι αὐτοὺς καὶ ἱμάντας περιειλίττονται καὶ φιλο
γυμναστοῦσιν καὶ βραχείας ἀναβολὰς φοροῦσιν. ὡς δὴ τούτοις

Lege post p. 151. b.

χρή: τοὺς μὲν δὴ μεγίστους ὑπηρέτας ὡς ἐνθένδε ἰδεῖν τοὐναντίον ἢ προσεδοκῶμεν ἔ-
χοντας εὑρίσκομεν ἢ οἷς ὑπωπτεύσαμεν ἐπιτήδευμά τε καὶ πάθος: τί-
νας: τοὺς ὠνητούς τε καὶ τῷ τρόπῳ τούτῳ κτητούς· οὓς ἀναμφι-
σβητήτως δούλους ἔχομεν εἰπεῖν ἥκιστα βασιλικῆς μεταποιουμέ-
νους τέχνης: πῶς δ' οὔ: τί δαί; τῶν ἐλευθέρων ὅσοι τοῖς νῦν δὴ ῥη-
θεῖσιν εἰς ὑπηρετικὴν ἑκόντες αὑτοὺς τάττουσι· τά τε γεωργίας καὶ
τὰ τῶν ἄλλων τεχνῶν ἔργα διακομίζοντες ἐπ' ἀλλήλους καὶ ἀνισοῦν-
τες· οἱ μὲν κατ' ἀγορὰς οἱ δὲ πόλιν ἐκ πόλεως ἀλλάττοντες κατὰ
θάλατταν καὶ πεζῇ· νόμισμά τε πρὸς τἆλλα καὶ αὐτὸ πρὸς αὑτὸ δι-
αμείβοντες· οὓς ἀργυραμοιβούς τε καὶ ἐμπόρους καὶ ναυκλήρους
καὶ καπήλους ἐπωνομάκαμεν· μῶν τῆς πολιτικῆς ἀμφισβητή-
σουσί τι: τάχ' ἂν ἴσως τῆς γε τῶν ἐμπορευτικῶν: ἀλλ' οὐ μὴν οὕς γε
ὁρῶμεν μισθωτοὺς καὶ θῆτας πᾶσιν ἑτοιμότατα ὑπηρετοῦντας
μή ποτε βασιλικῆς μεταποιουμένους εὕρωμεν: πῶς γάρ: τί δὲ
ἄρα τοὺς τὰ τοιάδε διακονοῦντας ἡμῖν ἑκάστοτε: τὰ ποῖα εἶπες
καὶ τίνας: ὧν τὸ κηρυκικὸν ἔθνος· ὅσοι τε περὶ γράμματα σοφοὶ
γίγνονται πολλάκις ὑπηρετήσαντες καὶ πόλλ' ἄττα ἕτερα περὶ
τὰς ἀρχὰς διαπονεῖσθαί τινες ἕτεροι πάνδεινοι τί τούτους αὖ
λέξομεν: ὅπερ εἶπες νῦν: ὑπηρέτας ἀλλ' οὐκ αὐτοὺς ἐν ταῖς πό-
λεσιν ἄρχοντας: ἀλλ' οὐ μὴν οἶμαί γε ἐνύπνιον ἰδὼν εἶπον ταύ-
τῃ πῃ φανήσεσθαι τοὺς διαφερόντως ἀμφισβητοῦντας τῆς
πολιτικῆς· καίτοι σφόδρα γε ἄτοπον ἂν εἶναι δόξειε τὸ ζητεῖν
τούτους ἐν ὑπηρετικῇ μοίρᾳ τινί: κομιδῇ μὲν οὖν: ἔτι δὴ προ-
σμίξωμεν ἐγγύτερον ἔτι τοῖς μήπω βεβασανισμένοις· εἰσὶ δὲ
οἵ τε περὶ μαντικὴν ἔχοντές τινος ἐπιστήμης διακόνου μόριον·
ἑρμηνευταὶ γάρ που νομίζονται παρὰ θεῶν ἀνθρώποις: ναί:
καὶ μὴν καὶ τὸ τῶν ἱερέων αὖ γένος ὡς τὸ νόμιμόν φησι· παρὰ
μὲν ἡμῶν δωρεὰς θεοῖς διὰ θυσιῶν ἐπιστῆμόν ἐστι κατὰ νοῦν ἐ-
κείνοις δωρεῖσθαι· παρὰ δὲ ἐκείνων ἡμῖν εὐχαῖς κτῆσιν ἀγα-
θῶν αἰτήσασθαι· ταῦτα δὲ διακόνου τέχνης ἐστί που μόρια
ἀμφότερα: φαίνεται γοῦν: ἤδη τοίνυν μοι δοκοῦμεν οἷον γέ τι-
νος ἴχνους ἐφ' ὃ πορευόμεθα προσάπτεσθαι· τὸ γὰρ δὴ τῶν ἱερέ-
ων σχῆμα καὶ τὸ τῶν μάντεων εὖ μάλα φρονήματος πληροῦται
καὶ δόξαν σεμνὴν λαμβάνει διὰ τὸ μέγεθος τῶν ἐγχειρημάτων·

ὅτι περὶ μὲν αἴγυπτον· οὐδ' ἔξεστι βασιλέα χωρὶς ἱερατικῆς ἄρ-
χειν· ἀλλ' ἐὰν ἄρα καὶ τύχῃ πρότερον ἐξ ἄλλου γένους βιασάμενος
ὕστερον ἀναγκαῖον εἰς τοῦτο εἰστελεῖσθαι αὐτὸν τὸ γένος· ἔτι δὲ καὶ
τῶν ἑλλήνων πολλαχοῦ ταῖς μεγίσταις ἀρχαῖς τὰ μέγιστα τῶν
περὶ τὰ τοιαῦτα θύματα εὕροις ἂν προσταττόμενα θύειν· καὶ
δὴ καὶ παρ' ὑμῖν οὐχ ἥκιστα δῆλον ὃ λέγω· τῷ γὰρ λαχόντι βασιλεῖ
φασὶν τῇδε τὰ σεμνότατα καὶ μάλιστα πάτρια τῶν ἀρχαίων θυσι-
ῶν ἀποδεδόσθαι: καὶ πάνυ γε: τούτους τοίνυν τούς τε κληρωτοὺς
βασιλέας ἅμα καὶ ἱερέας καὶ ὑπηρέτας αὐτῶν· καί τινα ἕτερον
πάμπολυν ὄχλον· σκεπτέον ὃς ἄρτι κατάδηλος νῦν ἡμῖν γέγο-
νεν ἀποχωρισθέντων τῶν ἔμπροσθεν: τίνας αὐτοὺς καὶ λέγεις:
καὶ μάλα τινὰς ἀτόπους: τί δή: πάμφυλόν τι γένος αὐτῶν ὥς γε
ἄρτι σκοπουμένῳ φαίνεται: πολλοὶ μὲν γὰρ λέουσι τῶν ἀνδρῶν
εἴξασι καὶ κενταύροις καὶ τοιούτοισιν ἑτέροις· πάμπολλοι δὲ
σατύροις καὶ τοῖς ἀσθενέσι καὶ πολυτρόποις θηρίοις· ταχὺ
δὲ μεταλλάττουσι τάς τε ἰδέας καὶ τὴν δύναμιν εἰς ἀλλήλους· καὶ
μέντοι μοι νῦν ὦ σώκρατες ἄρτι δοκῶ κατανενοηκέναι τοὺς ἄν-
δρας: λέγοις ἄν· ἔοικας γὰρ ἄτοπόν τι καθορᾶν: ναί· τὸ γὰρ ἄ-
τοπον ἐξ ἀγνοίας πᾶσι συμβαίνει· καὶ αὐτὸς τοῦτ' ἔπαθον ἐξαί- κ(αὶ) γ(ὰρ) δὴ κ(αὶ) νῦν
φνης ἠμφεγνόησα κατιδὼν τὸν περὶ τὰ τῶν πόλεων πράγμα-
τα χορόν: ποῖον: τὸν πάντων τῶν σοφιστῶν μέγιστον γόητα καὶ
ταύτης τῆς τέχνης ἐμπειρότατον· ὃν ἀπὸ τῶν ὄντως ὄντων πολι-
τικῶν καὶ βασιλικῶν καίπερ παγχάλεπον ὄντα ἀφαιρεῖν ἀφαιρετέον
εἰ μέλλομεν ἰδεῖν ἐναργῶς τὸ ζητούμενον: ἀλλὰ μὴν τοῦτό γε οὐ-
κ ἀνετέον: οὔκουν δὴ κατά γε τὴν ἐμήν· καί μοι φράζε τόδε: τὸ
ποῖον: ἆρ' οὐ μοναρχία τῶν πολιτικῶν ἡμῖν ἀρχῶν ἐστὶ μία: ναί:
καὶ μετὰ μοναρχίαν εἴποι τις ἂν οἶμαι τὴν ὑπὸ τῶν ὀλίγων δυ-
ναστείαν: πῶς δ' οὔ: τρίτον δὲ σχῆμα πολιτείας οὐχ ἡ τοῦ πλή-
θους ἀρχή· δημοκρατία τοὔνομα κληθεῖσα: πάνυ γε: τρεῖς δ' οὖ-
σαι μῶν οὐ τρόπον τινὰ πέντε γίγνονται δύ' ἐξ ἑαυτῶν ἄλλα πρὸς
αὑταῖς ὀνόματα τίκτουσαι: ποῖα δή: πρὸς τὸ βίαιόν που καὶ ἑ-
κούσιον ἀποσκοποῦντες νῦν· καὶ πενίαν καὶ πλοῦτον· καὶ νόμον
καὶ ἀνομίαν ἐν αὐταῖς γιγνόμενα· διπλῆν ἑκατέραν τοῖν δυοῖν
διαιροῦντες· μοναρχίαν μὲν προσαγορεύουσιν ὡς δύο παρεχο-

μένην τὰ δὴ δυσὶν ὀνόμασι τυραννίδι τὸ δὲ βασιλικῆι: τί μήν: τὴν
δὲ ὑπ' ὀλίγων γε ἑκάστοτε κρατηθεῖσαν πόλιν ἀριστοκρατίαι καὶ
ὀλιγαρχίαι: καὶ πάνυ γε: δημοκρατίας γε μὴν ἐάντ' οὖν βιαίως ἐάν
τε ἑκουσίως τῶν τὰς οὐσίας ἐχόντων τὸ πλῆθος ἄρχηι· καὶ ἐάν
τε τοὺς νόμους ἀκριβῶς φυλάττον ἐάντε μή. πάντως τοὔνομα
οὐδεὶς αὐτῆς εἴωθε μεταλλάττειν: ἀληθῆ: τί οὖν οἰόμεθά τινα
τούτων τῶν πολιτειῶν ὀρθὴν εἶναι τούτοις τοῖς ὅροις ὁριζομένην
ἑνὶ καὶ ὀλίγοις καὶ πολλοῖς καὶ πλούτωι καὶ πενίαι καὶ τῶι
βιαίωι καὶ ἑκουσίωι καὶ μετὰ γραμμάτων καὶ ἄνευ νόμων συμβαί-
νουσαν γίγνεσθαι: τί γὰρ δὴ καὶ κωλύει: σκόπει δὴ σαφέστερον
τῆιδε ἑπόμενος: πῆι: τῶι ῥηθέντι κατὰ πρώτας πότερον ἐμ-
μενοῦμεν ἢ διαφωνήσομεν: τῶι δὴ ποίωι λέγεις: τὴν βασιλικὴν
ἀρχὴν τῶν ἐπιστημῶν εἶναί τινα ἔφαμεν οἶμαι: ναί: καὶ τούτων γε
οὐχ ἁπασῶν. ἀλλὰ κριτικὴν δήπου τινὰ καὶ ἐπιστατικὴν ἐκ τῶν
ἄλλων προῃρούμεθα: ναί: κἀκ τῆς ἐπιστατικῆς τὴν μὲν ἐπ' ἀψύ-
χοις ἔργοις. τὴν δ' ἐπὶ ζώιοις. καὶ κατὰ τοῦτον δὴ τὸν τρόπον
μερίζοντες δεῦρ' ἀεὶ προεληλύθαμεν ἐπιστήμης οὐκ ἐπιλανθα-
νόμενοι. τὸ δ' ἥτις οὐχ ἱκανῶς πω δυνάμενοι διακριβώσα-
σθαι: λέγεις ὀρθῶς: τοῦτ' αὐτὸ τοίνυν ἆρ' ἐννοοῦμεν ὅτι τὸν
ὅρον οὐκ ὀλίγους οὐδὲ πολλοὺς οὐδὲ τὸ ἑκούσιον οὐδὲ τὸ ἀκού-
σιον οὐδὲ πενίαν οὐδὲ πλοῦτον γίγνεσθαι περὶ αὐτῶν χρεών· ἀλλά
τινα ἐπιστήμην εἴπερ ἀκολουθήσομεν τοῖς πρόσθεν: ἀλλὰ μὴν τοῦτό
γε ἀδύνατον μὴ ποιεῖν: ἐξ ἀνάγκης δὴ νῦν τοῦτο οὕτω σκεπτέον
ἐν τίνι ποτὲ τούτων ἐπιστήμη συμβαίνει γίγνεσθαι περὶ ἀνθρώπων
ἀρχῆς σχεδὸν τῆς χαλεπωτάτης καὶ μεγίστης κτήσασθαι: δεῖ γὰρ
ἰδεῖν αὐτήν ἵνα θεασώμεθα τίνας ἀφαιρετέον ἀπὸ τοῦ φρονίμου βασι-
λέως οἳ προσποιοῦνται μὲν εἶναι πολιτικοὶ καὶ πείθουσι πολλούς.
εἰσὶ δὲ οὐδαμῶς: δεῖ γὰρ δὴ ποιεῖν τοῦτο ὡς ὁ λόγος ἡμῖν προ-
είρηκεν: μῶν οὖν δοκεῖ πλῆθός γε ἐν πόλει ταύτην τὴν ἐπιστήμην δυ-
νατὸν εἶναι κτήσασθαι: καὶ πῶς: ἀλλ' ἆρα ἐν χιλιάνδρωι πόλει δυ-
νατὸν ἑκατόν τινας ἢ καὶ πεντήκοντα αὐτὴν ἱκανῶς κτήσασθαι:
ῥάιστη μεντἂν οὕτω γ' εἴη πασῶν τῶν τεχνῶν· ἴσμεν γὰρ ὅτι χιλίων
ἀνδρῶν ἄκροι πεττευταὶ τοσοῦτοι πρὸς τοὺς ἐν τοῖς ἄλλοις ἕλλησιν
οὐκ ἂν γένοιντό ποτε μή τι δὴ βασιλῆς γε. δεῖ γὰρ δὴ τόν γε τὴν βασιλικὴν

κὴν ἔχοντα ἐπιστήμην ἄν τ' ἄρχῃ· καὶ ἐὰν μὴ κατὰ τὸν ἔμπροσθε λόγον ὅ-
μως βασιλικὸν προσαγορεύεσθαι: καλῶς [illegible]· ἑπό-
μενον δὲ οἶμαι τούτῳ τὴν μὲν ὀρθὴν ἀρχὴν περὶ ἕνα τινὰ καὶ δύο καὶ
παντάπασιν ὀλίγους δεῖ ζητεῖν, ὅταν ὀρθὴ γίγνηται: τί μήν: τού-
τους δέ γε ἐάντε ἑκόντων ἐάντ' ἀκόντων ἄρχωσιν. ἐάντε κατὰ γράμμα-
τα ἐάντε ἄνευ γραμμάτων καὶ ἐὰν πλουτοῦντες ἢ πενόμενοι. νομι-
στέον ὥσπερ νῦν ἡγούμεθα κατὰ τέχνην ἡντινοῦν ἀρχὴν ἄρχοντας
τοὺς ἰατροὺς δὲ οὐχ ἥκιστα νενομίκαμεν ἐάντε ἑκόντας ἐάντε ἄ-
κοντας ἡμᾶς ἰῶνται τέμνοντες ἢ κάοντες ἤ τινα ἄλλην ἀλγηδόνα
προσάπτοντες. καὶ ἐὰν κατὰ γράμματα ἢ χωρὶς γραμμάτων. καὶ ἐὰν
πένητες ὄντες ἢ πλούσιοι. πάντως οὐδὲν ἧττον ἰατροὺς φαμὲν
ἕωσπερ ἂν ἐπιστατοῦντες τέχνῃ καθαίροντες εἴτε ἄλλως ἰσχναί-
νοντες εἴτε καὶ αὐξάνοντες ἂν μόνον ἐπ' ἀγαθῷ τῷ τῶν σωμάτων βελτί-
ω ποιοῦντες ἐκ χειρόνων σῴζωσιν οἱ θεραπεύοντες ἕκαστοι τὰ θε-
ραπευόμενα. ταύτῃ θήσομεν ὡς οἶμαι καὶ οὐκ ἄλλῃ τοῦτον ὅρον ὀρθὸν
εἶναι μόνον ἰατρικῆς καὶ ἄλλης ἡστινοσοῦν ἀρχῆς: κομιδῇ μὲν οὖν:
ἀναγκαῖον δὴ καὶ πολιτειῶν ὡς ἔοικε ταύτην ὀρθὴν διαφερόντως εἶναι
καὶ μόνην πολιτείαν ἐν ᾗ τις ἂν εὑρίσκοι τοὺς ἄρχοντας ἀληθῶς
ἐπιστήμονας καὶ οὐ δοκοῦντας μόνον. ἐάντε κατὰ νόμους ἐάντε ἄ-
νευ νόμων ἄρχωσι καὶ ἑκόντων ἢ ἀκόντων. καὶ πενόμενοι ἢ πλουτοῦν-
τες τούτων ὑπολογιστέον οὐδὲν οὐδαμῶς εἶναι κατ' οὐδεμίαν ὀρθό-
τητα: καλῶς: καὶ ἐάντε γε ἀποκτιννύντες τινὰς ἢ καὶ ἐκβάλλοντες
καθαίρωσιν ἐπ' ἀγαθῷ τὴν πόλιν εἴτε καὶ ἀποικίας οἷον σμήνη με-
λιττῶν ἐκπέμποντές ποι σμικροτέραν ποιῶσιν. ἤ τινας ἐπεισαγό-
μενοί ποθεν ἄλλους ἔξωθεν πολίτας ποιοῦντες αὐτὴν αὔξωσιν ἕωσπερ
ἂν ἐπιστήμῃ καὶ τῷ δικαίῳ προσχρώμενοι σῴζοντες ἐκ χείρονος
βελτίω ποιῶσι κατὰ δύναμιν. ταύτην τότε καὶ κατὰ τοὺς τοιούτους
ὅρους ἡμῖν μόνην ὀρθὴν πολιτείαν εἶναι ῥητέον. ὅσας δ' ἄλλας λέγο-
μεν οὐ γνησίας οὐδ' ὄντως οὔσας λεκτέον ἀλλὰ μεμιμημένας ταύ-
την ἃς μὲν εὐνόμους λέγομεν ἐπὶ τὰ καλλίω. τὰς δὲ ἄλλας ἐπὶ τὰ
αἰσχίονα μεμιμῆσθαι: τὰ μὲν ἄλλα ὦ ξένε μετρίως ἔοικεν εἰρῆσθαι·
τὸ δὲ καὶ ἄνευ νόμων δεῖν ἄρχειν χαλεπώτερον ἀκούειν ἐρρήθη: μικρόν
γε ἔφθης με ἐρόμενος ὦ σώκρατες· ἔμελλον γάρ σε διερωτήσειν
ταῦτα πότερον ἀποδέχῃ πάντα. ἢ καί τι δυσχεραίνεις τῶν λεχθέντων.

νῦν δ' ἤδη φανερὸν ὅτι τοῦτο βουλησόμεθα τὸν περὶ τῆς τῶν ἀνόμως ἀρ
χόντων ὀρθότητος διελθεῖν ἡμᾶς λόγον: πῶς γὰρ οὔ: τρόπον μὴν τινα δῆ
λον ὅτι τῆς βασιλικῆς ἐστιν ἡ νομοθετική· τὸ δ' ἄριστον οὐ τοὺς νόμους
ἐστὶν ἰσχύειν, ἀλλ' ἄνδρα τὸν μετὰ φρονήσεως βασιλικόν· οἶσθ' ὅπῃ: πῆ
δὴ λέγεις: ὅτι νόμος οὐκ ἄν ποτε δύναιτο τό τε ἄριστον καὶ τὸ δικαιότα
τον ἀκριβῶς πᾶσιν ἅμα περιλαβὼν τὸ βέλτιστον ἐπιτάττειν· αἱ γὰρ ἀ
νομοιότητες τῶν τε ἀνθρώπων καὶ τῶν πράξεων καὶ τὸ μηδέποτε μη
δὲν ὡς ἔπος εἰπεῖν ἡσυχίαν ἄγειν τῶν ἀνθρωπίνων, οὐδὲν ἐῶσιν ἁ
πλοῦν ἐν οὐδενὶ περὶ ἁπάντων καὶ ἐπὶ πάντα τὸν χρόνον ἀποφαίνεσθαι
τέχνην οὐδ' ἡντινοῦν. ταῦτα δὴ συγχωροῦμέν που: τί μήν: τὸν δέ γε νό
μον ὁρῶμεν σχεδὸν ἐπ' αὐτὸ τοῦτο συντείνοντα, ὥσπερ τινὰ ἄνθρωπον αὐ
θάδη καὶ ἀμαθῆ καὶ μηδένα μηδὲν ἐῶντα ποιεῖν παρὰ τὴν ἑαυτοῦ τά
ξιν, μηδ' ἐπερωτᾶν μηδένα, μηδ' ἄν τι νέον ἄρα τῳ συμβαίνῃ βέλτιον παρὰ
τὸν λόγον ὃν αὐτὸς ἐπέταξεν: ἀληθῆ· ποιεῖ γὰρ ἀτεχνῶς καθάπερ ε
ἴρηκας νῦν ὁ νόμος ἡμῖν ἑκάστοις: οὐκοῦν ἀδύνατον εὖ ἔχειν πρὸς
τὰ μηδέποτε ἁπλᾶ τὸ διὰ παντὸς γιγνόμενον ἁπλοῦν: κινδυνεύει:
διὰ τί δή ποτ' οὖν ἀναγκαῖον νομοθετεῖν, ἐπειδήπερ οὐκ ὀρθότατον ὁ νό
μος ἀνευρετέον τούτου τὴν αἰτίαν: τί μήν: οὐκοῦν καὶ παρ' ὑμῖν εἰσί
τινες, οἷαι καὶ ἐν ἄλλαις πόλεσιν ἀθρόων ἀνθρώπων ἀσκήσεις ἢ πρὸς
δρόμον ἢ πρὸς ἄλλο τι φιλονικίας ἕνεκα: καὶ πάνυ γε πολλαί:
φέρε νῦν ἀναλάβωμεν μνήμῃ τὰς τῶν τέχνῃ γυμναζόντων ἐπι
τάξεις ἐν ταῖς τοιαύταις ἀρχαῖς: τὸ ποῖον: ὅτι λεπτουργεῖν οὐκ ἐγ
χωρεῖν ἡγοῦνται καθ' ἕνα ἑκάστῳ, τῷ σώματι τὸ προσῆκον ἑκάστῳ
προστάττοντες· ἀλλὰ παχύτερον οἴονται δεῖν ὡς ἐπὶ τὸ πολὺ καὶ ἐπὶ
πολλοὺς τοῦ λυσιτελοῦντος τοῖς σώμασι ποιεῖσθαι τάξιν:
καλῶς: διὸ δή γε καὶ ἴσους πόνους νῦν διδόντες ἀθρόοις ἅμα μὲν
ἐξορμῶσιν, ἅμα δὲ καὶ καταπαύουσι δρόμου καὶ πάλης καὶ πάντων
τῶν κατὰ τὰ σώματα πόνων: ἔστι ταῦτα: καὶ τὸν νομοθέτην τοίνυν ἡγώ
μεθα τὸν ταῖς ἀγέλαις ἐπιστατήσοντα τοῦ δικαίου πέρι καὶ τῶν πρὸς
ἀλλήλους συμβολαίων, μή ποτε ἱκανὸν γενήσεσθαι πᾶσιν ἀθρόοις
προστάττοντα ἀκριβῶς ἑνὶ ἑκάστῳ τὸ προσῆκον ἀποδιδόναι: τὸ
γοῦν εἰκός: ἀλλὰ τοῖς πολλοῖς γε οἶμαι καὶ ὡς ἐπὶ τὸ πολὺ καὶ
ὡς ὡδέ πως παχυτέρως ἑκάστοις τὸν νόμον θήσει· καὶ ἐν γράμ
μασιν ἀποδιδοὺς καὶ ἐν ἀγράμμασι, πατρίοις δὲ ἔθεσι, νομο

θήσειν: ὀρθῶς: ὀρθῶς μέντοι. πῶς γάρ τις ἱκανὸς γένοιτ᾽ ἄν ποτε
ὦ Σώκρατες, ὥστε διὰ βίου ἀεὶ παρακαθήμενος ἑκάστῳ δι᾽ ἀκριβεί-
ας προστάττειν τὸ προσῆκον; ἐπεὶ τοῦτ᾽ ἂν δυνατὸς ὤν, ὡς οἶμαι, τῶν
τὴν βασιλικὴν ὁστισοῦν ὄντως ἐπιστήμην εἰληφότων σχολῇ ποτ᾽ ἂν
αὑτῷ θείη ἐμποδίσματα γράφων τοὺς λεχθέντας τούτους νόμους:
ἐκ τῶν νῦν γοῦν ὦ ξένε εἰρημένων: μᾶλλον δέ γε ὦ βέλτιστε ἐκ τῶν μελ-
λόντων ῥηθήσεσθαι: τίνων δή: τῶν τοιῶνδε. εἴπωμεν γὰρ δὴ πρὸς
ἡμᾶς αὐτοὺς ἰατρὸν μέλλοντα ἢ καὶ γυμναστικὸν ἀποδημεῖν καὶ
ἀπέσεσθαι τῶν θεραπευομένων συχνὸν ὡς οἴοιτο χρόνον, μὴ μνημο-
νεύσειν οἰηθέντα τὰ προσταχθέντα τοὺς γυμναζομένους ἢ τοὺς
κάμνοντας, ὑπομνήματα γράφειν ἂν ἐθέλειν αὐτοῖς ἢ πῶς:
οὕτως: τί δ᾽ εἰ παρὰ δόξαν ἐλάττω χρόνον ἀποδημήσας ἔλθοι
πάλιν· ἆρ᾽ οὐκ ἂν παρ᾽ ἐκεῖνα τὰ γράμματα τολμήσειεν· ἄλλ᾽ ὑποθέ-
σθαι, συμβαινόντων ἄλλων βελτιόνων τοῖς κάμνουσι διὰ πνεύματα
ἤ τι καὶ ἄλλο παρὰ τὴν ἐλπίδα τῶν ἐκ Διὸς ἑτέρως πως τῶν εἰω-
θότων γενομένων, καρτερῶν δ᾽ ἂν ἡγοῖτο δεῖν μὴ ἐκβαίνειν τὰ ἀρ-
χαῖα ποτὲ νομοθετηθέντα· μήτε αὐτὸν προστάττοντα· ἄλλα μήτε
τὸν κάμνοντα ἕτερα τολμῶντα παρὰ τὰ γραφέντα δρᾶν, ὡς ταῦτα
ὄντα ἰατρικὰ καὶ ὑγιεινά· τὰ δὲ ἑτέρως γιγνόμενα νοσώδη
τε καὶ οὐκ ἔντεχνα· ἢ πᾶν τὸ τοιοῦτον ἔν γε ἐπιστήμῃ συμβαῖνον
καὶ ἀληθεῖ τέχνῃ περὶ ἅπαντα παντάπασι γέλως ἂν ὁ μέγιστος
γίγνοιτο τῶν τοιούτων νομοθετημάτων: παντάπασι μὲν οὖν:
τῷ δὲ τὰ δίκαια δὴ καὶ ἄδικα καὶ καλὰ καὶ αἰσχρὰ καὶ ἀγαθὰ καὶ
κακὰ γράψαντι καὶ ἄγραφα νομοθετήσαντι ταῖς τῶν ἀνθρώπων
ἀγέλαις, ὅσαι κατὰ πόλιν ἐν ἑκάσταις νομάονται κατὰ τοὺς
τῶν γραψάντων νόμους, ἂν ὁ μετὰ τέχνης γράψας ἤ τις ἕτε-
ρος ὅμοιος ἀφίκηται, μὴ ἐξέστω δὴ παρὰ ταῦτα ἕτερα προστάτ-
τειν· ἢ καὶ τοῦτο τὸ ἀπόρρημα οὐδὲν ἧττον ἂν ἐκείνου τῇ ἀληθείᾳ
γελοῖον φαίνοιτο: τί μήν: οἶσθ᾽ οὖν ἐπὶ τῷ τοιούτῳ λόγον τὸν
παρὰ τῶν πολλῶν λεγόμενον: οὐκ ἐννοῶ νῦν γ᾽ οὕτως: καὶ μὴν
εὐπρεπής· φασὶ γὰρ δὴ δεῖν, εἴ τις γιγνώσκει παρὰ τοὺς τῶν
ἔμπροσθεν βελτίους νόμους, νομοθετεῖν τὴν ἑαυτοῦ πόλιν ἕ-
καστον πείσαντα. ἄλλως δὲ μή: τί οὖν; οὐκ ὀρθῶς; ἴσως· ἂν δ᾽ οὖν
μὴ πείθων τις βιάζηται τὸ βέλτιον, ἀπόκριναι, τί τοὔνομα τῆς

βίας ἐστί· μὴ μέντοι πω· περὶ δὲ τῶν ἔμπροσθεν πρότερον: ποῖον δή
λέγεις: ἄν τις ἄρα μὴ πείθων τὸν ἰατρευόμενον ἔχων δὲ ὀρθῶς
τὴν τέχνην παρὰ τὰ γεγραμμένα τὸ βέλτιον ἀναγκάζῃ δρᾶν παῖ-
δα ἤ τινα ἄνδρα ἢ καὶ γυναῖκα· τί τοὔνομα τῆς βίας ἔσται ταύ-
της· ἆρ' οὐ πάντων μᾶλλον ἢ τὸ παρὰ τὴν τέχνην λεγόμενον ἁμάρτη-
μα τὸ νοσῶδες· καὶ πάντα ὀρθῶς εἰπεῖν ἔστι πρότερον τῷ βια-
σθέντι περὶ τὸ τοιοῦτον πλὴν ὅτι νοσώδη καὶ ἄτεχνα πέπονθεν
ὑπὸ τῶν βιασαμένων ἰατρῶν: ἀληθέστατα λέγεις: τί δὲ ἡμῖν
δὴ τὸ παρὰ τὴν πολιτικὴν τέχνην ἁμάρτημα λεγόμενον ἐστίν
ἆρ' οὐ τὸ αἰσχρὸν καὶ κακὸν καὶ ἄδικον: παντάπασί γε: τοὺς δὴ
βιασθέντας παρὰ τὰ γεγραμμένα καὶ πάτρια δρᾶν ἕτερα δι-
καιότερα καὶ ἀμείνω καὶ καλλίω τῶν ἔμπροσθεν· φέρε τὸν τῶν
τοιούτων αὖ ψόγον περὶ τῆς τοιαύτης βίας ἆρ' εἰ μέλλει μὴ κατα-
γελαστότατος εἶναι πάντων πάντ' αὐτοῖς μᾶλλον λεκτέον ἑκάστοτε
πλὴν ὡς αἰσχρὰ καὶ ἄδικα καὶ κακὰ πεπόνθασιν οἱ βιασθέντες
ὑπὸ τῶν βιασαμένων: ἀληθέστατα λέγεις: ἀλλ' ἄρα ἐὰν μὲν πλού-
σιος ὁ βιασάμενος ᾖ δίκαια· ἂν δ' ἄρα πένης ᾖ ἄδικα τὰ βιασθέν-
τα ἐστίν· ἢ κἂν πείσας κἂν μὴ πείσας τις πλούσιος ἢ πένης
ἢ κατὰ γράμματα ἢ παρὰ γράμματα δρᾷ μὴ ξυμφορὰ ἢ ξυμ-
φορά· τοῦτον δεῖ καὶ περὶ ταῦτα τὸν ὅρον εἶναι τόν γε ἀληθινώ-
τατον ὀρθῆς πόλεως ὃν ὁ σοφὸς καὶ ἀγαθὸς ἀνὴρ διοικήσει
τὸ τῶν ἀρχομένων ὥσπερ ὁ κυβερνήτης τὸ τῆς νεὼς καὶ ναυτῶν
ἀεὶ συμφέρον παραφυλάττων· οὐ γράμματα τιθεὶς ἀλλὰ τὴν
τέχνην νόμον παρεχόμενος σῴζει τοὺς συνναύτας οὕτω καὶ
κατὰ τὸν αὐτὸν τρόπον τοῦτον παρὰ τῶν οὕτως ἄρχειν δυναμέ-
νων ὀρθὴ γίγνοιτ' ἂν πολιτεία τὴν τῆς τέχνης ῥώμην τῶν νό-
μων παρεχομένων κρείττω· καὶ πάντα ποιοῦσι τοῖς ἔμφροσιν
ἄρχουσιν· οὐκ ἔστιν ἁμάρτημα μέχριπερ ἂν ἓν μέγα φυλάττω-
σι τὸ μετὰ νοῦ καὶ τέχνης δικαιότατον ἀεὶ διανέμοντες τοῖς ἐν
τῇ πόλει· σῴζειν τε αὐτοὺς οἷοί τε ὦσιν καὶ ἀμείνους ἐκ χειρό-
νων ἀποτελεῖν κατὰ τὸ δυνατόν: οὐκ ἔστ' ἀντειπεῖν παρά γε ἃ
νῦν εἴρηται: καὶ μὴν πρὸς ἐκεῖνα οὐδὲ ἀντιρρητέον: τὰ ποῖα
εἶπες: ὡς οὐκ ἄν ποτε πλῆθος οὐδ' ὡντινωνοῦν τὴν τοιαύτην
λαβὸν ἐπιστήμην οἷόν τ' ἂν γένοιτο μετὰ νοῦ διοικεῖν πόλιν ἀλλὰ

περὶ σμικρόν τι καὶ ὀλίγον καὶ τὸ ἓν δεῖ ζητεῖν τὴν μίαν ἐκείνην πολι-
τείαν τὴν ὀρθήν· τὰς ἄλλας μιμήματα θετέον ὧν περ καὶ ὀλίγον πρότε-
ρον ἐρρήθη τὰς μὲν ἐπὶ τὰ καλλίονα τὰς δ' ἐπὶ τὰ αἰσχίω μιμουμένας
ταύτην: πῶς τί τοῦτ' εἴρηκας· οὐδὲ γὰρ ἄρτι δὴ ἔθεν κατέμαθον τὸ
περὶ τῶν μιμημάτων: καὶ μὴν οὐ φαῦλον ἐὰν κινήσας τις τοῦτον τὸν
λόγον αὐτοῦ καταλίπῃ καὶ μὴ διελθὼν ἐνδείξηται τὸ νῦν γιγνόμενον
ἁμάρτημα περὶ αὐτό: ποῖον δή: τοιόνδε τι δεῖ γε ζητεῖν οὐ πάνυ συνή-
θες οὐδὲ ῥᾴδιον ἰδεῖν· ὅμως μὴν πειρώμεθα λαβεῖν αὐτό· φέρε γάρ
ὀρθῆς ἡμῖν μόνης οὔσης ταύτης τῆς πολιτείας ἣν εἰρήκαμεν οἶ-
σθ' ὅτι τὰς ἄλλας δεῖ τοῖς ταύτης συγγράμμασι χρωμένας οὕτως σώ-
ζεσθαι δρώσας τὸ νῦν ἐπαινούμενον καίπερ οὐκ ὀρθότατον ὄν: τὸ ποῖον:
τὸ παρὰ τοὺς νόμους μηδὲν μηδένα τολμᾶν ποιεῖν τῶν ἐν τῇ πόλει· τὸν
τολμῶντα δὲ θανάτῳ ζημιοῦσθαι καὶ πᾶσι τοῖς ἐσχάτοις· καὶ τοῦτ' ἔ-
στιν ὀρθότατα καὶ κάλλιστ' ἐχόμενον δεύτερον· ἐπειδὰν τὸ πρῶτόν τις με-
ταθῇ τὸ νῦν δὴ ῥηθέν· ᾧ δὲ τρόπῳ γεγονός ἐστι τοῦτο ὃ δὴ δεύτερον ἔ-
φήσαμεν διαπερανώμεθα· ἦ γάρ: πάνυ μὲν οὖν: εἰς δὴ τὰς εἰκόνας
ἐπανίωμεν πάλιν αἷς ἀναγκαῖον ἀπεικάζειν ἀεὶ τοὺς βασιλικοὺς
ἄρχοντας: ποίας: τὸν γενναῖον κυβερνήτην καὶ τὸν ἑτέρων πολλῶν
ἀντάξιον ἰατρόν· κατίδωμεν γὰρ δή τι σχῆμα ἐν τούτοις αὐτοῖς πλα-
σάμενοι: ποῖόν τι: τοιόνδε· οἷον εἰ πάντες περὶ αὐτῶν διανοηθεῖμεν
ὅτι δεινότατα ὑπ' αὐτῶν πάσχομεν· ὃν μὲν γὰρ ἂν ἐθελήσωσιν ἡμῶν
τούτων ἑκάτεροι σώζειν ὁμοίως δὴ σώζουσιν· ὃν δ' ἂν λωβᾶσθαι βου-
ληθῶσι λωβῶνται τέμνοντες καὶ κάοντες καὶ προστάττοντες ἀναλώ-
ματα φέρειν παρ' ἑαυτοὺς οἷον φόρους· ὧν σμικρὰ μὲν εἰς τὸν κάμνον-
τα καὶ οὐδὲν ἀναλίσκουσιν· τοῖς δ' ἄλλοις αὐτοί τε καὶ οἱ οἰκέται χρῶν-
ται· καὶ δὴ καὶ τελευτῶντες ἢ παρὰ συγγενῶν ἢ παρά τινων ἐχθρῶν τοῦ
κάμνοντος χρήματα μισθὸν λαμβάνοντες ἀποκτιννύασιν· οἵ τ' αὖ κυ-
βερνῆται μυρία ἕτερα τοιαῦτα ἐργάζονται· καταλιπόντες ἔκ τινος
ἐπιβουλῆς ἐν ταῖς ἀναγωγαῖς ἐρήμους καὶ σφάλματα ποιοῦντες
ἐν τοῖς πελάγεσιν ἐκβάλλουσιν εἰς τὴν θάλατταν· καὶ ἕτερα κακουργοῦ-
σιν· εἰ δὴ ταῦτα διανοηθέντες βουλευσαίμεθα περὶ αὐτῶν βουλήν τι-
να τούτων τῶν τεχνῶν· μηκέτι ἐπιτρέπειν ἄρχειν αὐτοκράτορι μηδετέ-
ρᾳ μήτε τοῖς δούλοις μήτε ἐλευθέροις· συλλέξαι δ' ἐκκλησίαν ἡμῶν αὐ-
τῶν ἢ σύμπαντα τὸν δῆμον ἢ τοὺς πλουσίους μόνον· ἐξεῖναι δὲ καὶ

ἰδιωτῶν καὶ τῶν ἄλλων δημιουργῶν· περί τε πλοῦ καὶ περὶ νόσων γνώ-
μην συμβαλέσθαι καθ' ὅτι χρὴ τοῖς φαρμάκοις ἡμᾶς καὶ τοῖς ἰατρικοῖς
ὀργάνοις πρὸς τοὺς κάμνοντας χρῆσθαι· καὶ δὴ καὶ τοῖς πλοίοις τε αὖ
τοῖς καὶ τοῖς ναυτικοῖς ὀργάνοις εἰς τὴν τῶν πλοίων χρείαν καὶ περὶ
τοὺς κινδύνους τοὺς περὶ αὐτὸν τὸν πλοῦν ἀνέμων καὶ θαλάττης πέ-
ρι· καὶ πρὸς τὰς τοῖς λῃσταῖς ἐντυχίας καὶ ἐὰν ναυμαχεῖν ἄρα δέῃ-
που μακροῖς πλοίοις πρὸς ἕτερα τοιαῦτα· τὰ δὲ τῷ πλήθει δόξαντα
περὶ τούτων· εἴτε τινῶν ἰατρῶν καὶ κυβερνητῶν· εἴτε τῶν ἄλλων ἰδιωτῶν συμ-
βουλευσάντων γράψαντας ἐν κύρβεσί τισι καὶ στήλαις· τὰ δὲ καὶ ἄγραφα
πάτρια θεμένους ἔθη κατὰ ταῦτα ἤδη πάντα τὸν ἔπειτα χρόνον ναυ-
τίλλεσθαι καὶ τὰς τῶν καμνόντων θεραπείας ποιεῖσθαι: κομιδῇ γε ἄτοπα εἴρη-
κας ἅττα: κατ' ἐνιαυτὸν δέ γε ἄρχοντας καθίστασθαι τοῦ πλήθους
εἴτ' ἐκ τῶν πλουσίων· εἴτ' ἐκ τοῦ δήμου παντὸς ὃς ἂν κληρούμενος λαγ-
χάνῃ· τοὺς δὲ καταστάντας ἄρχοντας ἄρχειν κατὰ τὰ γράμματα κυ-
βερνῶντας τὰς ναῦς καὶ τοὺς κάμνοντας ἰωμένους: ταῦτ' ἔτι χαλεπώ-
τερα· θεῶ δὴ καὶ τὸ μετὰ ταῦτα ἑπόμενον· ἐπειδὰν γὰρ δὴ τῶν ἀρχόν-
των ἑκάστοις ὁ ἐνιαυτὸς ἐξέλθῃ· δεήσει δικαστήρια καθίσαντας
ἀνδρῶν ἢ τῶν πλουσίων ἐκ προκρίσεως ἢ σύμπαντος αὖ τοῦ δή-
μου· τοὺς λαχόντας εἰς τούτους εἰσάγειν τοὺς ἄρξαντας καὶ εὐθύνειν·
κατηγορεῖν δὲ τὸν βουλόμενον ὡς οὐ κατὰ τὰ γράμματα τὸν ἐνιαυτὸν
ἐκυβέρνησε τὰς ναῦς· οὐδὲ κατὰ τὰ παλαιὰ τῶν προγόνων ἔθη· ταὐ-
τὰ δὲ ταῦτα καὶ περὶ τῶν τοὺς κάμνοντας ἰωμένων· ὧν δ' ἂν καταψη-
φισθῇ τιμᾶν ὅτι χρὴ παθεῖν αὐτῶν τινας ἢ ἀποτίνειν: οὐκοῦν ὅ γ'
ἐθέλων καὶ ἑκὼν ἐν τοῖς τοιούτοις ἄρχειν δικαιότατ' ἂν ὁτιοῦν πά-
σχοι καὶ ἀποτίνοι: καὶ τοίνυν ἔτι δεήσει θέσθαι νόμον ἐπὶ πᾶσι τούτοις
ἄν τις κυβερνητικὴν καὶ τὸ ναυτικὸν ἢ τὸ ὑγιεινὸν καὶ ἰατρικῆς ἀλή-
θειαν περὶ πνεύματα καὶ θερμὰ καὶ ψυχρὰ ζητῶν φαίνηται παρὰ τὰ
γράμματα καὶ σοφιζόμενος ὁτιοῦν περὶ τὰ τοιαῦτα· πρῶτον μὲν μήτε ἰ-
ατρικὸν αὐτὸν μήτε κυβερνητικὸν ὀνομάζειν ἀλλὰ μετεωρολόγον ἀ-
δολέσχην τινὰ σοφιστήν· εἶθ' ὡς διαφθείροντα ἄλλους νεωτέρους
καὶ ἀναπείθοντα ἐπιτίθεσθαι κυβερνητικῇ καὶ ἰατρικῇ μὴ κατὰ νό-
μους ἀλλ' αὐτοκράτορας ἄρχειν τῶν πλοίων καὶ τῶν νοσούντων· γρα-
ψάμενον εἰσάγειν τὸν βουλόμενον οἷς ἔξεστιν εἰς δή τι δικαστήριον·
ἂν δὲ παρὰ τοὺς νόμους καὶ τὰ γεγραμμένα δόξῃ πείθειν εἴτε

μένοις ἂν τὸν πείθοντα κολάζειν τοῖς ἐσχάτοις· οὐδὲν γὰρ δεῖν τῶν νό
μων εἶναι σοφώτερον· οὐδένα γὰρ ἀγνοεῖν τό τε ἰατρικὸν καὶ τὸ ὑγιεινόν·
οὐδὲ τὸ κυβερνητικὸν καὶ ναυτικόν· ἐξεῖναι γὰρ τῷ βουλομένῳ μανθάνειν
γεγραμμένα καὶ πάτρια ἔθη κείμενα· ταῦτα δὴ περί τε ταύτας τὰς
ἐπιστήμας εἰ γίγνοιτο οὕτως ὡς λέγομεν ὦ Σώκρατες· καὶ στρατη
γικὴν καὶ ξύμπασαν ἡντινοῦν θηρευτικὴν καὶ γραφικὴν ἢ ξύμ
πασαν μέρος ὅτι οὖν μιμητικὴν καὶ τεκτονικὴν καὶ συνόλην ὁποι
ασοῦν σκευουργίας ἢ καὶ γεωργίας καὶ τὴν περὶ τὰ φυτὰ συνόλην
τέχνην ἢ καί τινα ἱπποφορβίαν αὖ κατὰ συγγράμματα θεασαί
μεθα γιγνομένην· ἢ σύμπασαν ἀγελαιοκομικὴν ἢ μαντικὴν ἢ πᾶν ὅ
τι μέρος διακονικὴ περιείληφεν· ἢ πεττείαν ἢ ξύμπασαν ἀριθμη
τικὴν ψιλὴν εἴτ' ἐπίπεδον εἴτ' ἐν βάθεσιν εἴτ' ἐν τάχεσιν οὖσάν που περὶ
ἅπαντα ταῦτα οὕτω πραττόμενα τί ποτ' ἂν φανείη κατὰ συγγράμ
ματα γιγνόμενα καὶ μὴ κατὰ τέχνην: δῆλον ὅτι πᾶσαί τε αἱ τέχναι παν
τελῶς ἂν ἀπόλοιντο ἡμῖν καὶ οὐδ' εἰς αὖθις γένοιτ' ἄν ποτε διὰ τὸν ἀ
ποκωλύοντα τοῦτον ζητεῖν νόμον· ὥστε ὁ βίος ὢν καὶ νῦν χαλεπὸς
εἰς τὸν χρόνον ἐκεῖνον ἀβίωτος γίγνοιτ' ἂν τὸ παράπαν: τί δὲ τόδε;
εἰ κατὰ συγγράμματα μὲν ἀναγκάζοιμεν ἕκαστον γίγνεσθαι τῶν εἰ
ρημένων καὶ τοῖς συγγράμμασιν ἡμῶν ἐπιστατεῖν τὸν χειροτονηθέν
τα ἢ λαχόντα ἐκ τύχης· οὗτος δὲ μηδὲν φροντίζων τῶν γραμμάτων ἢ
κέρδους ἕνεκέν τινος ἢ χάριτος ἰδίας παρὰ ταῦτ' ἐπιχειροῖ δρᾶν
ἕτερα μηδὲν γιγνώσκων· ἆρα οὐ τοῦ κακοῦ τοῦ πρόσθεν μεῖζον ἂν ἔτι
τοῦτο γίγνοιτο κακόν τι: ἀληθέστατα: παρὰ γὰρ οἶμαι τοὺς νόμους
τοὺς ἐκ πείρας πολλῆς κειμένους καί τινων συμβούλων ἕκαστα χα
ριέντως συμβουλευσάντων καὶ πεισάντων θέσθαι τὸ πλῆθος· ὁ πα
ρὰ ταῦτα τολμῶν δρᾶν ἁμάρτημα ἁμαρτημάτων πολλαπλάσιον
ἀπεργαζόμενος ἀνατρέποι πᾶσαν ἂν πρᾶξιν ἔτι μειζόνως τῶν
συγγραμμάτων: πῶς δ' οὐ μέλλει: διὰ ταῦτα τοῖς περὶ ὁτουοῦν νόμους
καὶ συγγράμματα τιθεμένοις δεύτερος πλοῦς τὸ παρὰ ταῦτα μή
τε ἕνα μήτε πλῆθος μηδὲν μηδέποτε ἐᾶν δρᾶν μηδ' ὁτιοῦν: ὀρ
θῶς: οὐκοῦν μιμήματα μὲν ἂν ἑκάστων ταῦτ' εἴη τῆς ἀληθείας τὰ
παρὰ τῶν εἰδότων εἰς δύναμιν εἶναι γεγραμμένα: πῶς δ' οὔ:
καὶ μὴν τὸν εἰδότα γε ἔφαμεν τὸν ὄντως πολιτικὸν εἰ μεμνήμεθα ποι
ήσειν τῇ τέχνῃ πολλὰ εἰς τὴν αὑτοῦ πρᾶξιν τῶν γραμμάτων οὐ

δὲ μὴ φροντίζοντα ὁπόταν ἄλλ' αὐτῷ βελτίω δόξῃ παρὰ τὰ γεγραμμένα
ὑφ' αὐτοῦ καὶ ἐπεσταλμένα ἀποῦσί τισιν : ἔφαμεν γάρ : οὐκοῦν ἀνὴρ ὅστις
οὖν εἷς ἢ πλῆθος ὁτιοῦν οἷς ἂν νόμοι κείμενοι τυγχάνωσι παρὰ ταῦτα
ὅταν ἐπιχειρῶσι ποιεῖν ὡς βέλτιον ἕτερον, ταὐτὸν δρῶσι κατὰ δύναμιν
ὅπερ ὁ ἀληθινὸς ἐκεῖνος : πάνυ μὲν οὖν : ἆρ' οὖν εἰ μὲν ἀνεπιστήμονες
ὄντες τὸ τοιοῦτον δρῷεν, μιμεῖσθαι μὲν ἂν ἐπιχειροῖεν τὸ ἀληθές, μιμοῖντ'
ἂν μέντοι πάνυ κακῶς· εἰ δ' ἔντεχνοι, τοῦτο οὐκέτι ἐστὶ μίμημα, ἀλλ' αὐτὸ
τὸ ἀληθέστατον ἐκεῖνο : πάντως που : καὶ μὴν ἔμπροσθέν γε ὁμολογη-
μένον ἡμῖν κεῖται μηδὲν πλῆθος μηδ' ἡντινοῦν δυνατὸν εἶναι λαβεῖν
τέχνην : κεῖται γὰρ οὖν : οὐκοῦν εἰ μέν ἐστι βασιλική τις τέχνη, τὸ τῶν
πλουσίων πλῆθος καὶ ὁ σύμπας δῆμος οὐκ ἄν ποτε λάβοι τὴν πολι-
τικὴν ταύτην ἐπιστήμην : πῶς γὰρ ἄν : δεῖ δὴ τὰς τοιαύτας γε ὡς ἔοικε
πολιτείας, εἰ μέλλουσι καλῶς τὴν ἀληθινὴν ἐκείνην τὴν τοῦ ἑνὸς
μετὰ τέχνης ἄρχοντος πολιτείαν εἰς δύναμιν μιμήσασθαι, μηδέποτε
τεθέντων αὐτοῖς τῶν νόμων μηδὲν ποιεῖν παρὰ τὰ γεγραμμένα καὶ
πάτρια ἔθη : κάλλιστ' εἴρηκας : ὅταν ἄρα οἱ πλούσιοι ταύτην μιμῶνται,
τότε ἀριστοκρατίαν καλοῦμεν τὴν τοιαύτην πολιτείαν· ὁπόταν δὲ τῶν νό-
μων μὴ φροντίζωσιν, ὀλιγαρχίαν : κινδυνεύει : καὶ μὴν ὁπόταν αὖθις
εἷς ἄρχῃ κατὰ νόμους, μιμούμενος τὸν ἐπιστήμονα, βασιλέα καλοῦ-
μεν, οὐ διορίζοντες ὀνόματι τὸν μετ' ἐπιστήμης ἢ δόξης κατὰ νόμους
μοναρχοῦντα : κινδυνεύομεν : κἄν τις ἄρα ἐπιστήμων ὄντως ὢν εἷς
ἄρχῃ, πάντως τό γε ὄνομα ταὐτὸν βασιλεὺς καὶ οὐδὲν ἕτερον προσρη-
θήσεται· δι' ὃ δὴ τὰ πέντε ὀνόματα τῶν νῦν λεγομένων πολιτειῶν ἓν
μόνον γέγονεν : ἔοικεν οὖν : τί δ' ὅταν μήτε κατὰ νόμους μήτε
κατὰ ἔθη πράττῃ τις εἷς ἄρχων, προσποιῆται δὲ ὥσπερ ὁ ἐπι-
στήμων ὡς ἄρα παρὰ τὰ γεγραμμένα τό γε βέλτιστον ποιητέον, ἦ
δέ τις ἐπιθυμία καὶ ἄγνοια τούτου τοῦ μιμήματος ἡγουμένη, μῶν
οὐ τότε τὸν τοιοῦτον ἕκαστον τύραννον κλητέον : τί μήν : οὕτω δὴ
τύραννος γέγονέ φαμεν καὶ βασιλεὺς καὶ ὀλιγαρχία καὶ ἀριστοκρα-
τία καὶ δημοκρατία, δυσχερανάντων τῶν ἀνθρώπων τὸν ἕνα ἐ-
κεῖνον μόναρχον, καὶ ἀπιστησάντων μηδένα ποτὲ τῆς τοιαύτης ἀρχῆς
ἄξιον ἂν γενέσθαι ποτὲ ὥστε ἐθέλειν καὶ δυνατὸν εἶναι μετ' ἀρετῆς
καὶ ἐπιστήμης ἄρχοντα τὰ δίκαια καὶ ὅσια διανέμειν ὀρθῶς πᾶσιν,
λωβᾶσθαι δὲ καὶ ἀποκτιννύναι καὶ κακοῦν ὃν ἂν βουληθῇ ἑκά-

ποτε ἡμῶν· ἐπεὶ γενόμενόν γ' ἂν οἷον λέγομεν ἀγαπᾶσθαί τ' ἂν καὶ
οἰκεῖν διακυβερνῶντα εὐδαιμόνως ὀρθὴν ἀκριβῶς μόνον πολι-
τείαν: πῶς δ' οὔ: νῦν δέ γε ὁπότε οὐκ ἔστι γιγνόμενος ὡς δή φα-
μεν ἐν ταῖς πόλεσι βασιλεὺς οἷος ἐν σμήνεσιν ἐμφύεται, τό τε σῶμα εὐ-
θὺς καὶ τὴν ψυχὴν διαφέρων· εἷς δεῖ δὴ συνελθόντας συγγράμ-
ματα γράφειν ὡς ἔοικε μεταθέοντας τὰ τῆς ἀληθεστάτης πο-
λιτείας ἴχνη: κινδυνεύει: θαυμάζομεν δῆτα ὦ Σώκρατες
ἐν ταῖς τοιαύταις πολιτείαις ὅσα συμβαίνει γίγνεσθαι κακὰ καὶ
ὅσα συμβήσεται τοιαύτης τῆς κρηπῖδος ὑποκειμένης αὐταῖς
τῆς κατὰ γράμματα καὶ ἔθη μὴ μετὰ ἐπιστήμης πραττούσης
τὰς πράξεις ᾗ ἑτέρα προσχρωμένη παντὶ κατάδηλος ὡς πάντ' ἂν
διολέσειε τὰ ταύτῃ γιγνόμενα· ἢ ἐκεῖνο μὲν ἡμῖν θαυμαστέον μᾶλ-
λον ὡς ἰσχυρόν τι πόλις ἐστὶ φύσει· πάσχουσαι γὰρ δὴ τοιαῦτα
αἱ πόλεις νῦν χρόνον ἀπέραντον· ὅμως ἔνιαί τινες αὐτῶν μόνι-
μοί τέ εἰσι καὶ οὐκ ἀνατρέπονται· πολλαὶ μὴν ἐνίοτε καὶ καθά-
περ πλοῖα καταδυόμεναι διόλλυνται καὶ διολώλασι καὶ ἔτι διο-
λοῦνται διὰ τὴν τῶν κυβερνητῶν καὶ ναυτῶν μοχθηρίαν τῶν περὶ
τὰ μέγιστα μεγίστην ἄγνοιαν εἰληφότων· οἳ περὶ τὰ πολιτικὰ
κατ' οὐδὲν γιγνώσκοντες ἡγοῦνται κατὰ πάντα σαφέστατα πασῶν
ἐπιστημῶν ταύτην εἰληφέναι: ἀληθέστατα: τίς οὖν δὴ τῶν
οὐκ ὀρθῶν πολιτειῶν τούτων ἥκιστα χαλεπὴ συζῆν πασῶν χαλε-
πῶν οὐσῶν καὶ τίς βαρυτάτη; δεῖ τι καθορᾶν ἡμᾶς καίπερ πρός
γε τὸ νῦν προτεθὲν ἡμῖν πάρεργον λεγόμενον· οὐ μὴν ἀλλ' εἴς γε τὸ
ὅλον ἴσως ἅπαντες ἕνεκα τοῦ τοιούτου πάντα δρῶμεν χάριν: δεῖ·
πῶς δ' οὔ: τὴν αὐτὴν τοίνυν φάθι τριῶν οὐσῶν χαλεπὴν διαφε-
ρόντως γίγνεσθαι καὶ ῥᾴστην: πῶς φῄς: οὐκ ἄλλως πλὴν
μοναρχίαν φημὶ καὶ ὀλίγων ἀρχὴν καὶ πολλῶν τρεῖς ταύ-
τας ἡμῖν λεγομένας τοῦ νῦν ἐπικεχυμένου λόγου κατ' ἀρχάς:
ἦσαν γὰρ οὖν: ταύτας τοίνυν δίχα τέμνοντες μίαν ἑκάστην ἓξ
ποιῶμεν τὴν ὀρθὴν χωρὶς ἀποκρίναντες τούτων ἑβδόμην: πῶς:
ἐκ μὲν τῆς μοναρχίας βασιλικὴν καὶ τυραννικήν· ἐκ δ' αὖ τῶν μὴ
πολλῶν τήν τε εὐώνυμον ἔφαμεν εἶναι ἀριστοκρατίαν καὶ ὀλιγαρ-
χίαν· ἐκ δ' αὖ τῶν πολλῶν τότε μὲν ἁπλῆν ἐπονομάζοντες ἐτίθε-
μεν δημοκρατίαν· νῦν δ' αὖ καὶ ταύτην ἡμῖν θετέον ἐστὶ διπλῆν:

πῶς δὴ καὶ τίνι διαιροῦντας ταύτην: οὐδὲν διαφέροντι τῶν ἄλλων
οὐδ᾽ εἰ τοὔνομα ἤδη διπλοῦν ἐστι ταύτης. ἀλλὰ τό γε κατὰ νόμους ἄρ-
χειν καὶ παρανόμως ἔστι καὶ ταύτῃ καὶ ταῖς ἄλλαις: ἔστι γὰρ οὖν:
τότε μὲν τοίνυν τὴν ὀρθὴν ζητοῦσι τοῦτο τὸ τμῆμα οὐκ ἦν χρή-
σιμον ὡς ἐν τοῖς πρόσθεν ἀπεδείξαμεν· ἐπειδὴ δὲ ἐξῃρήκαμεν ἐ-
κείνην. τὰς δ᾽ ἄλλας ἔθεμεν ἀναγκαίας. ἐν ταύταις δὴ τὸ παράνο-
μον καὶ ἔννομον ἑκάστην διχοτομεῖ τούτων: ἔοικεν τούτου νῦν ῥη-
θέντος τοῦ λόγου: μοναρχία τοίνυν ζευχθεῖσα μὲν ἐν γράμμασιν
ἀγαθοῖς οὓς νόμους λέγομεν ἀρίστη πασῶν τῶν ἕξ· ἄνομος δὲ
χαλεπὴ καὶ βαρυτάτη συνοικῆσαι: κινδυνεύει: τὴν δέ γε τῶν μὴ πολ-
λῶν ὥσπερ ἑνὸς καὶ πλήθους τὸ ὀλίγον. μέσον οὕτως ἡγησώ-
μεθα μέσην ἐπ᾽ ἀμφότερα· τὴν δ᾽ αὖ τοῦ πλήθους κατὰ πάντα ἀ-
σθενῆ καὶ μηδὲν μήτε ἀγαθὸν μήτε κακὸν μέγα δυναμένην ὡς
πρὸς τὰς ἄλλας διὰ τὸ τὰς ἀρχὰς ἐν ταύτῃ διανενεμῆσθαι κατὰ
σμικρὰ εἰς πολλούς· διὸ γέγονε πασῶν μὲν νομίμων τῶν πολιτει-
ῶν οὐσῶν τούτων χειρίστη· παρανόμων δὲ οὐσῶν ξυμπασῶν βελ-
τίστη· καὶ ἀκολάστων μὲν πασῶν οὐσῶν ἐν δημοκρατίᾳ νικᾷ ζῆν·
κοσμίων δ᾽ οὐσῶν ἥκιστα ἐν ταύτῃ βιωτέον· ἐν τῇ πρώτῃ δὲ πολὺ
πρῶτόν τε καὶ ἄριστον πλὴν τῆς ἑβδόμης· πασῶν γὰρ ἐκείνην γε
ἐκκριτέον οἷον θεὸν ἐξ ἀνθρώπων ἐκ τῶν ἄλλων πολιτειῶν: φαί-
νεται ταῦθ᾽ οὕτω ξυμβαίνειν τε καὶ ποιητέον ᾗπερ λέγεις: οὐκοῦν δὴ
καὶ τοὺς κοινωνοὺς τούτων τῶν πολιτειῶν πασῶν πλὴν τῆς ἐπιστή-
μονος ἀφαιρετέον ὡς οὐκ ὄντας πολιτικοὺς ἀλλὰ στασιαστικούς·
καὶ εἰδώλων μεγίστων προστάτας ὄντας καὶ αὐτοὺς εἶναι τοιούτους·
μεγίστους δὲ ὄντας μιμητὰς καὶ γόητας. μεγίστους γίγνεσθαι
τῶν σοφιστῶν σοφιστάς: κινδυνεύει τοῦτο εἰς τοὺς πολιτικοὺς λεγο-
μένους περιεστράφθαι τὸ ῥῆμα: ὀρθότατα: εἶεν τοῦτο μὲν ἀτε-
χνῶς ἡμῖν ὥσπερ δρᾶμα καθάπερ ἐρρήθη νῦν δὴ κενταυρικὸν ὁρᾶ-
σθαι καὶ σατυρικόν τινα θίασον· ὃν δὴ χωριστέον ἀπὸ πολιτικῆς εἶναι
τέχνης νῦν. οὕτω πάνυ μόγις ἐχωρίσθη: φαίνεται: τούτου δέ γε
ἕτερον ἔτι χαλεπώτερον λείπεται τὸ συγγενές τε ὁμοῦ εἶναι μᾶλλον τῷ
βασιλικῷ γένει καὶ δυσκαταμαθητότερον· καί μοι φαινόμεθα
τοῖς τὸν χρυσὸν καθαίρουσι πάθος ὅμοιον πεπονθέναι: πῶς:
γῆν που καὶ λίθους καὶ πολλ᾽ ἄττ᾽ ἄλλ᾽ ἕτερα ἀποκρίνουσι καὶ [illegible]

πρότερον οἱ δημιουργοί· μετὰ δὲ ταῦτα μέτεστι συμμεμιγμένα τὰ συγ-
γενῆ τοῦ χρυσοῦ τίμια καὶ πυρὶ μόνον ἀφαιρετά· χαλκὸς καὶ ἄργυρος·
ἔστι δ' ὅτε καὶ ἀδάμας· μετὰ βασάνου ἑψήσει μόγις ἀφαιρεθέντα·
τὸν λεγόμενον ἀκήρατον χρυσὸν εἴασεν ἡμᾶς ἰδεῖν αὐτὸν μόνον ἐ-
φ' ἑαυτοῦ: λέγεται γὰρ οὖν δὴ ταῦτα οὕτω γίγνεσθαι: κατὰ τὸν αὐτὸν
τοίνυν λόγον ἔοικε καὶ νῦν ἡμῖν τὰ μὲν ἕτερα καὶ ὅσα ἀλλότρια καὶ
τὰ μὴ φίλα πολιτικῆς ἐπιστήμης ἀποκεχωρίσθαι· λείπεσθαι δὲ
τὰ τίμια καὶ συγγενῆ· τούτων δ' ἐστί που στρατηγία καὶ δικαστικὴ καὶ
ὅση βασιλικῇ κοινωνοῦσα ῥητορεία πείθουσα τὸ δίκαιον συνδια-
κυβερνᾷ τὰς ἐν ταῖς πόλεσι πράξεις· ἃ δὴ τίνι τρόπῳ ῥᾷστά τις
ἀπομερίζων δείξει γυμνὸν καὶ μόνον ἐκεῖνον αὐτὸν τὸν ζητού-
μενον ὑφ' ἡμῶν: δῆλον ὅτι τοῦτό πῃ δρᾶν πειρατέον: πείρας μὲν
τοίνυν ἕνεκα φανερὸς ἔσται· διὰ δὲ μουσικῆς αὐτὸν ἐγχειρητέον δη-
λῶσαι: καί μοι λέγε: τὸ ποῖον: μουσικῆς ἔστι που ἡμῖν μάθη-
σις καὶ ὅλως τῶν περὶ χειροτεχνίας ἐπιστημῶν: ἔστιν: τί δὲ τὸ δ' αὖ
τούτων ἡντινοῦν εἴτε δεῖ μανθάνειν εἴτε μή· ποτέραν φήσο-
μεν ἐπιστήμην αὖ καὶ ταύτην εἶναι περὶ αὐτὰ ταῦτα ἢ πῶς:
οὕτως εἶναι φήσομεν: οὐκοῦν ἑτέραν ὁμολογήσομεν ἐκείνων εἶ-
ναι ταύτην: ναί: πότερα δὲ αὐτῶν οὐδεμίαν ἄρχειν δεῖν ἄλλην ἄλλης· ἢ
ἐκείνας ταύτης· ἢ ταύτην δεῖν ἐπιτροπεύουσαν ἄρχειν συμπασῶν
τῶν ἄλλων: ταύτην ἐκείνων: τὴν εἰ δεῖ μανθάνειν ἢ μή· τῆς μανθα-
νομένης καὶ διδασκούσης ἄρα σύ γε ἀποφαίνῃ δεῖν ἡμῖν ἄρχειν:
σφόδρα γε: καὶ τὴν εἰ δεῖ πείθειν ἄρα ἢ μὴ τῆς δυναμένης πείθειν:
πῶς δ' οὔ: εἶεν· τίνι τὸ πειστικὸν οὖν ἀποδώσομεν ἐπιστήμῃ πλήθους
τε καὶ ὄχλου διὰ μυθολογίας ἀλλὰ μὴ διὰ διδαχῆς: φανερὸν οἶμαι
καὶ τοῦτο ῥητορικῇ δοτέον ὄν: τὸ δ' εἴτε διὰ πειθοῦς εἴτε καὶ διά τινος βί-
ας δεῖ πράττειν πρός τινας ὁτιοῦν ἢ καὶ τὸ παράπαν ἔχειν ἡσυχίαν τοῦτ'
αὖ ποίᾳ προσθήσομεν ἐπιστήμῃ: τῇ τῆς πειστικῆς ἀρχούσῃ καὶ
λεκτικῆς: εἴη δ' ἂν οὐκ ἄλλη τις ὡς οἶμαι πλὴν ἡ τοῦ πολιτικοῦ δύ-
ναμις: κάλλιστ' εἴρηκας: καὶ τοῦτο μὲν ἔοικε ταχὺ κεχωρίσθαι πο-
λιτικῆς τὸ ῥητορικὸν ὡς ἕτερον εἶδος ὂν ὑπηρετοῦν μὴν ταύτῃ: ναί:
τί δὲ περὶ τῆς τοιᾶσδ' αὖ δυνάμεως διανοητέον: ποίας: τῆς ὡς πο-
λεμητέον ἑκάστοις οἷς ἂν προελώμεθα πολεμεῖν εἴτε αὐτὴν ἄτε-
χνον εἴτε ἔντεχνον ἐροῦμεν: καὶ πῶς ἂν ἄτεχνον διανοηθεῖμεν ἥν γε

κρατοῦντας τῶν ἑλλήνων τοὺς λακεδαιμονίους· οἱ δὲ λακεδαι-
μόνιοι ἐπειδὰν βούλωνται ἀνέδην τοῖς παρ' αὐτοῖς συγγενέσθαι
σοφισταῖς καὶ ἤδη ἄχθωνται λάθρα ξυγγιγνόμενοι· ξενηλα-
σίας ποιούμενοι τῶν τε λακωνιζόντων τούτων καὶ ἐάν τις ἄλλος
ξένος ὢν ἐπιδημήσηι· συγγίγνονται τοῖς σοφισταῖς λανθά-
νοντες τοὺς ξένους· καὶ αὐτοὶ οὐδένα ἐῶσιν τῶν νέων εἰς τὰς
ἄλλας πόλεις ἐξιέναι· ὥσπερ οὐδὲ κρῆτες· ἵνα μὴ ἀπομανθά-
νωσιν ἃ αὐτοὶ διδάσκουσιν· εἰσὶν δὲ ἐν ταύταις ταῖς πόλεσιν οὐ
μόνον ἄνδρες ἐπὶ παιδεύσει μέγα φρονοῦντες· ἀλλὰ καὶ γυναῖ-
κες· γνοῖτε δ' ἂν ὅτι ἐγὼ ταῦτα ἀληθῆ λέγω· καὶ λακεδαιμόνιοι
πρὸς φιλοσοφίαν καὶ λόγους ἄριστα πεπαίδευνται ὧδε· εἰ γὰρ ἐ-
θέλει τις λακεδαιμονίων τῶι φαυλοτάτωι συγγενέσθαι· τὰ μὲν πολ-
λὰ ἐν τοῖς λόγοις εὑρήσει αὐτὸν φαῦλόν τινα φαινόμενον· ἔπει-
τα ὅπου ἂν τύχηι τῶν λεγομένων ἐνέβαλεν ῥῆμα ἄξιον λόγου
βραχὺ καὶ συνεστραμμένον· ὥσπερ δεινὸς ἀκοντιστής· ὥστε φαί-
νεσθαι τὸν προσδιαλεγόμενον παιδὸς μηδὲν βελτίω· τοῦτο οὖν
αὐτὸ καὶ τῶν νῦν εἰσὶν οἳ κατανενοήκασι καὶ τῶν πάλαι· ὅτι τὸ λακω-
νίζειν πολὺ μᾶλλόν ἐστιν φιλοσοφεῖν ἢ φιλογυμναστεῖν· εἰδότες
ὅτι τοιαῦτα οἷόν τ' εἶναι ῥήματα φθέγγεσθαι τελέως πεπαιδευμέ-
νου ἐστὶν ἀνθρώπου· τούτων ἦν καὶ θαλῆς ὁ μιλήσιος καὶ πιττα-
κὸς ὁ μυτιληναῖος· καὶ βίας ὁ πριηνεύς· καὶ σόλων ὁ ἡμέτε-
ρος καὶ κλεόβουλος ὁ λίνδιος καὶ μύσων ὁ χηνεύς· καὶ ἕβδομος
ἐν τούτοις ἐλέγετο λακεδαιμόνιος χίλων· οὗτοι πάντες ζηλω-
ταὶ καὶ ἐρασταὶ καὶ μαθηταὶ ἦσαν τῆς λακεδαιμονίων παιδείας·
καὶ καταμάθοι ἄν τις αὐτῶν τὴν σοφίαν τοιαύτην οὖσαν ῥήματα
βραχέα ἀξιομνημόνευτα ἑκάστωι εἰρημένα· οὗτοι καὶ κοινῆι
ξυνελθόντες· ἀπαρχὴν τῆς σοφίας ἀνέθεσαν τῶι ἀπόλλωνι
εἰς τὸν νεὼν τὸν ἐν δελφοῖς γράψαντες ταῦτα ἃ δὴ πάντες ὑμνοῦ-
σιν· γνῶθι σαυτὸν καὶ μηδὲν ἄγαν· τοῦ δὴ ἕνεκα ταῦτα λέγω·
ὅτι οὗτος ὁ τρόπος ἦν τῶν παλαιῶν τῆς φιλοσοφίας βραχυλο-
γία τις λακωνική· καὶ δὴ καὶ τοῦ πιττακοῦ ἰδίαι περιεφέρετο
τοῦτο τὸ ῥῆμα ἐγκωμιαζόμενον ὑπὸ τῶν σοφῶν τὸ χαλεπὸν ἐσθλὸν
ἔμμεναι· ὁ οὖν σιμωνίδης ἅτε φιλότιμος ὢν ἐπὶ σοφίαι· ἔγνω
ὅτι εἰ καθέλοι τοῦτο τὸ ῥῆμα ὥσπερ εὐδοκιμοῦντα ἀθλητὴν καὶ

περιγένοιτο αὐτοῦ, αὐτὸς εὐδοκιμήσει ἐν τοῖς τότε ἀνθρώποις·
εἰς τοῦτο οὖν τὸ ῥῆμα καὶ τούτου ἕνεκα τούτῳ ἐπιβουλεύων κο
λοῦσαι αὐτό. ἅπαν τὸ ᾆσμα πεποίηκεν ὥς μοι φαίνεται. ἐπι
σκεψώμεθα δὴ αὐτὸ κοινῇ ἅπαντες εἰ ἄρα ἐγὼ ἀληθῆ λέγω.
εὐθὺς γὰρ τὸ πρῶτον τοῦ ᾄσματος μανικὸν ἂν φανείη, εἰ βου
λόμενος λέγειν ὅτι ἄνδρα ἀγαθὸν γενέσθαι χαλεπόν· ἔπειτα
ἐνέβαλε τὸ μέν. τοῦτο γὰρ οὐδὲ πρὸς ἕνα λόγον φαίνεται ἐμβε
βλῆσθαι ἐὰν μή τις ὑπολάβῃ πρὸς τὸ τοῦ πιττακοῦ ῥῆμα
ὥσπερ ἐρίζοντα λέγειν τὸν σιμωνίδην· λέγοντος τοῦ πιττα
κοῦ ὅτι χαλεπὸν ἐσθλὸν ἔμμεναι. ἀμφισβητοῦντα εἰπεῖν ὅτι
οὐκ ἀλλὰ γενέσθαι μὲν χαλεπὸν ἄνδρα ἀγαθόν ἐστιν ὦ πιττακέ
ὡς ἀληθῶς. οὐκ ἀληθείᾳ ἀγαθόν. οὐκ ἐπὶ τούτῳ λέγει τὴν
ἀλήθειαν. ὡς ἄρα ὄντων τινῶν τῶν μὲν ὡς ἀληθῶς ἀγα
θῶν τῶν δὲ ἀγαθῶν μέν, οὐ μέντοι ἀληθῶς. εὔηθες γὰρ τοῦ
τό γε φανείη ἂν καὶ οὐ σιμωνίδου. ἀλλ' ὑπερβατὸν δεῖ θεῖναι
ἐν τῷ ᾄσματι τὸ ἀλαθέως. οὑτωσί πως ὑπειπόντα τὸ τοῦ
πιττακοῦ. ὥσπερ ἂν εἰ θεῖμεν αὐτὸν λέγοντα τὸν πιττακὸν
καὶ σιμωνίδην ἀποκρινόμενον εἰπόντα· ὦ ἄνθρωποι χαλε
πὸν ἐσθλὸν ἔμμεναι. τὸν δὲ ἀποκρινόμενον ὅτι ὦ πιττακέ
οὐκ ἀληθῆ λέγεις. οὐ γὰρ εἶναι. ἀλλὰ γενέσθαι μέν ἐστιν ἄνδρα
ἀγαθόν· χερσί τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον ἄνευ ψόγου
τετυγμένον χαλεπὸν ἀλαθέως. οὕτω φαίνεται τὸ πρὸς λό
γον. τὸ μὲν ἐμβεβλημένον καὶ τὸ ἀλαθέως ὀρθῶς ἐπ' ἐσχάτῳ
κείμενον. καὶ τὰ ἐπιόντα πάντα τούτῳ μαρτυρεῖ ὅτι οὕτως
εἴρηται. πολλὰ μὲν γὰρ ἔστι καὶ περὶ ἑκάστου τῶν ἐν τῷ ᾄσμα
τι εἰρημένων ἀποδεῖξαι ὡς εὖ πεποίηται. πάνυ γὰρ χαρι
έντως καὶ μεμελημένως ἔχει. ἀλλὰ μακρὸν ἂν εἴη αὐτὸ οὕ
τω διελθεῖν. ἀλλὰ τὸν τύπον αὐτοῦ τὸν ὅλον διεξέλθωμεν
καὶ τὴν βούλησιν ὅτι παντὸς μᾶλλον ἔλεγχός ἐστιν τοῦ πιτ
τακείου ῥήματος διὰ παντὸς τοῦ ᾄσματος. λέγει γὰρ μετὰ
τοῦτο ὀλίγα διελθὼν ὡς ἂν εἰ λέγοι λόγον ὅτι γενέσθαι μὲν
ἄνδρα ἀγαθὸν χαλεπὸν ἀλαθέως. οἷόν τε μέντοι ἐπί γε χρό
νον τινά· γενόμενον δὲ διαμένειν ἐν ταύτῃ τῇ ἕξει καὶ εἶναι
ἄνδρα ἀγαθὸν ὡς σὺ λέγεις ὦ πιττακέ. ἀδύνατον. καὶ οὐ

ἡ στρατηγικὴ καὶ πᾶσα ἡ πολεμικὴ πρᾶξις πράττεται: τὴν δὲ πολεμητέον εἴτε διὰ φιλίας ἀπαλλακτέον οἵαν τε καὶ ἐπιστήμονα διαβουλεύσασθαι, ταύτης ἑτέραν ὑπολάβωμεν ἢ τὴν αὐτὴν ταύτῃ; τοῖς πρόσθεν ἀναγκαῖον ἑπομένοις ἑτέραν: οὐκοῦν ἄρχουσαν ταύτης αὐτὴν ἀποφανούμεθα, εἴπερ τοῖς ἔμπροσθέν γε ὑποληψόμεθα ὁμοίως: φημί: τίν' οὖν ποτε καὶ ἐπιχειρήσομεν οὕτω δεινῆς καὶ μεγάλης τέχνης συμπάσης τῆς πολεμικῆς δεσπότιν ἀποφαίνεσθαι πλήν γε δὴ τὴν ὄντως οὖσαν βασιλικήν: οὐδεμίαν ἄλλην: οὐκ ἄρα πολιτικὴν θήσομεν ὑπηρετικὴν οὖσαν τὴν τῶν στρατηγῶν ἐπιστήμην: οὐκ εἰκός: ἴθι δὴ καὶ τὴν τῶν δικαστῶν τῶν ὀρθῶς δικαζόντων θεασώμεθα δύναμιν: πάνυ μὲν οὖν: ἆρ' οὖν ἐπὶ πλέον τι δύναται τοῦ περὶ τὰ συμβόλαια πάνθ' ὁπόσα κεῖται νόμιμα παρὰ νομοθέτου βασιλέως παραλαβοῦσα κρίνειν εἰς ἐκεῖνα βλέπουσα τά τε δίκαια ταχθέντα εἶναι καὶ ἄδικα, τὴν αὐτῆς ἰδίαν ἀρετὴν παρεχομένη τοῦ μήθ' ὑπό τινων δώρων μήθ' ὑπὸ φόβων μήτε οἴκτων μήθ' ὑπό τινος ἄλλης ἔχθρας μηδὲ φιλίας ἡττηθεῖσα παρὰ τὴν τοῦ νομοθέτου τάξιν ἐθέλειν τὰ ἀλλήλων ἐγκλήματα διαιρεῖν: οὔκ, ἀλλὰ σχεδὸν ὅσον εἴρηκας ταύτης ἐστὶ τῆς δυνάμεως ἔργον: καὶ τὴν τῶν δικαστῶν ἄρα ῥώμην ἀνευρίσκομεν οὐ βασιλικὴν οὖσαν, ἀλλὰ νόμων φύλακα καὶ ὑπηρέτιν ἐκείνης: ἔοικέν γε: τόδε δὴ κατανοητέον ἰδόντι συναπάσας τὰς ἐπιστήμας αἳ εἴρηνται, ὅτι πολιτική γε αὐτῶν οὐδεμία ἀνεφάνη· τὴν γὰρ ὄντως οὖσαν βασιλικὴν οὐκ αὐτὴν δεῖ πράττειν, ἀλλ' ἄρχειν τῶν δυναμένων πράττειν, γιγνώσκουσαν τὴν ἀρχήν τε καὶ ὁρμὴν τῶν μεγίστων ἐν ταῖς πόλεσιν ἐγκαιρίας τε πέρι καὶ ἀκαιρίας· τὰς δ' ἄλλας τὰ προσταχθέντα δρᾶν: ὀρθῶς: διὰ ταῦτα ἄρα ἃς μὲν ἄρτι διεληλύθαμεν, οὔτ' ἀλλήλων οὔθ' αὑτῶν ἄρχουσαι, περὶ δέ τινα ἰδίαν αὐτῶν οὖσαι πρᾶξιν ἑκάστη, κατὰ τὴν ἰδιότητα τῶν πράξεων τοὔνομα δικαίως εἴληφεν ἴδιον: ἐοίκασι γοῦν: τὴν δὲ πασῶν τε τούτων ἄρχουσαν καὶ τῶν νόμων καὶ συμπάντων τῶν κατὰ πόλιν ἐπιμελουμένην καὶ πάντα συνυφαίνουσαν ὀρθότατα, τοῦ κοινοῦ τῇ κλήσει περιλαβόντες τὴν δύναμιν αὐτῆς, προσαγορεύοιμεν δικαιότατ' ἄν, ὡς ἔοικε, πολιτικήν: παντάπασι μὲν οὖν: οὐκοῦν δὴ καὶ κατὰ τὸ τῆς ὑφαντικῆς παράδειγμα βουλοίμεθ' ἂν ἐπεξελθεῖν αὐτὴν νῦν, ὅτε καὶ πάντα τὰ γένη τὰ κατὰ πόλιν

δή που ἡμῖν γέγονεν: καὶ σφόδρα γε: τὴν δὴ βασιλικὴν συμπλοκὴν ὡς
ἔοικε λεκτέον ποία τέ ἐστι καὶ ποίῳ τρόπῳ συμπλέκουσα ποῖον
ἡμῖν ὕφασμα ἀποδίδωσιν: δῆλον: ἢ χαλεπὸν ἐνδείξασθαι πρᾶ
γμα ἀναγκαῖον ἄρα γέγονεν ὡς φαίνεται: πάντως γε μὴν ῥητέον·
τὸ γὰρ ἀρετῆς μέρος ἀρετῆς εἴδει διάφορον εἶναί τινα τρόπον τοῖς
περὶ λόγους ἀμφισβητητικοῖς καὶ μάλ' εὐεπίθετον πρὸς τὰς τῶν πολ
λῶν δόξας: οὐκ ἔμαθον: ἀλλ' ὧδε πάλιν· ἀνδρείαν γὰρ οἶμαί σε ἡ
γεῖσθαι μέρος ἓν ἀρετῆς ἡμῖν εἶναι: πάνυ γε: καὶ μὴν σωφροσύνην
γε ἀνδρείας μὲν ἕτερον ἓν δ' οὖν καὶ τοῦτο μόριον ἧς κἀκεῖνο: ναί:
τούτων δὴ πέρι θαυμαστόν τινα λόγον ἀποφαίνεσθαι τολμητέον:
ποῖον: ὡς ἐστὸν κατὰ δή τινα τρόπον εὖ μάλα πρὸς ἀλλήλας ἔχθραν
καὶ στάσιν ἐναντίαν ἔχοντε ἐν πολλοῖς τῶν ὄντων: πῶς λέγεις: οὐ
κ εἰωθότα λόγον οὐδαμῶς· πάντα γὰρ οὖν δὴ ἀλλήλοις τά γε τῆς
ἀρετῆς μόρια λέγεταί που φίλια: ναί: σκοπῶμεν δὴ προσέχοντες
τὸν νοῦν εὖ μάλα πότερον οὕτως ἁπλοῦν ἐστι τοῦτο· ἢ παντὸς μᾶλ
λον αὐτῶν ἔχει διαφορὰν τοῖς συγγενέσιν εἴς τιν: ναί: λέγοις ἂν πῇ
σκεπτέον: ἐν τοῖς σύμπασι χρὴ ζητεῖν ὅσα καλὰ μὲν λέγομεν εἰς
δύο δὲ αὐτὰ τίθεμεν ἐναντία ἀλλήλων εἴδη: λέγ' ἔτι σαφέστερον: ὀ
ξύτητα καὶ τάχος εἴτε κατὰ σώματα εἴτ' ἐν ψυχαῖς εἴτε κατὰ φω
νῆς φοράν· εἴτε αὐτῶν τούτων· εἴτε ἐν εἰδώλοις ὄντων ὁπόσα μου
σικὴ μιμουμένη καὶ ἔτι γραφικὴ μιμήματα παρέχεται τούτων τινὸς
ἐπαινέτης ἢ αὐτὸς πώποτε γέγονας ἢ ἄλλου παρὼν ἐπαινοῦν
τος ᾔσθησαι: τί μήν: ἢ καὶ μνήμην ἔχεις ὅντινα τρόπον αὐτὸ δρῶ
σιν ἐν ἑκάστοις τούτων: οὐδαμῶς: ἆρ' οὖν δυνατὸς αὐτὸ ἂν γενοί
μην ὥσπερ καὶ διανοοῦμαι διὰ λόγων ἐνδείξασθαί σοι: τί δ' οὔ: ῥᾴ
διον ἔοικας ἡγεῖσθαι τὸ τοιοῦτον· σκοπώμεθα δ' οὖν αὐτὸ ἐν τοῖς
ὑπεναντίοις γένεσι· τῶν γὰρ δὴ πράξεων ἐν πολλαῖς καὶ πολλά
κις ἑκάστοτε τάχος καὶ σφοδρότητα καὶ ὀξύτητα διανοήσεώς
τε καὶ σώματος ἔτι δὲ καὶ φωνῆς ὅταν ἀγασθῶμεν αὐτὸ ἐπαινοῦν
τες μιᾷ χρώμεθα προσρήσει τῇ τῆς ἀνδρείας: πῶς: ὀξὺ καὶ
ἀνδρεῖον πού φαμεν καὶ ταχὺ καὶ ἀνδρικὸν καὶ σφοδρὸν ὡσαύτως
καὶ πάντως ἐπιφέροντες τοὔνομα ὃ λέγω κοινὸν πάσαις ταῖς
φύσεσι ταύταις ἐπαινοῦμεν αὐτάς: ναί: τί δὲ τὸ τῆς ἠρεμίας
αὖ γενέσεως εἶδος· ἆρ' οὐ πολλάκις ἐπῃνέκαμεν ἐν πολλοῖς

κἂν θρασέως· ἀλλὰ θεὸς ἂν μόνος τοῦτο ἔχοι τὸ γέρας· ἄνδρα
δὲ οὐκ ἔστι μὴ οὐ κακὸν ἔμμεναι· ὃν ἂν ἀμήχανος συμφορὰ κα-
θέλῃ. τίνα οὖν ἀμήχανος συμφορὰ καθαιρεῖ ἐν πλοίου ἀρ-
χῇ; δῆλον ὅτι οὐ τὸν ἰδιώτην· ὁ μὲν γὰρ ἰδιώτης ἀεὶ καθῄρη-
ται. ὥσπερ οὖν οὐ τὸν κείμενόν τις ἂν καταβάλοι· ἀλλὰ τὸν μὲν ἑστῶτα
ποτὲ καταβάλοι ἄν τις ὥστε κείμενον ποιῆσαι· τὸν δὲ κείμενον οὔ·
οὕτω καὶ τὸν εὐμήχανον ὄντα ποτὲ ἀμήχανος ἂν συμφορὰ καθέ-
λοι· τὸν δὲ ἀεὶ ἀμήχανον ὄντα οὔ· καὶ τὸν κυβερνήτην μέγας χει-
μὼν ἐπιπεσὼν ἀμήχανον ἂν ποιήσειεν· καὶ γεωργὸν χαλεπὴ ὥ-
ρα ἐπελθοῦσα ἀμήχανον ἂν θείη· καὶ ἰατρὸν ταὐτὰ ταῦτα· τῷ
μὲν γὰρ ἐσθλῷ ἐγχωρεῖ κακῷ γενέσθαι ὥσπερ καὶ παρ' ἄλλου ποιητοῦ
μαρτυρεῖται τοῦ εἰπόντος· αὐτὰρ ἀνὴρ ἀγαθὸς τοτὲ μὲν κακός,
ἄλλοτε δ' ἐσθλός· τῷ δὲ κακῷ οὐκ ἐγχωρεῖ γενέσθαι· ἀλλ' ἀεὶ εἶναι
ἀνάγκη· ὥστε τὸν μὲν εὐμήχανον καὶ σοφὸν καὶ ἀγαθὸν ἐπειδὰν ἀμή-
χανος συμφορὰ καθέλῃ, οὐκ ἔστι μὴ οὐ κακὸν ἔμμεναι· σὺ δὲ φῄς
ὦ Πιττακὲ χαλεπὸν ἐσθλὸν ἔμμεναι· τὸ δ' ἐστὶ γενέσθαι μὲν χαλεπὸν
δυνατὸν δὲ ἐσθλόν· ἔμμεναι δὲ ἀδύνατον· πράξας μὲν γὰρ εὖ πᾶς
ἀνὴρ ἀγαθός· κακὸς δ' εἰ κακῶς· τίς οὖν εἰς γράμματα ἀγα-
θὴ πρᾶξίς ἐστιν· καὶ τίς ἄνδρα ἀγαθὸν ποιεῖ εἰς γράμματα·
δῆλον ὅτι ἡ τούτων μάθησις· τίς δὲ εὐπραγία ἀγαθὸν ἰατρὸν
ποιεῖ· δῆλον ὅτι ἡ τῶν καμνόντων τῆς θεραπείας μάθησις· κα-
κὸς δὲ κακῶς· τίς οὖν ἂν κακὸς ἰατρὸς γένοιτο· δῆλον ὅτι ᾧ
πρῶτον μὲν ὑπάρχει ἰατρῷ εἶναι, ἔπειτα ἀγαθῷ ἰατρῷ· οὗ-
τος γὰρ ἂν καὶ κακὸς γένοιτο· ἡμεῖς δὲ οἱ ἰατρικῆς ἰδιῶται οὐ-
κ ἄν ποτε γενοίμεθα κακῶς πράξαντες οὔτε ἰατροὶ οὔτε τέκτονες
οὔτε ἄλλο οὐδὲν τῶν τοιούτων· ὅστις δὲ μὴ ἰατρὸς ἂν γένοιτο κα-
κῶς πράξας· δῆλον ὅτι οὐδὲ κακὸς ἰατρός· οὕτω καὶ ὁ μὲν
ἀγαθὸς ἀνὴρ γένοιτ' ἄν ποτε καὶ κακὸς ἢ ὑπὸ χρόνου ἢ ὑπὸ
πόνου ἢ ὑπὸ νόσου ἢ ὑπὸ ἄλλου τινὸς περιπτώματος· αὕτη
γὰρ μόνη ἐστὶ κακὴ πρᾶξις· ἐπιστήμης στερηθῆναι· ὁ δὲ κακὸς
ἀνὴρ οὐκ ἄν ποτε γένοιτο κακός· ἔστιν γὰρ ἀεί· ἀλλ' εἰ μέλλει κα-
κὸς γενέσθαι, δεῖ αὐτὸν πρότερον ἀγαθὸν γενέσθαι· ὥστε καὶ
τοῦτο τοῦ ᾄσματος πρὸς τοῦτο τείνει· ὅτι εἶναι μὲν ἄνδρα ἀγα-
θὸν οὐχ οἷόν τε διατελοῦντα ἀγαθόν· γενέσθαι δὲ ἀγαθὸν οἷόν τε

καὶ κακὸν γενόμενον αὐτὸν τοῦτον· ἐπιπλεῖστον δὲ καὶ ἄριστοί εἰσιν οὓς
ἂν οἱ θεοὶ φιλῶσιν. ταῦτά τε οὖν πρὸς τὸν πιττακὸν εἴρηται
καὶ τὰ ἐπιόντα γε τοῦ ᾄσματος ἔτι μᾶλλον δηλοῖ· φησὶ γάρ· τοὔνε-
κεν οὔποτ' ἐγὼ τὸ μὴ γενέσθαι δυνατὸν διζήμενος κενεὰν ἐς ἄ-
πρακτον ἐλπίδα μοῖραν αἰῶνος καβαλέω· πανάμωμον ἄνθρωπον
εὐρυεδοῦς ὅσοι καρπὸν αἰνύμεθα χθονός· ἐπί θ' ὑμῖν εὑρὼν
ἀπαγγελέω φησίν· οὕτω σφόδρα καὶ δι' ὅλου τοῦ ᾄσματος ἐ-
πεξέρχεται τῷ τοῦ πιττακοῦ ῥήματι: πάντας δὲ ἐπαίνημι
καὶ φιλέω ἑκὼν ὅστις ἔρδῃ μηδὲν αἰσχρόν· ἀνάγκῃ δὲ οὐδὲ
θεοὶ μάχονται· καὶ τοῦτ' ἐπὶ πρὸς τὸ αὐτὸ τοῦτ' εἰρημένον· οὐ γὰρ
οὕτως ἀπαίδευτος ἦν σιμωνίδης ὥστε τούτους φάναι ἐπαινεῖν
ὃς ἂν ἑκὼν μηδὲν κακὸν ποιῇ· ὡς ὄντων τινῶν οἳ ἑκόντες κα-
κὰ ποιοῦσιν· ἐγὼ γὰρ σχεδόν τι οἶμαι τοῦτο ὅτι οὐδεὶς τῶν σο-
φῶν ἀνδρῶν ἡγεῖται οὐδένα ἀνθρώπων ἑκόντα ἐξαμαρτά-
νειν οὐδὲ αἰσχρά τε καὶ κακὰ ἑκόντα ἐργάζεσθαι· ἀλλ' εὖ ἴσα-
σιν ὅτι πάντες οἱ τὰ αἰσχρὰ καὶ τὰ κακὰ ποιοῦντες ἄκοντες
ποιοῦσιν· καὶ δὴ καὶ ὁ σιμωνίδης οὐχ ὃς ἂν μὴ κακὰ ποιῇ ἑ-
κὼν τούτων φησὶν ἐπαινέτης εἶναι· ἀλλὰ περὶ ἑαυτοῦ λέγει
τοῦτο τὸ ἑκών· ἡγεῖτο γὰρ ἄνδρα καλὸν κἀγαθὸν πολλάκις
αὐτὸν ἐπαναγκάζειν φίλον τινὶ γίγνεσθαι καὶ ἐπαινέτην φιλεῖν
καὶ ἐπαινεῖν· οἷον ἀνδρὶ πολλάκις συμβῆναι μητέρα ἢ πατέ-
ρα ἀλλόκοτον ἢ πατρίδα ἢ ἄλλο τι τῶν τοιούτων· τοὺς μὲν οὖν
πονηροὺς ὅταν τοιοῦτόν τι αὐτοῖς συμβῇ ὥσπερ ἀσμένους ὁρᾶν
καὶ ψέγοντας ἐπιδεικνύναι καὶ κατηγορεῖν τὴν πονηρίαν τῶν
γονέων ἢ πατρίδος ἵνα αὐτοῖς ἀμελοῦσιν αὐτῶν μὴ ἐγκαλῶ-
σιν οἱ ἄνθρωποι· μηδ' ὀνειδίζωσιν ὅτι ἀμελοῦσιν ὥστε ἔτι μᾶλλον
ψέγειν τε αὐτοὺς καὶ ἔχθρας ἑκουσίους πρὸς ταῖς ἀναγκαίαις
προστίθεσθαι· τοὺς δ' ἀγαθοὺς ἐπικρύπτεσθαί τε καὶ ἐπαινεῖν ἀ-
ναγκάζεσθαι· καὶ ἄν τι ὀργισθῶσιν τοῖς γονεῦσιν ἢ πατρίδι ἀ-
δικηθέντες αὐτοὺς ἑαυτοὺς παραμυθεῖσθαι καὶ διαλλάττεσθαι
προσαναγκάζοντας ἑαυτοὺς φιλεῖν τοὺς ἑαυτῶν καὶ ἐπαινεῖν·
πολλάκις δὲ οἶμαι καὶ σιμωνίδης ἡγήσατο καὶ αὐτὸς ἢ τύραν-
νον ἢ ἄλλον τινὰ τῶν τοιούτων ἐπαινέσαι καὶ ἐγκωμιάσαι οὐχ ἑ-
κὼν ἀλλ' ἀναγκαζόμενος· ταῦτα δὴ καὶ τῷ πιττακῷ λέγει ὅ-

πιττακὲ οὐ διὰ ταῦτά σε ψέγω ὅτι εἰμὶ φιλόψογος· ἐπεὶ
ἔμοιγε ἐξαρκεῖ ὃς ἂν μὴ κακὸς ᾖ μηδ' ἄγαν ἀπάλαμνος εἰδώς
γε ὀνησίπολιν δίκαν ὑγιὴς ἀνήρ· οὐ μὴν ἐγὼ μωμήσομαι· οὐ γάρ
εἰμι φιλόμωμος· τῶν γὰρ ἠλιθίων ἀπείρων γενέθλα· ὥστ' εἴ τις
χαίρει ψέγων ἐμπλησθείη ἂν ἐκείνους μεμφόμενος· πάντα
τοι καλὰ τοῖσί τ' αἰσχρὰ μὴ μέμικται· οὐ τοῦτο λέγει ὥσπερ ἂν εἰ
ἔλεγε πάντα τοι λευκὰ οἷς μέλανα μὴ μέμικται· γελοῖον γὰρ ἂν
εἴη πολλαχῇ· ἀλλ' ὅτι αὐτὸς καὶ τὰ μέσα ἀποδέχεται ὥστε μὴ ψέ-
γειν· καὶ οὐ ζητῶ ἔφη πανάμωμον ἄνθρωπον εὐρυεδοῦς ὅσοι
καρπὸν αἰνύμεθα χθονὸς ἐπί θ' ὑμῖν εὑρὼν ἀπαγγελέω· ὥστε τού-
του γ' ἕνεκα οὐδένα ἐπαινέσομαι ἀλλά μοι ἐξαρκεῖ ἂν ᾖ μέσος καὶ
μηδὲν κακὸν ποιῇ ὡς ἐγὼ πάντας φιλέω καὶ ἐπαίνημι· καὶ τῇ
φωνῇ ἐνταῦθα κέχρηται τῇ τῶν μυτιληναίων ὡς πρὸς πιττα-
κὸν λέγων· τὸ πάντας δὲ ἐπαίνημι καὶ φιλέω ἑκών· ἐνταῦθα
δεῖ ἐν τῷ ἑκὼν διαστῆσαι λέγοντα ὅστις ἔρδῃ μηδὲν αἰσχρόν· ἄ-
κων δ' ἔστιν οὓς ἐγὼ ἐπαινῶ καὶ φιλῶ· σὲ οὖν καὶ εἰ μέσως ἔλεγες
ἐπιεικῆ καὶ ἀληθῆ ὦ πιττακὲ οὐκ ἄν ποτε ἔψεγον· νῦν δὲ σφόδρα
γὰρ καὶ περὶ τῶν μεγίστων ψευδόμενος δοκεῖς ἀληθῆ λέγειν διὰ
ταῦτά σε ἐγὼ ψέγω· ταῦτά μοι δοκεῖ ὦ πρόδικε καὶ πρωταγό-
ρα ἦν δ' ἐγὼ σιμωνίδης διανοούμενος πεποιηκέναι τοῦτο τὸ
ᾆσμα· καὶ ὁ ἱππίας εὖ μέν μοι δοκεῖς ἔφη ὦ σώκρατες καὶ σὺ
περὶ τοῦ ᾄσματος διεληλυθέναι· ἔστιν μέντοι ἔφη καὶ ἐμοὶ λόγος
περὶ αὐτοῦ εὖ ἔχων ὃν ὑμῖν ἐπιδείξω ἂν βούλησθε· καὶ ὁ ἀλκι-
βιάδης ναί ἔφη ὦ ἱππία εἰσαῦθίς γε· νῦν δὲ δίκαιόν ἐστιν ἃ ὡμο-
λογησάτην πρὸς ἀλλήλω πρωταγόρας καὶ σωκράτης· πρω-
ταγόρας μὲν εἰ ἔτι βούλεται ἐρωτᾶν ἀποκρίνεσθαι σωκράτη· εἰ δὲ
δὴ βούλεται σωκράτει ἀποκρίνεσθαι ἐρωτᾶν τὸν ἕτερον· καὶ ἐγὼ
ἐπιτρέπω μὲν ἔγωγε πρωταγόρᾳ ὁπότερον αὐτῷ ἥδιον·
εἰ δὲ βούλεται περὶ μὲν ᾀσμάτων τε καὶ ἐπῶν ἐάσωμεν· περὶ δὲ
ὧν τὸ πρῶτον ἐγώ σε ἠρόμην ὦ πρωταγόρα ἡδέως ἂν ἐπὶ
τέλος ἔλθοιμι μετὰ σοῦ σκοπούμενος· καὶ γὰρ δοκεῖ μοι τὸ
περὶ ποιήσεως διαλέγεσθαι ὁμοιότατον εἶναι τοῖς συμποσί-
οις τοῖς τῶν φαύλων καὶ ἀγοραίων ἀνθρώπων· καὶ γὰρ οὗτοι διὰ
τὸ μὴ δύνασθαι ἀλλήλοις δι' ἑαυτῶν συνεῖναι ἐν τῷ πότῳ μηδὲ

διὰ τῆς ἑαυτῶν φωνῆς καὶ τῶν λόγων τῶν ἑαυτῶν ὑπὸ ἀπαιδευ-
σίας τιμίας ποιοῦσι τὰς αὐλητρίδας πολλοῦ μισθούμενοι ἀλλο-
τρίαν φωνὴν τὴν τῶν αὐλῶν καὶ διὰ τῆς ἐκείνων φωνῆς ἀλλή-
λοις σύνεισιν· ὅπου δὲ καλοὶ κἀγαθοὶ συμπόται πεπαιδευμέ-
νοι εἰσίν· οὐκ ἂν ἴδοις οὔτε αὐλητρίδας οὔτε ὀρχηστρίδας οὔτε
ψαλτρίας· ἀλλὰ αὐτοὺς αὑτοῖς ἱκανοὺς ὄντας συνεῖναι ἄνευ τῶν
λήρων τε καὶ παιδιῶν τούτων διὰ τῆς αὑτῶν φωνῆς λέγοντάς τε
καὶ ἀκούοντας ἐν μέρει ἑαυτῶν κοσμίως κἂν πάνυ πολὺν οἶνον
πίωσιν· οὕτω δὲ καὶ αἱ τοιαίδε συνουσίαι· ἐὰν μὲν λάβωνται ἀνδρῶν
οἷοίπερ ἡμῶν οἱ πολλοί φασιν εἶναι· οὐδὲν δέονται ἀλλοτρίας
φωνῆς οὐδὲ ποιητῶν· οὓς οὔτε ἀνερέσθαι οἷόν τ' ἐστὶν περὶ ὧν λέ-
γουσιν· ἐπαγόμενοί τε αὐτοὺς οἱ πολλοὶ ἐν τοῖς λόγοις· οἱ
μὲν ταῦτά φασιν τὸν ποιητὴν νοεῖν οἱ δ' ἕτερα περὶ πράγματος
διαλεγόμενοι ὃ ἀδυνατοῦσι ἐξελέγξαι· ἀλλὰ τὰς μὲν τοιαύτας
συνουσίας ἐῶσιν χαίρειν· αὐτοὶ δ' ἑαυτοῖς σύνεισιν δι' ἑαυτῶν ἐν
τοῖς ἑαυτῶν λόγοις πεῖραν ἀλλήλων λαμβάνοντες καὶ διδόντες·
τοὺς τοιούτους μοι δοκεῖ χρῆναι μᾶλλον μιμεῖσθαι ἐμέ τε καὶ σὲ κα-
ταθεμένους τοὺς ποιητὰς αὐτοὺς δι' ἡμῶν αὐτῶν πρὸς ἀλλήλους
τοὺς λόγους ποιεῖσθαι τῆς ἀληθείας καὶ ἡμῶν αὐτῶν πεῖραν
λαμβάνοντας· κἂν μὲν βούλῃ ἔτι ἐρωτᾶν ἕτοιμός εἰμί σοι παρέ-
χειν ἀποκρινόμενος· ἐὰν δὲ βούλῃ σὺ ἐμοὶ παράσχες περὶ ὧν
μεταξὺ ἐπαυσάμεθα διεξιόντες τούτοις τέλος ἐπιθεῖναι·
λ λέγοντος οὖν ἐμοῦ ταῦτα καὶ τοιαῦτα ἄλλα· οὐδὲν ἀπεσάφει
ὁ Πρωταγόρας ὁπότερα ποιήσοι· εἶπεν οὖν ὁ Ἀλκιβιάδης
πρὸς τὸν Καλλίαν βλέψας· ὦ Καλλία δοκεῖ σοι ἔφη καὶ νῦν καλῶς
Πρωταγόρας ποιεῖν οὐκ ἐθέλων εἴτε δώσει λόγον εἴτε μὴ δια-
σαφεῖν· ἐμοὶ γὰρ οὐ δοκεῖ· ἀλλ' ἤτοι διαλεγέσθω ἢ εἰπέτω ὅτι οὐκ
ἐθέλει διαλέγεσθαι· ἵνα τούτῳ μὲν ταῦτα συνειδῶμεν· Σω-
κράτης δὲ ἄλλῳ τῳ διαλέγηται ἢ ἄλλος ὅστις ἂν βούληται ἄλλῳ·
καὶ ὁ Πρωταγόρας αἰσχυνθείς· ὥς γέ μοι ἔδοξεν τοῦ τε Ἀλκιβιά-
δου ταῦτα λέγοντος καὶ τοῦ Καλλίου δεομένου καὶ τῶν ἄλλων
σχεδόν τι τῶν παρόντων· μόγις προυτράπετο εἰς τὸ διαλέγεσθαι
καὶ ἐκέλευεν ἐρωτᾶν αὐτὸν ὡς ἀποκρινούμενος· εἶπον δὴ
ἐγώ· ὦ Πρωταγόρα μὴ οἴου διαλέγεσθαί με σοι ἄλλο τι βουλό-

μενον· ἢ ἃ αὐτὸς ἀπορῶ ἑκάστοτε ταῦτα διασκέψασθαι. ἡγοῦμαι
γὰρ πάνυ λέγειν τι τὸν ὅμηρον τὸ σύν τε δύ' ἐρχομένω καί τε πρὸ ὃ
τοῦ ἐνόησεν· εὐπορώτεροι γάρ πως ἅπαντές ἐσμεν οἱ ἄνθρωποι
πρὸς ἅπαν ἔργον καὶ λόγον καὶ διανόημα· μοῦνος δ' εἴπερ τε
νοήσῃ αὐτίκα περιιὼν ζητεῖ ὅτῳ ἐπιδείξηται καὶ μεθ' ὅτου βεβαι
ώσηται ἕως ἂν ἐντύχῃ· ὥσπερ καὶ ἐγὼ ἕνεκα τούτου σοὶ ἡδέως
διαλέγομαι μᾶλλον ἢ ἄλλῳ τινί· ἡγούμενός σε βέλτιστ' ἂν ἐπισκέψασθαι
καὶ περὶ τῶν ἄλλων περὶ ὧν εἰκὸς σκοπεῖσθαι τὸν ἐπιεικῆ καὶ δὴ
καὶ περὶ ἀρετῆς· τίνα γὰρ ἄλλον ἢ σέ· ὅς γε οὐ μόνον αὐτὸς οἴει
καλὸς κἀγαθὸς εἶναι· ὥσπερ τινὲς ἄλλοι αὐτοὶ μὲν ἐπιεικεῖς εἰσὶν
ἄλλους δὲ οὐ δύνανται ποιεῖν· σὺ δὲ καὶ αὐτὸς ἀγαθὸς εἶ καὶ
ἄλλους οἷός τ' εἶ ποιεῖν ἀγαθούς· καὶ οὕτω πεπίστευκας σαυτῷ
ὥστε καὶ ἄλλων ταύτην τὴν τέχνην ἀποκρυπτομένων· σύ γ' ἀναφαν
δὸν σεαυτὸν ὑποκηρυξάμενος εἰς πάντας τοὺς ἕλληνας σοφι
στὴν ἐπονομάσας σεαυτὸν ἀπέφηνας παιδεύσεως καὶ ἀρετῆς
διδάσκαλον πρῶτος τούτου μισθὸν ἀξιώσας ἄρνυσθαι· πῶς οὖν
οὐ σὲ χρῆν παρακαλεῖν ἐπὶ τὴν τούτων σκέψιν καὶ ἐρωτᾶν καὶ ἀνα
κοινοῦσθαι οὐκ ἔσθ' ὅπως· οὐ καὶ νῦν δὴ ἐγὼ ἐκείνων ἅπερ τὸ πρῶ
τον ἠρώτων περὶ τούτων πάλιν ἐπιθυμῶ ἐξ ἀρχῆς τὰ μὲν ἀνα
μνησθῆναι παρὰ σοῦ τὰ δὲ συνδιασκέψασθαι· ἦν δὲ ὡς ἐγᾦμαι τὸ
ἐρώτημα τόδε· σοφία καὶ σωφροσύνη καὶ ἀνδρεία καὶ δικαιοσύ
νη καὶ ὁσιότης πότερον ταῦτα πέντε ὄντα ὀνόματα ἐπὶ ἑνὶ πρά
γματί ἐστιν ἢ ἑκάστῳ τῶν ὀνομάτων τούτων ὑπόκειταί τις ἴδιος
οὐσία καὶ πρᾶγμα ἔχον ἑαυτοῦ δύναμιν ἕκαστον οὐκ ὂν οἷον τὸ
ἕτερον αὐτῶν τὸ ἕτερον· ἔφησθα οὖν σὺ οὐκ ὀνόματα ἐπὶ ἑνὶ εἶναι·
ἀλλ' ἑκάστῳ ἰδίῳ πράγματι τῶν ὀνομάτων τούτων ἐπικεῖσθαι·
πάντα δὲ ταῦτα μόρια εἶναι ἀρετῆς· οὐχ ὡς τὰ τοῦ χρυσοῦ μόρια
ὅμοιά ἐστιν ἀλλήλοις καὶ τῷ ὅλῳ οὗ μόριά ἐστιν· ἀλλ' ὡς τὰ τοῦ προ
σώπου μόρια καὶ τῷ ὅλῳ οὗ μόριά ἐστι καὶ ἀλλήλοις ἀνόμοια
ἰδίαν ἕκαστα δύναμιν ἔχοντα· ταῦτα εἰ μέν σοι δοκεῖ ἔτι ὥσπερ
τότε φάθι· εἰ δὲ ἄλλως πως τοῦτο διόρισαι· ὡς ἔγωγε οὐδέν σοι
ὑπόλογον τίθεμαι ἐάν πῃ ἄλλῃ νῦν φήσῃς· οὐ γὰρ ἂν θαυμά
ζοιμι εἰ τότε ἀποπειρώμενός μου ταῦτα ἔλεγες: ἀλλ' ἐγώ σοι
ἔφη λέγω ὦ σώκρατες· ὅτι ταῦτα πάντα μόρια μέν ἐστιν ἀρετῆς·

καὶ τὰ μὲν τέτταρα αὐτῶν ἐπιεικῶς παραπλήσια ἀλλήλοις ἐστὶν
ἡ δὲ ἀνδρεία πάνυ πολὺ διαφέρον πάντων τούτων. ὧδε δὲ γνώ-
σῃ ὅτι ἐγὼ ἀληθῆ λέγω· εὑρήσεις γὰρ πολλοὺς τῶν ἀνθρώπων
ἀδικωτάτους μὲν ὄντας καὶ ἀνοσιωτάτους καὶ ἀκολαστοτά-
τους καὶ ἀμαθεστάτους· ἀνδρειοτάτους δὲ διαφερόντως:
ἔχε δὴ ἔφην ἐγώ· ἄξιον γάρ τοι ἐπισκέψασθαι ὃ λέγεις. πότε-
ρον τοὺς ἀνδρείους θαρραλέους λέγεις ἢ ἄλλο τι: καὶ ἴτας
γε ἔφη ἐφ' ἃ οἱ πολλοὶ φοβοῦνται ἰέναι: φέρε δὴ τὴν ἀρετὴν
καλόν τι φῂς εἶναι καὶ ὡς καλοῦ ὄντος αὐτοῦ σὺ διδάσκαλον
σαυτὸν παρέχεις: κάλλιστον μὲν οὖν ἔφη εἰ μὴ μαίνομαί γε:
πότερον οὖν ἦν δ' ἐγὼ τὸ μέν τι αὐτοῦ αἰσχρὸν τὸ δέ τι καλόν· ἢ ὅ-
λον καλόν: ὅλον που καλὸν ὡς οἷόν τε μάλιστα: οἶσθα οὖν τίνες
εἰς τὰ φρέατα κολυμβῶσιν θαρραλέως: ἔγωγε ὅτι οἱ κολυμ-
βηταί: πότερον διότι ἐπίστανται ἢ δι' ἄλλο τι: ὅτι ἐπίστανται:
τίνες δὲ ἀπὸ τῶν ἵππων πολεμεῖν θαρραλέοι εἰσὶν πότερον
οἱ ἱππικοὶ ἢ οἱ ἄφιπποι: οἱ ἱππικοί: τίνες δὲ πέλτας ἔχον-
τες· οἱ πελταστικοὶ ἢ οἱ μή: οἱ πελταστικοί· καὶ τὰ ἄλλα γε πάν-
τα εἰ τοῦτο ζητεῖς ἔφη οἱ ἐπιστήμονες τῶν μὴ ἐπισταμένων
θαρραλεώτεροί εἰσιν· καὶ αὐτοὶ ἑαυτῶν ἐπειδὰν μάθωσιν ἢ
πρὶν μαθεῖν: ἤδη δέ τινας ἑώρακας ἔφην πάντων τούτων
ἀνεπιστήμονας ὄντας θαρροῦντας δὲ πρὸς ἕκαστα τούτων:
ἔγωγε ἦ δ' ὃς καὶ λίαν γε θαρροῦντας: οὐκοῦν οἱ θαρραλέοι
οὗτοι καὶ ἀνδρεῖοί εἰσιν: αἰσχρὸν μεντἂν ἔφη εἴη ἡ ἀνδρεία
ἐπεὶ οὗτοί γε μαινόμενοί εἰσιν: πῶς οὖν ἔφην ἐγὼ λέγεις
τοὺς ἀνδρείους· οὐχὶ τοὺς θαρραλέους εἶναι: καὶ νῦν γ' ἔφη:
οὐκοῦν οὗτοι ἦν δ' ἐγὼ οἱ οὕτω θαρραλέοι ὄντες· οὐκ ἀνδρεῖοι
ἀλλὰ μαινόμενοι φαίνονται· καὶ ἐκεῖ αὖ οἱ σοφώτατοι οὗτοι καὶ
θαρραλεώτατοί εἰσιν· θαρραλεώτατοι δὲ ὄντες ἀνδρειότα-
τοι· καὶ κατὰ τοῦτον τὸν λόγον ἡ σοφία ἂν ἀνδρεία εἴη: οὐ
καλῶς ἔφη μνημονεύεις ὦ σώκρατες ἃ ἔλεγόν τε καὶ ἀπεκρι-
νόμην σοι· ἔγωγε ἐρωτηθεὶς ὑπὸ σοῦ εἰ οἱ ἀνδρεῖοι θαρ-
ραλέοι εἰσίν· ὡμολόγησα· εἰ δὲ καὶ οἱ θαρραλέοι ἀνδρεῖοι·
οὐκ ἠρωτήθην· εἰ γάρ με τότε ἤρου· εἶπον ἂν ὅτι οὐ πάντες·
τοὺς δὲ ἀνδρείους ὡς οὐ θαρραλέοι εἰσὶν τὸ ἐμὸν ὁμολόγη-

μαι οὐδαμοῦ ἐπέδειξας ὡς οὐκ ὀρθῶς ὡμολόγησα. ἔπειτα τοὺς
ἐπισταμένους αὐτοὺς ἑαυτῶν θαρραλεωτέρους ὄντας ἀποφαί-
νεις καὶ μὴ ἐπισταμένων ἄλλων, καὶ ἐν τούτῳ οἴει τὴν ἀνδρείαν καὶ
τὴν σοφίαν ταὐτὸν εἶναι. τούτῳ δὲ τῷ τρόπῳ μετιὼν καὶ τὴν ἰ-
σχὺν οἰηθείης ἂν εἶναι σοφίαν. πρῶτον μὲν γὰρ εἰ οὕτω μετιὼν
ἔροιό με εἰ οἱ ἰσχυροὶ δυνατοί εἰσιν, φαίην ἄν. ἔπειτα εἰ οἱ ἐπιστάμε-
νοι παλαίειν δυνατώτεροί εἰσιν τῶν μὴ ἐπισταμένων παλαίειν καὶ
αὐτοὶ αὑτῶν ἐπειδὰν μάθωσιν ἢ πρὶν μαθεῖν, φαίην ἄν. ταῦτα δὲ
ἐμοῦ ὁμολογήσαντος ἐξείη ἄν σοι χρωμένῳ τοῖς αὐτοῖς τε-
κμηρίοις τούτοις λέγειν ὡς κατὰ τὴν ἐμὴν ὁμολογίαν ἡ σοφία
ἐστὶν ἰσχύς. ἐγὼ δὲ οὐδαμοῦ οὐδὲ ἐνταῦθα ὁμολογῶ τοὺς δυνα-
τοὺς ἰσχυροὺς εἶναι, τοὺς μέντοι ἰσχυροὺς δυνατούς. οὐ
γὰρ ταὐτὸν εἶναι δύναμίν τε καὶ ἰσχύν, ἀλλὰ τὸ μὲν καὶ ἀπὸ ἐπιστή-
μης γίγνεσθαι, τὴν δύναμιν, καὶ ἀπὸ μανίας γε καὶ ἀπὸ θυμοῦ, ἰ-
σχὺν δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν σωμάτων. οὕτω δὲ κα-
κεῖ οὐ ταὐτὸν εἶναι θάρσος τε καὶ ἀνδρείαν. ὥστε συμβαίνει τοὺς
μὲν ἀνδρείους θαρραλέους εἶναι, μὴ μέντοι τούς γε θαρραλέους
ἀνδρείους πάντας. θάρσος μὲν γὰρ καὶ ἀπὸ τέχνης γίγνεται ἀν-
θρώποις καὶ ἀπὸ θυμοῦ γε καὶ ἀπὸ μανίας ὥσπερ ἡ δύναμις.
ἀνδρεία δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν ψυχῶν γίγνεται. λέ-
γεις δέ τινας ἔφην ὦ Πρωταγόρα τῶν ἀνθρώπων εὖ ζῆν, τοὺς
δὲ κακῶς; ἔφη. ἆρ' οὖν δοκεῖ σοι ἄνθρωπος ἂν εὖ ζῆν, εἰ ἀνιώ-
μενός τε καὶ ὀδυνώμενος ζῴη; οὐκ ἔφη. τί δ' εἰ ἡδέως βιοὺς
τὸν βίον τελευτήσειεν, οὐκ εὖ ἄν σοι δοκεῖ οὕτως βεβιωκέναι;
ἔμοιγ' ἔφη. τὸ μὲν ἄρα ἡδέως ζῆν ἀγαθόν, τὸ δ' ἀηδῶς κα-
κόν. εἴπερ τοῖς καλοῖς γ' ἔφη ζῴη ἡδόμενος. τί δή, ὦ Πρωταγό-
ρα, μὴ καὶ σύ, ὥσπερ οἱ πολλοί, ἡδέ' ἄττα καλεῖς κακὰ καὶ ἀνι-
αρὰ ἀγαθά; ἐγὼ γὰρ λέγω, καθ' ὃ ἡδέα ἐστίν, ἆρα κατὰ τοῦτο
οὐκ ἀγαθά, μὴ εἴ τι ἀπ' αὐτῶν ἀποβήσεται ἄλλο; καὶ αὖθις αὖ τὰ
ἀνιαρὰ ὡσαύτως οὕτως οὐ καθ' ὅσον ἀνιαρὰ κακά; οὐκ οἶδα
ὦ Σώκρατες ἔφη ἁπλῶς οὕτως ὡς σὺ ἐρωτᾷς, εἰ ἐμοὶ ἀποκρι-
τέον ἐστὶν ὡς τὰ ἡδέα τε ἀγαθά ἐστιν ἅπαντα καὶ τὰ ἀνιαρὰ κακά.
ἀλλά μοι δοκεῖ οὐ μόνον πρὸς τὴν νῦν ἀπόκρισιν ἐμοὶ ἀσφαλέστε-
ρον εἶναι ἀποκρίνασθαι, ἀλλὰ καὶ πρὸς ἅπαντα τὸν ἄλλον βίον τὸν

ἐμόν· ὅτι ἔστιν μὲν ἃ τῶν ἡδέων οὐκ ἔστιν ἀγαθά· ἔστιν δ' αὖ καὶ ἃ τῶν ἀ-
νιαρῶν οὐκ ἔστι κακά· ἔστι δ' ἃ ἔστιν· καὶ τρίτον ἃ οὐδέτερα οὔτε κακὰ
οὔτ' ἀγαθά: ἡδέα δὲ καλεῖς ἦν δ' ἐγὼ οὐ τὰ ἡδονῆς μετέχοντα
ἢ ποιοῦντα ἡδονήν: πάνυ γ' ἔφη: τοῦτο τοίνυν λέγω καθ' ὅσον
ἡδέα ἐστὶν εἰ οὐκ ἀγαθά· τὴν ἡδονὴν αὐτὴν ἐρωτῶν εἰ οὐκ ἀγα-
θόν ἐστιν: ὥσπερ σὺ λέγεις ἔφη ἑκάστοτε ὦ σώκρατες σκοπῶ-
μεν αὐτό· καὶ ἐὰν μὲν πρὸς λόγον δοκῇ εἶναι τὸ σκέμμα καὶ
τὸ αὐτὸ φαίνηται ἡδύ τε καὶ ἀγαθόν· συγχωρησόμεθα· εἰ δὲ μή,
τότε ἤδη ἀμφισβητήσομεν: πότερον οὖν ἦν δ' ἐγὼ σὺ βούλει
ἡγεμονεύειν τῆς σκέψεως· ἢ ἐγὼ ἡγῶμαι: δίκαιος ἔφη
σὺ ἡγεῖσθαι· σὺ γὰρ καὶ κατάρχεις τοῦ λόγου: ἆρ' οὖν ἦν δ' ἐγὼ
τῇδέ πῃ καταφανὲς ἂν ἡμῖν γένοιτο· ὥσπερ εἴ τις ἄνθρωπον
σκοπῶν ἐκ τοῦ εἴδους ἢ πρὸς ὑγίειαν ἢ πρὸς ἄλλο τι τῶν
τοῦ σώματος ἔργων ἰδὼν τὸ πρόσωπον καὶ τὰς χεῖρας ἄ-
κρας· εἴποι· ἴθι δή μοι ἀποκαλύψας καὶ τὰ στήθη καὶ τὸ μετάφρε-
νον ἐπίδειξον ἵνα ἐπισκέψωμαι σαφέστερον· καὶ ἐγὼ τοιοῦτόν τι
ποθῶ πρὸς τὴν σκέψιν· θεασάμενος ὅτι οὕτως ἔχεις πρὸς τὸ ἀ-
γαθὸν καὶ τὸ ἡδὺ ὡς φῄς· δέομαι τοιοῦτόν τι εἰπεῖν· ἴθι δή μοι ὦ
πρωταγόρα καὶ τόδε τῆς διανοίας ἀποκάλυψον· πῶς ἔχεις πρὸς
ἐπιστήμην· πότερον καὶ τοῦτό σοι δοκεῖ ὥσπερ τοῖς πολλοῖς ἀν-
θρώποις ἢ ἄλλως· δοκεῖ δὲ τοῖς πολλοῖς περὶ ἐπιστήμης τοι-
οῦτόν τι· οὐκ ἰσχυρὸν οὐδ' ἡγεμονικὸν οὐδ' ἀρχικὸν εἶναι· οὐδὲ ὡς
περὶ τοιούτου αὐτοῦ ὄντος διανοοῦνται· ἀλλ' ἐνούσης πολλάκις
ἀνθρώποις ἐπιστήμης οὐ τὴν ἐπιστήμην αὐτοῦ ἄρχειν ἀλλ' ἄλλο τι· τό-
τε μὲν θυμόν· τοτὲ δὲ ἡδονήν· τοτὲ δὲ λύπην· ἐνίοτε δὲ ἔρωτα·
πολλάκις δὲ φόβον· ἀτεχνῶς διανοούμενοι περὶ τῆς ἐπιστή-
μης· ὥσπερ περὶ ἀνδραπόδου περιελκομένης ὑπὸ τῶν ἄλλων
ἁπάντων· ἆρ' οὖν καὶ σοὶ τοιοῦτόν τι περὶ αὐτῆς δοκεῖ· ἢ καλόν τε
εἶναι ἡ ἐπιστήμη καὶ οἷον ἄρχειν τοῦ ἀνθρώπου· καὶ ἐάνπερ γι-
γνώσκῃ τις τἀγαθὰ καὶ τὰ κακὰ μὴ ἂν κρατηθῆναι ὑπὸ μηδενὸς
ὥστε ἄλλ' ἄττα πράττειν ἢ ἃ ἂν ἡ ἐπιστήμη κελεύῃ· ἀλλ' ἱκανὴν εἶναι
τὴν φρόνησιν βοηθεῖν τῷ ἀνθρώπῳ: καὶ δοκεῖ ἔφη ὥσπερ σὺ λέγεις
ὦ σώκρατες· καὶ ἅμα εἴπερ τῳ ἄλλῳ αἰσχρόν ἐστι καὶ ἐμοὶ σο-
φίαν καὶ ἐπιστήμην μὴ οὐχὶ πάντων κράτιστον φάναι εἶναι τῶν ἀν-

θρώπων πραγμάτων· καλῶς γε ἔφην ἐγὼ σὺ λέγων καὶ ἀληθῆ·
οἶσθα οὖν ὅτι οἱ πολλοὶ τῶν ἀνθρώπων ἐμοί τε καὶ σοὶ οὐ πείθονται·
ἀλλὰ πολλούς φασι γιγνώσκοντας τὰ βέλτιστα οὐκ ἐθέλειν πράτ
τειν ἐξὸν αὐτοῖς ἀλλὰ ἄλλα πράττειν· καὶ ὅσους δὴ ἐγὼ ἠρόμην
ὅτι ποτε αἴτιόν ἐστι τούτου· ὑπὸ ἡδονῆς φασὶν ἡττωμένους ἢ
λύπης ἢ ὧν νῦν δὴ ἐγὼ ἔλεγον ὑπό τινος τούτων κρατουμένους
ταῦτα ποιεῖν τοὺς ποιοῦντας· πολλὰ γὰρ οἶμαι ἔφη ὦ σώκρα
τες καὶ ἄλλα οὐκ ὀρθῶς λέγουσιν οἱ ἄνθρωποι· ἴθι δὴ μετ' ἐμοῦ ἐπι
χείρησον πείθειν τοὺς ἀνθρώπους καὶ διδάσκειν ὅ ἐστιν αὐτοῖς
τοῦτο τὸ πάθος ὅ φασιν ὑπὸ τῶν ἡδονῶν ἡττᾶσθαι καὶ οὐ πράτ
τειν διὰ ταῦτα τὰ βέλτιστα ἐπεὶ γιγνώσκειν γε αὐτά· ἴσως γὰρ ἂν λε
γόντων ἡμῶν ὅτι οὐκ ὀρθῶς λέγετε ὦ ἄνθρωποι ἀλλὰ ψεύδεσθε· ἐ
ροιντ' ἂν ἡμᾶς· ὦ πρωταγόρα τε καὶ σώκρατες εἰ μὴ ἔστιν τοῦτο τὸ
πάθημα ἡδονῆς ἡττᾶσθαι, ἀλλὰ τί ποτ' ἐστὶν καὶ τί ὑμεῖς αὐτό φα
τε εἶναι· εἴπατον ἡμῖν· τί δέ ὦ σώκρατες δεῖ ἡμᾶς σκοπεῖσθαι
τὴν τῶν πολλῶν δόξαν ἀνθρώπων οἳ ὅτι ἂν τύχωσι τοῦτο λέγουσιν·
Οἶμαι ἦν δ' ἐγὼ εἶναί τι ἡμῖν τοῦτο πρὸς τὸ ἐξευρεῖν περὶ ἀνδρείας
πρὸς τἆλλα μόρια τὰ τῆς ἀρετῆς πῶς ποτ' ἔχει· εἰ οὖν σοι δοκεῖ
ἐμμένειν οἷς ἄρτι ἔδοξεν ἡμῖν ἐμὲ ἡγήσασθαι ᾗ οἶμαι ἂν ἔγω
γε κάλλιστα φανερὸν γενέσθαι ἕπου· εἰ δὲ μὴ βούλει εἴ σοι φίλον
ἐῶ χαίρειν· ἀλλ' ἔφη ὀρθῶς λέγεις καὶ πέραινε ὥσπερ ἤρξω·
πάλιν τοίνυν ἔφην ἐγὼ εἰ ἔροιντο ἡμᾶς· τί οὖν φατὲ τοῦτο εἶναι
ὃ ἡμεῖς ἥττω εἶναι τῶν ἡδονῶν ἐλέγομεν· εἴποιμ' ἂν ἔγωγε
πρὸς αὐτοὺς ὡδί· ἀκούετε δή· πειρασόμεθα γὰρ ὑμῖν ἐγώ τε
καὶ πρωταγόρας φράσαι· ἄλλο τι γὰρ ὦ ἄνθρωποι φατὲ ὑμῖν
τοῦτο γίγνεσθαι ἐν τοῖσδε· οἷον πολλάκις ὑπὸ σίτων καὶ πο
τῶν καὶ ἀφροδισίων κρατούμενοι ἡδέων ὄντων γιγνώσκον
τες ὅτι πονηρά ἐστιν ὅμως αὐτὰ πράττειν· φαῖεν ἄν· οὐκοῦν ἐ
ροίμεθ' ἂν αὐτοὺς ἐγώ τε καὶ σὺ πάλιν· πονηρὰ δὲ αὐτὰ πῇ
φατε εἶναι· πότερον ὅτι τὴν ἡδονὴν ταύτην ἐν τῷ παραχρῆ
μα παρέχει καὶ ἡδύ ἐστιν ἕκαστον αὐτῶν ἢ ὅτι εἰς τὸν ὕστερον
χρόνον νόσους τε ποιεῖ καὶ πενίας καὶ ἄλλα τοιαῦτα πολλὰ
παρασκευάζει· ἢ κἂν εἴ τι τούτων εἰς τὸ ὕστερον μηδὲν παρα
σκευάζει χαίρειν δὲ μόνον ποιεῖ· ὅμως δ' ἂν κακὰ ἦν ὅτι μα

θόντα χαίρειν ποιεῖ καὶ ὁπηιοῦν· ἆρ' οἰόμεθ' ἂν αὐτοὺς ὦ πρωτα-
γόρα ἄλλο τι ἀποκρίνασθαι ἢ ὅτι οὐ κατὰ τὴν αὐτῆς τῆς ἡδο-
νῆς τῆς παραχρῆμα ἐργασίαν κακά ἐστιν· ἀλλὰ διὰ τὰ ὕστερον
γιγνόμενα νόσους τε καὶ τἆλλα: ἐγὼ μὲν οἶμαι ἔφη ὁ πρωτα-
γόρας τοὺς πολλοὺς ἂν ταῦτα ἀποκρίνασθαι: οὐκοῦν νόσους
ποιοῦντα ἀνίας ποιεῖ· καὶ πενίας ποιοῦντα ἀνίας ποιεῖ· ὁμο-
λογοῖεν ἄν ὡς ἐγᾦμαι: συνέφη ὁ πρωταγόρας: οὐκοῦν
φαίνεται ὦ ἄνθρωποι ὑμῖν ὥς φαμεν ἐγώ τε καὶ πρωταγό-
ρας δι' οὐδὲν ἄλλο ταῦτα κακὰ ὄντα· ἢ διότι εἰς ἀνίας τε ἀπο-
τελευτᾶι καὶ ἄλλων ἡδονῶν ἀποστερεῖ· ὁμολογοῖεν ἄν: συ-
νεδόκει ἡμῖν ἀμφοῖν: οὐκοῦν πάλιν ἂν αὐτοὺς τὸ ἐναντίον εἰ ἐροί-
μεθα ὦ ἄνθρωποι οἱ λέγοντες αὖ ἀγαθὰ ἀνιαρὰ εἶναι· ἆρα οὐ
τὰ τοιάδε λέγετε οἷον τά τε γυμνάσια καὶ τὰς στρατείας καὶ τὰς
ὑπὸ τῶν ἰατρῶν θεραπείας τὰς διὰ καύσεών τε καὶ τομῶν καὶ
φαρμακειῶν καὶ λιμοκτονιῶν γιγνομένας· ὅτι ταῦτα ἀγαθὰ μέν
ἐστιν ἀνιαρὰ δὲ φαῖεν ἄν: συνεδόκει: πότερον οὖν κατὰ τόδε
ἀγαθὰ αὐτὰ καλεῖτε ὅτι ἐν τῶι παραχρῆμα ὀδύνας τὰς ἐσχά-
τας παρέχει καὶ ἀλγηδόνας· ἢ ὅτι εἰς τὸν ὕστερον χρόνον ὑγίειαί
τε ἀπ' αὐτῶν γίγνονται καὶ εὐεξίαι τῶν σωμάτων καὶ τῶν πόλε-
ων σωτηρίαι· καὶ ἄλλων ἀρχαὶ καὶ πλοῦτοι φαῖεν ἂν ὡς ἐγᾦμαι:
συνεδόκει: ταῦτα δὲ ἀγαθά ἐστι δι' ἄλλο τι ἢ ὅτι εἰς ἡδονὰς ἀ-
ποτελευτᾶι καὶ λυπῶν ἀπαλλαγάς τε καὶ ἀποτροπάς· ἢ ἔχετε
τι ἄλλο τέλος λέγειν εἰς ὃ ἀποβλέψαντες αὐτὰ ἀγαθὰ καλεῖτε
ἀλλ' ἢ ἡδονάς τε καὶ λύπας· οὐκ ἂν φαῖεν ὡς ἐγᾦμαι: οὐδ' ἐμοὶ δο-
κεῖ ἔφη ὁ πρωταγόρας: οὐκοῦν τὴν μὲν ἡδονὴν διώκετε ὡς
ἀγαθὸν ὄν· τὴν δὲ λύπην φεύγετε ὡς κακόν: συνεδόκει: τοῦτ' ἄ-
ρα ἡγεῖσθ' εἶναι κακὸν τὴν λύπην καὶ ἀγαθὸν τὴν ἡδονήν· ἐπεὶ
καὶ αὐτὸ τὸ χαίρειν τότε λέγετε κακὸν εἶναι ὅταν μειζόνων ἡδο-
νῶν ἀποστερῆι ἢ ὅσας αὐτὸ ἔχει· ἢ λύπας μείζους παρασκευ-
άζηι τῶν ἐν αὐτῶι ἡδονῶν· ἐπεὶ εἰ κατ' ἄλλο τι αὐτὸ τὸ χαίρειν κα-
κὸν καλεῖτε καὶ εἰς ἄλλο τι τέλος ἀποβλέψαντες ἔχοιτε ἂν καὶ ἡμῖν
εἰπεῖν· ἀλλ' οὐχ ἕξετε: οὐδ' ἐμοὶ δοκοῦσιν ἔφη ὁ πρωταγόρας:
ἄλλο τι οὖν πάλιν καὶ περὶ αὐτοῦ τοῦ λυπεῖσθαι ὁ αὐτὸς τρόπος·
τότε καλεῖτε αὐτὸ τὸ λυπεῖσθαι ἀγαθόν· ὅταν ἢ μείζους λύπας

τὴν ἐν αὐτῷ οὖσαν ἀπαλλάττει ἢ μείζους ἡδονὰς τῶν λυπῶν παρα-
σκευάζει. ἐπεὶ εἰ πρὸς ἄλλο τι τέλος ἀποβλέψαντες ὅταν καλεῖτε
αὐτὸ τὸ λυπεῖσθαι ἀγαθὸν ἢ πρὸς ὃ ἐγὼ λέγω, ἔχετε καὶ ἡμῖν εἰπεῖν·
ἀλλ' οὐχ ἕξετε: ἀλλ' οὐκ ἐμοὶ δοκεῖ ἔφη λέγεις ὁ πρωταγόρας: πάλιν τοίνυν
ἔφη ἐγώ, εἰ με ἀνέροισθε ὦ ἄνθρωποι· τίνος οὖν δή ποτε ἕ-
νεκα πολλὰ περὶ τούτου λέγεις καὶ πολλαχῇ; συγγιγνώσκετέ
μοι· φαίην ἂν ἔγωγε· πρῶτον μὲν γὰρ οὐ ῥᾴδιον ἀποδεῖξαι τί
ἐστίν ποτε τοῦτο ὃ ὑμεῖς καλεῖτε τῶν ἡδονῶν ἥττω εἶναι· ἔπειτα
ἐν τούτῳ εἰσὶν πᾶσαι αἱ ἀποδείξεις. ἀλλ' ἔτι καὶ νῦν ἀναθέσθαι ἔξε-
στιν, εἴ πῃ ἔχετε ἄλλο τι φάναι εἶναι τὸ ἀγαθὸν ἢ τὴν ἡδονὴν ἢ τὸ
κακὸν ἄλλο τι ἢ τὴν ἀνίαν· ἢ ἀρκεῖ ὑμῖν τὸ ἡδέως καταβιῶναι
τὸν βίον ἄνευ λυπῶν· εἰ δὲ ἀρκεῖ καὶ μὴ ἔχετε μηδὲν ἄλλο φάναι εἶναι
ἀγαθὸν ἢ κακὸν ὃ μὴ εἰς ταῦτα τελευτᾷ, τὸ μετὰ τοῦτο ἀκούετε·
φημὶ γὰρ ὑμῖν τούτου οὕτως ἔχοντος γελοῖον τὸν λόγον γίγνε-
σθαι, ὅταν λέγητε ὅτι πολλάκις γιγνώσκων τὰ κακὰ ὁ ἄνθρω-
πος ὅτι κακά ἐστιν ὅμως πράττει αὐτά, ἐξὸν μὴ πράττειν, ὑπὸ τῶν
ἡδονῶν ἀγόμενος καὶ ἐκπληττόμενος· καὶ αὖθις αὖ λέγετε ὅτι
γιγνώσκων ὁ ἄνθρωπος τἀγαθὰ πράττειν οὐκ ἐθέλει διὰ τὰς
παραχρῆμα ἡδονάς, ὑπὸ τούτων ἡττώμενος. ὡς δὲ ταῦτα γε-
λοῖά ἐστιν, κατάδηλον ἔσται ἐὰν μὴ πολλοῖς ὀνόμασι χρώμεθα
ἅμα, ἡδεῖ τε καὶ ἀνιαρῷ καὶ ἀγαθῷ καὶ κακῷ· ἀλλ' ἐπειδὴ δύο ἐ-
φάνη ταῦτα, δυοῖν καὶ ὀνόμασιν προσαγορεύωμεν αὐτά, πρῶτον
μὲν ἀγαθῷ καὶ κακῷ, ἔπειτα αὖθις ἡδεῖ τε καὶ ἀνιαρῷ· θέμενοι
δὴ οὕτω λέγωμεν ὅτι γιγνώσκων ὁ ἄνθρωπος τὰ κακὰ ὅτι κακά
ἐστιν ὅμως αὐτὰ ποιεῖ· ἐὰν οὖν τις ἡμᾶς ἔρηται διὰ τί, ἡττώμενος
φήσομεν· ὑπὸ τοῦ; ἐκεῖνος ἐρήσεται ἡμᾶς· ἡμῖν δὲ ὑπὸ μὲν
ἡδονῆς οὐκέτι ἔξεστιν εἰπεῖν· ἄλλο γὰρ ὄνομα μετείληφεν ἀντὶ τῆς
ἡδονῆς τὸ ἀγαθόν· ἐκείνῳ δὴ ἀποκρινώμεθα καὶ λέγωμεν ὅ-
τι ἡττώμενος· ὑπὸ τίνος; φήσει· τοῦ ἀγαθοῦ φήσομεν νὴ Δία·
ἂν οὖν τύχῃ ὁ ἐρόμενος ἡμᾶς ὑβριστὴς ὤν, γελάσεται καὶ ἐρεῖ· ἦ
γελοῖον λέγετε πρᾶγμα, εἰ πράττει τις κακά, γιγνώσκων ὅτι
κακά ἐστιν, οὐ δέον αὐτὸν πράττειν, ἡττώμενος ὑπὸ τῶν ἀγαθῶν·
ἆρα φήσει οὐκ ἀξίων ὄντων νικᾶν ἐν ὑμῖν τῶν ἀγαθῶν τὰ κακὰ
ἢ ἀξίων; φήσομεν δῆλον ὅτι ἀποκρινόμενοι ὅτι οὐκ ἀξίων ὄντων

οὐ γὰρ ἂν ἐξημάρτανεν ὃν φαμὲν ἥττω εἶναι τῶν ἡδονῶν. κατὰ τί δὲ
φήσει ἴσως ἀνάξιά ἐστι τἀγαθὰ τῶν κακῶν ἢ τὰ κακὰ τῶν ἀγα-
θῶν; ἢ κατ' ἄλλο τι ἢ ὅταν τὰ μὲν μείζω, τὰ δὲ σμικρότερα ᾖ, ἢ πλείω,
τὰ δὲ ἐλάττω; ἢ οὐχ ἕξομεν εἰπεῖν ἄλλο ἢ τοῦτο. δῆλον ἄρα φήσει
ὅτι τὸ ἡττᾶσθαι τοῦτο λέγετε, ἀντὶ ἐλαττόνων ἀγαθῶν μείζω κακὰ
λαμβάνειν. ταῦτα μὲν οὖν οὕτω. μεταλάβωμεν δὴ τὰ ὀνόματα
πάλιν τὸ ἡδύ τε καὶ ἀνιαρὸν ἐπὶ τοῖς αὐτοῖς τούτοις. καὶ λέγωμεν
ὅτι ἄνθρωπος πράττει, τότε μὲν ἐλέγομεν τὰ κακά, νῦν δὲ λέ-
γωμεν τὰ ἀνιαρά, γιγνώσκων ὅτι ἀνιαρά ἐστιν, ἡττώμενος ὑπὸ
τῶν ἡδέων, δῆλον ὅτι ἀναξίων ὄντων νικᾶν. καὶ τίς ἄλλη ἀναξία
ἡδονῇ πρὸς λύπην ἐστίν, ἀλλ' ἢ ὑπερβολὴ ἀλλήλων καὶ ἔλλειψις;
ταῦτα δ' ἐστὶ μείζω τε καὶ σμικρότερα γιγνόμενα ἀλλήλων καὶ πλεί-
ω καὶ ἐλάττω καὶ μᾶλλον καὶ ἧττον. εἰ γάρ τις λέγοι ὅτι ἀλλὰ πολὺ δια-
φέρει ὦ Σώκρατες τὸ παραχρῆμα ἡδὺ τοῦ εἰς τὸν ὕστερον χρόνον καὶ
ἡδέος καὶ λυπηροῦ. μῶν ἄλλῳ τῳ φαίην ἂν ἔγωγε ἢ ἡδονῇ καὶ
λύπῃ; οὐ γὰρ ἔσθ' ὅτῳ ἄλλῳ. ἀλλ' ὥσπερ ἀγαθὸς ἱστάναι ἄνθρωπος
συνθεὶς τὰ ἡδέα καὶ συνθεὶς τὰ λυπηρὰ καὶ τὸ ἐγγὺς καὶ τὸ πόρ-
ρω στήσας ἐν τῷ ζυγῷ, εἰπὲ πότερα πλείω ἐστί. ἐὰν μὲν γὰρ ἡδέα
πρὸς ἡδέα ἱστῇς, τὰ μείζω ἀεὶ καὶ πλείω ληπτέα· ἐὰν δὲ λυπηρὰ
πρὸς λυπηρά, τὰ ἐλάττω καὶ σμικρότερα· ἐὰν δὲ ἡδέα πρὸς
λυπηρά, ἐὰν μὲν τὰ ἀνιαρὰ ὑπερβάλληται ὑπὸ τῶν ἡδέων, ἐάν
τε τὰ ἐγγὺς ὑπὸ τῶν πόρρω, ἐάν τε τὰ πόρρω ὑπὸ τῶν ἐγγύς,
ταύτην τὴν πρᾶξιν πρακτέον ἐν ᾗ ἂν ταῦτ' ἐνῇ· ἐὰν δὲ τὰ ἡδέα
ὑπὸ τῶν ἀνιαρῶν, οὐ πρακτέα· μή πῃ ἄλλῃ ἔχει φαίην ἂν ταῦτα
ὦ ἄνθρωποι; οἶδ' ὅτι οὐκ ἂν ἔχοιεν ἄλλως λέγειν: συνεδόκει
καὶ ἐκείνῳ: ὅτε δὴ τοῦτο οὕτως ἔχει, τόδε μοι ἀποκρίνασθε
φήσω· φαίνεται ὑμῖν τῇ ὄψει τὰ αὐτὰ μεγέθη ἐγγύθεν μὲν μείζω,
πόρρωθεν δὲ ἐλάττω, ἢ οὔ: φήσουσι: καὶ τὰ παχέα καὶ
τὰ πολλὰ ὡσαύτως; καὶ αἱ φωναὶ ἴσαι ἐγγύθεν μὲν μείζους,
πόρρωθεν δὲ σμικρότεραι: φαῖεν ἄν: εἰ οὖν ἐν τούτῳ ἡμῖν ἦν
τὸ εὖ πράττειν, ἐν τῷ τὰ μὲν μεγάλα μήκη καὶ πράττειν καὶ λαμβά-
νειν, τὰ δὲ σμικρὰ καὶ φεύγειν καὶ μὴ πράττειν, τίς ἂν ἡμῖν σω-
τηρία ἐφάνη τοῦ βίου; ἆρα ἡ μετρητικὴ τέχνη ἢ ἡ τοῦ φαινομένου
δύναμις; ἢ αὕτη μὲν ἡμᾶς ἐπλάνα καὶ ἐποίει ἄνω τε καὶ κάτω

πολλάκις μεταλαμβάνειν ταῦτα καὶ μεταμέλειν καὶ ἐν ταῖς πράξεσιν καὶ
ἐν ταῖς αἱρέσεσιν τῶν μεγάλων τε καὶ σμικρῶν· ἡ δὲ μετρητικὴ ἄκυρον μὲν
ἂν ἐποίησε τοῦτο τὸ φάντασμα· δηλώσασα δὲ τὸ ἀληθὲς ἡσυχίαν ἂν
ἐποίησεν ἔχειν τὴν ψυχὴν μένουσαν ἐπὶ τῷ ἀληθεῖ καὶ ἔσωσεν ἂν τὸν
βίον· ἆρ' ἂν ὁμολογοῖεν ἄνθρωποι πρὸς ταῦτα ἡμᾶς τὴν μετρητικὴν
σώζειν ἂν τέχνην· ἢ ἄλλην τὴν μετρητικὴν ὡμολόγει· τί δ' εἰ ἐν τῇ
τοῦ περιττοῦ καὶ ἀρτίου αἱρέσει ἡμῖν ἦν ἡ σωτηρία τοῦ βίου ὁπότε
τὸ πλέον ὀρθῶς ἔδει ἑλέσθαι καὶ ὁπότε τὸ ἔλαττον· ἢ αὐτὸ πρὸς
ἑαυτὸ ἢ τὸ ἕτερον πρὸς τὸ ἕτερον εἴτ' ἐγγὺς εἴτε πόρρω εἴη· τί ἂν ἔ-
σωζεν ἡμῖν τὸν βίον· ἆρ' ἂν ἐπιστήμη· καὶ ἆρ' ἂν οὐ μετρητική τις ἐ-
πειδήπερ ὑπερβολῆς τε καὶ ἐνδείας ἐστὶν ἡ τέχνη· ἐπειδὴ δὲ
περιττοῦ τε καὶ ἀρτίου· ἆρα ἄλλη τις ἢ ἀριθμητική· ὁμολογοῖεν
ἂν ἡμῖν οἱ ἄνθρωποι ἢ οὔ· ἐδόκει ἂν καὶ τῷ Πρωταγόρᾳ ὁμο-
λογεῖν· εἶεν ὦ ἄνθρωποι· ἐπειδὴ δὲ ἡδονῆς τε καὶ λύπης ἐν ὀρ-
θῇ τῇ αἱρέσει ἐφάνη ἡμῖν ἡ σωτηρία τοῦ βίου οὖσα τοῦ τε πλέ-
ονος καὶ ἐλάττονος καὶ μείζονος καὶ σμικροτέρου καὶ πορρω-
τέρω καὶ ἐγγυτέρω· ἆρα πρῶτον μὲν οὐ μετρητικὴ φαίνεται
ὑπερβολῆς τε καὶ ἐνδείας οὖσα καὶ ἰσότητος πρὸς ἀλλήλας
σκέψις· ἀλλ' ἀνάγκη· ἐπεὶ δὲ μετρητική· ἀνάγκη δήπου τέχνη καὶ ἐ-
πιστήμη· συμφήσουσιν· ἥτις μὲν τοίνυν τέχνη καὶ ἐπιστήμη ἐστὶν
αὕτη εἰσαῦθις σκεψόμεθα· ὅτι δὲ ἐπιστήμη ἐστὶν τοσοῦτον ἐξαρ-
κεῖ πρὸς τὴν ἀπόδειξιν ἣν ἐμὲ δεῖ καὶ Πρωταγόραν ἀποδεῖξαι
περὶ ὧν ἤρεσθ' ἡμᾶς· ἤρεσθε δὲ εἰ μέμνησθε ἡνίκα ἡμεῖς ἀλλή-
λοις ὁμολογοῦμεν ἐπιστήμης μηδὲν εἶναι κρεῖττον· ἀλλὰ τοῦτο
ἀεὶ κρατεῖν ὅπου ἂν ἐνῇ καὶ ἡδονῆς καὶ τῶν ἄλλων ἁπάντων·
ὑμεῖς δὲ δὴ ἔφατε τὴν ἡδονὴν πολλάκις κρατεῖν καὶ τοῦ εἰ-
δότος ἀνθρώπου· ἐπειδὴ δὲ ὑμῖν οὐχ ὁμολογοῦμεν· μετὰ
τοῦτο ἤρεσθε ἡμᾶς ὦ Πρωταγόρα τε καὶ Σώκρατες εἰ μὴ ἔστι
τοῦτο τὸ πάθημα ἡδονῆς ἡττᾶσθαι ἀλλὰ τί ποτ' ἐστὶν καὶ τί ὑ-
μεῖς αὐτό φατε εἶναι εἴπετε ἡμῖν· εἰ μὲν οὖν τότε εὐθὺς ὑμῖν
εἴπομεν ὅτι ἀμαθία· κατεγελᾶτε ἂν ἡμῶν· νῦν δὲ ἂν ἡμῶν κα-
ταγελᾶτε· καὶ ὑμῶν αὐτῶν καταγελάσεσθε· καὶ γὰρ ὑμεῖς
ὡμολογήκατε ἐπιστήμης ἐνδείᾳ ἐξαμαρτάνειν περὶ τὴν
τῶν ἡδονῶν αἵρεσιν καὶ λυπῶν τοὺς ἐξαμαρτάνοντας· ταῦτα

δὲ ἐστὶν ἀγαθά τε καὶ κακά· καὶ οὐ μόνον ἐπιστήμης· ἀλλὰ καὶ ἣν τὸ
πρόσθεν ἔτι ὡμολογήκατε ὅτι μετρητικῆς· ἡ δὲ ἐξαμαρτανομένη
πρᾶξις ἄνευ ἐπιστήμης· ἴστε που καὶ αὐτοὶ ὅτι ἀμαθίᾳ πράτ-
τεται· ὥστε τοῦτ' ἐστὶν τὸ ἡδονῆς ἥττω εἶναι ἀμαθία ἡ μεγίστη ἧς
πρωταγόρας ὅδε φησὶν ἰατρὸς εἶναι καὶ πρόδικος καὶ ἱππίας·
ὑμεῖς δὲ διὰ τὸ οἴεσθαι ἄλλο τι ἢ ἀμαθίαν εἶναι οὔτε αὐτοὶ οὔτε τοὺς
ὑμετέρους παῖδας παρὰ τοὺς τούτων διδασκάλους τούσδε τοὺς
σοφιστὰς πέμπετε ὡς οὐ διδακτοῦ ὄντος· ἀλλὰ κηδόμενοι τοῦ
ἀργυρίου καὶ οὐ διδόντες τούτοις κακῶς πράττετε καὶ ἰδίᾳ καὶ
δημοσίᾳ· ταῦτα μὲν τοῖς πολλοῖς ἀποκεκριμένοι ἂν ἦμεν· ὑ-
μᾶς δὲ δὴ μετὰ πρωταγόρου ἐρωτῶ ὦ ἱππία τε καὶ πρόδικε· κοι-
νὸς γὰρ δὴ ἔστω ὑμῖν ὁ λόγος· πότερον δοκῶ ὑμῖν ἀληθῆ λέγειν
ἢ ψεύδεσθαι: ὑπερφυῶς ἐδόκει ἅπασιν ἀληθῆ εἶναι τὰ εἰρη-
μένα: ὁμολογεῖτε ἄρα ἦν δ' ἐγὼ τὸ μὲν ἡδὺ ἀγαθὸν εἶναι τὸ δὲ
ἀνιαρὸν κακόν· τὴν δὲ προδίκου τοῦδε διαίρεσιν τῶν ὀνομάτων
παραιτοῦμαι· εἴτε γὰρ ἡδὺ εἴτε τερπνὸν λέγεις εἴτε χαρτὸν εἴτε
ὁπόθεν καὶ ὅπως χαίρεις τὰ τοιαῦτα ὀνομάζων ὦ βέλτιστε πρό-
δικε· τοῦτό μοι πρὸς ὃ βούλομαι ἀπόκριναι: γελάσας οὖν ὁ πρό-
δικος συνωμολόγησε καὶ οἱ ἄλλοι: τί δὲ δὴ ὦ ἄνδρες ἔφην ἐγὼ
τὸ τοιόνδε· αἱ ἐπὶ τούτου πράξεις ἅπασαι ἐπὶ τοῦ ἀλύπως ζῆν
καὶ ἡδέως· ἆρ' οὐ καλαὶ καὶ ὠφέλιμοι· καὶ τὸ καλὸν ἔργον ἀγαθόν
τε καὶ ὠφέλιμον: συνεδόκει: εἰ ἄρα ἔφην ἐγὼ τὸ ἡδὺ ἀγαθόν
ἐστιν· οὐδεὶς οὔτε εἰδὼς οὔτε οἰόμενος ἄλλα βελτίω εἶναι ἢ ἃ
ποιεῖ καὶ δυνατὰ ἔπειτα ποιεῖ ταῦτα ἐξὸν τὰ βελτίω· οὐδὲ τὸ ἥτ-
τω εἶναι αὑτοῦ ἄλλο τι τοῦτ' ἐστὶν ἢ ἀμαθία· οὐδὲ κρείττω ἑαυτοῦ
ἄλλο τι ἢ σοφία: συνεδόκει πᾶσιν: τί δὲ δὴ ἀμαθίαν ἆρα τὸ τοιόν-
δε λέγετε τὸ ψευδῆ ἔχειν δόξαν καὶ ἐψεῦσθαι περὶ τῶν πραγμάτων
τῶν πολλοῦ ἀξίων: καὶ τοῦτο πᾶσι συνεδόκει: ἄλλο τι οὖν ἔφην
ἐγὼ ἐπί γε τὰ κακὰ οὐδεὶς ἑκὼν ἔρχεται οὐδὲ ἐπὶ ἃ οἴεται κακὰ εἶναι
οὐδ' ἔστι τοῦτο ὡς ἔοικεν ἐν ἀνθρώπου φύσει ἐπὶ ἃ οἴεται κακὰ εἶναι
ἐθέλειν ἰέναι ἀντὶ τῶν ἀγαθῶν· ὅταν τε ἀναγκασθῇ δυοῖν κακοῖν
τὸ ἕτερον αἱρεῖσθαι· οὐδεὶς τὸ μεῖζον αἱρήσεται ἐξὸν τὸ ἔλαττον:
ἅπαντα ταῦτα συνεδόκει ἅπασιν ἡμῖν: τί οὖν ἔφην ἐγὼ καλεῖτε δέ-
ος καὶ φόβον· καὶ ἆρα ὅπερ ἐγώ· πρὸς σὲ λέγω ὦ πρόδικε προσδο-

κακοῦ λέγω καὶ οὐ τοῦτο ἄν τε φόβον ἄν τε δέος καλῆτε· ἐδόκει πρω-
ταγόρᾳ μὲν καὶ ἱππίᾳ δέος τε καὶ φόβος εἶναι τοῦτο· προδίκῳ δὲ δέος
φόβος δ' οὔ· ἀλλ' οὐδέν, ἔφην ἐγώ, ὦ πρόδικε διαφέρει· ἀλλὰ τόδε. εἰ ἀλη-
θῆ τὰ ἔμπροσθέν ἐστιν· ἆρά τις ἀνθρώπων ἐθελήσει ἐπὶ ταῦτα ἰέναι
ἃ δέδοικεν, ἐξὸν ἐπὶ ἃ μή· ἢ ἀδύνατον ἐκ τῶν ὡμολογημένων· ἃ γὰρ
δέδοικεν, ὡμολόγηται ἡγεῖσθαι κακὰ εἶναι· ἃ δὲ ἡγεῖται κακά· οὐ-
δένα οὔτε ἰέναι ἐπὶ ταῦτα οὔτε λαμβάνειν ἑκόντα· ἐδόκει καὶ ταῦ-
τα πᾶσιν· οὕτω δὴ τούτων ὑποκειμένων, ἦν δ' ἐγώ, πρόδικέ τε καὶ
ἱππία ἀπολογείσθω ἡμῖν πρωταγόρας ὅδε ἃ τὸ πρῶτον ἀπε-
κρίνατο πῶς ὀρθῶς ἔχει· μὴ ἃ τὸ πρῶτον παντάπασι· τότε μὲν
γὰρ δὴ πέντε ὄντων μορίων τῆς ἀρετῆς οὐδὲν ἔφη εἶναι τὸ ἕτερον
οἷον τὸ ἕτερον· ἰδίαν δὲ αὐτοῦ ἕκαστον ἔχειν δύναμιν· ἀλλ' οὐ ταῦτα
λέγω· ἀλλ' ἃ τὸ ὕστερον εἶπεν· τὸ γὰρ ὕστερον ἔφη τὰ μὲν τέτταρα
ἐπιεικῶς παραπλήσια ἀλλήλοις εἶναι· τὸ δὲ ἓν πάνυ πολὺ δια-
φέρειν τῶν ἄλλων τὴν ἀνδρείαν· γνώσεσθαι δέ μ' ἔφη τεκμηρίῳ
τῷδε· εὑρήσεις γάρ, ὦ σώκρατες, ἀνθρώπους ἀνοσιωτάτους μὲν
ὄντας καὶ ἀδικωτάτους καὶ ἀκολαστοτάτους καὶ ἀμαθεστάτους
ἀνδρειοτάτους δέ· ᾧ γνώσῃ ὅτι πολὺ διαφέρει ἡ ἀνδρεία τῶν ἄλ-
λων μορίων τῆς ἀρετῆς· καὶ ἐγὼ εὐθὺς τότε πάνυ ἐθαύμασα τὴν
ἀπόκρισιν· καὶ ἔτι μᾶλλον ἐπειδὴ ταῦτα μεθ' ὑμῶν διεξῆλθον· ἠρό-
μην δ' οὖν τοῦτον εἰ τοὺς ἀνδρείους λέγοι θαρραλέους· ὁ δὲ καὶ
ἴτας γ' ἔφη· μέμνησαι, ἦν δ' ἐγώ, ὦ πρωταγόρα, ταῦτα ἀποκρινό-
μενος· ὡμολόγει· ἴθι δή, ἔφην ἐγώ, εἰπὲ ἡμῖν· ἐπὶ τί λέγεις ἴ-
τας εἶναι τοὺς ἀνδρείους· ἢ ἐφ' ἅπερ οἱ δειλοί· οὐκ ἔφη· οὐ-
κοῦν ἐφ' ἕτερα· ναὶ ἦ δ' ὅς· πότερον οἱ μὲν δειλοὶ ἐπὶ τὰ θαρρα-
λέα ἔρχονται· οἱ δὲ ἀνδρεῖοι ἐπὶ τὰ δεινά· λέγεται δή, ὦ σώκρα-
τες, οὕτως ὑπὸ τῶν ἀνθρώπων· ἀληθῆ, ἔφην ἐγώ, λέγεις· ἀλλ' οὐ
τοῦτο ἐρωτῶ· ἀλλὰ σὺ ἐπὶ τί φῂς ἴτας εἶναι τοὺς ἀνδρείους· ἆρ' ἐ-
πὶ τὰ δεινὰ ἡγουμένους δεινὰ εἶναι ἢ ἐπὶ τὰ μή· ἀλλὰ τοῦτό γ' ἔ-
φη ἐν οἷς σὺ ἔλεγες τοῖς λόγοις ἀπεδείχθη ἄρτι ὅτι ἀδύνατον·
καὶ τοῦτο, ἔφην ἐγώ, ἀληθὲς λέγεις· ὥστ' εἰ τοῦτο ὀρθῶς ἀπεδείχθη·
ἐπὶ μὲν ἃ δεινὰ ἡγεῖται εἶναι οὐδεὶς ἔρχεται· ἐπειδὴ τὸ ἥττω εἶναι
ἑαυτοῦ εὑρέθη ἀμαθία οὖσα· ὡμολόγει· ἀλλὰ μὴν ἐπὶ ἅ γε
θαρροῦσι πάντες αὖ ἔρχονται καὶ δειλοὶ καὶ ἀνδρεῖοι· καὶ ταύτῃ γε

ἐπὶ τὰ αὐτὰ ἔρχονται οἵ τε δειλοὶ καὶ οἱ ἀνδρεῖοι· ἀλλὰ μέντοι ἔφη ὦ σώ
κρατες πᾶν γε τοὐναντίον ἐπὶ ἃ οἵ τε δειλοὶ ἔρχονται καὶ οἱ ἀν
δρεῖοι· αὐτίκα εἰς τὸν πόλεμον οἱ μὲν ἐθέλουσιν ἰέναι οἱ δὲ οὐκ ἐθέλου
σιν· πότερον ἔφην ἐγὼ καλὸν ὂν ἰέναι ἢ αἰσχρόν· καλὸν ἔφη· οὐ
κοῦν εἴπερ καλὸν καὶ ἀγαθὸν ὡμολογήσαμεν ἐν τοῖς ἔμπροσθεν·
τὰς γὰρ καλὰς πράξεις ἁπάσας ἀγαθὰς ὡμολογήσαμεν· ἀληθῆ
λέγεις καὶ ἀεὶ ἔμοιγε δοκεῖ οὕτως· ὀρθῶς γε ἔφην ἐγώ· ἀλλὰ
ποτέρους φῄς ἐς τὸν πόλεμον οὐκ ἐθέλειν ἰέναι καλὸν ὂν καὶ ἀγα
θόν· τοὺς δειλοὺς ἦ δ' ὅς· οὐκοῦν ἦν δ' ἐγὼ εἴπερ καλὸν καὶ ἀγα
θὸν καὶ ἡδύ· ὡμολόγηται γοῦν ἔφη· ἆρ' οὖν γιγνώσκοντες οἱ δει
λοὶ οὐκ ἐθέλουσιν ἰέναι ἐπὶ τὸ κάλλιόν τε καὶ ἄμεινον καὶ ἥδιον· ἀλλὰ
καὶ τοῦτο ἐὰν ὁμολογῶμεν ἔφη διαφθεροῦμεν τὰς ἔμπροσθεν ὁμο
λογίας· τί δ' ὁ ἀνδρεῖος· οὐκ ἐπὶ τὸ κάλλιόν τε καὶ ἄμεινον καὶ ἥδι
ον ἔρχεται· ἀνάγκη ἔφη ὁμολογεῖν· οὐκοῦν ὅλως οἱ ἀνδρεῖοι οὐ
καὶ αἰσχροὺς φόβους φοβοῦνται ὅταν φοβῶνται οὐδὲ αἰσχρὰ θάρ
ρη θαρροῦσιν· ἀληθῆ ἔφη· εἰ δὲ μὴ αἰσχρὰ ἆρ' οὐ καλά· ὡμολόγει·
εἰ δὲ καλὰ καὶ ἀγαθά· ναί· οὐκοῦν καὶ οἱ δειλοὶ καὶ οἱ θρασεῖς καὶ
οἱ μαινόμενοι τοὐναντίον αἰσχρούς τε φόβους φοβοῦνται καὶ αἰσχρὰ
θάρρη θαρροῦσιν· ὡμολόγει· θαρροῦσιν δὲ τὰ αἰσχρὰ καὶ κακὰ
δι' ἄλλο τι ἢ δι' ἄγνοιαν καὶ ἀμαθίαν· οὕτως ἔχει ἔφη· τί οὖν τοῦτο
δι' ὃ δειλοί εἰσιν οἱ δειλοί δειλίαν ἢ ἀνδρείαν καλεῖς· δειλίαν ἔγω
γ' ἔφη· δειλοὶ δὲ οὐ διὰ τὴν τῶν δεινῶν ἀμαθίαν ἐφάνησαν ὄντες·
πάνυ γ' ἔφη· διὰ ταύτην ἄρα τὴν ἀμαθίαν δειλοί εἰσιν· ὡμολόγει·
δι' ὃ δὲ δειλοί εἰσι δειλία ὁμολογεῖται παρὰ σοῦ· συνέφη· οὐ
κοῦν ἡ τῶν δεινῶν καὶ μὴ δεινῶν ἀμαθία δειλία ἂν εἴη· ἐπένευσε·
ἀλλὰ μὴν ἦν δ' ἐγὼ ἐναντίον ἀνδρεία δειλίᾳ· ἔφη· οὐκοῦν ἡ τῶν
δεινῶν καὶ μὴ δεινῶν σοφία ἐναντία τῇ τούτων ἀμαθίᾳ ἐστίν· καὶ
ἐνταῦθα ἔτι ἐπένευσεν· ἡ δὲ τούτων ἀμαθία δειλία· πάνυ μόγις
ἐνταῦθα ἐπένευσεν· ἡ σοφία ἄρα τῶν δεινῶν καὶ μὴ δεινῶν ἀν
δρεία ἐστὶν ἐναντία οὖσα τῇ τούτων ἀμαθίᾳ· οὐκέτι ἐνταῦθα
οὔτ' ἐπινεῦσαι ἠθέλησεν ἐσίγα τε· καὶ ἐγὼ εἶπον· τί δή ὦ πρω
ταγόρα οὔτε σὺ φῂς ἃ ἐρωτῶ οὔτε ἀποφῄς· αὐτός ἔφη πέ
ρανον· ἕν γ' ἔφην ἐγὼ μόνον ἐρόμενος ἔτι σέ· εἴ σοι ὥσπερ τὸ
πρῶτον ἔτι δοκοῦσίν τινες εἶναι ἄνθρωποι ἀμαθέστατοι μὲν ὄν

[illegible]τοι δέ: φιλονεικεῖν μοι ἔφη δοκεῖς ὦ σώκρατες τὸ ἐμὲ εἶ-
ναι τὸν ἀποκρινόμενον· χαριοῦμαι οὖν σοι καὶ λέγω ὅτι ἐκ τῶν ὡμολο-
γημένων ἀδύνατόν μοι δοκεῖ εἶναι: οὔτοι ἦν δ' ἐγὼ ἄλλου ἕνεκα ἐρω-
τῶ πάντα ταῦτα ἢ σκέψασθαι βουλόμενος πῶς ποτ' ἔχει τὰ περὶ
τῆς ἀρετῆς καὶ τί ποτ' ἐστὶν αὐτὸ ἡ ἀρετή· οἶδα γὰρ ὅτι τούτου φανεροῦ
γενομένου μάλιστ' ἂν κατάδηλον γένοιτο ἐκεῖνο περὶ οὗ ἐγώ τε καὶ
σὺ μακρὸν λόγον ἑκάτερος ἀπετείναμεν· ἐγὼ μὲν λέγων ὡς οὐ δι-
δακτὸν ἀρετή· σὺ δ' ὡς διδακτόν· καί μοι δοκεῖ ἡμῶν ἡ ἄρτι ἔξοδος
τῶν λόγων ὥσπερ ἄνθρωπος κατηγορεῖν τε καὶ καταγελᾶν καὶ εἰ
φωνὴν λάβοι εἰπεῖν ἂν ὅτι ἄτοποί γ' ἐστὲ ὦ σώκρατές τε καὶ πρω-
ταγόρα· σὺ μὲν λέγων ὅτι οὐ διδακτόν ἐστιν ἀρετὴ ἐν τοῖς ἔμπροσθεν
νῦν σεαυτῷ τἀναντία σπεύδεις ἐπιχειρῶν ἀποδεῖξαι ὡς πάντα χρή-
ματά ἐστιν ἐπιστήμη καὶ ἡ δικαιοσύνη καὶ ἡ σωφροσύνη καὶ ἡ ἀνδρεία·
ᾧ τρόπῳ μάλιστ' ἂν διδακτὸν φανείη ἡ ἀρετή· εἰ μὲν γὰρ ἄλλο τι ἦν
ἢ ἐπιστήμη ἡ ἀρετὴ ὥσπερ πρωταγόρας ἐπεχείρει λέγειν· σαφῶς οὐ-
κ ἂν ἦν διδακτόν· νῦν δὲ εἰ φανήσεται ἐπιστήμη ὅλον ὡς σὺ σπεύδεις
ὦ σώκρατες· θαυμάσιον ἔσται μὴ διδακτὸν ὄν· πρωταγόρας δ' αὖ
διδακτὸν τότε ὑποθέμενος· νῦν τοὐναντίον ἔοικε σπεύδοντι
ὀλίγου πάντα μᾶλλον φανῆναι αὐτὸ ἢ ἐπιστήμην· καὶ οὕτως ἂν ἥκι-
στα εἴη διδακτόν· ἐγὼ οὖν ὦ πρωταγόρα πάντα ταῦτα καθορῶν
ἄνω κάτω ταραττόμενα δεινῶς· πᾶσαν προθυμίαν ἔχω καταφα-
νῆ αὐτὰ γενέσθαι· καὶ βουλοίμην ἂν ταῦτα διεξελθόντας ἡμᾶς
ἐξελθεῖν καὶ ἐπὶ τὴν ἀρετὴν ὅτι ἔστιν· καὶ πάλιν ἐπισκέψασθαι περὶ
αὐτοῦ εἴτε διδακτὸν εἴτε μὴ διδακτόν· μὴ πολλάκις ἡμᾶς ὁ ἐπιμη-
θεὺς ἐκεῖνος καὶ ἐν τῇ σκέψει σφήλῃ ἐξαπατήσας· ὥσπερ καὶ
ἐν τῇ διανομῇ ἠμέλησεν ἡμῶν ὡς φῂς σύ· ἤρεσεν οὖν μοι καὶ ἐν
τῷ μύθῳ ὁ προμηθεὺς μᾶλλον τοῦ ἐπιμηθέως· ᾧ χρώμενος ἐγὼ
καὶ προμηθούμενος ὑπὲρ τοῦ βίου τοῦ ἐμαυτοῦ παντὸς· πάν-
τα ταῦτα πραγματεύομαι· καὶ εἰ σὺ ἐθέλοις ὅπερ καὶ κατ' ἀρχὰς
ἔλεγον· μετὰ σοῦ ἂν ἥδιστα ταῦτα συνδιασκοποίην: καὶ ὁ πρω-
ταγόρας· ἐγὼ μὲν ἔφη ὦ σώκρατες ἐπαινῶ σου τὴν προθυμίαν
καὶ τὴν διέξοδον τῶν λόγων· καὶ γὰρ οὔτε τἆλλα οἶμαι κακὸς εἶναι
ἄνθρωπος· φθονερός τε ἥκιστ' ἀνθρώπων· ἐπεὶ καὶ περὶ σοῦ πρὸς
πολλοὺς δὴ εἴρηκα ὅτι ὧν ἐντυγχάνω πολὺ μάλιστα ἄγαμαί σε

τῶν μὲν τηλικούτων καὶ πάνυ· καὶ λέγω γε ὅτι οὐκ ἂν θαυμάζοιμι εἰ
τῶν ἐλλογίμων γένοιο ἀνδρῶν ἐπὶ σοφίᾳ· καὶ περὶ τούτων δὲ εἰσ
αὖθις ὅταν βούλῃ διέξιμεν· νῦν δ' ὥρα ἤδη καὶ ἐπ' ἄλλο τι τρέπεσθαι·
ἀλλ' ἦν δ' ἐγὼ οὕτω χρὴ ποιεῖν εἴ σοι δοκεῖ· καὶ γὰρ ἐμοὶ οἶπερ ἔφην
ἰέναι πάλαι ὥρα· ἀλλὰ Καλλίᾳ τῷ καλῷ χαριζόμενος παρέμεινα·
ταῦτ' εἰπόντες καὶ ἀκούσαντες ἀπῇμεν :~ Πρωταγόρας ἢ σοφισταί :~


Γοργίας ἢ περὶ ῥητορικῆς :~ ἀνατρεπτικός

Πολέμου καὶ μάχης φασὶ χρῆναι ὦ Σώκρατες οὕτω μεταλαγχάνειν·
ἀλλ' ἦ τὸ λεγόμενον κατόπιν ἑορτῆς ἥκομεν καὶ ὑστεροῦμεν· καὶ μά
λα γε ἀστείας ἑορτῆς· πολλὰ γὰρ καὶ καλὰ Γοργίας ἡμῖν ὀλίγον
πρότερον ἐπεδείξατο· τούτων μέντοι ὦ Καλλίκλεις αἴτιος Χαιρε
φῶν ὅδε, ἐν ἀγορᾷ ἀναγκάσας ἡμᾶς διατρῖψαι· οὐδὲν πρᾶγμα
ὦ Σώκρατες· ἐγὼ γὰρ καὶ ἰάσομαι· φίλος γάρ μοι Γοργίας· ὥστ' ἐπιδεί
ξεται ἡμῖν, εἰ μὲν δοκεῖ νῦν, ἐὰν δὲ βούλῃ εἰσαῦθις· τί δαὶ ὦ Χαιρε
φῶν; ἐπιθυμεῖ Σωκράτης ἀκοῦσαι Γοργίου; ἐπ' αὐτό γε τοι τοῦτο
πάρεσμεν· οὐκοῦν ὅταν βούλησθε παρ' ἐμὲ ἥκειν οἴκαδε· παρ' ἐ
μοὶ γὰρ Γοργίας καταλύει, καὶ ἐπιδείξεται ὑμῖν· εὖ λέγεις ὦ Καλλί
κλεις· ἀλλ' ἆρα ἐθελήσειεν ἂν ἡμῖν διαλεχθῆναι; βούλομαι γὰρ πυθέ
σθαι παρ' αὐτοῦ τίς ἡ δύναμις τῆς τέχνης τοῦ ἀνδρός· καὶ τί ἐστιν
ὃ ἐπαγγέλλεταί τε καὶ διδάσκει· τὴν δὲ ἄλλην ἐπίδειξιν εἰσαῦθις,
ὥσπερ σὺ λέγεις ποιησάσθω· οὐδὲν οἷον τὸ αὐτὸν ἐρωτᾶν ὦ Σώ
κρατες· καὶ γὰρ αὐτῷ ἓν τοῦτ' ἦν τῆς ἐπιδείξεως· ἐκέλευε γοῦν
νυνδὴ ἐρωτᾶν ὅτι τις βούλοιτο τῶν ἔνδον ὄντων, καὶ πρὸς ἅπαντα
ἔφη ἀποκρινεῖσθαι· ἦ καλῶς λέγεις· ὦ Χαιρεφῶν ἐροῦ αὐτόν·
τί ἔρωμαι; ὅστις ἐστίν· πῶς λέγεις; ὥσπερ ἂν εἰ ἐτύγχανεν ὢν
ὑποδημάτων δημιουργός, ἀπεκρίνατο ἂν δήπου σοι ὅτι σκυτο
τόμος· ἢ οὐ μανθάνεις ὡς λέγω; μανθάνω καὶ ἐρήσομαι· εἰ
πέ μοι ὦ Γοργία, ἀληθῆ λέγει Καλλικλῆς ὅτι ἐπαγγέλλει ἀπο
κρίνεσθαι ὅτι ἄν τίς σε ἐρωτᾷ; ἀληθῆ ὦ Χαιρεφῶν· καὶ γὰρ νυν

δὴ αὐτὰ ταῦτα ἐπηγγελλόμην καὶ λέγω ὅτι οὐδείς μέ πω ἠρώτηκε
καινὸν οὐδὲν πολλῶν ἐτῶν: ἦ που ἄρα ῥᾳδίως ἀποκρινῇ ὦ Γοργία:
πάρεστι τούτου πεῖραν ὦ Χαιρεφῶν λαμβάνειν: νὴ Δία ἀλλ' ἐὰν βούλῃ
ὦ Χαιρεφῶν ἐμοῦ· Γοργίας μὲν γὰρ καὶ ἀπειρηκέναι μοι δοκεῖ· πολ
λὰ γὰρ ἄρτι διελήλυθεν: τί δαί ὦ Πῶλε· οἴει σὺ κάλλιον ἂν Γοργίου
ἀποκρίνασθαι; τί δὲ τοῦτο ἐὰν σοί γε ἱκανῶς; οὐδέν· ἀλλ' ἐπειδὴ
σὺ βούλει ἀποκρίνου: ἐρώτα: ἐρωτῶ δή· εἰ ἐτύγχανε Γοργίας ἐ
πιστήμων ὢν τῆς τέχνης ἧσπερ ὁ ἀδελφὸς αὐτοῦ Ἡρόδικος· τίνα
ἂν αὐτὸν ὠνομάζομεν δικαίως; οὐχ ὅπερ ἐκεῖνον; πάνυ γε: ἰα
τρὸν ἄρα φάσκοντες αὐτὸν εἶναι καλῶς ἂν ἐλέγομεν; ναί: εἰ δέ γε
ἧσπερ Ἀριστοφῶν ὁ Ἀγλαοφῶντος ἢ ὁ ἀδελφὸς αὐτοῦ ἔμπειρος
ἦν τέχνης· τίνα ἂν αὐτὸν ὀρθῶς ἐκαλοῦμεν; δῆλον ὅτι ζωγρά
φον: νῦν δ' ἐπειδὴ τίνος τέχνης ἐπιστήμων ἐστί· τίνα ἂν καλοῦντες
αὐτὸν ὀρθῶς καλοῖμεν; ὦ Χαιρεφῶν πολλαὶ τέχναι ἐν ἀνθρώποις
εἰσὶν ἐκ τῶν ἐμπειριῶν ἐμπείρως ηὑρημέναι· ἐμπειρία μὲν γὰρ
ποιεῖ τὸν αἰῶνα ἡμῶν πορεύεσθαι κατὰ τέχνην· ἀπειρία δὲ κατὰ
412 τύχην· ἑκάστων δὲ τούτων μεταλαμβάνουσιν ἄλλοι ἄλλων ἄλλως· τῶν
δὲ ἀρίστων οἱ ἄριστοι· ὧν καὶ Γοργίας ἐστὶν ὅδε· καὶ μετέχει τῆς καλλίστης
τῶν τεχνῶν: καλῶς γε ὦ Γοργία φαίνεται Πῶλος παρεσκευάσθαι εἰς
λόγους· ἀλλὰ γὰρ ὃ ὑπέσχετο Χαιρεφῶντι οὐ ποιεῖ: τί μάλιστα ὦ Σώ
κρατες: τὸ ἐρωτώμενον οὐ πάνυ μοι φαίνεται ἀποκρίνεσθαι: ἀλλὰ
σὺ εἰ βούλει ἐροῦ αὐτόν: οὐκ εἰ αὐτῷ γε σοὶ βουλομένῳ ἐστὶν ἀποκρί
νασθαι· ἀλλὰ πολὺ ἂν ἥδιον σοί· δῆλος γάρ μοι Πῶλος καὶ ἐξ ὧν εἴ
ρηκεν ὅτι τὴν καλουμένην ῥητορικὴν μᾶλλον μεμελέτηκεν ἢ διαλέ
γεσθαι: τί δή ὦ Σώκρατες; ὅτι ὦ Πῶλε ἐρομένου Χαιρεφῶντος
τίνος Γοργίας ἐπιστήμων τέχνης· ἐγκωμιάζεις μὲν αὐτοῦ τὴν τέ
χνην ὥσπερ τινὸς ψέγοντος· ἥτις δέ ἐστιν οὐκ ἀπεκρίνω: οὐ γὰρ
ἀπεκρινάμην ὅτι εἴη ἡ καλλίστη; καὶ μάλα· ἀλλ' οὐδεὶς ἐρωτᾷ ποία
τις εἴη ἡ Γοργίου τέχνη· ἀλλὰ τίς· καὶ ὅντινα δέοι καλεῖν τὸν Γοργί
αν· ὥσπερ τὰ ἔμπροσθέν σοι ὑπετείνατο Χαιρεφῶν· καὶ αὐτῷ κα
λῶς καὶ διὰ βραχέων ἀπεκρίνω· καὶ νῦν οὕτως εἰπὲ τίς ἡ τέχνη
καὶ τίνα Γοργίαν καλεῖν χρὴ ἡμᾶς· μᾶλλον δὲ ὦ Γοργία αὐτὸς ἡμῖν
εἰπέ· τίνα σε χρὴ καλεῖν ὡς τίνος ἐπιστήμονα τέχνης: τῆς ῥη
τορικῆς ὦ Σώκρατες: ῥήτορα ἄρα χρή σε καλεῖν; ἀγαθόν γε ὦ

σώκρατες· εἰ δὴ ὅ γε εὔχομαι εἶναι ὡς ἔφη ὅμηρος· βούλει με κα-
λεῖν: ἀλλὰ βούλομαι: κάλει δή: οὐκοῦν καὶ ἄλλους σε φῶμεν δυνα-
τὸν εἶναι ποιεῖν: ἐπαγγέλλομαί γε δὴ ταῦτα οὐ μόνον ἐνθάδε· ἀλλὰ
καὶ ἄλλοθι: ἆρ' οὖν ἐθελήσαις ἂν ὦ γοργία ὥσπερ νῦν διαλεγόμε-
θα διατελέσαι· τὸ μὲν ἐρωτῶν τὸ δ' ἀποκρινόμενος· τὸ δὲ μῆκος
τῶν λόγων τοῦτο, οἷον καὶ πῶλος ἤρξατο· εἰς αὖθις ἀποθέσθαι·
ἀλλ' ὅπερ ὑπισχνῇ μὴ ψεύσῃ· ἀλλ' ἐθέλησον κατὰ βραχὺ τὸ ἐρω-
τώμενον ἀποκρίνεσθαι: εἰσὶ μὲν ὦ σώκρατες ἔνιαι τῶν ἀποκρί-
σεων ἀναγκαῖαι διὰ μακρῶν τοὺς λόγους ποιεῖσθαι· οὐ μὴν ἀλλὰ
πειράσομαί γε ὡς διὰ βραχυτάτων· καὶ γὰρ αὖ καὶ τοῦτο ἕν ἐστιν
ὧν φημί· μηδένα ἂν ἐν βραχυτέροις ἐμοῦ τὰ αὐτὰ εἰπεῖν: τούτου
μὴν δεῖ ὦ γοργία· καί μοι ἐπίδειξιν αὐτοῦ τούτου ποίησαι τῆς
βραχυλογίας· μακρολογίας δὲ εἰς αὖθις: ἀλλὰ ποιήσω καὶ
οὐδενὸς φήσεις βραχυλογωτέρου ἀκοῦσαι: φέρε δή· ῥητορι-
κῆς γὰρ φῂς ἐπιστήμων τέχνης εἶναι· καὶ ποιῆσαι ἂν καὶ ἄλλον
ῥήτορα· ἡ ῥητορικὴ περὶ τί τῶν ὄντων τυγχάνει οὖσα· ὥσπερ
ἡ ὑφαντικὴ περὶ τὴν τῶν ἱματίων ἐργασίαν· ἦ γάρ: ναί: οὐ-
κοῦν καὶ ἡ μουσικὴ περὶ τὴν τῶν μελῶν ποίησιν: ναί: νὴ τὴν
ἥραν ὦ γοργία ἄγαμαί γε τὰς ἀποκρίσεις· ὅτι ἀποκρίνῃ ὡς
οἷόν τε διὰ βραχυτάτων: πάνυ γὰρ οἶμαι ὦ σώκρατες ἐπιεικῶς
τοῦτο ποιεῖν: εὖ λέγεις· ἴθι δή μοι ἀπόκριναι οὕτως καὶ περὶ
τῆς ῥητορικῆς· περὶ τί τῶν ὄντων ἐστὶν ἐπιστήμη: περὶ λόγους:
ποίους τούτους ὦ γοργία· ἆρα οἳ δηλοῦσι τοὺς κάμνοντας ὡς
ἂν διαιτώμενοι ὑγιαίνοιεν: οὔ: οὐκ ἄρα περὶ πάντας γε τοὺς
λόγους ἡ ῥητορική ἐστιν: οὐ δῆτα: ἀλλὰ μὴν λέγειν γε ποιεῖ δυ-
νατούς: ναί: οὐκοῦν περὶ ὧνπερ λέγειν καὶ φρονεῖν: πῶς
γὰρ οὔ: ἆρ' οὖν ἣν νῦν δὴ ἐλέγομεν ἡ ἰατρικὴ περὶ τῶν καμνόν-
των δυνατοὺς εἶναι φρονεῖν καὶ λέγειν: ἀνάγκη: καὶ ἡ ἰατρικὴ
ἄρα ὡς ἔοικεν περὶ λόγους ἐστίν: ναί: τούς γε περὶ τὰ νοσή-
ματα: μάλιστα: οὐκοῦν καὶ ἡ γυμναστικὴ περὶ λόγους ἐστὶν τοὺς
περὶ εὐεξίαν τε τῶν σωμάτων καὶ καχεξίαν: πάνυ γε: καὶ μὴν
καὶ αἱ ἄλλαι τέχναι ὦ γοργία οὕτως ἔχουσιν· ἑκάστη αὐτῶν περὶ
λόγους ἐστὶν τούτους οἳ τυγχάνουσιν ὄντες περὶ τὸ πρᾶγμα
οὗ ἑκάστη ἐστὶν ἡ τέχνη: φαίνεται: τί οὖν δή ποτε τὰς ἄλλας τέχνας

οὐ ῥητορικὰς καλεῖς οὔσας περὶ λόγους· εἴπερ ταύτην ῥητορικὴν
καλεῖς· ἣ ἂν ᾖ περὶ λόγους: ὅτι ὦ σώκρατες· τῶν μὲν ἄλλων τεχνῶν
περὶ χειρουργίας τε καὶ τοιαύτας πράξεις ὡς ἔπος εἰπεῖν πᾶσα
ἐστὶν ἡ ἐπιστήμη· τῆς δὲ ῥητορικῆς οὐδέν ἐστιν τοιοῦτον χειρούργη-
μα· ἀλλὰ πᾶσα ἡ πρᾶξις καὶ ἡ κύρωσις διὰ λόγων ἐστίν· διὰ ταῦτ' ἐ-
413 γὼ τὴν ῥητορικὴν τέχνην ἀξιῶ εἶναι περὶ λόγους: ὀρθῶς λέ-
γων ὡς ἐγώ φημι: ἆρ' οὖν μανθάνω οἵαν αὐτὴν βούλει καλεῖν· τάχα δὲ
εἴσομαι σαφέστερον· ἀλλ' ἀπόκριναι· εἰσὶν ἡμῖν τέχναι· ἦ γάρ: ναί: πα-
σῶν δὴ οἶμαι τῶν τεχνῶν τῶν μὲν ἐργασία τὸ πολύ ἐστιν καὶ λόγου βρα-
χέος δέονται· ἔνιαι δὲ οὐδενός· ἀλλὰ τὸ τῆς τέχνης περαίνοιτο
ἂν καὶ διὰ σιγῆς· οἷον γραφικὴ καὶ ἀνδριαντοποιία καὶ ἄλλαι πολ-
λαί· τὰς τοιαύτας μοι δοκεῖς λέγειν περὶ ἃς οὐ φῂς τὴν ῥητορι-
κὴν εἶναι· ἢ οὔ: πάνυ μὲν οὖν καλῶς ὑπολαμβάνεις ὦ σώκρατες:
ἕτεραι δέ γέ εἰσι τῶν τεχνῶν αἳ διὰ λόγου πᾶν περαίνουσι καὶ ἔργου
ὡς ἔπος εἰπεῖν ἢ οὐδενὸς προσδέονται ἢ βραχέος πάνυ· οἷον ἡ
ἀριθμητικὴ καὶ λογιστικὴ καὶ γεωμετρικὴ καὶ πεττευτική γε καὶ
ἄλλαι πολλαὶ τέχναι ὧν ἔνιαι σχεδόν τι ἴσους τοὺς λόγους ἔχου-
σι ταῖς πράξεσιν· αἱ δὲ πολλαὶ πλείους· καὶ τὸ παράπαν πᾶσα ἡ
πρᾶξις καὶ τὸ κῦρος αὐταῖς διὰ λόγων ἐστίν· τῶν τοιούτων τινά μοι
δοκεῖς λέγειν τὴν ῥητορικήν: ἀληθῆ λέγεις: ἀλλ' οὔτοι τούτων γε
οὐδεμίαν οἶμαί σε βούλεσθαι ῥητορικὴν καλεῖν· οὐχ ὅτι τῷ ῥήματι
οὕτως εἶπες ὅτι ἡ διὰ λόγου τὸ κῦρος ἔχουσα ῥητορική ἐστιν· καὶ
ὑπολάβοι ἄν τις εἰ βούλοιτο δυσχεραίνειν ἐν τοῖς λόγοις· τὴν ἀριθμη-
τικὴν ἄρα ῥητορικὴν ὦ γοργία λέγεις· ἀλλ' οὐκ οἶμαί σε οὔτε τὴν
ἀριθμητικὴν οὔτε τὴν γεωμετρίαν ῥητορικὴν λέγειν: ὀρθῶς γὰρ
οἴει ὦ σώκρατες καὶ δικαίως ὑπολαμβάνεις: ἴθι νῦν καὶ σὺ τὴν
ἀπόκρισιν ἣν ἠρόμην διαπέρανον· ἐπεὶ γὰρ ῥητορικὴ τυγχάνει μὲν
οὖσα τούτων τις τῶν τεχνῶν τῶν τὸ πολὺ λόγῳ χρωμένων· τυγχά-
νουσιν δὲ καὶ ἄλλαι τοιαῦται οὖσαι· πειρῶ εἰπεῖν ἡ περὶ τί ἐν λόγοις
τὸ κῦρος ἔχουσα ῥητορική ἐστιν· ὥσπερ ἂν εἴ τίς με ἔροιτο ὧν νυνδὴ
ἔλεγον περὶ ἡστινοσοῦν τῶν τεχνῶν· ὦ σώκρατες· τίς ἐστιν ἡ ἀριθμη-
τικὴ τέχνη· εἴποιμ' ἂν αὐτῷ ὥσπερ σὺ ἄρτι· ὅτι τῶν διὰ λόγου τις
τὸ κῦρος ἐχουσῶν· καὶ εἴ με ἐπανέροιτο τῶν περὶ τί· εἴποιμ' ἂν ὅτι
τῶν περὶ τὸ ἄρτιόν τε καὶ περιττὸν ὅσα ἂν ἑκάτερα τυγχάν-




χάριν ὄντως· εἰ δ' αὖ ἔροιτο τὴν δὲ λογιστικὴν τίνα καλεῖς τέχνην· εἴ-
ποιμ' ἂν ὅτι καὶ αὐτὴ ἐστὶν τῶν λόγῳ τὸ πᾶν κυρουμένων· καὶ εἰ ἐπανέ-
ροιτο· τῶν περὶ τί· εἴποιμ' ἂν ὥσπερ οἱ ἐν τῷ δήμῳ συγγραφόμενοι
ὅτι τὰ μὲν ἄλλα καθάπερ ἡ ἀριθμητικὴ ἡ λογιστικὴ ἔχει· περὶ τὸ
αὐτὸ γάρ ἐστι τό τε ἄρτιον καὶ τὸ περιττόν· διαφέρει δὲ τοσοῦτον
ὅτι καὶ πρὸς αὑτὰ καὶ πρὸς ἄλληλα πῶς ἔχει πλήθους ἐπισκο-
πεῖ τὸ περιττὸν καὶ τὸ ἄρτιον ἡ λογιστική· καὶ εἴ τις τὴν ἀστρονο-
μίαν ἀνέροιτο ἐμοῦ λέγοντος ὅτι καὶ αὐτὴ λόγῳ κυροῦται τὰ
πάντα· οἱ δὲ λόγοι οἱ τῆς ἀστρονομίας εἰ φαίη περὶ τί εἰσιν ὦ
σώκρατες· εἴποιμ' ἂν ὅτι περὶ τὴν τῶν ἄστρων φορὰν καὶ ἡλίου
καὶ σελήνης πῶς πρὸς ἄλληλα τάχους ἔχει: ὀρθῶς γε λέγων
σὺ ὦ σώκρατες: ἴθι δὴ καὶ σὺ ὦ γοργία· τυγχάνει μὲν γὰρ δὴ
ἡ ῥητορικὴ οὖσα τῶν λόγῳ τὰ πάντα διαπραττομένων τε καὶ
κυρουμένων τινῶν· ἦ γάρ: ἔστι ταῦτα: λέγε δὴ τῶν περὶ τί· ἔστι
τοῦτο τῶν ὄντων περὶ οὗ οὗτοι οἱ λόγοι εἰσὶν οἷς ἡ ῥητορικὴ χρῆ-
ται: τὰ μέγιστα τῶν ἀνθρωπείων πραγμάτων ὦ σώκρατες καὶ
ἄριστα: ἀλλ' ὦ γοργία ἀμφισβητήσιμον καὶ τοῦτο λέγεις καὶ οὐ-
δέν πω σαφές· οἴομαι γάρ σε ἀκηκοέναι ἐν τοῖς συμποσίοις ᾀ-
δόντων ἀνθρώπων τοῦτο τὸ σκόλιον ἐν ᾧ καταριθμοῦνται ᾄδον-
τες ὅτι ὑγιαίνειν μὲν ἄριστόν ἐστι· τὸ δὲ δεύτερον καλὸν γενέσθαι·
τρίτον δὲ ὥς φησιν ὁ ποιητὴς τοῦ σκολιοῦ τὸ πλουτεῖν ἀδό-
λως: ἀκήκοα γάρ· ἀλλὰ πρὸς τί τοῦτο λέγεις: ὅτι σοι αὐτίκα
παρασταῖεν οἱ δημιουργοὶ τούτων ὧν ἐπῄνεσεν ὁ τὸ σκόλιον ποι-
ήσας· ἰατρός τε καὶ παιδοτρίβης καὶ χρηματιστής· καὶ εἴποι
πρῶτον μὲν ὁ ἰατρὸς ὅτι ὦ σώκρατες ἐξαπατᾷ σε γοργίας·
οὐ γάρ ἐστιν ἡ τούτου τέχνη περὶ τὸ μέγιστον ἀγαθὸν τοῖς ἀνθρώ-
ποις ἀλλ' ἡ ἐμή· εἰ οὖν αὐτὸν ἐγὼ ἐροίμην σὺ δὲ τίς ὢν ταῦτα λέγεις·
εἴποι ἂν ἴσως ὅτι ἰατρός· τί οὖν λέγεις· ἢ τὸ τῆς σῆς τέχνης
ἔργον μέγιστόν ἐστιν ἀγαθόν: πῶς γὰρ οὔ φαίη ἂν ἴσως ὦ σώκρα-
τες ὑγίεια· τί δ' ἐστὶ μεῖζον ἀγαθὸν ἀνθρώποις ὑγιείας· εἰ δ' αὖ
μετὰ τοῦτον ὁ παιδοτρίβης εἴποι ὅτι θαυμάζοιμί γ' ἂν ὦ σώκρατες
καὶ αὐτὸς εἴ σοι ἔχοι γοργίας μεῖζον ἀγαθὸν ἐπιδεῖξαι τῆς αὑ-
τοῦ τέχνης ἢ ἐγὼ τῆς ἐμῆς· εἴποιμ' ἂν αὖ καὶ πρὸς τοῦτον· σὺ δὲ
414 δὴ τίς εἶ ὦ ἄνθρωπε καὶ τί τὸ σὸν ἔργον· παιδοτρίβης φαίη ἄν·

τὸ δὲ ἔργον μου ἐστὶν καλούς τε καὶ ἰσχυροὺς ποιεῖν τοὺς ἀνθρώπους
τὰ σώματα· μετὰ δὲ τὸν παιδοτρίβην εἴποι ἂν ὁ χρηματιστὴς ὡς
ἐγῷμαι πάνυ καταφρονῶν ἁπάντων· σκόπει δῆτα ὦ σώκρατες
ἐάν σοι πλούτου φανῇ τι μεῖζον ἀγαθὸν ὂν ἢ παρὰ γοργίᾳ ἢ παρ' ἄλ-
λῳ ὁτῳοῦν· φαῖμεν ἂν οὖν πρὸς αὐτόν· τί δὲ δή; ἦ σὺ τούτου δη-
μιουργός· φαίη ἂν· τίς ὤν· χρηματιστής· τί οὖν κρίνεις σὺ μέγιστον
ἀνθρώποις ἀγαθὸν εἶναι πλοῦτον· φήσομεν· πῶς γὰρ οὔκ· ἐρεῖ·
καὶ μὴν ἀμφισβητεῖ γε γοργίας ὅδε τὴν παρ' αὐτῷ τέχνην μεί-
ζονος ἀγαθοῦ αἰτίαν εἶναι ἢ τὴν σήν· φαῖμεν ἂν ἡμεῖς· δῆλον οὖν
ὅτι τὸ μετὰ τοῦτο ἔροιτ' ἄν· καὶ τί ἐστιν τοῦτο τὸ ἀγαθόν; ἀποκρινάσθω
γοργίας· ἴθι οὖν νομίσας ὦ γοργία ἐρωτᾶσθαι καὶ ὑπ' ἐκείνων
καὶ ὑπ' ἐμοῦ ἀπόκριναι τί ἐστιν τοῦτο ὃ φῂς σὺ μέγιστον ἀγαθὸν εἶ-
ναι τοῖς ἀνθρώποις καὶ σὲ δημιουργὸν εἶναι αὐτοῦ: ὅπερ ἐστὶν
ὦ σώκρατες τῇ ἀληθείᾳ μέγιστον ἀγαθὸν καὶ αἴτιον ἅμα μὲν ἐλευ-
θερίας αὐτοῖς τοῖς ἀνθρώποις ἅμα δὲ τοῦ ἄλλων ἄρχειν ἐν
τῇ αὑτοῦ πόλει ἑκάστῳ: τί οὖν δὴ τοῦτο λέγεις: τὸ πείθειν ἔγωγ'
οἷόν τ' εἶναι τοῖς λόγοις· καὶ ἐν δικαστηρίῳ δικαστάς· καὶ ἐν βου-
λευτηρίῳ βουλευτάς· καὶ ἐν ἐκκλησίᾳ ἐκκλησιαστάς· καὶ ἐν ἄλλῳ
συλλόγῳ παντὶ ὅστις ἂν πολιτι-
κὸς σύλλογος γίγνηται· καίτοι ἐν ταύτῃ τῇ δυνάμει δοῦλον μὲν
ἕξεις τὸν ἰατρόν· δοῦλον δὲ τὸν παιδοτρίβην· ὁ δὲ χρηματιστὴς οὗ-
τος ἄλλῳ ἀναφανήσεται χρηματιζόμενος καὶ οὐχ αὑτῷ· ἀλλὰ σοὶ
τῷ δυναμένῳ λέγειν καὶ πείθειν τὰ πλήθη: νῦν μοι δοκεῖς δηλῶσαι
ὦ γοργία ἐγγύτατα τὴν ῥητορικὴν ἥντινα τέχνην ἡγεῖ εἶναι· καὶ ε-
ἴ τι ἐγὼ συνίημι· λέγεις ὅτι πειθοῦς δημιουργός ἐστιν ἡ ῥητορική
καὶ ἡ πραγματεία αὐτῆς ἅπασα καὶ τὸ κεφάλαιον εἰς τοῦτο τελευ-
τᾷ· ἢ ἔχεις τι λέγειν ἐπὶ πλέον τὴν ῥητορικὴν δύνασθαι ἢ πειθὼ
τοῖς ἀκούουσιν ἐν τῇ ψυχῇ ποιεῖν: οὐδαμῶς ὦ σώκρατες· ἀλλά μοι
δοκεῖς ἱκανῶς ὁρίζεσθαι· ἔστιν γὰρ τοῦτο τὸ κεφάλαιον αὐτῆς: ἄ-
κουσον δὴ ὦ γοργία· ἐγὼ γὰρ εὖ ἴσθ' ὅτι ὡς ἐμαυτὸν πείθω εἴπερ
τις ἄλλος ἄλλῳ διαλέγεται βουλόμενος εἰδέναι αὐτὸ τοῦτο περὶ ὅ-
του ὁ λόγος ἐστί· καὶ ἐμὲ εἶναι τούτων ἕνα· ἀξιῶ δὲ καὶ σέ: τί οὖν
δὴ ὦ σώκρατες: ἐγὼ ἐρῶ νῦν· ἐγὼ τὴν ἀπὸ τῆς ῥητορικῆς πειθὼ
ἥτις ποτ' ἐστὶν ἣν σὺ λέγεις· καὶ περὶ ὧντινων πραγμάτων ἐστὶ πει-
θώ· σάφ' ἴσθ' ὅτι οὐκ οἶδα· οὐ μὴν ἀλλ' ὑποπτεύω γε ἣν

οἶμαί σε λέγειν καὶ περὶ ὧν· οὐδὲν μέντοι ἧττον ἐρήσομαί σε· τίνα ποτὲ
λέγεις τὴν πειθὼ τὴν ἀπὸ τῆς ῥητορικῆς· καὶ περὶ τίνων αὐτὴν εἶ-
ναι· τοῦ ἕνεκα δὴ αὐτὸς ὑποπτεύων σε ἐρήσομαι· ἀλλ' οὐκ αὐτὸς λέ-
γω· οὐ σοῦ ἕνεκα ἀλλὰ τοῦ λόγου· ἵνα οὕτω προΐῃ ὡς μάλιστ' ἂν ἡμῖν
καταφανὲς ποιοῖ περὶ ὅτου λέγεται· σκόπει γὰρ εἴ σοι δοκῶ δικαίως
ἀνερωτᾶν σε· ὥσπερ ἂν εἰ ἐτύγχανόν σε ἐρωτῶν τίς ἐστιν τῶν ζωγρά-
φων ζεῦξις· εἴ μοι εἶπες ὅτι ὁ τὰ ζῷα γράφων· ἆρ' οὐκ ἂν δικαίως σε
ἠρόμην ὁ τὰ ποῖα τῶν ζῴων γράφων καὶ ποῦ; πάνυ γε: ἆρα διὰ
τοῦτο ὅτι καὶ ἄλλοι εἰσὶ ζωγράφοι γράφοντες ἄλλα πολλὰ ζῷα; ναί:
εἰ δέ γε μηδεὶς ἄλλος ἢ ζεῦξις ἔγραφε· καλῶς ἄν σοι ἀπεκέκριτο:
πῶς γὰρ οὔ: ἴθι δὴ καὶ περὶ τῆς ῥητορικῆς εἰπέ· πότερόν σοι
δοκεῖ πειθὼ ποιεῖν ἡ ῥητορικὴ μόνη· ἢ καὶ ἄλλαι τέχναι· λέγω δὲ τὸ
τοιόνδε· ὅστις διδάσκει ὁτιοῦν πρᾶγμα· πότερον ὃ διδάσκει πεί-
θει ἢ οὔ: οὐ δῆτα ὦ σώκρατες· ἀλλὰ πάντων μάλιστα πείθει: πά-
λιν δὴ ἐπὶ τῶν αὐτῶν τεχνῶν λέγωμεν ὧνπερ νῦν δή· ἡ ἀριθμητικὴ
οὐ διδάσκει ἡμᾶς ὅσα ἐστὶν τὰ τοῦ ἀριθμοῦ καὶ ὁ ἀριθμητικὸς ἄν-
θρωπος: πάνυ γε: οὐκοῦν καὶ πείθει: ναί: πειθοῦς ἄρα δημι-
ουργός ἐστιν καὶ ἡ ἀριθμητική: φαίνεται: οὐκοῦν ἐάν τις ἐρω-
τᾷ ἡμᾶς ποίας πειθοῦς καὶ περὶ τί· ἀποκρινούμεθά που αὐ-
τῷ ὅτι τῆς διδασκαλικῆς τῆς περὶ τὸ ἄρτιόν τε καὶ τὸ περιττὸν
ὅσον ἐστίν· καὶ τὰς ἄλλας ἃς νῦν δὴ ἐλέγομεν τέχνας ἁπάσας
ἕξομεν ἀποδεῖξαι πειθοῦς δημιουργοὺς οὔσας καὶ ἧστινος
καὶ περὶ ὅτι· ἢ οὔ: ναί: οὐκ ἄρα ῥητορικὴ μόνη πειθοῦς ἐστιν δη-
μιουργός: ἀληθῆ λέγεις: ἐπειδὴ τοίνυν οὐ μόνη ἀπεργάζεται
τοῦτο τὸ ἔργον ἀλλὰ καὶ ἄλλαι· δικαίως ὥσπερ περὶ τοῦ ζωγράφου
μετὰ τοῦτο ἐπανεροίμεθ' ἂν τὸν λέγοντα ποίας δὴ πειθοῦς καὶ
415 τῆς περί τι πειθοῦς ἡ ῥητορική ἐστιν τέχνη· ἢ οὐ δοκεῖ σοι δίκαι-
ον εἶναι ἐπανερέσθαι: ἔμοιγε: ἀπόκριναι δὴ ὦ γοργία ἐπειδή
γε καὶ σοὶ δοκεῖ οὕτως: ταύτης τοίνυν τῆς πειθοῦς λέγω ὦ σώκρα-
τες τῆς ἐν τοῖς δικαστηρίοις καὶ ἐν τοῖς ἄλλοις ὄχλοις ὥσπερ
καὶ ἄρτι ἔλεγον καὶ περὶ τούτων ἅ ἐστι δίκαιά τε καὶ ἄδικα: καὶ
ἐγώ τοι ὑπώπτευον ταύτην σε λέγειν τὴν πειθώ· καὶ περὶ τού-
των ὦ γοργία· ἀλλ' ἵνα μὴ θαυμάζοις ἐὰν ὀλίγον ὕστερον τοιοῦ-
τόν τί σε ἀνέρωμαι ὃ δοκεῖ μὲν δῆλον εἶναι· ἐγὼ δ' ἐπανερωτῶ·

ὅπερ γὰρ λέγω τοῦ ἑξῆς ἕνεκα περαίνεσθαι τὸν λόγον ἐρωτῶ· οὐ σοῦ ἕνεκα· ἀλλ' ἵνα μὴ ἐθιζώμεθα ὑπονοοῦντες προαρπάζειν ἀλλήλων τὰ λεγόμενα· ἀλλὰ σὺ τὰ σαυτοῦ κατὰ τὴν ὑπόθεσιν ὅπως ἂν βούλῃ περαίνῃς: καὶ ὀρθῶς γέ μοι δοκεῖς ποιεῖν ὦ σώκρατες: ἴθι δὴ καὶ τόδε ἐπισκεψώμεθα· καλεῖς τι μεμαθηκέναι: καλῶ: τί δαί· πεπιστευκέναι: ἔγωγε: πότερον οὖν ταὐτὸν δοκεῖ σοι εἶναι μεμαθηκέναι καὶ πεπιστευκέναι καὶ μάθησις καὶ πίστις· ἢ ἄλλο τι: οἴομαι μὲν ἔγωγε ὦ σώκρατες ἄλλο: καλῶς γὰρ οἴει· γνώσῃ δὲ ἐνθένδε· εἰ γάρ τίς σε ἔροιτο· ἆρ' ἔστιν τις ὦ γοργία πίστις ψευδὴς καὶ ἀληθής· φαίης ἄν ὡς ἐγὼ οἶμαι: ναί: τί δέ· ἐπιστήμη ἐστὶν ψευδὴς καὶ ἀληθής: οὐδαμῶς: δῆλον γὰρ αὖ ὅτι οὐ ταὐτόν ἐστιν: ἀληθῆ λέγεις: ἀλλὰ μὴν οἵ τέ γε μεμαθηκότες πεπεισμένοι εἰσὶ καὶ οἱ πεπιστευκότες: ἔστι ταῦτα: βούλει οὖν δύο εἴδη θῶμεν πειθοῦς· τὸ μὲν πίστιν παρεχόμενον ἄνευ τοῦ εἰδέναι· τὸ δ' ἐπιστήμην: πάνυ γε: ποτέραν οὖν ἡ ῥητορικὴ πειθὼ ποιεῖ ἐν δικαστηρίοις τε καὶ τοῖς ἄλλοις ὄχλοις περὶ τῶν δικαίων τε καὶ ἀδίκων· ἐξ ἧς τὸ πιστεύειν γίγνεται ἄνευ τοῦ εἰδέναι· ἢ ἐξ ἧς τὸ εἰδέναι: δῆλον δήπου ὦ σώκρατες ὅτι ἐξ ἧς τὸ πιστεύειν: ἡ ῥητορικὴ ἄρα ὡς ἔοικεν πειθοῦς δημιουργός ἐστι πιστευτικῆς ἀλλ' οὐ διδασκαλικῆς περὶ τὸ δίκαιόν τε καὶ ἄδικον: ναί: οὐδ' ἄρα διδασκαλικὸς ὁ ῥήτωρ ἐστὶ δικαστηρίων τε καὶ τῶν ἄλλων ὄχλων δικαίων τε πέρι καὶ ἀδίκων· ἀλλὰ πιστικὸς μόνον· οὐ γὰρ δήπου ὄχλον γ' ἂν δύναιτο τοσοῦτον ἐν ὀλίγῳ χρόνῳ διδάξαι οὕτω μεγάλα πράγματα: οὐ δῆτα: φέρε δή ἴδωμεν τί ποτε καὶ λέγομεν περὶ τῆς ῥητορικῆς· ἐγὼ μὲν γάρ τοι οὐδ' αὐτός πω δύναμαι κατανοῆσαι ὅτι λέγω· ὅταν περὶ ἰατρῶν αἱρέσεως ᾖ τῇ πόλει σύλλογος· ἢ περὶ ναυπηγῶν ἢ περὶ ἄλλου τινὸς δημιουργικοῦ ἔθνους· ἄλλο τι ἢ τότε ὁ ῥητορικὸς οὐ συμβουλεύσει· δῆλον γὰρ ὅτι ἐν ἑκάστῃ αἱρέσει τὸν τεχνικώτατον δεῖ αἱρεῖσθαι· οὐδ' ὅταν τειχῶν περὶ οἰκοδομήσεως ἢ λιμένων κατασκευῆς ἢ νεωρίων· ἀλλ' οἱ ἀρχιτέκτονες· οὐδ' αὖ ὅταν στρατηγῶν αἱρέσεως πέρι ἢ τάξεώς τινος πρὸς πολεμίους ἢ χωρίων καταλήψεως συμβουλὴ ᾖ· ἀλλ' οἱ στρατηγικοὶ τότε συμβουλεύσουσιν· οἱ ῥητορικοὶ δὲ οὔ· ἢ πῶς λέγεις ὦ γοργία τὰ τοιαῦτα· ἐπειδὴ γὰρ αὐτός τε φῂς ῥήτωρ εἶναι καὶ ἄλλους ποιεῖν ῥητο-



ρικούς· εὖ ἔχει τὰ ἐκ τῆς τέχνης παρὰ σοῦ πυθέσθαι. καὶ ἐμὲ
νῦν νόμισον καὶ τὸ σὸν σπεύδειν· ἴσως γὰρ καὶ τυγχάνει τις τῶν ἔνδον
ὄντων μαθητής σου βουλόμενος γενέσθαι. ὡς ἐγώ τινας σχεδὸν
καὶ συχνοὺς αἰσθάνομαι, οἳ ἴσως αἰσχύνοιντ' ἄν σε ἀνερέσθαι. ὑπ'
ἐμοῦ οὖν ἀνερωτώμενος νόμισον καὶ ὑπ' ἐκείνων ἀνερωτᾶ-
σθαι. τί ἡμῖν ὦ γοργία ἔσται ἐάν σοι συνῶμεν; περὶ τίνων τῇ πό-
λει συμβουλεύειν οἷοί τε ἐσόμεθα; πότερον περὶ δικαίου μόνον
καὶ ἀδίκου ἢ καὶ περὶ ὧν νῦν δὴ σωκράτης ἔλεγεν· πειρῶ οὖν αὐ-
τοῖς ἀποκρίνεσθαι: ἀλλ' ἐγώ σοι πειράσομαι ὦ σώκρατες σαφῶς
ἀποκαλύψαι τὴν τῆς ῥητορικῆς δύναμιν ἅπασαν· αὐτὸς γὰρ καλῶς
ὑφηγήσω. οἶσθα γὰρ δήπου ὅτι τὰ νεώρια ταῦτα καὶ τὰ τείχη τὰ
ἀθηναίων καὶ ἡ τῶν λιμένων κατασκευὴ ἐκ τῆς θεμιστοκλέους
συμβουλῆς γέγονεν· τὰ δ' ἐκ τῆς περικλέους ἀλλ' οὐκ ἐκ τῶν δημι-
ουργῶν: λέγεται ταῦτα ὦ γοργία περὶ θεμιστοκλέους· περικλέ-
ους δὲ καὶ αὐτὸς ἤκουον ὅτε συνεβούλευεν ἡμῖν περὶ τοῦ διὰ
μέσου τείχους: καὶ ὅταν γέ τις αἵρεσις ᾖ ὧν δὴ σὺ ἔλεγες ὦ σώ-
416 κρατες ὁρᾷς ὅτι οἱ ῥήτορές εἰσιν οἱ συμβουλεύοντες καὶ οἱ νικῶν-
τες τὰς γνώμας περὶ τούτων: ταῦτα καὶ θαυμάζων ὦ γοργία
πάλαι ἐρωτῶ τίς ποτε ἡ δύναμίς ἐστιν τῆς ῥητορικῆς. δαιμο-
νία γάρ τις ἔμοιγε καταφαίνεται τὸ μέγεθος οὕτω σκοποῦντι:
εἰ πάντα γε εἰδείης ὦ σώκρατες ὅτι ὡς ἔπος εἰπεῖν ἁπάσας τὰς
δυνάμεις συλλαβοῦσα ὑφ' αὑτῇ ἔχει. μέγα δέ σοι τεκμήριον ἐρῶ·
πολλάκις γὰρ ἤδη ἔγωγε μετὰ τοῦ ἀδελφοῦ καὶ μετὰ τῶν ἄλλων
ἰατρῶν εἰσελθὼν παρά τινα τῶν καμνόντων οὐχὶ ἐθέλοντα ἢ
φάρμακον πιεῖν ἢ τεμεῖν ἢ καῦσαι παρασχεῖν τῷ ἰατρῷ. οὐ δυ-
ναμένου τοῦ ἰατροῦ πεῖσαι ἐγὼ ἔπεισα. οὐκ ἄλλῃ τέχνῃ ἢ τῇ ῥη-
τορικῇ. φημὶ δὲ καὶ εἰς πόλιν ὅπῃ βούλει ἐλθόντα ῥητορικὸν
ἄνδρα καὶ ἰατρόν, εἰ δέοι λόγῳ διαγωνίζεσθαι ἐν ἐκκλησίᾳ ἢ ἐν
ἄλλῳ τινὶ συλλόγῳ ὁπότερον δεῖ αἱρεθῆναι ἰατρὸν οὐδαμοῦ ἂν
φανῆναι τὸν ἰατρόν, ἀλλ' αἱρεθῆναι ἂν τὸν εἰπεῖν δυνατὸν εἰ βούλοι-
το. καὶ εἰ πρὸς ἄλλον γε δημιουργὸν ὁντινοῦν ἀγωνίζοιτο, πεί-
σειεν ἂν αὑτὸν ἑλέσθαι ὁ ῥητορικὸς μᾶλλον ἢ ἄλλος ὁστισοῦν. οὐ γὰρ
ἔστιν περὶ ὅτου οὐκ ἂν πιθανώτερον εἴποι ὁ ῥητορικὸς ἢ ἄλλος
ὁστισοῦν τῶν δημιουργῶν ἐν πλήθει. ἡ μὲν οὖν δύναμις τοσαύτη

ἐστὶν καὶ τοιαύτη τῆς τέχνης. δεῖ μέντοι ὦ Σώκρατες τῇ ῥητορικῇ χρῆ-
σθαι ὥσπερ τῇ ἄλλῃ πάσῃ ἀγωνίᾳ. καὶ γὰρ τῇ ἄλλῃ ἀγωνίᾳ οὐ τού-
του ἕνεκα δεῖ πρὸς ἅπαντας χρῆσθαι ἀνθρώπους ὅτι ἔμαθεν πυ-
κτεύειν τε καὶ παγκρατιάζειν καὶ ἐν ὅπλοις μάχεσθαι ὥστε κρείττων
εἶναι καὶ φίλων καὶ ἐχθρῶν. οὐ τούτου ἕνεκα τοὺς φίλους δεῖ τύπτειν
οὐδὲ κεντεῖν τε καὶ ἀποκτεινύναι. οὐδέ γε μὰ Δία ἐάν τις εἰς πα-
λαίστραν φοιτήσας εὖ ἔχων τὸ σῶμα καὶ πυκτικὸς γενόμενος ἔπειτα
τὸν πατέρα τύπτῃ καὶ τὴν μητέρα ἤ τινα ἄλλον τῶν οἰκείων ἢ τῶν φίλων
οὐ τούτου ἕνεκα δεῖ τοὺς παιδοτρίβας καὶ τοὺς ἐν τοῖς ὅπλοις δι-
δάσκοντας μάχεσθαι μισεῖν τε καὶ ἐκβάλλειν ἐκ τῶν πόλεων. ἐκεῖ-
νοι μὲν γὰρ παρέδοσαν ἐπὶ τῷ δικαίως χρῆσθαι τούτοις πρὸς τοὺς
πολεμίους καὶ τοὺς ἀδικοῦντας ἀμυνομένους μὴ ὑπάρχοντας.
οἱ δὲ μεταστρέψαντες χρῶνται τῇ ἰσχύϊ καὶ τῇ τέχνῃ οὐκ ὀρθῶς.
οὔκουν οἱ διδάξαντες πονηροὶ οὐδὲ ἡ τέχνη οὔτε αἰτία οὔτε πο-
νηρὰ τούτου ἕνεκά ἐστιν· ἀλλ' οἱ μὴ χρώμενοι οἶμαι ὀρθῶς. ὁ αὐτὸς
δὴ λόγος καὶ περὶ τῆς ῥητορικῆς. δυνατὸς μὲν γὰρ πρὸς ἅπαν-
τας ἐστὶν ὁ ῥήτωρ καὶ περὶ παντὸς λέγειν ὥστε πιθανώτερος εἶ-
ναι ἐν τοῖς πλήθεσιν ἔμβραχυ περὶ ὅτου ἂν βούληται. ἀλλ' οὐδέν τι μᾶλ-
λον τούτου ἕνεκα δεῖ οὔτε τοὺς ἰατροὺς τὴν δόξαν ἀφαιρεῖσθαι
ὅτι δύναιτο ἂν τοῦτο ποιῆσαι οὔτε τοὺς ἄλλους δημιουργούς.
ἀλλὰ δικαίως καὶ τῇ ῥητορικῇ χρῆσθαι ὥσπερ καὶ τῇ ἀγωνίᾳ.
ἐὰν δὲ οἶμαι ῥητορικὸς γενόμενός τις κἆτα ταύτῃ τῇ δυνάμει
καὶ τῇ τέχνῃ ἀδικῇ, οὐ τὸν διδάξαντα δεῖ μισεῖν τε καὶ ἐκβάλλειν
ἐκ τῶν πόλεων. ἐκεῖνος μὲν γὰρ ἐπὶ δικαίου χρείᾳ παρέδωκεν.
ὁ δ' ἐναντίως χρῆται. τὸν οὖν οὐκ ὀρθῶς χρώμενον μισεῖν δίκαι-
ον καὶ ἐκβάλλειν καὶ ἀποκτεινύναι, ἀλλ' οὐ τὸν διδάξαντα: οἶμαι
ὦ Γοργία καὶ σὲ ἔμπειρον εἶναι πολλῶν λόγων καὶ καθεωρα-
κέναι ἐν αὐτοῖς τὸ τοιόνδε ὅτι οὐ ῥᾳδίως δύνανται περὶ ὧν ἂν
ἐπιχειρήσωσιν διαλέγεσθαι διορισάμενοι πρὸς ἀλλήλους καὶ
μαθόντες καὶ διδάξαντες ἑαυτοὺς οὕτω διαλύεσθαι τὰς συνου-
σίας. ἀλλ' ἐὰν περί του ἀμφισβητήσωσιν καὶ μὴ φῇ ὁ ἕτερος τὸν
ἕτερον ὀρθῶς λέγειν ἢ μὴ σαφῶς, χαλεπαίνουσί τε καὶ κατὰ φθό-
νον οἴονται τὸν ἑαυτῶν λέγειν φιλονικοῦντας ἀλλ' οὐ ζητοῦντας
τὸ προκείμενον ἐν τῷ λόγῳ. καὶ ἔνιοί γε τελευτῶντες αἴσχιστα ἀπ


ἀπαλλάττονται λοιδορηθέντες τε καὶ εἰπόντες καὶ ἀκούσαντες περὶ
σφῶν αὐτῶν τοιαῦτα οἷα καὶ τοὺς παρόντας ἄχθεσθαι ὑπὲρ σφῶν
αὐτῶν ὅτι τοιούτων ἀνθρώπων ἠξίωσαν ἀκροαταὶ γενέσθαι. τοῦ
δὴ ἕνεκα λέγω ταῦτα; ὅτι νῦν ἐμοὶ δοκεῖς σὺ οὐ πάνυ ἀκόλουθα
λέγειν οὐδὲ σύμφωνα οἷς τὸ πρῶτον ἔλεγες περὶ τῆς ῥητορικῆς·
φοβοῦμαι οὖν διελέγχειν σε μή με ὑπολάβῃς οὐ πρὸς τὸ πρᾶγμα
φιλονικοῦντα λέγειν τοῦ καταφανὲς γενέσθαι, ἀλλὰ πρὸς σέ.
ἐγὼ οὖν εἰ μὲν καὶ σὺ εἶ τῶν ἀνθρώπων ὧνπερ καὶ ἐγώ, ἡδέως ἄν
σε διερωτῴην· εἰ δὲ μή, ἐῴην ἄν. ἐγὼ δὲ τίνων εἰμί; τῶν ἡδέως
μὲν ἂν ἐλεγχθέντων εἴ τι μὴ ἀληθὲς λέγω, ἡδέως δ' ἂν ἐλεγξάντων
417 εἴ τίς τι μὴ ἀληθὲς λέγοι, οὐκ ἀηδέστερον μεντἂν ἐλεγχθέντων ἢ ἐλεγ-
ξάντων· μεῖζον γὰρ αὐτὸ ἀγαθὸν ἡγοῦμαι, ὅσῳπερ μεῖζον ἀ-
γαθόν ἐστιν αὐτὸν ἀπαλλαγῆναι κακοῦ τοῦ μεγίστου ἢ ἄλλον ἀπαλλ-
άξαι. οὐδὲν γὰρ οἶμαι τοσοῦτον κακὸν εἶναι ἀνθρώπῳ ὅσον δό-
ξα ψευδὴς περὶ ὧν τυγχάνει νῦν ἡμῖν ὁ λόγος ὤν. εἰ μὲν οὖν καὶ
σὺ φῂς τοιοῦτος εἶναι, διαλεγώμεθα· εἰ δὲ καὶ δοκεῖ χρῆναι
ἐᾶν, ἐῶμεν ἤδη χαίρειν καὶ διαλύωμεν τὸν λόγον: ἀλλὰ φημὶ μὲν
ἔγωγε ὦ Σώκρατες καὶ αὐτὸς τοιοῦτος εἶναι οἷον σὺ ὑφηγῇ· ἴσως
μέντοι χρῆν ἐννοεῖν καὶ τὸ τῶν παρόντων. πάλαι γάρ τοι πρὶν καὶ ὑ-
μᾶς ἐλθεῖν, ἐγὼ τοῖς παροῦσι πολλὰ ἐπεδειξάμην· καὶ νῦν ἴσως
πόρρω ἀποτενοῦμεν ἢν διαλεγώμεθα. σκοπεῖν οὖν χρὴ καὶ τὸ
τούτων, μή τινας αὐτῶν κατέχομεν βουλομένους τι καὶ ἄλλο πράτ-
τειν: τοῦ μὲν θορύβου ὦ Γοργία τε καὶ Σώκρατες αὐτοὶ ἀκούετε
τούτων τῶν ἀνδρῶν βουλομένων ἀκούειν ἐάν τι λέγητε· ἐμοὶ δ' οὖν
καὶ αὐτῷ μὴ γένοιτο τοσαύτη ἀσχολία ὥστε τοιούτων λόγων καὶ
οὕτω λεγομένων ἀφεμένῳ προὐργιαίτερόν τι γενέσθαι ἄλλο πρά-
ττειν: νὴ τοὺς θεοὺς ὦ Χαιρεφῶν καὶ μὲν δὴ καὶ αὐτὸς πολλοῖς
ἤδη λόγοις παραγενόμενος οὐκ οἶδ' εἰ πώποτε ἥσθην οὕτως
ὥσπερ νυνί· ὥστ' ἔμοιγε κἂν τὴν ἡμέραν ὅλην ἐθέλητε διαλέγε-
σθαι χαριεῖσθε. ἀλλὰ μὴν ὦ Καλλίκλεις τό γ' ἐμὸν οὐδὲν κωλύει
εἴπερ ἐθέλει Γοργίας: αἰσχρὸν δὴ τὸ λοιπὸν ὦ Σώκρατες γί-
γνεται ἐμέ γε μὴ ἐθέλειν αὐτὸν ἐπαγγειλάμενον ἐρωτᾶν ὅτι τις
βούλεται. ἀλλ' εἰ δοκεῖ τούτοισι, διαλέγου τε καὶ ἐρώτα ὅτι βούλει:
ἄκουε δὴ ὦ Γοργία ἃ θαυμάζω ἐν τοῖς λεγομένοις ὑπὸ σοῦ·

ἴσως γάρ τοι. σοῦ ὀρθῶς λέγοντος ἐγὼ οὐκ ὀρθῶς ὑπολαμβάνω
ῥητορικὸν φὴς οἷός τ' εἶναι ποιεῖν, ἐάν τις βούληται παρὰ σοῦ μαν-
θάνειν: ναί: οὐκοῦν περὶ πάντων ὥστ' ἐν ὄχλῳ πιθανὸν εἶναι οὐ δι-
δάσκοντα ἀλλὰ πείθοντα: πάνυ μὲν οὖν: ἔλεγές τοι νυνδὴ ὅτι καὶ
περὶ τοῦ ὑγιεινοῦ τοῦ ἰατροῦ πιθανώτερος ἔσται ὁ ῥήτωρ: καὶ γὰρ
ἔλεγον ἔν γε ὄχλῳ: οὐκοῦν τὸ ἐν ὄχλῳ τοῦτό ἐστιν ἐν τοῖς μὴ εἰδό-
σιν· οὐ γὰρ δήπου ἔν γε τοῖς εἰδόσι τοῦ ἰατροῦ πιθανώτερος ἔσται:
ἀληθῆ λέγεις: οὐκοῦν εἴπερ τοῦ ἰατροῦ πιθανώτερος ἔσται
τοῦ εἰδότος πιθανώτερος γίγνεται; πάνυ γε: οὐκ ἰατρός γε
ὤν· ἦ γάρ; ναί: ὁ δὲ μὴ ἰατρός γε δήπου ἀνεπιστήμων ὧν ὁ ἰατρὸς
ἐπιστήμων: δῆλον ὅτι: ὁ οὐκ εἰδὼς ἄρα τοῦ εἰδότος ἐν οὐκ εἰδό-
σι πιθανώτερος ἔσται ὅταν ὁ ῥήτωρ τοῦ ἰατροῦ πιθανώτερος
ᾖ· τοῦτο συμβαίνει ἢ ἄλλο τι: τοῦτο ἐνταῦθά γε συμβαίνει: οὐ-
κοῦν καὶ περὶ τὰς ἄλλας ἁπάσας τέχνας ὡσαύτως ἔχει ὁ ῥή-
τωρ καὶ ἡ ῥητορική· αὐτὰ μὲν τὰ πράγματα οὐδὲν δεῖ αὐτὴν εἰδέ-
ναι ὅπως ἔχει, μηχανὴν δέ τινα πειθοῦς εὑρηκέναι ὥστε φαίνε-
σθαι τοῖς οὐκ εἰδόσι μᾶλλον εἰδέναι τῶν εἰδότων: οὐκοῦν πολ-
λὴ ῥᾳστώνη ὦ σώκρατες γίγνεται, μὴ μαθόντα τὰς ἄλλας τέχνας
ἀλλὰ μίαν ταύτην μηδὲν ἐλαττοῦσθαι τῶν δημιουργῶν: εἰ μὲν ἐ-
λαττοῦται ἢ μὴ ἐλαττοῦται ὁ ῥήτωρ τῶν ἄλλων διὰ τὸ οὕτως ἔχειν,
αὐτίκα ἐπισκεψόμεθα ἐάν τι ἡμῖν πρὸς λόγου ᾖ· νῦν δὲ τόδε πρό-
τερον σκεψώμεθα· ἆρα τυγχάνει περὶ τὸ δίκαιον καὶ τὸ ἄδικον καὶ
τὸ αἰσχρὸν καὶ τὸ καλὸν καὶ ἀγαθὸν καὶ κακόν, οὕτως ἔχων ὁ ῥη-
τορικὸς ὡς περὶ τὸ ὑγιεινὸν καὶ περὶ τὰ ἄλλα ὧν αἱ ἄλλαι τέχναι αὐ-
τὰ μὲν οὐκ εἰδὼς τί ἀγαθὸν ἢ τί κακόν ἐστιν ἢ τί καλὸν ἢ τί αἰσχρὸν
ἢ δίκαιον ἢ ἄδικον· πειθὼ δὲ περὶ αὐτῶν μεμηχανημένος ὥστε
δοκεῖν εἰδέναι οὐκ εἰδὼς ἐν οὐκ εἰδόσι μᾶλλον τοῦ εἰδότος· ἢ ἀ-
νάγκη εἰδέναι καὶ δεῖ προεπιστάμενον ταῦτα ἀφικέσθαι παρὰ σὲ
τὸν μέλλοντα μαθήσεσθαι τὴν ῥητορικήν· εἰ δὲ μή, σὺ ὁ τῆς ῥητο-
ρικῆς διδάσκαλος τούτων μὲν οὐδὲν διδάξεις τὸν ἀφικνούμε-
νον· οὐ γὰρ σὸν ἔργον· ποιήσεις δ' ἐν τοῖς πολλοῖς δοκεῖν εἰδέ-
ναι αὐτὸν τὰ τοιαῦτα οὐκ εἰδότα καὶ δοκεῖν ἀγαθὸν εἶναι οὐκ ὄντα·
ἢ τὸ παράπαν οὐχ οἷός τε ἔσῃ αὐτὸν διδάξαι τὴν ῥητορικήν, ἐὰν μὴ
προειδῇ περὶ τούτων τὴν ἀλήθειαν; ἢ πῶς τὰ τοιαῦτα ἔχει ὦ γοργ-




γίαι καὶ πρὸς Διὸς ὥσπερ ἄρτι εἶπες ἀποκαλύψας τῆς ῥητορι
κῆς εἰπὲ τίς ποθ' ἡ δύναμίς ἐστιν: ἀλλ' ἐγὼ μὲν οἶμαι ὦ Σώκρατες ἐὰν
418 τύχῃ μὴ εἰδὼς καὶ ταῦτα παρ' ἐμοῦ μαθήσεται: ἔχε δή· καλῶς γὰρ
λέγεις· ἐάνπερ ῥητορικὸν σύ τινα ποιήσῃς ἀνάγκη αὐτὸν εἰδέ
ναι τὰ δίκαια καὶ τὰ ἄδικα ἤτοι πρότερόν γε ἢ ὕστερον μαθόντα
παρὰ σοῦ: πάνυ γε: τί οὖν· ὁ τὰ τεκτονικὰ μεμαθηκὼς τεκτο
νικὸς ἢ οὔ: ναί: οὐκοῦν καὶ ὁ τὰ μουσικὰ μουσικός: ναί: καὶ ὁ
τὰ ἰατρικὰ ἰατρικός· καὶ τἆλλα οὕτω κατὰ τὸν αὐτὸν λόγον ὁ με
μαθηκὼς ἕκαστα τοιοῦτός ἐστιν οἷον ἡ ἐπιστήμη ἕκαστον ἀπερ
γάζεται; πάνυ γε: οὐκοῦν κατὰ τοῦτον τὸν λόγον καὶ ὁ τὰ δί
καια μεμαθηκὼς δίκαιος; πάντως δήπου: ὁ δὲ δίκαιος δί
καιά που πράττει: ναί: οὐκοῦν ἀνάγκη τὸν ῥητορικὸν δίκαιον
εἶναι· τὸν δὲ δίκαιον βούλεσθαι δίκαια πράττειν; φαίνεταί γε:
οὐδέποτε ἄρα βουλήσεται ὅ γε δίκαιος ἀδικεῖν: ἀνάγκη: τὸν δὲ ῥη
τορικὸν ἀνάγκη ἐκ τοῦ λόγου δίκαιον εἶναι: ναί: οὐδέποτε ἄρα βου
λήσεται ὁ ῥητορικὸς ἀδικεῖν: οὐ φαίνεταί γε: μέμνησαι οὖν λέγων
ὀλίγῳ πρότερον ὅτι οὐ δεῖ τοῖς παιδοτρίβαις ἐγκαλεῖν οὐδ' ἐκ
βάλλειν ἐκ τῶν πόλεων· ἐὰν ὁ πύκτης τῇ πυκτικῇ χρῆταί τε
καὶ ἀδικῇ· ὡσαύτως δὲ οὕτως καὶ ἐὰν ὁ ῥήτωρ τῇ ῥητορικῇ ἀ
δίκως χρῆται, μὴ τῷ διδάξαντι ἐγκαλεῖν μηδὲ ἐξελαύνειν ἐκ τῆς
πόλεως· ἀλλὰ τῷ ἀδικοῦντι καὶ οὐκ ὀρθῶς χρωμένῳ τῇ ῥητο
ρικῇ· ἐρρήθη ταῦτα ἢ οὔ: ἐρρήθη: νῦν δέ γε ὁ αὐτὸς οὗτος φαί
νεται ὁ ῥητορικὸς οὐκ ἄν ποτε ἀδικήσας· ἢ οὔ: φαίνεται: καὶ ἐν
τοῖς πρώτοις γε ὦ Γοργία λόγοις ἐλέγετο ὅτι ἡ ῥητορικὴ περὶ λό
γους εἴη οὐ τοὺς τοῦ ἀρτίου καὶ περιττοῦ· ἀλλὰ τοὺς τοῦ δικαίου
καὶ ἀδίκου· ἦ γάρ: ναί: ἐγὼ τοίνυν σου τότε ταῦτα λέγοντος ὑ
πέλαβον ὡς οὐδέποτ' ἂν εἴη ἡ ῥητορικὴ ἄδικον πρᾶγμα ὅ γ' ἀεὶ
περὶ δικαιοσύνης τοὺς λόγους ποιεῖται· ἐπειδὴ δὲ ὀλίγον ὕσ
τερον ἔλεγες ὅτι ὁ ῥήτωρ τῇ ῥητορικῇ κἂν ἀδίκως χρῷτο· οὕτω
θαυμάσας καὶ ἡγησάμενος οὐ συνᾴδειν τὰ λεγόμενα ἐκεί
νους εἶπον τοὺς λόγους ὅτι εἰ μὲν κέρδος ἡγοῖο εἶναι τὸ ἐλέγ
χεσθαι ὥσπερ ἐγώ ἄξιον εἴη διαλέγεσθαι· εἰ δὲ μή, ἐᾶν χαίρειν·
ὕστερον δὲ ἡμῶν ἐπισκοπουμένων ὁρᾷς δὴ καὶ αὐτὸς ὅτι αὖ ὁ
μολογεῖται τὸν ῥητορικὸν ἀδύνατον εἶναι ἀδίκως χρῆσθαι τῇ

ῥητορικῆς καὶ ἐθέλω μαθεῖν· ταῦτα οὖν ὅπη ποτὲ ἔχει· μὰ τὸν
κύνα ὦ γοργία, οὐκ ὀλίγης συνουσίας ἐστὶν ὥστε ἱκανῶς διασκέ
ψασθαι: τί δαί ὦ σώκρατες· οὕτω καὶ σὺ περὶ τῆς ῥητορικῆς δοξά
ζεις ὥσπερ νῦν λέγεις· ἢ οἴει ὅτι γοργίας ᾐσχύνθη σοι μὴ προσο
μολογῆσαι τὸν ῥητορικὸν ἄνδρα μὴ οὐχὶ καὶ τὰ δίκαια εἰδέναι καὶ
τὰ καλὰ καὶ τὰ ἀγαθά· καὶ ἐὰν μὴ ἔλθῃ ταῦτα εἰδὼς παρ᾽ αὐτόν,
αὐτὸς διδάξειν· ἔπειτα ἐκ ταύτης ἴσως τῆς ὁμολογίας ἐναντί
ον τι συνέβη ἐν τοῖς λόγοις· τοῦτο ὃ δὴ ἀγαπᾷς αὐτὸς ἀγαγὼν ἐ
πὶ τοιαῦτα ἐρωτήματα· ἐπεὶ τίνα οἴει ἀπαρνήσεσθαι μὴ οὐχὶ καὶ αὐ
τὸν ἐπίστασθαι τὰ δίκαια καὶ ἄλλους διδάξειν· ἀλλ᾽ εἰς τὰ τοιαῦτα ἄ
γειν πολλὴ ἀγροικία ἐστὶ τοὺς λόγους: ὦ κάλλιστε πῶλε ἀλλά τοι
ἐξεπίτηδες κτώμεθα ἑταίρους καὶ υἱεῖς· ἵνα ἐπειδὰν αὐτοὶ πρεσβύτε
ροι γιγνόμενοι σφαλλώμεθα· παρόντες ὑμεῖς οἱ νεώτεροι ἐπανορ
θοῖτε ἡμῶν τὸν βίον καὶ ἐν ἔργοις καὶ ἐν λόγοις· καὶ νῦν εἴ τι ἐγὼ
καὶ γοργίας ἐν τοῖς λόγοις σφαλλόμεθα· σὺ παρὼν ἐπανόρθου·
δίκαιος δ᾽ εἶ· καὶ ἐγὼ ἐθέλω τῶν ὡμολογημένων, εἴ τι σοι δοκεῖ μὴ κα
λῶς ὡμολογῆσθαι, ἀναθέσθαι ὅτι ἂν σὺ βούλῃ, ἐάν μοι ἓν μόνον φυ
λάττῃς: τί τοῦτο λέγεις: τὴν μακρολογίαν ὦ πῶλε ἣν καθείρ
ξῃς, ᾗ τὸ πρῶτον ἐπεχείρησας χρῆσθαι: τί δαί; οὐκ ἐξέσται μοι λέ
γειν ὁπόσα ἂν βούλωμαι: δεινὰ μέντἂν πάθοις ὦ βέλτιστε, εἰ ἀθήνα
ζε ἀφικόμενος οὗ τῆς ἑλλάδος πλείστη ἐστὶν ἐξουσία τοῦ λέγειν·
ἔπειτα σὺ ἐνταῦθα τούτου μόνος ἀτυχήσαις· ἀλλ᾽ ἀντίθες τοι· σοῦ
μακρὰ λέγοντος, καὶ μὴ ἐθέλοντος τὸ ἐρωτώμενον ἀποκρίνεσθαι·
οὐ δεινὰ ἂν αὖ ἐγὼ πάθοιμι· εἰ μὴ ἐξέσται μοι ἀπιέναι καὶ μὴ ἀκού
ειν σου; ἀλλ᾽ εἴ τι κήδῃ τοῦ λόγου τοῦ εἰρημένου· καὶ ἐπανορθώ
σασθαι αὐτὸν βούλει· ὥσπερ νῦν δὴ ἔλεγον ἀναθέμενος ὅ τι σοι
δοκεῖ· ἐν τῷ μέρει ἐρωτῶν καὶ ἐρωτώμενος, ὥσπερ ἐγώ τε καὶ
γοργίας· ἔλεγχέ τε καὶ ἐλέγχου· φῂς γὰρ δήπου καὶ σὺ ἐπίστασ
θαι ἅπερ γοργίας· ἢ οὔ: ἔγωγε: οὐκοῦν καὶ σὺ κελεύεις σαυ
τὸν ἐρωτᾶν ἑκάστοτε ὅτι ἄν τις βούληται ὡς ἐπιστάμενος ἀποκρί
νεσθαι: πάνυ μὲν οὖν: καὶ νῦν δὴ τούτων ὁπότερον βούλει ποίει·
ἐρώτα ἢ ἀποκρίνου: ἀλλὰ ποιήσω ταῦτα· καί μοι ἀπόκριναι ὦ
σώκρατες· ἐπειδὴ γοργίας ἀπορεῖν σοι δοκεῖ περὶ τῆς ῥητορι
κῆς· σὺ αὐτὴν τίνα φῂς εἶναι: ἆρα ἐρωτᾷς ἥντινα τέχνην



φημὶ εἶναι· ἔγωγε· οὐδεμία ἔμοιγε δοκεῖ ὦ πῶλε ὥς γε πρὸς σὲ
τἀληθῆ εἰρῆσθαι· ἀλλὰ τί σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι· πρᾶγμα ὃ
φὴς σὺ ποιῆσαι τέχνην ἐν τῷ συγγράμματι, ὃ ἐγὼ ἔναγχος ἀνέ-
γνων· τί τοῦτο λέγεις· ἐμπειρίαν ἔγωγέ τινα· ἐμπειρία ἄρα σοι
δοκεῖ ἡ ῥητορικὴ εἶναι· ἔμοιγε εἰ μή τι σὺ ἄλλο λέγεις· τίνος ἐμ-
πειρία· χάριτός τινος καὶ ἡδονῆς ἀπεργασίας· οὐκοῦν καλὸν
σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι χαρίζεσθαι οἷόν τε εἶναι ἀνθρώποις·
τί δαὶ ὦ πῶλε ἤδη πέπυσαι παρ' ἐμοῦ ὅ τι φημὶ αὐτὴν εἶναι ὥστε
τὸ μετὰ τοῦτο ἐρωτᾶις εἰ οὐ καλή μοι δοκεῖ εἶναι· οὐ γὰρ πέπυσμαι
ὅτι ἐμπειρίαν τινὰ αὐτὴν φὴς εἶναι· βούλει οὖν ἐπειδὴ τιμᾶις
τὸ χαρίζεσθαι σμικρόν τί μοι χαρίσασθαι· ἔγωγε· ἐροῦ νῦν με
ὀψοποιΐα ἥτις μοι δοκεῖ τέχνη εἶναι· ἐρωτῶ δή τίς τέχνη ὀψο-
ποιΐα· οὐδεμία ὦ πῶλε· ἀλλὰ τί φάθι· φημὶ δὴ ἐμπειρία τις·
τίς φάθι· φημὶ δὴ χάριτος καὶ ἡδονῆς ἀπεργασίας ὦ πῶλε·
ταὐτὸν δ' ἄρ' ἐστὶν ὀψοποιΐα καὶ ῥητορική· οὐδαμῶς γε ἀλλὰ τῆς αὐ-
τῆς μὲν ἐπιτηδεύσεως μόριον· τίνος λέγεις ταύτης· μὴ ἀ-
γροικότερον ἦι τὸ ἀληθὲς εἰπεῖν· ὀκνῶ γὰρ Γοργίου ἕνεκα λέγειν
μὴ οἴηταί με διακωμωιδεῖν τὸ ἑαυτοῦ ἐπιτήδευμα· ἐγὼ δὲ εἰ μὲν
τοῦτό ἐστιν ἡ ῥητορικὴ ἣν Γοργίας ἐπιτηδεύει, οὐκ οἶδα· καὶ γὰρ
ἄρτι ἐκ τοῦ λόγου οὐδὲν ἡμῖν καταφανὲς ἐγένετο τί ποτε οὗτος
ἡγεῖται· ὃ δ' ἐγὼ καλῶ τὴν ῥητορικὴν πράγματός τινός ἐστι μό-
ριον οὐδενὸς τῶν καλῶν· τίνος ὦ Σώκρατες εἰπὲ μηδὲν ἐμὲ
αἰσχυνθείς· δοκεῖ τοίνυν μοι ὦ Γοργία εἶναί τι ἐπιτήδευμα τε-
χνικὸν μὲν οὔ· ψυχῆς δὲ στοχαστικῆς καὶ ἀνδρείας καὶ φύσει δει-
νῆς προσομιλεῖν τοῖς ἀνθρώποις· καλῶ δὲ αὐτοῦ ἐγὼ τὸ κε-
φάλαιον κολακείαν· ταύτης μοι δοκεῖ τῆς ἐπιτηδεύσεως πολ-
λὰ μὲν καὶ ἄλλα μόρια εἶναι· ἓν δὲ καὶ ἡ ὀψοποιική· ὃ δοκεῖ μὲν εἶναι
τέχνη· ὡς δὲ ὁ ἐμὸς λόγος οὐκ ἔστι τέχνη ἀλλ' ἐμπειρία καὶ τρι-
βή· ταύτης μόριον καὶ τὴν ῥητορικὴν ἐγὼ καλῶ· καὶ τήν γε κομ-
μωτικὴν· καὶ τὴν σοφιστικήν· τέτταρα ταῦτα μόρια ἐπὶ τέτταρ-
σιν πράγμασιν· εἰ οὖν βούλεται πῶλος πυνθάνεσθαι πυνθα-
νέσθω· οὐ γάρ πω πέπυσται ὁποῖόν φημι ἐγὼ τῆς κολακείας
μόριον εἶναι τὴν ῥητορικήν· ἀλλ' αὐτὸν λέληθα οὔπω ἀποκεκρι-
μένος· ὁ δὲ ἐπανερωτᾶι εἰ οὐ καλὸν ἡγοῦμαι εἶναι· ἐγὼ δὲ αὐ-


τοι οὐκ ἀποκρινοῦμαι πρότερον εἴτε καλὸν εἴτε αἰσχρὸν ἡγοῦμαι
εἶναι τὴν ῥητορικὴν πρὶν ἂν πρῶτον ἀποκρίνωμαι ὅτι ἐστίν· οὐ
γὰρ δίκαιον ὦ πῶλε· ἀλλ' εἴπερ βούλει πυθέσθαι ἐρώτα ὁποῖον
μόριον τῆς κολακείας φημὶ εἶναι τὴν ῥητορικήν: ἐρωτῶ δὴ καὶ
ἀπόκριναι ὁποῖον μόριον: ἆρ' οὖν ἂν μάθοις ἀποκριναμένου· ἔστιν
γὰρ ἡ ῥητορικὴ κατὰ τὸν ἐμὸν λόγον πολιτικῆς μορίου εἴδωλον:
τί οὖν καλὸν ἢ αἰσχρὸν λέγεις αὐτὴν εἶναι: αἰσχρὸν ἔγωγε· τὰ γὰρ
κακὰ αἰσχρὰ καλῶ· ἐπειδὴ δεῖ σοι ἀποκρίνασθαι ὡς ἤδη εἰδότι
ἃ ἐγὼ λέγω: μὰ τὸν δία ὦ σώκρατες ἀλλ' ἐγὼ οὐδὲ αὐτὸς συνίημι
ὅτι λέγεις: εἰκότως γε ὦ γοργία· οὐδὲν γάρ πω σαφὲς λέγω·
πῶλος δὲ ὅδε νέος ἐστὶ καὶ ὀξύς: ἀλλὰ τοῦτον μὲν ἔα· ἐμοὶ δ' εἰπὲ
πῶς λέγεις πολιτικῆς μορίου εἴδωλον εἶναι τὴν ῥητορικήν· ἀλλ' ἐ-
γὼ πειράσομαι φράσαι ὅ γέ μοι φαίνεται εἶναι ἡ ῥητορική· εἰ δὲ μὴ
τυγχάνει ὂν τοῦτο· πῶλος ὅδε ἐλέγξει· σῶμά που καλεῖς τι καὶ ψυ-
χήν: πῶς γὰρ οὔ: οὐκοῦν καὶ τούτων οἴει τινὰ εἶναι ἑκατέρου εὐ-
εξίαν: ἔγωγε: τί δαί· δοκοῦσαν μὲν εὐεξίαν οὖσαν δ' οὔ· οἷον τοιόν-
δε λέγω· πολλοὶ δοκοῦσιν εὖ ἔχειν τὰ σώματα οὓς οὐκ ἂν ῥᾳδί-
ως αἴσθοιτό τις ὅτι οὐκ εὖ ἔχουσιν ἄλλος ἢ ἰατρός τε καὶ τῶν γυ-
μναστικῶν τις: ἀληθῆ λέγεις: τὸ τοιοῦτον λέγω καὶ ἐν σώματι εἶ-
ναι καὶ ἐν ψυχῇ· ὅτι ποιεῖ μὲν δοκεῖν μὲν εὖ ἔχειν τὸ σῶμα καὶ τὴν ψυχήν·
ἔχει δὲ οὐδὲν μᾶλλον: ἔστι ταῦτα: φέρε δή σοι ἐὰν δύνωμαι σαφέσ-
τερον ἐπιδείξω ὃ λέγω: δυοῖν ὄντοιν τοῖν πραγμάτοιν δύο λέγω
τέχνας· τὴν μὲν ἐπὶ τῇ ψυχῇ πολιτικὴν καλῶ· τὴν δ' ἐπὶ σώματι
μίαν μὲν οὕτως ὀνομάσαι οὐκ ἔχω σοι· μιᾶς δὲ οὔσης τῆς τοῦ σώ-
ματος θεραπείας δύο μόρια λέγω· τὴν μὲν γυμναστικήν· τὴν
δὲ ἰατρικήν· τῆς δὲ πολιτικῆς ἀντὶ μὲν τῆς γυμναστικῆς τὴν νο-
μοθετικήν· ἀντίστροφον δὲ τῇ ἰατρικῇ τὴν δικαιοσύνην· ἐπικοι-
νωνοῦσι μὲν δὴ ἀλλήλαις ἅτε περὶ τὸ αὐτὸ οὖσαι ἑκάτεραι τούτων
ἥ τε ἰατρικὴ τῇ γυμναστικῇ καὶ ἡ δικαιοσύνη τῇ νομοθετικῇ· ὅ-
μως δὲ διαφέρουσίν τι ἀλλήλων· τεττάρων δὴ τούτων οὐσῶν καὶ ἀεὶ
πρὸς τὸ βέλτιστον θεραπευουσῶν· τῶν μὲν τὸ σῶμα τῶν δὲ τὴν ψυ-
χήν· ἡ κολακευτικὴ αἰσθομένη οὐ γνοῦσα λέγω ἀλλὰ στοχασα-
μένη· τέτραχα ἑαυτὴν διανείμασα· ὑποδῦσα ὑπὸ ἕκαστον τῶν
μορίων· προσποιεῖται εἶναι τοῦτο ὅπερ ὑπέδυ· καὶ τοῦ μὲν βελ-




πίστου οὐδὲν φροντίζει· τῷ δὲ ἀεὶ ἡδίστῳ θηρεύεται τὴν ἄνοιαν καὶ
ἐξαπατᾷ, ὥστε δοκεῖ πλείστου ἀξία εἶναι. ὑπὸ μὲν οὖν τὴν ἰατρικὴν
ἡ ὀψοποιικὴ ὑποδέδυκεν· καὶ προσποιεῖται τὰ βέλτιστα σιτία τῷ
σώματι εἰδέναι· ὥστ' εἰ δέοι ἐν παισὶ διαγωνίζεσθαι ὀψοποιόν τε καὶ
ἰατρὸν ἢ ἐν ἀνδράσιν οὕτως ἀνοήτοις ὥσπερ οἱ παῖδες, πότερος
ἐπαΐει περὶ τῶν χρηστῶν σιτίων καὶ πονηρῶν ὁ ἰατρὸς ἢ ὁ ὀψοποιός,
λιμῷ ἂν ἀποθανεῖν τὸν ἰατρόν. κολακείαν μὲν οὖν αὐτὸ καλῶ καὶ αἰ-
σχρόν φημι εἶναι ὦ Πῶλε· τοῦτο γὰρ πρὸς σὲ λέγω ὅτι
τοῦ ἡδέος στοχάζεται ἄνευ τοῦ βελτίστου· τέχνην δὲ αὐτὴν οὔ φημι εἶ-
ναι ἀλλ' ἐμπειρίαν ὅτι οὐκ ἔχει λόγον οὐδένα ᾧ προσφέρει ἃ προσφέ-
ρει ὁποῖ' ἄττα τὴν φύσιν ἐστίν· ὥστε τὴν αἰτίαν ἑκάστου μὴ ἔχειν εἰ-
πεῖν· ἐγὼ δὲ τέχνην οὐ καλῶ ὃ ἂν ᾖ ἄλογον πρᾶγμα· τούτων δὲ
πέρι εἰ ἀμφισβητεῖς, ἐθέλω ὑποσχεῖν λόγον. τῇ μὲν οὖν ἰατρι-
κῇ ὥσπερ λέγω ἡ ὀψοποιικὴ κολακεία ὑπόκειται· τῇ δὲ γυμνα-
στικῇ κατὰ τὸν αὐτὸν τρόπον τοῦτον ἡ κομμωτική, κακοῦργός τε
καὶ ἀπατηλὴ καὶ ἀγεννὴς καὶ ἀνελεύθερος, σχήμασιν καὶ χρώμα-
σιν καὶ λειότητι καὶ ἐσθῆσιν ἀπατῶσα, ὥστε ποιεῖν ἀλλότριον κάλ-
λος ἐφελκομένους τοῦ οἰκείου τοῦ διὰ τῆς γυμναστικῆς ἀμελεῖν.
ἵν' οὖν μὴ μακρολογῶ, ἐθέλω σοι εἰπεῖν ὥσπερ οἱ γεωμέτραι· ἤδη
γὰρ ἂν ἴσως ἀκολουθήσαις· ὅτι ὃ κομμωτικὴ πρὸς γυμναστικήν,
τοῦτο ὀψοποιικὴ πρὸς ἰατρικήν· μᾶλλον δὲ ὧδε· ὅτι ὃ κομμωτι-
κὴ πρὸς γυμναστικήν, τοῦτο σοφιστικὴ πρὸς νομοθετικήν· καὶ ὅτι
ὃ ὀψοποιικὴ πρὸς ἰατρικήν, τοῦτο ῥητορικὴ πρὸς δικαιοσύνην·
ὅπερ μέντοι λέγω διέστηκε μὲν οὕτω φύσει· ἅτε δ' ἐγγὺς ὄντων φύρον-
ται ἐν τῷ αὐτῷ καὶ περὶ ταὐτὰ σοφισταὶ καὶ ῥήτορες· καὶ οὐκ ἔχου-
σιν ὅτι χρήσονται οὔτε αὐτοὶ ἑαυτοῖς οὔτε οἱ ἄλλοι ἄνθρωποι τού-
τοις· καὶ γὰρ ἂν εἰ μὴ ἡ ψυχὴ τῷ σώματι ἐπεστάτει, ἀλλ' αὐτὸ αὑτῷ,
καὶ μὴ ὑπὸ ταύτης κατεθεωρεῖτο καὶ διεκρίνετο ἥ τε ὀψοποιικὴ
καὶ ἡ ἰατρική, ἀλλ' αὐτὸ τὸ σῶμα ἔκρινε σταθμώμενον ταῖς χάρισι
ταῖς πρὸς αὐτό, τὸ τοῦ Ἀναξαγόρου ἂν πολὺ ἦν ὦ φίλε Πῶλε· σὺ
γὰρ τούτων ἔμπειρος· ὁμοῦ ἂν πάντα χρήματα ἐφύρετο ἐν τῷ αὐ-
τῷ, ἀκρίτων ὄντων τῶν τε ἰατρικῶν καὶ ὑγιεινῶν καὶ ὀψοποιικῶν.
ὃ μὲν οὖν ἐγώ φημι τὴν ῥητορικὴν εἶναι, ἀκήκοας· ἀντίστροφον ὀψο-
ποιίας ἐν ψυχῇ, ὡς ἐκεῖνο ἐν σώματι. ἴσως μὲν οὖν ἄτοπον πεποίη-


ποιῶ καὶ ὅτι σὺ οὐκ ἐθέλεις μακροὺς λόγους λέγειν, αὐτὸς συχνὸν λόγον
ἀποτέτακα. ἄξιον μὲν οὖν ἐμοὶ συγγνώμην ἔχειν ἐστίν· λέγοντος γάρ
μου βραχέα οὐκ ἐμάνθανες, οὐδὲ χρῆσθαι τῇ ἀποκρίσει ἥν σοι ἀπε-
κρινάμην οὐδὲν οἷός τ' ἦσθα, ἀλλ' ἐδέου διηγήσεως. ἐὰν μὲν οὖν καὶ ἐ-
γὼ σοῦ ἀποκρινομένου μὴ ἔχω ὅτι χρήσωμαι, ἀπότεινε καὶ σὺ λόγον·
ἐὰν δὲ ἔχω, ἔα με χρῆσθαι· δίκαιον γάρ. καὶ νῦν ταύτῃ τῇ ἀποκρίσει
εἴ τι ἔχεις χρῆσθαι, χρῶ: τί οὖν φῄς; κολακεία δοκεῖ σοι εἶναι ἡ ῥητο-
ρική: κολακείας μὲν οὖν ἔγωγε εἶπον μόριον. ἀλλ' οὐ μνημονεύεις
τηλικοῦτος ὤν, ὦ Πῶλε, τί τάχα δράσεις: ἆρ' οὖν δοκοῦσί σοι ὡς
κόλακες ἐν ταῖς πόλεσι φαῦλοι νομίζεσθαι οἱ ἀγαθοὶ ῥήτορες: ἐ-
ρώτημα τοῦτ' ἐρωτᾷς ἢ λόγου τινὸς ἀρχὴν λέγεις: ἐρωτῶ
ἔγωγε: οὐδὲ νομίζεσθαι ἔμοιγε δοκοῦσιν: πῶς οὐ νομίζεσθαι·
οὐ μέγιστον δύνανται ἐν ταῖς πόλεσιν: οὐκ εἰ τὸ δύνασθαί γε λέγεις
ἀγαθόν τι εἶναι τῷ δυναμένῳ: ἀλλὰ μὴν λέγω γε: ἐλάχιστον τοί-
νυν μοι δοκοῦσι τῶν ἐν τῇ πόλει δύνασθαι οἱ ῥήτορες: τί δ' οὐχ ὥσ-
περ οἱ τύραννοι ἀποκτεινύασίν τε ὃν ἂν βούλωνται καὶ ἀφαιροῦνται
χρήματα καὶ ἐκβάλλουσιν ἐκ τῶν πόλεων ὃν ἂν δοκῇ αὐτοῖς; νὴ
τὸν κύνα· ἀμφιγνοῶ μέντοι, ὦ Πῶλε, ἐφ' ἑκάστου ὧν λέγεις, πότε-
ρον αὐτὸς ταῦτα λέγεις καὶ γνώμην σαυτοῦ ἀποφαίνῃ ἢ ἐμὲ ἐ-
ρωτᾷς: ἀλλ' ἔγωγε σὲ ἐρωτῶ: εἶεν, ὦ φίλε· ἔπειτα δύο ἅμα με
ἐρωτᾷς: πῶς δύο: οὐκ ἄρτι οὕτω πως ἔλεγες ὅτι ἀποκτεινύ-
ασιν οἱ ῥήτορες οὓς ἂν βούλωνται ὥσπερ οἱ τύραννοι καὶ χρήμα-
τα ἀφαιροῦνται καὶ ἐξελαύνουσιν ἐκ τῶν πόλεων ὃν ἂν δοκῇ αὐ-
τοῖς: ἔγωγε: λέγω τοίνυν σοι ὅτι δύο ταῦτ' ἐστὶν τὰ ἐρωτήματα καὶ
ἀποκρινοῦμαί γέ σοι πρὸς ἀμφότερα. φημὶ γάρ, ὦ Πῶλε, ἐγὼ καὶ
τοὺς ῥήτορας καὶ τοὺς τυράννους δύνασθαι μὲν ἐν ταῖς πόλεσιν
σμικρότατον, ὥσπερ νῦν δὴ ἔλεγον· οὐδὲν γὰρ ποιεῖν ὧν βούλονται
ὡς ἔπος εἰπεῖν· ποιεῖν μέντοι ὅτι ἂν αὐτοῖς δόξῃ βέλτιστον εἶναι:
Οὐκοῦν τοῦτό ἐστιν τὸ μέγα δύνασθαι: οὐχ ὥς γέ φησιν Πῶλος: ἐ-
γὼ οὔ φημι; φημὶ μὲν οὖν ἔγωγε: μὰ τὸν — οὐ σύ γε, ἐπεὶ τὸ μέγα δύνα-
σθαι ἔφης ἀγαθὸν εἶναι τῷ δυναμένῳ: φημὶ γὰρ οὖν: ἀγαθὸν
οὖν οἴει εἶναι ἐάν τις ποιῇ ταῦτα ἃ ἂν δοκῇ αὐτῷ βέλτιστα εἶναι
νοῦν μὴ ἔχων; καὶ τοῦτο καλεῖς σὺ μέγα δύνασθαι; οὐκ ἔγωγε: οὐ-
κοῦν ἀποδείξεις τοὺς ῥήτορας νοῦν ἔχοντας καὶ τέχνην τὴν ῥη-


τορικὴν ἀλλὰ μὴ κολακείαν ἐμὲ ἐξελέγξας· εἰ δὲ με ἐάσεις ἀνέλεγκτον
οἱ ῥήτορες οἱ ποιοῦντες ἐν ταῖς πόλεσιν ἃ δοκεῖ αὐτοῖς καὶ οἱ τύραν-
νοι· οὐδὲν ἀγαθὸν τοῦτο κεκτήσονται. ἡ δὲ δύναμις ἐστὶν ὡς σὺ φῂς
ἀγαθόν· τὸ δὲ ποιεῖν ἄνευ νοῦ ἃ δοκεῖ, καὶ σὺ ὁμολογεῖς κακὸν εἶναι·
ἢ οὔ: ἔγωγε: πῶς ἂν οὖν οἱ ῥήτορες μέγα δύναιντο ἢ οἱ τύραννοι
ἐν ταῖς πόλεσιν, ἐὰν μὴ Σωκράτης ἐξελεγχθῇ ὑπὸ Πώλου ὅτι ποι-
οῦσιν ἃ βούλονται: οὗτος ἀνήρ· οὔ φημι ποιεῖν αὐτοὺς ἃ βούλονται·
ἀλλά με ἔλεγχε: οὐκ ἄρτι ὡμολόγεις ποιεῖν ἃ δοκεῖ αὐτοῖς βέλτιστα
εἶναι τούτου πρόσθεν: καὶ γὰρ νῦν ὁμολογῶ: οὐκοῦν ποιοῦσιν
ἃ βούλονται; οὔ φημι: ποιοῦντες δὲ ἃ δοκεῖ αὐτοῖς: φημί: σχέ-
τλια λέγεις καὶ ὑπερφυῆ ὦ Σώκρατες: μὴ κατηγόρει ὦ λῷστε Πῶ-
λε· ἵνα προσείπω σε κατὰ σέ· ἀλλ' εἰ μὲν ἔχεις ἐμὲ ἐρωτᾶν, ἐπίδει-
ξον ὅτι ψεύδομαι· εἰ δὲ μή, αὐτὸς ἀποκρίνου: ἀλλ' ἐθέλω ἀποκρί-
νεσθαι ἵνα καὶ εἰδῶ ὅτι λέγεις: πότερον οὖν σοι δοκοῦσιν οἱ ἄνθρω-
ποι τοῦτο βούλεσθαι ὃ ἂν πράττωσιν ἑκάστοτε· ἢ ἐκεῖνο οὗ ἕνεκα
πράττουσι τοῦθ' ὃ πράττουσιν· οἷον οἱ τὰ φάρμακα πίνοντες
παρὰ τῶν ἰατρῶν, πότερον σοι δοκοῦσι τοῦτο βούλεσθαι ὅπερ
ποιοῦσι, πίνειν τὸ φάρμακον καὶ ἀλγεῖν· ἢ ἐκεῖνο τὸ ὑγιαίνειν
οὗ ἕνεκα πίνουσιν: δῆλον ὅτι τὸ ὑγιαίνειν: οὐκοῦν καὶ οἱ πλέ-
οντες καὶ τὸν ἄλλον χρηματισμὸν χρηματιζόμενοι οὐ τοῦτό ἐστιν
ὃ βούλονται ὃ ποιοῦσιν ἑκάστοτε· τίς γὰρ βούλεται πλεῖν τε καὶ
κινδυνεύειν καὶ πράγματ' ἔχειν· ἀλλ' ἐκεῖνο οἶμαι οὗ ἕνεκα πλέ-
ουσιν πλουτεῖν· πλούτου γὰρ ἕνεκα πλέουσιν: πάνυ γε: ἄλλο τι
οὖν οὕτω καὶ περὶ πάντων; ἐάν τίς τι πράττῃ ἕνεκά του, οὐ τοῦτο
βούλεται ὃ πράττει, ἀλλ' ἐκεῖνο οὗ ἕνεκα πράττει: ναί: ἆρ' οὖν
ἔστιν τι τῶν ὄντων ὃ οὐχὶ ἤτοι ἀγαθόν γ' ἐστὶν ἢ κακὸν ἢ μεταξὺ τού-
των, οὔτε ἀγαθὸν οὔτε κακόν; πολλὴ ἀνάγκη ὦ Σώκρατες: οὐ-
κοῦν λέγεις εἶναι ἀγαθὸν μὲν σοφίαν τε καὶ ὑγίειαν καὶ πλοῦ-
τον καὶ τἆλλα τὰ τοιαῦτα· κακὰ δὲ τἀναντία τούτων; ἔγωγε:
τὰ δὲ μήτε ἀγαθὰ μήτε κακὰ ἆρα τοιάδε λέγεις, ἃ ἐνίοτε μὲν
μετέχει τοῦ ἀγαθοῦ, ἐνίοτε δὲ τοῦ κακοῦ, ἐνίοτε δὲ οὐδετέρου·
οἷον καθῆσθαι καὶ βαδίζειν καὶ τρέχειν καὶ πλεῖν· καὶ οἷον αὖ λί-
θους καὶ ξύλα καὶ τἆλλα τὰ τοιαῦτα· οὐ ταῦτα λέγεις; ἢ ἄλλ' ἄτ-
τα καλεῖς τὰ μήτε ἀγαθὰ μήτε κακά: οὔκ, ἀλλὰ ταῦτα: πό-





τερον οὖν τὰ μεταξὺ ταῦτα ἕνεκεν τῶν ἀγαθῶν πράττουσιν ὅταν
πράττωσιν. ἢ τἀγαθὰ τῶν μεταξύ: τὰ μεταξὺ δήπου τῶν ἀγαθῶν:
τὸ ἀγαθὸν ἄρα διώκοντες καὶ βαδίζομεν ὅταν βαδίζωμεν οἰόμενοι
βέλτιον εἶναι· καὶ τὸ ἐναντίον ἕσταμεν ὅταν ἑστῶμεν· τοῦ αὐτοῦ ἕνεκα τοῦ
ἀγαθοῦ ἢ οὔ: ναί: οὐκοῦν καὶ ἀποκτείνυμεν εἴ τιν' ἀποκτείνυμεν καὶ
ἐκβάλλομεν καὶ ἀφαιρούμεθα χρήματα οἰόμενοι ἄμεινον εἶναι ἡμῖν
ταῦτα ποιεῖν ἢ μή: πάνυ γε: ἕνεκ' ἄρα τοῦ ἀγαθοῦ ἅπαντα ταῦτα
ποιοῦσιν οἱ ποιοῦντες: φημί: οὐκοῦν ὡμολογήσαμεν ἃ ἕνεκά του
ποιοῦμεν μὴ ἐκεῖνα βούλεσθαι ἀλλ' ἐκεῖνο οὗ ἕνεκα ταῦτα ποιοῦμεν;
μάλιστα: οὐκ ἄρα σφάττειν βουλόμεθα οὐδ' ἐκβάλλειν ἐκ τῶν πόλεων
οὐδὲ χρήματα ἀφαιρεῖσθαι ἁπλῶς οὕτως· ἀλλ' ἐὰν μὲν ὠφέλιμα ᾖ
ταῦτα, βουλόμεθα πράττειν αὐτά· βλαβερὰ δὲ ὄντα οὐ βουλόμεθα·
τὰ γὰρ ἀγαθὰ βουλόμεθα ὡς φῂς σύ· τὰ δὲ μήτε ἀγαθὰ μήτε κακὰ
καὶ οὐ βουλόμεθα οὐδὲ τὰ κακά· ἦ γάρ; ἀληθῆ σοι δοκῶ λέγειν ὦ πῶ
λε ἢ οὔ: τί οὐκ ἀποκρίνῃ: ἀληθῆ: οὐκοῦν εἴπερ ταῦτα ὁμολογοῦ
μεν εἴ τις ἀποκτείνει τινὰ ἢ ἐκβάλλει ἐκ πόλεως ἢ ἀφαιρεῖται χρή
ματα εἴτε τύραννος ὢν εἴτε ῥήτωρ οἰόμενος ἄμεινον εἶναι αὐτῷ· τυγ
χάνει δὲ ὂν κάκιον· οὗτος δήπου ποιεῖ ἃ δοκεῖ αὐτῷ· ἦ γάρ: ναί:
ἆρ' οὖν καὶ ἃ βούλεται εἴπερ τυγχάνει ταῦτα κακὰ ὄντα; τί οὐκ ἀπο
κρίνῃ: ἀλλ' οὔ μοι δοκεῖ ποιεῖν ἃ βούλεται: ἔστιν οὖν ὅπως ὁ τοιοῦτος
μέγα δύναται ἐν τῇ πόλει ταύτῃ εἴπερ ἐστὶ τὸ μέγα δύνασθαι ἀγαθόν
τι κατὰ τὴν σὴν ὁμολογίαν: οὐκ ἔστιν: ἀληθῆ ἄρα ἐγὼ ἔλεγον λέγ
ων ὅτι ἔστιν ἄνθρωπον ποιοῦντα ἐν πόλει ἃ δοκεῖ αὐτῷ μὴ μέγα δύ
νασθαι μηδὲ ποιεῖν ἃ βούλεται: ὡς δὴ σύ ὦ σώκρατες οὐκ ἂν δέ
ξαιο ἐξεῖναί σοι ποιεῖν ὅτι δοκεῖ σοι ἐν τῇ πόλει μᾶλλον ἢ μή· οὐδὲ
ζηλοῖς ὅταν ἴδῃς τινὰ ἢ ἀποκτείναντα ὃν ἔδοξεν αὐτῷ ἢ ἀφελόμε
νον χρήματα ἢ δήσαντα: δικαίως λέγεις ἢ ἀδίκως: ὁπότερ' ἂν
ποιῇ οὐκ ἀμφοτέρως ζηλωτόν ἐστιν: εὐφήμει ὦ πῶλε: τί δή: ὅτι
οὐ χρὴ οὔτε τοὺς ἀζηλώτους ζηλοῦν οὔτε τοὺς ἀθλίους ἀλλ' ἐλεεῖν:
τί δαί; οὕτω σοι δοκεῖ ἔχειν περὶ ὧν ἐγὼ λέγω τῶν ἀνθρώπων; πῶς
γὰρ οὔ: ὅστις οὖν ἀποκτείνυσιν ὃν ἂν δόξῃ αὐτῷ δικαίως ἀποκτει
νύς ἄθλιος δοκεῖ σοι εἶναι καὶ ἐλεεινός; οὐκ ἔμοιγε· οὐδὲ μέντοι
ζηλωτός: οὐκ ἄρτι ἄθλιον ἔφησθα εἶναι; τὸν ἀδίκως γε ὦ ἑταῖρε
ἀποκτείναντα· καὶ ἐλεεινόν γε πρός· τὸν δὲ δικαίως ἀζήλωτον:






ἦ που ὅ γε ἀποθνήσκων ἀδίκως· ἐλεεινός τε καὶ ἄθλιος ἐστίν· ἧττον
ἢ ὁ ἀποκτιννύς, ὦ πῶλε καὶ ἧττον ἢ ὁ δικαίως ἀποθνήσκων:
πῶς δῆτα ὦ σώκρατες: οὕτως ὡς μέγιστον τῶν κακῶν τυγχάνει
ὂν τὸ ἀδικεῖν: ἦ γὰρ τοῦτο μέγιστον· οὐ τὸ ἀδικεῖσθαι μεῖζον: ἥκιστά
γε: σὺ ἄρα βούλοιο ἂν ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν: βουλοίμην μὲν
ἂν ἔγωγε οὐδέτερα· εἰ δ' ἀναγκαῖον εἴη ἀδικεῖν ἢ ἀδικεῖσθαι· ἑλοί-
μην ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν: σὺ ἄρα τυραννεῖν οὐκ ἂν δέξαιο:
οὐκ εἰ τὸ τυραννεῖν γε λέγεις ὅπερ ἐγώ: ἀλλ' ἔγωγε τοῦτο λέγω ὅ-
περ ἄρτι· ἐξεῖναι ἐν τῇ πόλει ὃ ἂν δοκῇ αὐτῷ ποιεῖν τοῦτο καὶ ἀπο-
κτιννύντι καὶ ἐκβάλλοντι καὶ πάντα πράττοντι κατὰ τὴν αὐτοῦ δόξαν:
ὦ μακάριε ἐμοῦ δὴ λέγοντος τῷ λόγῳ ἐπιλαβοῦ· εἰ γὰρ ἐγὼ ἐν ἀ-
γορᾷ πληθούσῃ λαβὼν ὑπὸ μάλης ἐγχειρίδιον λέγοιμι πρὸς
σὲ ὅτι ὦ πῶλε ἐμοὶ δύναμίς τις καὶ τυραννὶς θαυμασία ἄρτι προσ-
γέγονεν· ἐὰν γὰρ ἄρα ἐμοὶ δόξῃ τινὰ τουτωνὶ τῶν ἀνθρώπων ὧν σὺ
ὁρᾷς αὐτίκα μάλα δεῖν τεθνάναι· τεθνήξει οὗτος ὃν ἂν δόξῃ· κἄν τι-
να δόξῃ μοι τῆς κεφαλῆς αὐτῶν κατεαγέναι δεῖν· κατεαγὼς ἔσται
αὐτίκα μάλα· κἂν θοἰμάτιον διεσχίσθαι· διεσχισμένον ἔσται· οὕτω μέγα
ἐγὼ δύναμαι ἐν τῇδε τῇ πόλει· εἰ οὖν ἀπιστοῦντί σοι δείξαιμι τὸ ἐγ-
χειρίδιον· ἴσως ἂν εἴποις ἰδὼν ὅτι ὦ σώκρατες οὕτω μὲν πάντες
ἂν μέγα δύναιντο· ἐπεὶ κἂν ἐμπρησθείη οἰκία τούτῳ τῷ τρόπῳ
ἥντιν' ἄν σοι δοκοῖ· καὶ τά γε ἀθηναίων νεώρια καὶ τριήρεις καὶ τὰ
πλοῖα πάντα καὶ τὰ δημόσια καὶ τὰ ἴδια· ἀλλ' οὐκ ἄρα τοῦτ' ἔστι τὸ
μέγα δύνασθαι· τὸ ποιεῖν ἃ δοκεῖ αὐτῷ· ἢ δοκεῖ σοι: οὐ δῆτα οὕτω
γε: ἔχεις οὖν εἰπεῖν δι' ὅτι μέμφῃ τὴν τοιαύτην δύναμιν: ἔγω-
γε: τί δή· λέγε· ὅτι ἀναγκαῖον τὸν οὕτω πράττοντα ζημιοῦσθαί
ἐστιν: τὸ δὲ ζημιοῦσθαι οὐ κακόν: πάνυ γε: οὐκοῦν ὦ θαυμάσιε
τὸ μέγα δύνασθαι πάλιν αὖ σοι φαίνεται ἐὰν μὲν πράττοντι ἃ δοκεῖ
ἕπηται τὸ ὠφελίμως πράττειν· ἀγαθὸν εἶναι· καὶ τοῦτο ὡς ἔ-
οικεν ἐστὶ τὸ μέγα δύνασθαι· εἰ δὲ μή, κακὸν καὶ σμικρὸν δύνασθαι·
σκεψώμεθα δὲ καὶ τόδε· ἄλλο τι ὁμολογοῦμεν ἐνίοτε μὲν ἄμεινον
εἶναι ταῦτα ποιεῖν ἃ νῦν δὴ ἐλέγομεν ἀποκτιννύναι τε καὶ ἐξε-
λαύνειν ἀνθρώπους καὶ ἀφαιρεῖσθαι χρήματα· ἐνίοτε δὲ οὔ:
πάνυ γε: τοῦτο μὲν δὴ ὡς ἔοικε καὶ παρὰ σοῦ καὶ παρ' ἐμοῦ ὁμο-
423 λογεῖται: ναί: πότερον οὖν σὺ φῂς ἄμεινον εἶναι ταῦτα ποιεῖν·

ἢ τίνα τοῦτον ὅρον ὁρίζει: σὺ μὲν οὖν ὦ Σώκρατες ἀπόκριναι ταὐτὸ τοῦτο:
ἐγὼ μὲν τοίνυν φημὶ ὦ Πῶλε εἴ σοι παρ' ἐμοῦ ἥδιόν ἐστιν ἀκούειν· ὅταν
μὲν δικαίως τις ταῦτα ποιῇ ἄμεινον εἶναι· ὅταν δὲ ἀδίκως κάκιον: χα
λεπόν γέ σε ἐλέγξαι ὦ Σώκρατες· ἀλλ' οὐχὶ κἂν παῖς σε ἐλέγξειεν ὅτι οὐ
κ ἀληθῆ λέγεις: πολλὴν ἄρα ἐγὼ τῷ παιδὶ χάριν ἕξω· ἴσην δὲ καὶ
σοὶ ἐάν με ἐλέγξῃς καὶ ἀπαλλάξῃς φλυαρίας· ἀλλὰ μὴ κάμῃς φί
λον ἄνδρα εὐεργετῶν· ἀλλ' ἔλεγχε: ἀλλὰ μὴν ὦ Σώκρατες οὐδέν γέ σε
δεῖ παλαιοῖς πράγμασιν ἐλέγχειν· τὰ γὰρ ἐχθὲς καὶ πρώην γεγονό
τα ταῦτα ἱκανά σε ἐξελέγξαι ἐστὶν καὶ ἀποδεῖξαι ὡς πολλοὶ ἀδικοῦν
τες ἄνθρωποι εὐδαίμονές εἰσιν: τὰ ποῖα ταῦτα: ἀρχέλαον δήπου
τοῦτον τὸν περδίκκου ὁρᾷς ἄρχοντα μακεδονίας: εἰ δὲ μή ἀλλ' ἀκού
ω γε: εὐδαίμων οὖν σοι δοκεῖ εἶναι ἢ ἄθλιος: οὐκ οἶδα ὦ Πῶλε· οὐ
γάρ πω συγγέγονα τῷ ἀνδρί: τί δέ συγγενόμενος ἂν γνοίης· ἄλλως
δὲ αὐτόθεν οὐ γιγνώσκεις ὅτι εὐδαιμονεῖ: μὰ δί' οὐ δῆτα: δῆλον δὴ
ὦ Σώκρατες ὅτι οὐδὲ τὸν μέγαν βασιλέα γιγνώσκειν φήσεις εὐδαί
μονα ὄντα: καὶ ἀληθῆ γε ἐρῶ· οὐ γὰρ οἶδα παιδείας ὅπως ἔχει καὶ
δικαιοσύνης: τί δέ ἐν τούτῳ ἡ πᾶσα εὐδαιμονία ἐστίν: ὥς γε ἐγὼ λέ
γω ὦ Πῶλε· τὸν μὲν γὰρ καλὸν κἀγαθὸν ἄνδρα καὶ γυναῖκα εὐδαίμονα εἶ
ναι φημί· τὸν δὲ ἄδικον καὶ πονηρὸν ἄθλιον: ἄθλιος ἄρα οὗτός ἐ
στιν ὁ ἀρχέλαος κατὰ τὸν σὸν λόγον: εἴπερ γε ὦ φίλε ἄδικος: ἀλ
λὰ μὲν δὴ πῶς οὐκ ἄδικος· ᾧ γε προσῆκε μὲν τῆς ἀρχῆς οὐδὲν ἣν νῦν
ἔχει ὄντι ἐκ γυναικὸς ἣ ἦν δούλη ἀλκέτου τοῦ περδίκκου ἀδελφοῦ·
καὶ κατὰ μὲν τὸ δίκαιον δοῦλος ἦν ἀλκέτου· καὶ εἰ ἐβούλετο τὰ δίκαια
ποιεῖν ἐδούλευεν ἂν ἀλκέτῃ· καὶ ἦν εὐδαίμων κατὰ τὸν σὸν λόγον·
νῦν δὲ θαυμασίως ὡς ἄθλιος γέγονεν ἐπεὶ τὰ μέγιστα ἠδίκηκεν·
ὅς γε πρῶτον μὲν τοῦτον αὐτὸν τὸν δεσπότην καὶ θεῖον μεταπεμψάμε
νος ὡς ἀποδώσων τὴν ἀρχὴν ἣν περδίκκας αὐτὸν ἀφείλετο ξε
νίσας καὶ καταμεθύσας αὐτόν τε καὶ τὸν ὑὸν αὐτοῦ ἀλέξανδρον ἀ
νεψιὸν αὐτοῦ σχεδὸν ἡλικιώτην· ἐμβαλὼν εἰς ἅμαξαν νύκτωρ ἐξα
γαγὼν ἀπέσφαξέν τε καὶ ἠφάνισεν ἀμφοτέρους· καὶ ταῦτα ἀ
δικήσας ἔλαθεν ἑαυτὸν ἀθλιώτατος γενόμενος καὶ οὐ μετεμέλη
σεν αὐτῷ· ἀλλ' ὀλίγον ὕστερον τὸν ἀδελφὸν τὸν γνήσιον τοῦ περδίκ
κου ὑὸν παῖδα ὡς ἑπταετῆ οὗ ἡ ἀρχὴ ἐγίγνετο κατὰ τὸ δίκαιον οὐ
κ ἐβουλήθη εὐδαίμων γενέσθαι δικαίως ἐκθρέψας καὶ ἀποδοὺς

τὴν ἀρχὴν ἐκείνῳ· ἀλλ' εἰς φρέαρ ἐμβαλὼν καὶ ἀποπνίξας πρὸς τὴν
μητέρα αὐτοῦ κλεοπάτραν, χῆνα ἔφη διώκοντα ἐμπεσεῖν καὶ ἀπο-
θανεῖν· τοιγάρτοι νῦν ἅτε μέγιστα ἠδικηκὼς τῶν ἐν μακεδονίᾳ,
ἀθλιώτατός ἐστι πάντων μακεδόνων, ἀλλ' οὐκ εὐδαιμονέστατος· καὶ ἴ-
σως ἐστὶν ὅστις ἀθηναίων ἀπὸ σοῦ ἀρξάμενος δέξαιτ' ἂν ἄλλος
ὁστισοῦν μακεδόνων γενέσθαι μᾶλλον ἢ ἀρχέλαος: καὶ κατ' ἀρχὰς τῶν
λόγων ὦ πῶλε ἔγωγέ σε ἐπῄνεσα ὅτι μοι δοκεῖς εὖ πρὸς τὴν ῥητορι-
κὴν πεπαιδεῦσθαι, τοῦ δὲ διαλέγεσθαι ἠμεληκέναι· καὶ νῦν ἄλλο τι οὗ-
τός ἐστιν ὁ λόγος ᾧ με καὶ ἂν παῖς ἐξελέγξειε· καὶ ἐγὼ ὑπὸ σοῦ
νῦν ὡς σὺ οἴει ἐξελήλεγμαι τούτῳ τῷ λόγῳ φάσκων τὸν ἀδικοῦντα
οὐκ εὐδαίμονα εἶναι: πόθεν ὠγαθέ: καὶ μὴν οὐδέν γέ σοι τούτων
ὁμολογῶ ὧν σὺ φῄς: οὐ γὰρ ἐθέλεις· ἐπεὶ δοκεῖ γέ σοι ὡς ἐγὼ λέγω:
ὦ μακάριε ῥητορικῶς γάρ με ἐπιχειρεῖς ἐλέγχειν ὥσπερ οἱ ἐν τοῖς
δικαστηρίοις ἡγούμενοι ἐλέγχειν· καὶ γὰρ ἐκεῖ οἱ ἕτεροι τοὺς ἑτέ-
ρους δοκοῦσιν ἐλέγχειν ἐπειδὰν τῶν λόγων ὧν ἂν λέγωσι μάρτυρας
πολλοὺς παρέχωνται καὶ εὐδοκίμους· ὁ δὲ τἀναντία λέγων ἕνα
τινὰ παρέχηται ἢ μηδένα· οὗτος δὲ ὁ ἔλεγχος οὐδενὸς ἄξιος
ἐστὶ πρὸς τὴν ἀλήθειαν· ἐνίοτε γὰρ ἂν καὶ καταψευδομαρτυρηθείη
τις ὑπὸ πολλῶν καὶ δοκούντων εἶναί τι· καὶ νῦν περὶ ὧν σὺ λέγεις
ὀλίγου σοι πάντες συμφήσουσι ταὐτὰ ἀθηναῖοι καὶ οἱ ξένοι ἐὰν
βούλῃ κατ' ἐμοῦ μάρτυρας παρασχέσθαι ὡς οὐκ ἀληθῆ λέγω· μαρτυ-
ρήσουσί σοι ἐὰν μὲν βούλῃ νικίας ὁ νικηράτου καὶ οἱ ἀδελφοὶ
μετ' αὐτοῦ ὧν οἱ τρίποδες οἱ ἐφεξῆς ἑστῶτές εἰσιν ἐν τῷ διονυσίῳ·
ἐὰν δὲ βούλῃ ἀριστοκράτης ὁ σκελλίου οὗ αὖ ἐστιν ἐν πυθοῖ τοῦτο
τὸ καλὸν ἀνάθημα· ἐὰν δὲ βούλῃ ἡ περικλέους ὅλη οἰκία ἢ ἄλλη
συγγένεια ἥντινα ἂν βούλῃ τῶν ἐνθάδε ἐκλέξασθαι· ἀλλ' ἐγώ σοι
εἷς ὢν οὐχ ὁμολογῶ· οὐ γάρ με σὺ ἀναγκάζεις, ἀλλὰ ψευδομάρτυ-
ρας πολλοὺς κατ' ἐμοῦ παρασχόμενος ἐπιχειρεῖς ἐκβάλλειν με
ἐκ τῆς οὐσίας καὶ τοῦ ἀληθοῦς· ἐγὼ δὲ ἂν μὴ σὲ αὐτὸν ἕνα ὄντα
474 μάρτυρα παράσχωμαι ὁμολογοῦντα περὶ ὧν λέγω, οὐδὲν οἶμαι ἄ-
ξιον λόγου μοι πεπεράνθαι περὶ ὧν ἂν ἡμῖν ὁ λόγος ᾖ· οἶμαι δὲ
οὐδὲ σοί ἐὰν μὴ ἐγώ σοι μαρτυρῶ εἷς ὢν μόνος, τοὺς δ' ἄλλους
πάντας τούτους χαίρειν ἐᾷς· ἔστι μὲν οὖν οὗτός τις τρόπος
ἐλέγχου ὡς σύ τε οἴει καὶ ἄλλοι πολλοί· ἔστι δὲ καὶ ἄλλος ὃν ἐγὼ




αὖ οἶμαι· παραβαλόντες οὖν παρ' ἀλλήλους σκεψώμεθα εἴ τι διοίσουσιν
ἀλλήλων. καὶ γὰρ τυγχάνει περὶ ὧν ἀμφισβητοῦμεν οὐ πάνυ σμικρὰ
ὄντα, ἀλλὰ σχεδόν τι ταῦτα περὶ ὧν εἰδέναι τε κάλλιστον μὴ εἰδέναι τε αἴ-
σχιστον· τὸ γὰρ κεφάλαιον αὐτῶν ἐστιν ἢ γιγνώσκειν ἢ ἀγνοεῖν ὅστις
τε εὐδαίμων ἐστὶν καὶ ὅστις μή. αὐτίκα πρῶτον περὶ οὗ νῦν ὁ λόγος
ἐστίν, σὺ ἡγεῖ οἷόν τε εἶναι μακάριον ἄνδρα ἀδικοῦντά τε καὶ ἄδικον
ὄντα, εἴπερ Ἀρχέλαον ἄδικον μὲν ἡγεῖ εἶναι, εὐδαίμονα δέ. ἄλλο τι
ὡς οὕτως σου νομίζοντος διανοώμεθα; Πωλ. πάνυ γε. Σω. ἐγὼ δέ φημι
ἀδύνατον. ἓν μὲν τουτὶ ἀμφισβητοῦμεν. εἶεν· ἀδικῶν δὲ δὴ εὐδαίμων
ἔσται ἆρ' ἂν τυγχάνῃ δίκης τε καὶ τιμωρίας; Πωλ. ἥκιστά γε, ἐπεὶ οὕτω γ' ἂν
ἀθλιώτατος εἴη. Σω. ἀλλ' ἐὰν ἄρα μὴ τυγχάνῃ δίκης ὁ ἀδικῶν, κατὰ τὸν
σὸν λόγον εὐδαίμων ἔσται; Πωλ. φημί. Σω. κατὰ δέ γε τὴν ἐμὴν δόξαν, ὦ Πῶ-
λε, ὁ ἀδικῶν τε καὶ ὁ ἄδικος πάντως μὲν ἄθλιος, ἀθλιώτερος μέν-
τοι ἐὰν μὴ διδῷ δίκην μηδὲ τυγχάνῃ τιμωρίας ἀδικῶν, ἧττον
δὲ ἄθλιος ἐὰν διδῷ δίκην καὶ τυγχάνῃ δίκης ὑπὸ θεῶν τε καὶ
ἀνθρώπων. Πωλ. ἄτοπά γε, ὦ Σώκρατες, ἐπιχειρεῖς λέγειν. Σω. πειρά-
σομαι δέ γε καὶ σὲ ποιῆσαι, ὦ ἑταῖρε, ταὐτὰ ἐμοὶ λέγειν· φίλον γάρ σε ἡ-
γοῦμαι. νῦν μὲν οὖν ἃ διαφερόμεθα ταῦτ' ἐστιν· σκόπει δὲ καὶ σύ. εἶ-
πον ἐγώ που ἐν τοῖς ἔμπροσθεν τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον
εἶναι. Πωλ. πάνυ γε. Σω. σὺ δὲ τὸ ἀδικεῖσθαι. Πωλ. ναί. Σω. καὶ τοὺς ἀδικοῦντας ἀ-
θλίους ἔφην εἶναι ἐγὼ καὶ ἐξηλέγχθην ὑπὸ σοῦ. Πωλ. ναὶ μὰ Δία. Σω. ὡς
σύ γε οἴει, ὦ Πῶλε. Πωλ. ἀληθῆ γε οἰόμενος. Σω. ἴσως. σὺ δέ γε εὐδαίμονας
αὖ τοὺς ἀδικοῦντας, ἐὰν μὴ διδῶσι δίκην. Πωλ. πάνυ μὲν οὖν. Σω. ἐγὼ δὲ
αὐτοὺς ἀθλιωτάτους φημί, τοὺς δὲ διδόντας δίκην ἧττον. βού-
λει καὶ τοῦτο ἐλέγχειν; Πωλ. ἀλλ' ἔτι τοῦτ' ἐκείνου χαλεπώτερον, ὦ Σώ-
κρατες, ἐξελέγξαι. Σω. οὐ δῆτα, ὦ Πῶλε, ἀλλ' ἀδύνατον· τὸ γὰρ ἀλη-
θὲς οὐδέποτε ἐλέγχεται. Πωλ. πῶς λέγεις; ἐὰν ἀδικῶν ἄνθρωπος
ληφθῇ τυραννίδι ἐπιβουλεύων, καὶ ληφθεὶς στρεβλῶται καὶ ἐκ-
τέμνηται καὶ τοὺς ὀφθαλμοὺς ἐκκάηται, καὶ ἄλλας πολλὰς καὶ
μεγάλας καὶ παντοδαπὰς λώβας αὐτός τε λωβηθεὶς καὶ τοὺς
αὑτοῦ ἐπιδὼν παῖδάς τε καὶ γυναῖκα τὸ ἔσχατον ἀνασταυρωθῇ
ἢ καταπιττωθῇ, οὗτος εὐδαιμονέστερος ἔσται, ἢ ἐὰν διαφυγὼν
τύραννος καταστῇ καὶ ἄρχων ἐν τῇ πόλει διαβιῷ ποιῶν ὅτι ἂν
βούληται, ζηλωτὸς ὢν καὶ εὐδαιμονιζόμενος ὑπὸ τῶν πολιτῶν


καὶ τῶν ἄλλων ξένων· ταῦτα λέγεις ἀδύνατον εἶναι ἐξελέγχειν: μορ
μολύττῃ αὖ ὦ γενναῖε πῶλε καὶ οὐκ ἐλέγχεις· ἄρτι δὲ ἐμαρτύρου· ὅ
μως δὲ ὑπόμνησόν με σμικρόν· ἐὰν ἀδίκως ἐπιβουλεύων τυραννί
δι εἶπες: ἔγωγε: εὐδαιμονέστερος μὲν τοίνυν οὐδέποτε ἔσται οὐ
δέτερος αὐτῶν οὔτε ὁ κατειργασμένος τὴν τυραννίδα ἀδίκως
οὔτε ὁ δίκην διδούς· δυοῖν γὰρ ἀθλίοιν εὐδαιμονέστερος μὲν οὐκ ἂν εἴη·
ἀθλιώτερος μέντοι ὁ διαφεύγων καὶ τυραννεύσας: τί τοῦτο ὦ πῶ
λε γελᾷς· ἄλλο αὖ τοῦτο εἶδος ἐλέγχου ἐστὶν ἐπειδάν τίς τι εἴπῃ
καταγελᾶν ἐλέγχειν δὲ μή: οὐκ οἴει ἐξεληλέγχθαι ὦ σώκρατες
ὅταν τοιαῦτα λέγῃς ἃ οὐδεὶς ἂν φήσειεν ἀνθρώπων· ἐπεὶ ἐροῦ
τινὰ τουτωνί: ὦ πῶλε οὐκ εἰμὶ τῶν πολιτικῶν· καὶ πέρυσι βουλεύ
ειν λαχὼν ἐπειδὴ ἡ φυλὴ ἐπρυτάνευε καὶ ἔδει με ἐπιψηφίζειν γέ
λωτα παρεῖχον καὶ οὐκ ἠπιστάμην ἐπιψηφίζειν· μὴ οὖν μηδὲ νῦν
με κέλευε ἐπιψηφίζειν τοὺς παρόντας· ἀλλ' εἰ μὴ ἔχεις τούτων
βελτίω ἔλεγχον ὅπερ νυνδὴ ἐγὼ ἔλεγον· ἐμοὶ ἐν τῷ μέρει παρά
δος καὶ πείρασαι τοῦ ἐλέγχου οἷον ἐγὼ οἶμαι δεῖν εἶναι· ἐγὼ γὰρ
ὧν ἂν λέγω ἕνα μὲν παρασχέσθαι μάρτυρα ἐπίσταμαι αὐτὸν πρὸς
ὃν ἄν μοι ὁ λόγος ᾖ· τοὺς δὲ πολλοὺς ἐῶ χαίρειν· καὶ ἕνα ἐπιψη
φίζειν ἐπίσταμαι· τοῖς δὲ πολλοῖς οὐδὲ διαλέγομαι· ὅρα οὖν εἰ ἐ
θελήσεις ἐν τῷ μέρει διδόναι ἔλεγχον ἀποκρινόμενος τὰ ἐρωτώ
μενα· ἐγὼ γὰρ δὴ οἶμαι καὶ ἐμὲ καὶ σὲ καὶ τοὺς ἄλλους ἀνθρώ
πους τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον ἡγεῖσθαι καὶ τὸ μὴ διδό
ναι δίκην τοῦ διδόναι: ἐγὼ δέ γε οὔτ' ἐμὲ οὔτ' ἄλλον ἀνθρώπων οὐ
δένα· ἐπεὶ σὺ δέξαι' ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν: καὶ σύ γ' ἂν καὶ
οἱ ἄλλοι πάντες: πολλοῦ γε δεῖ· ἀλλ' οὔτ' ἐγὼ οὔτε σὺ οὔτ' ἄλλος οὐ
δείς: οὔκουν ἀποκρινῇ: πάνυ μὲν οὖν· καὶ γὰρ ἐπιθυμῶ εἰδέ
ναι ὅτι ποτ' ἐρεῖς: λέγε δή μοι ἵν' εἰδῇς ὥσπερ ἂν εἰ ἐξ ἀρχῆς
σε ἠρώτων· πότερον δοκεῖ σοι ὦ πῶλε κάκιον εἶναι τὸ ἀδικεῖν
ἢ τὸ ἀδικεῖσθαι: τὸ ἀδικεῖσθαι ἔμοιγε: τί δὲ δή αἴσχιον πότε
ρον τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι ἀποκρίνου: τὸ ἀδικεῖν: οὐκοῦν
καὶ κάκιον εἴπερ αἴσχιον: ἥκιστά γε: μανθάνω· οὐ ταὐτὸν ἡγῇ σὺ
ὡς ἔοικας καλόν τε καὶ ἀγαθὸν καὶ κακὸν καὶ αἰσχρόν: οὐ δῆτα:
τί δὲ τόδε· τὰ καλὰ πάντα οἷον καὶ σώματα καὶ χρώματα καὶ σχή
ματα καὶ φωνὰς καὶ ἐπιτηδεύματα εἰς οὐδὲν ἀποβλέπων καλεῖς



λέγεις εἶναι καλά· οἷον πρῶτον τὰ σώματα τὰ καλὰ οὐχὶ ἤτοι κατὰ
τὴν χρείαν λέγεις καλὰ εἶναι πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ἦι, πρὸς
τοῦτο· ἢ κατὰ ἡδονήν τινα ἐὰν ἐν τῷ θεωρεῖσθαι χαίρειν ποιῆι τοὺς
θεωροῦντας· ἔχεις τι ἐκτὸς τούτων λέγειν περὶ σώματος κάλλους:
οὐκ ἔχω: οὐκοῦν καὶ τἆλλα πάντα οὕτω καὶ σχήματα καὶ χρώματα
ἢ διὰ ἡδονήν τινα ἢ διὰ ὠφέλειαν ἢ δι' ἀμφότερα καλὰ προσαγο-
ρεύεις: ἔγωγε: οὐκοῦν καὶ τὰς φωνὰς καὶ τὰ κατὰ τὴν μουσικὴν
πάντα ὡσαύτως: ναί: καὶ μὴν τά γε κατὰ τοὺς νόμους καὶ τὰ
ἐπιτηδεύματα οὐ δήπου ἐκτὸς τούτων ἐστὶ τὰ καλὰ ἢ ὠφέλιμα
εἶναι ἢ ἡδέα ἢ ἀμφότερα: οὐκ ἔμοιγε δοκεῖ: οὐκοῦν καὶ τὸ τῶν
μαθημάτων κάλλος ὡσαύτως: πάνυ γε· καὶ καλῶς γε νῦν ὁρίζηι ὦ
σώκρατες ἡδονῆι τε καὶ ἀγαθῶι ὁριζόμενος τὸ καλόν: οὐκοῦν
τὸ αἰσχρὸν τῶι ἐναντίωι λύπηι τε καὶ κακῶι: ἀνάγκη: ὅταν ἄρα δυ-
οῖν καλοῖν θάτερον κάλλιον ἦι, ἢ τῶι ἑτέρωι τούτοιν ἢ ἀμφοτέροις
ὑπερβάλλον κάλλιόν ἐστιν ἤτοι ἡδονῆι ἢ ὠφελείαι ἢ ἀμφοτέροις:
πάνυ γε: καὶ ὅταν δὲ δὴ δυοῖν αἰσχροῖν τὸ ἕτερον αἴσχιον ἦι, ἤτοι λύ-
πηι ἢ κακῶι ὑπερβάλλον αἴσχιον ἔσται· ἢ οὐκ ἀνάγκη: ναί: φέρε δή
πῶς ἐλέγετο νυνδὴ περὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι: οὐκ ἔλεγες
τὸ μὲν ἀδικεῖσθαι κάκιον εἶναι τὸ δὲ ἀδικεῖν αἴσχιον: ἔλεγον: οὐ-
κοῦν εἴπερ αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, ἤτοι λυπηρότερόν
ἐστι καὶ λύπηι ὑπερβάλλον αἴσχιον ἂν εἴη ἢ κακῶι ἢ ἀμφοτέροις·
οὐ καὶ τοῦτο ἀνάγκη: πῶς γὰρ οὔ: πρῶτον μὲν δὴ σκεψώμεθα ἆρα
λύπηι ὑπερβάλλει τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι καὶ ἀλγοῦσι μᾶλλον οἱ
ἀδικοῦντες ἢ οἱ ἀδικούμενοι: οὐδαμῶς ὦ σώκρατες τοῦτό γε:
οὐκ ἄρα λύπηι γε ὑπερέχει: οὐ δῆτα: οὐκοῦν εἰ μὴ λύπηι, ἀμφο-
τέροις μὲν οὐκ ἂν ἔτι ὑπερβάλλοι: οὐ φαίνεται: οὐκοῦν τῶι ἑτέρωι
λείπεται: ναί: τῶι κακῶι: ἔοικεν: οὐκοῦν κακῶι ὑπερβάλλον
τὸ ἀδικεῖν κάκιον ἂν εἴη τοῦ ἀδικεῖσθαι: δῆλον δὴ ὅτι: ἄλλο τι
οὖν ὑπὸ μὲν τῶν πολλῶν ἀνθρώπων καὶ ὑπὸ σοῦ ὡμολογεῖτο
ἡμῖν ἐν τῶι ἔμπροσθεν χρόνωι αἴσχιον εἶναι τὸ ἀδικεῖν τοῦ ἀδι-
κεῖσθαι: ναί: νῦν δέ γε κάκιον ἐφάνη: ἔοικε: δέξαιο ἂν οὖν σὺ
μᾶλλον τὸ κάκιον καὶ τὸ αἴσχιον ἀντὶ τοῦ ἧττον· μὴ ὄκνει ἀποκρί-
νασθαι ὦ πῶλε· οὐδὲν γὰρ βλαβήσηι· ἀλλὰ γενναίως τῶι λόγωι ὥσ-
περ ἰατρῶι παρέχων ἀποκρίνου καὶ ἢ φάθι ἢ μὴ ἃ ἐρωτῶ: ἀλλ' οὐ



κἂν δεξαίμην ὦ σώκρατες: ἄλλος δέ τις ἀνθρώπων: οὔ μοι δοκεῖ κα
τά γε τοῦτον τὸν λόγον: ἀληθῆ ἄρα ἐγὼ ἔλεγον ὅτι οὔτ' ἂν ἐγὼ οὔτ' ἂν
σὺ οὔτ' ἄλλος οὐδεὶς ἀνθρώπων δέξαιτ' ἂν μᾶλλον ἀδικεῖν ἢ ἀδικεῖ
σθαι· κάκιον γὰρ τυγχάνει ὄν: φαίνεται: ὁρᾷς οὖν ὦ πῶλε ὁ ἔλεγ
χος παρὰ τὸν ἔλεγχον παραβαλλόμενος ὅτι οὐδὲν ἔοικεν· ἀλλὰ
σοὶ μὲν οἱ ἄλλοι πάντες ὁμολογοῦσι πλὴν ἐμοῦ· ἐμοὶ δὲ σὺ ἐξαρ
κεῖς εἷς ὢν μόνος καὶ ὁμολογῶν καὶ μαρτυρῶν· καὶ ἐγὼ σὲ μόνον
ἐπιψηφίζων τοὺς ἄλλους ἐῶ χαίρειν· καὶ τοῦτο μὲν ἡμῖν οὕτως
ἐχέτω· μετὰ τοῦτο δὲ περὶ οὗ τὸ δεύτερον ἠμφισβητήσαμεν σκεψώ
μεθα· τὸ ἀδικοῦντα διδόναι δίκην ἆρα μέγιστον τῶν κακῶν ἐστὶν ὡς
426 σὺ ᾤου· ἢ μεῖζον τὸ μὴ διδόναι ὡς αὖ ἐγὼ ᾤμην· σκοπώμεθα
δὲ τῇδε· τὸ διδόναι δίκην καὶ τὸ κολάζεσθαι δικαίως ἀδικοῦντα
ἆρα τὸ αὐτὸ καλεῖς: ἔγωγε: ἔχεις οὖν λέγειν ὡς οὐχὶ τά γε δί
καια πάντα καλά ἐστιν καθ' ὅσον δίκαια· καὶ διασκεψάμενος εἰπέ:
ἀλλά μοι δοκεῖ ὦ σώκρατες: σκόπει δὴ καὶ τόδε· ἆρα εἴ τις τι ποιεῖ
ἀνάγκη τι εἶναι καὶ πάσχον ὑπὸ τούτου τοῦ ποιοῦντος: ἔμοιγε
δοκεῖ: ἆρα τοῦτο πάσχον ὃ τὸ ποιοῦν ποιεῖ καὶ τοιοῦτον οἷον ποιεῖ
τὸ ποιοῦν· λέγω δὲ τὸ τοιόνδε· εἴ τις τύπτει ἀνάγκη τι τύπτεσθαι:
ἀνάγκη: καὶ εἰ σφόδρα τύπτει ἢ ταχὺ ὁ τύπτων οὕτω καὶ τὸ τυπτό
μενον τύπτεσθαι: ναί: τοιοῦτον ἄρα πάθος τῷ τυπτομένῳ ἐστὶν
οἷον ἂν τὸ τύπτον ποιῇ: πάνυ γε: οὐκοῦν καὶ εἰ κάει τις ἀνάγ
κη τι κάεσθαι: πῶς γὰρ οὔ: καὶ εἰ σφόδρα γε κάει ἢ ἀλγεινῶς οὕ
τως κάεσθαι τὸ καόμενον ὡς ἂν τὸ κάον κάῃ: πάνυ γε: οὐκοῦν
καὶ εἰ τέμνει τι ὁ αὐτὸς λόγος· τέμνεται γάρ τι: ναί: καὶ εἰ μέγα γε
ἢ βαθὺ τὸ τμῆμα ἢ ἀλγεινὸν τοιοῦτον τμῆμα τέμνεται τὸ τεμνόμε
νον οἷον τὸ τέμνον τέμνει: φαίνεται: συλλήβδην δὴ ὅρα εἰ ὁμολο
γεῖς ὃ ἄρτι ἔλεγον περὶ πάντων οἷον ἂν ποιῇ τὸ ποιοῦν τοιοῦ
τον τὸ πάσχον πάσχειν: ἀλλ' ὁμολογῶ: τούτων δὴ ὁμολογου
μένων· τὸ δίκην διδόναι πότερον πάσχειν τί ἐστιν ἢ ποιεῖν: ἀνάγκη
ὦ σώκρατες πάσχειν: οὐκοῦν ὑπό τινος ποιοῦντος: πῶς γὰρ
οὔ· ὑπό γε τοῦ κολάζοντος: ὁ δὲ ὀρθῶς κολάζων δικαίως κο
λάζει: ναί: δίκαια ποιῶν ἢ οὔ: δίκαια: οὐκοῦν ὁ κολαζόμε
νος δίκην διδοὺς δίκαια πάσχει: φαίνεται: τὰ δὲ δίκαιά που
καλὰ ὡμολόγηται: πάνυ γε: τούτων ἄρα ὁ μὲν ποιεῖ καλά ὁ δὲ



πονηρίαι τῶν	πονηρίαι	ἀρεταί
ψυχῆς	ἀδικία	δικαιοσύνη
σώματος	νόσος	ὑγεία
τῶν ἐκτὸς	πενία	πλοῦτος

πάσχει ὁ κολαζόμενος: ναί: οὐκοῦν εἴπερ καλά, ἀγαθά; ἢ γὰρ ἡ-
δέα ἢ ὠφέλιμα: ἀνάγκη: ἀγαθὰ ἄρα πάσχει ὁ δίκην διδούς: ἔοι-
κεν: ὠφελεῖται ἄρα: ναί: ἆρα ἥνπερ ἐγὼ ὑπολαμβάνω τὴν ὠφέλει-
αν· βελτίων τὴν ψυχὴν γίγνεται εἴπερ δικαίως κολάζεται: εἰκός γε:
κακίας ἄρα ψυχῆς ἀπαλλάττεται ὁ δίκην διδούς: ναί: ἆρα οὖν τοῦ
μεγίστου ἀπαλλάττεται κακοῦ· ὧδε δὲ σκόπει· ἐν χρημάτων κατα-
σκευῇ ἀνθρώπου κακίαν ἄλλην τινὰ ἐνορᾷς ἢ πενίαν: οὔκ, ἀλλὰ
πενίαν: τί δ' ἐν σώματος κατασκευῇ κακίαν ἂν φήσαις ἀσθέ-
νειαν εἶναι καὶ νόσον καὶ αἶσχος καὶ τὰ τοιαῦτα: ἔγωγε: οὐκοῦν
καὶ ἐν ψυχῇ πονηρίαν ἡγῇ τινα εἶναι: πῶς γὰρ οὔ: ταύτην οὖν
οὐκ ἀδικίαν καλεῖς καὶ ἀμαθίαν καὶ δειλίαν καὶ τὰ τοιαῦτα: πάνυ
μὲν οὖν: οὐκοῦν χρημάτων καὶ σώματος καὶ ψυχῆς τριῶν ὄντων
τριττὰς εἴρηκας πονηρίας· πενίαν· νόσον· ἀδικίαν: ναί: τίς οὖν
τούτων τῶν πονηριῶν αἰσχίστη; οὐχ ἡ ἀδικία· καὶ συλλήβδην ἡ τῆς
ψυχῆς πονηρία: πολύ γε: εἰ δὴ αἰσχίστη καὶ κακίστη: πῶς ὦ σώ-
κρατες λέγεις: ὧδε· ἀεὶ τὸ αἴσχιστον ἤτοι λύπην μεγίστην παρ-
έχον ἢ βλάβην ἢ ἀμφότερα αἴσχιστόν ἐστιν ἐκ τῶν ὡμολογημέ-
νων ἐν τῷ ἔμπροσθεν: μάλιστα: αἴσχιστον δὲ ἀδικία καὶ σύμπα-
σα ψυχῆς πονηρία νῦν δὴ ὡμολόγηται ἡμῖν: ὡμολόγηται γάρ:
οὐκοῦν ἢ ἀνιαρότατόν ἐστιν ἀνίᾳ ὑπερβάλλον αἴσχιστον τούτων ἐστὶν
ἢ βλάβῃ ἢ ἀμφότερα: ἀνάγκη: ἆρ' οὖν ἀλγεινότερόν ἐστιν τοῦ
πένεσθαι καὶ κάμνειν τὸ ἄδικον εἶναι καὶ ἀκόλαστον καὶ δειλὸν καὶ ἀ-
μαθῆ: οὐκ ἔμοιγε δοκεῖ ὦ σώκρατες ἀπὸ τούτων γε: ὑπερφυεῖ
τινι ἄρα ὡς μεγάλῃ βλάβῃ καὶ κακῷ θαυμασίῳ ὑπερβάλλουσα
τἆλλα ἡ τῆς ψυχῆς πονηρία αἴσχιστόν ἐστι πάντων· ἐπεὶ δὴ οὐκ ἀλ-
γηδόνι γε ὡς ὁ σὸς λόγος: φαίνεται: ἀλλὰ μήν που τό γε μεγίστῃ
βλάβῃ ὑπερβάλλον· μέγιστον ἂν κακὸν εἴη τῶν ὄντων: ναί: ἡ ἀδι-
κία ἄρα καὶ ἡ ἀκολασία καὶ ἡ ἄλλη ψυχῆς πονηρία μέγιστον τῶν ὄν-
των κακόν ἐστιν: φαίνεται: τίς οὖν τέχνη πενίας ἀπαλλάττει· οὐ
χρηματιστική; ναί: τίς δὲ νόσου· οὐκ ἰατρική; ἀνάγκη: τίς δὲ
πονηρίας καὶ ἀδικίας εἰ μὴ οὕτως εὐπορεῖς· ὧδε σκόπει· ποῖ
ἄγομεν καὶ παρὰ τίνας τοὺς κάμνοντας τὰ σώματα: παρὰ τοὺς
ἰατροὺς ὦ σώκρατες: ποῖ δὲ τοὺς ἀδικοῦντας καὶ τοὺς ἀκολα-
σταίνοντας: παρὰ τοὺς δικαστὰς λέγεις: οὐκοῦν δίκην δώσοντας

427 : φημί: ἆρ' οὖν οὐ δικαιοσύνῃ τινὶ χρώμενοι κολάζουσιν οἱ ὀρ-
θῶς κολάζοντες: δῆλον δή: χρηματιστικὴ μὲν ἄρα πενίας ἀπαλ-
λάττει· ἰατρικὴ δὲ νόσου· δίκη δὲ ἀκολασίας καὶ ἀδικίας: φαίνεται·
τί τούτων κάλλιστόν ἐστιν ὧν λέγεις: τίνων λέγεις: χρηματιστικῆς
ἰατρικῆς δίκης: πολὺ διαφέρει ὦ σώκρατες ἡ δίκη: οὐκοῦν
αὖ ἤτοι ἡδονὴν πλείστην ποιεῖ ἢ ὠφελίαν ἢ ἀμφότερα εἴπερ καλ-
λιστόν ἐστιν: ναί: ἆρ' οὖν τὸ ἰατρεύεσθαι ἡδύ ἐστιν καὶ χαίρουσιν οἱ ἰ-
ατρευόμενοι: οὐκ ἔμοιγε δοκεῖ: ἀλλ' ὠφέλιμόν γέ τι ἦ γάρ: ναί:
μεγάλου γὰρ κακοῦ ἀπαλλάττεται· ὥστε λυσιτελεῖ ὑπομεῖναι τὴν
ἀλγηδόνα καὶ ὑγιῆ εἶναι: πῶς γὰρ οὔ: ἆρ' οὖν οὕτως ἂν περὶ σῶ-
μα εὐδαιμονέστατος ἄνθρωπος εἴη ἰατρευόμενος ἢ μηδὲ κάμνων
ἀρχήν: δῆλον ὅτι μηδὲ κάμνων: οὐ γὰρ τοῦτ' ἦν εὐδαιμονία ὡς
ἔοικε κακοῦ ἀπαλλαγή, ἀλλὰ τὴν ἀρχὴν μηδὲ κτῆσις: ἔστι ταῦτα:
τί δὲ ἀθλιώτερος πότερος δυοῖν ἐχόντοιν κακὸν εἴτ' ἐν σώματι
εἴτ' ἐν ψυχῇ ὁ ἰατρευόμενος καὶ ἀπαλλαττόμενος τοῦ κακοῦ· ἢ ὁ
μὴ ἰατρευόμενος ἔχων δέ: φαίνεταί μοι ὁ μὴ ἰατρευόμενος:
οὐκοῦν τὸ δίκην διδόναι μεγίστου κακοῦ ἀπαλλαγὴ ἦν πονηρίας:
ἦν γάρ: σωφρονίζει γάρ που καὶ δικαιοτέρους ποιεῖ καὶ ἰατρικὴ
γίγνεται πονηρίας ἡ δίκη: ναί: εὐδαιμονέστατος μὲν ἄρα ὁ μὴ
ἔχων κακίαν ἐν ψυχῇ ἐπειδὴ τοῦτο μέγιστον τῶν κακῶν ἐφάνη:
δῆλον δή: δεύτερος δήπου ὁ ἀπαλλαττόμενος: ἔοικεν: οὗ-
τος δ' ἦν ὁ νουθετούμενός τε καὶ ἐπιπληττόμενος καὶ δίκην δι-
δούς: ναί: κάκιστα ἄρα ζῇ ὁ ἔχων ἀδικίαν καὶ μὴ ἀπαλλαττό-
μενος: φαίνεται: οὐκοῦν οὗτος τυγχάνει ὢν ὃς ἂν τὰ μέγιστα
ἀδικῶν καὶ χρώμενος μεγίστῃ ἀδικίᾳ διαπράξηται ὥστε μήτε
νουθετεῖσθαι μήτε κολάζεσθαι μήτε δίκην διδόναι ὥσπερ σὺ φῂς
ἀρχέλαον παρεσκευάσθαι καὶ τοὺς ἄλλους τυράννους καὶ ῥήτο-
ρας καὶ δυνάστας: ἔοικε: σχεδὸν γάρ που οὗτοι ὦ ἄριστε τὸ
αὐτὸ διαπεπραγμένοι εἰσίν· ὥσπερ ἂν εἴ τις τοῖς μεγίστοις
νοσήμασιν συνισχόμενος διαπράξαιτο μὴ διδόναι δίκην τῶν
περὶ τὸ σῶμα ἁμαρτημάτων τοῖς ἰατροῖς μηδὲ ἰατρεύεσθαι· φο-
βούμενος ὥσπερ ἂν εἰ παῖς τὸ κάεσθαι καὶ τὸ τέμνεσθαι ὅτι ἀλ-
γεινόν· ἢ οὐ δοκεῖ καὶ σοὶ οὕτως: ἔμοιγε: ἀγνοῶν γε ὡς ἔοικεν οἷ-
όν ἐστιν ὑγίεια καὶ ἀρετὴ σώματος· κινδυνεύουσι γὰρ ἐκ τῶν νῦν

ἡμῖν ὡμολογημένων· τοιοῦτόν τι ποιεῖν καὶ οἱ τὴν δίκην φεύγοντες,
ὦ Πῶλε· τὸ ἀλγεινὸν αὐτοῦ καθορᾶν, πρὸς δὲ τὸ ὠφέλιμον τυφλῶς ἔ-
χειν καὶ ἀγνοεῖν ὅσῳ ἀθλιώτερόν ἐστι μὴ ὑγιοῦς σώματος μὴ ὑγι-
εῖ ψυχῇ συνοικεῖν, ἀλλὰ σαθρᾷ καὶ ἀδίκῳ καὶ ἀνοσίῳ· ὅθεν καὶ πᾶν
ποιοῦσιν ὥστε δίκην μὴ διδόναι μηδ᾽ ἀπαλλάττεσθαι τοῦ μεγίστου κα-
κοῦ· καὶ χρήματα παρασκευαζόμενοι καὶ φίλους καὶ ὅπως ἂν ὦ-
σιν ὡς πιθανώτατοι λέγειν. εἰ δὲ ἡμεῖς ἀληθῆ ὡμολογήκαμεν, ὦ
Πῶλε, ἆρ᾽ αἰσθάνῃ τὰ συμβαίνοντα ἐκ τοῦ λόγου; ἢ βούλει συλλογι-
σώμεθα αὐτά; — Εἴ σοι γε ἄλλως δοκεῖ. — Ἆρ᾽ οὖν συμβαίνει μέγιστον
κακὸν ἡ ἀδικία καὶ τὸ ἀδικεῖν; — Φαίνεταί γε. — Καὶ μὴν ἀπαλλαγή γε
ἐφάνη τούτου τοῦ κακοῦ τὸ δίκην διδόναι; — Κινδυνεύει. — Τὸ δέ γε μὴ
διδόναι ἐμμονὴ τοῦ κακοῦ; — Ναί. — Δεύτερον ἄρα ἐστὶν τῶν κακῶν με-
γέθει τὸ ἀδικεῖν· τὸ δὲ ἀδικοῦντα μὴ διδόναι δίκην πάντων μέ-
γιστόν τε καὶ πρῶτον κακῶν πέφυκεν. — Ἔοικεν. — Ἆρ᾽ οὖν οὐ περὶ τούτου,
ὦ φίλε, ἠμφεσβητήσαμεν, σὺ μὲν τὸν Ἀρχέλαον εὐδαιμονίζων τὸν
τὰ μέγιστα ἀδικοῦντα δίκην οὐδεμίαν διδόντα, ἐγὼ δὲ τοὐναντίον
οἰόμενος, εἴτε Ἀρχέλαος εἴτ᾽ ἄλλος ἀνθρώπων ὁστισοῦν μὴ δίδω-
σι δίκην ἀδικῶν, τούτῳ προσήκειν ἀθλίῳ εἶναι διαφερόντως
τῶν ἄλλων ἀνθρώπων, καὶ ἀεὶ τὸν ἀδικοῦντα τοῦ ἀδικουμένου ἀ-
θλιώτερον εἶναι καὶ τὸν μὴ διδόντα δίκην τοῦ διδόντος; οὐ ταῦτ᾽ ἦν
τὰ ὑπ᾽ ἐμοῦ λεγόμενα; — Ναί. — Οὐκοῦν ἀποδέδεικται ὅτι ἀληθῆ ἐ-
λέγετο; — Φαίνεται. — Εἶεν· εἰ οὖν δὴ ταῦτα ἀληθῆ, ὦ Πῶλε, τίς ἡ με-
γάλη χρεία ἐστὶν τῆς ῥητορικῆς; δεῖ μὲν γὰρ δὴ ἐκ τῶν νῦν ὡμολο-
γημένων αὐτὸν ἑαυτὸν μάλιστα φυλάττειν ὅπως μὴ ἀδικήσει, ὡς
ἱκανὸν κακὸν ἕξοντα. οὐ γάρ; — Πάνυ γε. — Ἐὰν δέ γε ἀδικήσῃ ἢ αὐτὸς
ἢ ἄλλος τις ὧν ἂν κήδηται, αὐτὸν ἑκόντα ἰέναι ἐκεῖσε ὅπου ὡς τά-
χιστα δώσει δίκην, παρὰ τὸν δικαστὴν ὥσπερ παρὰ τὸν ἰατρόν, σπεύ-
δοντα ὅπως μὴ ἐγχρονισθὲν τὸ νόσημα τῆς ἀδικίας ὕπουλον
τὴν ψυχὴν ποιήσῃ καὶ ἀνίατον· ἢ πῶς λέγομεν, ὦ Πῶλε, εἴπερ 428
τὰ πρότερον μένει ἡμῖν ὁμολογήματα; οὐκ ἀνάγκη ταῦτα ἐκεί-
νοις οὕτω μὲν συμφωνεῖν, ἄλλως δὲ μή; — Τί γὰρ δὴ φῶμεν, ὦ Σώκρα-
τες; — Ἐπὶ μὲν ἄρα τὸ ἀπολογεῖσθαι ὑπὲρ τῆς ἀδικίας τῆς αὐτοῦ
ἢ γονέων ἢ ἑταίρων ἢ παίδων ἢ πατρίδος ἀδικούσης οὐ χρήσιμος
οὐδὲν ἡ ῥητορικὴ ἡμῖν, ὦ Πῶλε, εἰ μὴ εἴ τις ὑπολάβοι ἐπὶ τοὐναν-

ὅτι ἄριστος τρόπος συλλογισμοῦ ὅρος ἐν τεύχει [illegible] σχεδὸν αὐταῖς λέξεσι

ὅτι [illegible] τῷ πρὸς κακοδαιμονίαν

τάχιστα δώσει δίκην [illegible] δηλαδὴ τὸν οἰκεῖον λογισμὸν βασανίζοντα αὐτὰς φαντασίας καὶ κολάζοντα τὰς παραλόγους ἐννοίας· οὐκ εἰς ἀγείρουν(?) εἰς δικαστήριον, ἀλλὰ νουθεσίαν καὶ ἐπιπλῆξιν ἐφ᾽ αὐτὸν καὶ τοὺς οἰκείους ἄγειν παρακελεύεται:—

τὸ κατηγορεῖν δεῖν πρῶτον μὲν ἑαυτοῦ ἔπειτα δὲ καὶ τῶν οἰκείων
καὶ τῶν ἄλλων ὃς ἂν ἀεὶ τῶν φίλων τυγχάνῃ ἀδικῶν καὶ μὴ ἀποκρύ-
πτεσθαι· ἀλλ' εἰς τὸ φανερὸν ἄγειν τὸ ἀδίκημα ἵνα δῷ δίκην καὶ ὑγιὴς
γένηται· ἀναγκάζειν δὲ καὶ αὑτὸν καὶ τοὺς ἄλλους μὴ ἀποδειλιᾶν
ἀλλὰ παρέχειν μύσαντα εὖ καὶ ἀνδρείως ὥσπερ τέμνειν καὶ κάειν ἰα-
τρῷ· τὸ ἀγαθὸν καὶ καλὸν διώκοντα μὴ ὑπολογιζόμενον τὸ ἀλγει-
νόν· ἐὰν μέν γε πληγῶν ἄξια ἠδικηκὼς ᾖ· τύπτειν παρέχοντα· ἐὰν
δὲ δεσμοῦ· δεῖν· ἐὰν δὲ ζημίας ἀποτίνοντα· ἐὰν δὲ φυγῆς· φεύγον-
τα· ἐὰν δὲ θανάτου ἀποθνήσκοντα· αὐτὸν πρῶτον ὄντα κατήγο-
ρον καὶ αὑτοῦ καὶ τῶν ἄλλων οἰκείων· καὶ ἐπὶ τοῦτο χρώμενον τῇ ῥη-
τορικῇ ὅπως ἂν καταδήλων τῶν ἀδικημάτων γιγνομένων ἀ-
παλλάττωνται τοῦ μεγίστου κακοῦ ἀδικίας· φῶμεν οὕτως ἢ μὴ φῶ-
μεν ὦ πῶλε: ἄτοπα μὲν ὦ σώκρατες ἔμοιγε δοκεῖ· τοῖς μέντοι ἔμ-
προσθεν ἴσως σοι ὁμολογεῖται: οὐκοῦν ἢ κἀκεῖνα λυτέον ἢ τάδε
ἀνάγκη συμβαίνειν: ναὶ τοῦτό γε οὕτως ἔχει: τοὐναντίον δέ γε αὖ
μεταβαλόντα εἰ ἄρα δεῖ τινα κακῶς ποιεῖν· εἴτ' ἐχθρὸν εἴτε ὁντινοῦν·
ἐὰν μόνον μὴ αὐτὸς ἀδικῆται ὑπὸ τοῦ ἐχθροῦ· τοῦτο μὲν γὰρ εὐλα-
βητέον· ἐὰν δὲ ἄλλον ἀδικῇ ὁ ἐχθρός· παντὶ τρόπῳ παρασκευ-
αστέον καὶ πράττοντα καὶ λέγοντα ὅπως μὴ δῷ δίκην μηδὲ ἔλ-
θῃ παρὰ τὸν δικαστήν· ἐὰν δὲ ἔλθῃ· μηχανητέον ὅπως ἂν δια-
φύγῃ καὶ μὴ δῷ δίκην ὁ ἐχθρός· ἀλλ' ἐάν τε χρυσίον ᾖ ἡρπακὼς
πολὺ μὴ ἀποδιδῷ τοῦτο ἀλλ' ἔχων ἀναλίσκηται καὶ εἰς ἑαυτὸν καὶ
εἰς τοὺς ἑαυτοῦ ἀδίκως καὶ ἀθέως· ἐάν τε θανάτου ἄξια ἠδι-
κηκὼς ᾖ ὅπως μὴ ἀποθανεῖται· μάλιστα μὲν μηδέποτε ἀλλ' ἀθάνα-
τος ἔσται πονηρὸς ὤν· εἰ δὲ μὴ ὅπως ὡς πλεῖστον χρόνον βιώ-
σεται τοιοῦτος ὤν· ἐπὶ τὰ τοιαῦτα ἔμοιγε δοκεῖ ὦ πῶλε ἡ ῥη-
τορικὴ χρήσιμος εἶναι· ἐπεὶ τῷ γε μὴ μέλλοντι ἀδικεῖν οὐ μεγά-
λη τίς μοι δοκεῖ ἡ χρεία αὐτῆς εἶναι· εἰ δὴ καὶ ἔστιν τις χρεία ὡς
ἔν γε τοῖς πρόσθεν οὐδαμῇ ἐφάνη οὖσα: εἰπέ μοι ὦ χαιρεφῶν·
σπουδάζει ταῦτα σωκράτης ἢ παίζει: ἐμοὶ μὲν δοκεῖ ὦ καλλί-
κλεις ὑπερφυῶς σπουδάζειν· οὐδὲν μέντοι οἷον τὸ αὐτὸν ἐρωτᾶν:
νὴ τοὺς θεοὺς ἀλλ' ἐπιθυμῶ· εἰπέ μοι ὦ σώκρατες πότερόν σε
θῶμεν νυνὶ σπουδάζοντα ἢ παίζοντα· εἰ μὲν γὰρ σπουδάζεις τε καὶ
τυγχάνει ταῦτα ἀληθῆ ὄντα ἃ λέγεις· ἄλλο τι ἢ ἡμῶν ὁ βίος ἂν

ματετραμμένος ἂν εἴη τῶν ἀνθρώπων καὶ πάντα τὰ ἐναντία πράττο
μεν ὡς ἔοικεν ἢ ἃ δεῖ: ὦ καλλίκλεις εἰ μή τι ἦν τοῖς ἀνθρώποις πάθος
τοῖς μὲν ἄλλο τι τοῖς δὲ ἄλλο τι τὸ αὐτό· ἀλλά τις ἡμῶν ἴδιόν τι ἔπασχεν
πάθος ἢ οἱ ἄλλοι, οὐκ ἂν ἦν ῥᾴδιον ἐνδείξασθαι τῷ ἑτέρῳ τὸ ἑαυ
τοῦ πάθημα. λέγω δὲ ἐννοήσας ὅτι ἐγώ τε καὶ σὺ νῦν τυγχάνομεν ταυ
τόν τι πεπονθότες ἐρῶντε δύο ὄντε δυοῖν ἑκάτερος· ἐγὼ μὲν ἀλκι
βιάδου τε τοῦ κλεινίου καὶ φιλοσοφίας· σὺ δὲ δυοῖν τοῦ τε ἀθηναίων
δήμου καὶ τοῦ πυριλάμπους· αἰσθάνομαι οὖν σου ἑκάστοτε καίπερ
ὄντος δεινοῦ ὅτι ὁπόσ' ἂν φῇ σου τὰ παιδικὰ καὶ ὅπως ἂν φῇ ἔχειν
οὐ δυναμένου ἀντιλέγειν· ἀλλ' ἄνω καὶ κάτω μεταβαλλομένου ἔν τε τῇ ἐκ
κλησίᾳ ἐάν τι σοῦ λέγοντος ὁ δῆμος ὁ ἀθηναίων μὴ φῇ οὕτως ἔχειν
μεταβαλλόμενος λέγεις ἃ ἐκεῖνος βούλεται καὶ πρὸς τὸν πυριλάμ
πους νεανίαν τὸν καλὸν τοῦτον τοιαῦθ' ἕτερα πέπονθας· τοῖς
γὰρ τῶν παιδικῶν βουλεύμασίν τε καὶ λόγοις οὐχ οἷός τ' εἶ ἐναν
τιοῦσθαι· ὥστε εἴ τίς σου λέγοντος ἑκάστοτε ἃ διὰ τούτους λέγεις
θαυμάζοι ὡς ἄτοπά ἐστιν, ἴσως εἴποις ἂν αὐτῷ εἰ βούλοιο τἀλη
θῆ λέγειν· ὅτι εἰ μή τις παύσει τὰ σὰ παιδικὰ τούτων τῶν λόγων·
οὐδὲ σὺ παύσῃ ποτὲ ταῦτα λέγων· νόμιζε τοίνυν καὶ παρ' ἐμοῦ χρῆ
ναι ἕτερα τοιαῦτα ἀκούειν καὶ μὴ θαύμαζε ὅτι ἐγὼ ταῦτα λέγω·
ἀλλὰ τὴν φιλοσοφίαν τὰ ἐμὰ παιδικὰ παῦσον ταῦτα λέγουσαν·
λέγει γὰρ ὦ φίλε ἑταῖρε ἃ νῦν ἐμοῦ ἀκούεις καί μοι ἐστὶν τῶν ἑτέρων
παιδικῶν πολὺ ἧττον ἔμπληκτος· ὁ μὲν γὰρ κλεινίειος οὗτος ἄλ
λοτε ἄλλων ἐστὶ λόγων· ἡ δὲ φιλοσοφία ἀεὶ τῶν αὐτῶν· λέγει δὲ ἃ σὺ
νῦν θαυμάζεις· παρῆσθα δὲ καὶ αὐτὸς λεγομένοις· ἢ οὖν ἐκεί
νην ἐξέλεγξον ὅπερ ἄρτι ἔλεγον ὡς οὐ τὸ ἀδικεῖν ἐστιν καὶ ἀδι 429
κοῦντα δίκην μὴ διδόναι ἁπάντων ἔσχατον κακῶν· ἢ εἰ τοῦτο ἐά
σεις ἀνέλεγκτον· μὰ τὸν κύνα τὸν αἰγυπτίων θεὸν οὔ σοι ὁμολο
γήσει καλλικλῆς ὦ καλλίκλεις ἀλλὰ διαφωνήσει ἐν ἅπαντι τῷ βίῳ·
καίτοι ἔγωγε οἶμαι ὦ βέλτιστε καὶ τὴν λύραν μοι κρεῖττον εἶναι
ἀνάρμοστόν τε καὶ διαφωνεῖν καὶ χορὸν ᾧ χορηγοίην καὶ πλεί
στους ἀνθρώπους μὴ ὁμολογεῖν μοι ἀλλ' ἐναντία λέγειν μᾶλλον
ἢ ἕνα ὄντα ἐμὲ ἐμαυτῷ ἀσύμφωνον εἶναι καὶ ἐναντία λέγειν:
ὦ σώκρατες δοκεῖς νεανιεύεσθαι ἐν τοῖς λόγοις ὡς ἀληθῶς
δημηγόρος ὤν· καὶ νῦν ταῦτα δημηγορεῖς ταὐτὸν παθόντος

λου πάθος ὅπερ Γοργίου κατηγόρει πρὸς σὲ παθεῖν. ἔφη γάρ
που Γοργίαν ἐρωτώμενον ὑπὸ σοῦ, ἐὰν ἀφίκηται παρ' αὐτὸν μὴ ἐπιστ-
άμενος τὰ δίκαια ὁ τὴν ῥητορικὴν βουλόμενος μαθεῖν, εἰ διδά-
ξοι αὐτὸν ὁ Γοργίας, αἰσχυνθῆναι αὐτὸν καὶ φάναι διδάξειν διὰ
τὸ ἔθος τῶν ἀνθρώπων, ὅτι ἀγανακτοῖεν ἄν, εἴ τις μὴ φαίη· διὰ δὴ
ταύτην τὴν ὁμολογίαν ἀναγκασθῆναι ἐναντία αὐτὸν αὐτῷ εἰπεῖν·
σὲ δὲ αὐτὸ τοῦτο ἀγαπᾶν· καί σου καταγελᾶν ὥς γέ μοι δοκεῖν ὀρ-
θῶς τότε· νῦν δὲ πάλιν αὐτὸς ταὐτὸν τοῦτο ἔπαθεν. καὶ ἔγωγε
κατ' αὐτὸ τοῦτο οὐκ ἄγαμαι Πῶλον, ὅτι σοι συνεχώρησε τὸ ἀδικεῖν
αἴσχιον εἶναι τοῦ ἀδικεῖσθαι· ἐκ ταύτης γὰρ αὖ τῆς ὁμολογίας αὐ-
τὸς ὑπὸ σοῦ συμποδισθεὶς ἐν τοῖς λόγοις ἐπεστομίσθη, αἰσχυν-
θεὶς ἃ ἐνόει εἰπεῖν. σὺ γὰρ τῷ ὄντι ὦ Σώκρατες εἰς τοιαῦτα ἄγεις
φορτικὰ καὶ δημηγορικὰ φάσκων τὴν ἀλήθειαν διώκειν, ἃ φύσει
μὲν οὐκ ἔστι καλά, νόμῳ δέ. ὡς τὰ πολλὰ δὲ ταῦτα ἐναντία ἀλλήλοις
ἐστίν, ἥ τε φύσις καὶ ὁ νόμος· ἐὰν οὖν τις αἰσχύνηται καὶ μὴ τολ-
μᾷ λέγειν ἅπερ νοεῖ, ἀναγκάζεται ἐναντία λέγειν. ὃ δὴ καὶ σὺ τοῦτο
τὸ σοφὸν κατανενοηκὼς κακουργεῖς ἐν τοῖς λόγοις· ἐὰν μέν τις
κατὰ νόμον λέγῃ, κατὰ φύσιν ὑπερωτῶν· ἐὰν δὲ τὰ τῆς φύσεως,
τὰ τοῦ νόμου. ὥσπερ αὐτίκα ἐν τούτοις τῷ ἀδικεῖν τε καὶ τῷ ἀδι-
κεῖσθαι Πώλου τὸ κατὰ νόμον ἐδιώκαθες κατὰ φύσιν. φύσει μὲν
γὰρ πᾶν αἴσχιόν ἐστιν ὅπερ καὶ κάκιον, τὸ ἀδικεῖσθαι· νόμῳ δὲ τὸ ἀ-
δικεῖν. οὐδὲ γὰρ ἀνδρὸς τοῦτό γ' ἐστὶ τὸ πάθημα, τὸ ἀδικεῖσθαι, ἀλ-
λ' ἀνδραπόδου τινός, ᾧ κρεῖττόν ἐστι τεθνάναι ἢ ζῆν· ὅστις ἀδικού-
μενος καὶ προπηλακιζόμενος μὴ οἷός τέ ἐστιν αὐτὸς αὐτῷ βοηθεῖν
μηδὲ ἄλλῳ οὗ ἂν κήδηται. ἀλλ' οἶμαι οἱ τιθέμενοι τοὺς νόμους οἱ ἀ-
σθενεῖς ἄνθρωποί εἰσι καὶ οἱ πολλοί. πρὸς αὐτοὺς οὖν καὶ τὸ αὐ-
τοῖς συμφέρον τούς τε νόμους τίθενται καὶ τοὺς ἐπαίνους ἐπαι-
νοῦσι καὶ τοὺς ψόγους ψέγουσιν· ἐκφοβοῦντες τοὺς ἐρρωμενε-
στέρους τῶν ἀνθρώπων καὶ δυνατοὺς ὄντας πλέον ἔχειν, ἵνα μὴ
αὐτῶν πλέον ἔχωσι, λέγουσιν ὡς αἰσχρὸν καὶ ἄδικον τὸ πλεονεκτεῖν·
καὶ τοῦτό ἐστι τὸ ἀδικεῖν, τὸ πλέον τῶν ἄλλων ζητεῖν ἔχειν. ἀγαπῶ-
σι γὰρ οἶμαι αὐτοὶ ἂν τὸ ἴσον ἔχωσι φαυλότεροι ὄντες. διὰ ταῦτα δὴ
νόμῳ μὲν τοῦτο ἄδικον καὶ αἰσχρὸν λέγεται τὸ πλέον ζητεῖν ἔχειν τῶν
πολλῶν, καὶ ἀδικεῖν αὐτὸ καλοῦσιν· ἡ δέ γε οἶμαι φύσις αὐτὴ ἀποφαί-

νει αὐτὸ ὅτι δίκαιόν ἐστι τὸν ἀμείνω τοῦ χείρονος πλέον ἔχειν καὶ τὸν
δυνατώτερον τοῦ ἀδυνατωτέρου. δηλοῖ δὲ ταῦτα πολλαχοῦ ὅτι οὕ
τως ἔχει καὶ ἐν τοῖς ἄλλοις ζώοις καὶ τῶν ἀνθρώπων ἐν ὅλαις ταῖς
πόλεσι καὶ τοῖς γένεσιν ὅτι οὕτω τὸ δίκαιον κέκριται τὸν κρείττω τοῦ
ἥττονος ἄρχειν καὶ πλέον ἔχειν. ἐπεὶ ποίῳ δικαίῳ χρώμενος ξέρ
ξης ἐπὶ τὴν ἑλλάδα ἐστράτευσεν ἢ ὁ πατὴρ αὐτοῦ ἐπὶ σκύθας; ἢ ἄλλα
μυρία ἄν τις ἔχοι τοιαῦτα λέγειν. ἀλλ' οἶμαι οὗτοι κατὰ φύσιν τὴν τοῦ
δικαίου ταῦτα πράττουσιν. καὶ ναὶ μὰ δία κατὰ νόμον γε τὸν τῆς
φύσεως. οὐ μέντοι ἴσως κατὰ τοῦτον ὃν ἡμεῖς τιθέμεθα πλάττον
τες τοὺς βελτίστους καὶ ἐρρωμενεστάτους ἡμῶν αὐτῶν ἐκ νέων λαμ
βάνοντες ὥσπερ λέοντας κατεπάδοντές τε καὶ γοητεύοντες κατα
δουλούμεθα λέγοντες ὡς τὸ ἴσον χρὴ ἔχειν καὶ τοῦτό ἐστι τὸ καλὸν καὶ
τὸ δίκαιον. ἐὰν δέ γε οἶμαι φύσιν ἱκανὴν γένηται ἔχων ἀνήρ. πάντα
ταῦτα ἀποσεισάμενος καὶ διαρρήξας καὶ διαφυγὼν καταπατή
σας τὰ ἡμέτερα γράμματα καὶ μαγγανεύματα καὶ ἐπωδὰς καὶ νόμους
τοὺς παρὰ φύσιν ἅπαντας. ἐπαναστὰς ἀνεφάνη δεσπότης ἡμέ
τερος ὁ δοῦλος. καὶ ἐνταῦθα ἐξέλαμψε τὸ τῆς φύσεως δίκαιον.
δοκεῖ δέ μοι καὶ πίνδαρος ἅπερ ἐγὼ λέγω ἐνδείκνυσθαι ἐν τῷ ἄι
σματι ἐν ὧι λέγει ὅτι νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθα
νάτων. οὗτος δὲ δή φησιν ἄγει δικαιῶν τὸ βιαιότατον ὑπερτάτᾳ
χειρί. τεκμαίρομαι ἔργοισιν ἡρακλέος ἐπεὶ ἀπριάτας: λέγει οὕ 430
τω πως. τὸ γὰρ ᾆσμα οὐκ ἐπίσταμαι. λέγει δ' ὅτι οὔτε πριάμενος οὔτε
δόντος τοῦ γηρυόνου ἠλάσατο τὰς βοῦς ὡς τούτου ὄντος τοῦ δι
καίου φύσει. καὶ βοῦς καὶ τἆλλα κτήματα εἶναι πάντα τοῦ βελτίο
νός τε καὶ κρείττονος τὰ τῶν χειρόνων τε καὶ ἡττόνων. τὸ μὲν οὖν ἀ
ληθὲς οὕτως ἔχει. γνώσει δὲ ἂν ἐπὶ τὰ μείζω ἔλθῃς ἐάσας ἤ
δη φιλοσοφίαν. φιλοσοφία γάρ τοί ἐστιν ὦ σώκρατες χαρίεν ἄν τις
αὐτοῦ μετρίως ἅψηται ἐν τῇ ἡλικίᾳ. ἐὰν δὲ περαιτέρω τοῦ δέον
τος ἐνδιατρίψῃ διαφθορὰ τῶν ἀνθρώπων. ἐὰν γὰρ καὶ πάνυ εὐ
φυὴς ᾖ καὶ πόρρω τῆς ἡλικίας φιλοσοφῇ ἀνάγκη πάντων ἄπει
ρον γεγονέναι ἐστὶν ὧν χρὴ ἔμπειρον εἶναι τὸν μέλλοντα καλὸν κἀ
γαθὸν καὶ εὐδόκιμον ἔσεσθαι ἄνδρα. καὶ γὰρ τῶν νόμων ἄπειροι γί
γνονται τῶν κατὰ τὴν πόλιν. καὶ τῶν λόγων οἷς δεῖ χρώμενον ὁμι
λεῖν ἐν τοῖς συμβολαίοις τοῖς ἀνθρώποις καὶ ἰδίᾳ καὶ δημοσίᾳ.

καὶ τῶν ἡδονῶν τε καὶ ἐπιθυμιῶν τῶν ἀνθρωπείων καὶ συλλήβδην
τῶν ἠθῶν παντάπασιν ἄπειροι γίγνονται. ἐπειδὰν οὖν ἔλθωσιν
εἴς τινα ἰδίαν ἢ πολιτικὴν πρᾶξιν· καταγέλαστοι γίγνονται ὥσπερ
γε οἶμαι οἱ πολιτικοί· ἐπειδὰν αὖ εἰς τὰς ὑμετέρας διατριβὰς ἔλθω-
σιν καὶ τοὺς λόγους· καταγέλαστοί εἰσιν. συμβαίνει γὰρ τὸ τοῦ Εὐ-
ριπίδου· λαμπρός τ' ἐστὶν ἕκαστος ἐν τούτῳ κἀπὶ τοῦτ' ἐπείγεται
νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος· ἵν' αὐτὸς αὑτοῦ τυγχάνει
βέλτιστος ὤν· ὅπου δ' ἂν φαῦλος ᾖ, ἐντεῦθεν φεύγει καὶ λοιδορεῖ
τοῦτο· τὸ δ' ἕτερον ἐπαινεῖ εὐνοίᾳ τῇ ἑαυτοῦ, ἡγούμενος οὕτως
αὐτὸς ἑαυτὸν ἐπαινεῖν. ἀλλ' οἶμαι τὸ ὀρθότατόν ἐστιν ἀμφοτέρων με-
τασχεῖν. φιλοσοφίας μὲν ὅσον παιδείας χάριν καλὸν μετέχειν· καὶ
οὐκ αἰσχρὸν μειρακίῳ ὄντι φιλοσοφεῖν· ἐπειδὰν δὲ ἤδη πρεσβύτε-
ρος ὢν ἄνθρωπος ἔτι φιλοσοφῇ, καταγέλαστον ὦ Σώκρατες τὸ
χρῆμα γίγνεται· καὶ ἔγωγε ὁμοιότατον πάσχω πρὸς τοὺς φιλο-
σοφοῦντας ὥσπερ πρὸς τοὺς ψελλιζομένους καὶ παίζοντας· ὅταν
μὲν γὰρ παιδίον ἴδω ᾧ ἔτι προσήκει διαλέγεσθαι οὕτω ψελλιζόμε-
νον καὶ παῖζον· χαίρω τε καὶ χαρίεν μοι φαίνεται καὶ ἐλευθέριον
καὶ πρέπον τῇ τοῦ παιδίου ἡλικίᾳ· ὅταν δὲ σαφῶς διαλεγομέ-
νου παιδαρίου ἀκούσω· πικρόν τί μοι δοκεῖ χρῆμα εἶναι καὶ ἀνιᾷ
μου τὰ ὦτα καί μοι δοκεῖ δουλοπρεπές τι εἶναι· ὅταν δὲ ἀνδρὸς ἀ-
κούσῃ τις ψελλιζομένου ἢ παίζοντα ὁρᾷ· καταγέλαστον φαίνε-
ται καὶ ἄνανδρον καὶ πληγῶν ἄξιον. ταὐτὸν οὖν ἔγωγε τοῦτο πά-
σχω καὶ πρὸς τοὺς φιλοσοφοῦντας· παρὰ νέῳ μὲν γὰρ μειρακίῳ
ὁρῶν φιλοσοφίαν ἄγαμαι καὶ πρέπειν μοι δοκεῖ καὶ ἡγοῦμαι ἐ-
λεύθερόν τινα εἶναι τοῦτον τὸν ἄνθρωπον· τὸν δὲ μὴ φιλοσοφοῦν-
τα ἀνελεύθερον καὶ οὐδέποτε οὐδενὸς ἀξιώσοντα ἑαυτὸν οὔ-
τε καλοῦ οὔτε γενναίου πράγματος· ὅταν δὲ δὴ πρεσβύτερον
ἴδω ἔτι φιλοσοφοῦντα καὶ μὴ ἀπαλλαττόμενον· πληγῶν μοι δο-
κεῖ ἤδη δεῖσθαι ὦ Σώκρατες οὗτος ὁ ἀνήρ· ὃ γὰρ νῦν δὴ ἔλεγον
ὑπάρχει τούτῳ τῷ ἀνθρώπῳ κἂν πάνυ εὐφυὴς ᾖ· ἀνάνδρῳ
γενέσθαι φεύγοντι τὰ μέσα τῆς πόλεως καὶ τὰς ἀγοράς· ἐν αἷς
ἔφη ὁ ποιητὴς τοὺς ἄνδρας ἀριπρεπεῖς γίγνεσθαι· κατα-
δεδυκότι δὲ τὸν λοιπὸν βίον βιῶναι μετὰ μειρακίων ἐν γωνίᾳ τρι-
ῶν ἢ τεττάρων ψιθυρίζοντα· ἐλεύθερον δὲ καὶ μέγα καὶ ἱκα-

νὸν μηδέποτε φθέγξασθαι· ἐγὼ δὲ ὦ σώκρατες πρὸς σὲ ἐπιεικῶς
ἔχω φιλικῶς· κινδυνεύω οὖν πεπονθέναι νῦν ὅπερ ὁ ζῆθος πρὸς
τὸν ἀμφίονα ὁ εὐριπίδου οὗπερ ἐμνήσθην· καὶ γὰρ ἐμοὶ τοιαῦτ' ἄττα
ἐπέρχεται πρὸς σὲ λέγειν οἷάπερ ἐκεῖνος πρὸς τὸν ἀδελφόν· ὅτι ἀ-
μελεῖς ὦ σώκρατες ὧν δεῖ σε ἐπιμελεῖσθαι· καὶ φύσιν ψυχῆς ὧδε
γενναίαν μειρακιώδει τινὶ διαπρέπεις μορφώματι· καὶ οὔτ' ἂν δίκης
βουλαῖσι προσθεῖ' ἂν ὀρθῶς λόγον· οὔτ' εἰκὸς ἂν καὶ πιθανὸν ἂν λά-
βοις· οὔθ' ὑπὲρ ἄλλου νεανικὸν βούλευμα βουλεύσαιο· καίτοι ὦ φίλε
σώκρατες καί μοι μηδὲν ἀχθεσθῇς· εὐνοίᾳ γὰρ ἐρῶ τῇ σῇ· οὐκ αἰσχρὸν
δοκεῖ σοι εἶναι οὕτως ἔχειν ὡς ἐγὼ σὲ οἶμαι ἔχειν καὶ τοὺς ἄλλους
τοὺς πόρρω ἀεὶ φιλοσοφίας ἐλαύνοντας· νῦν γὰρ εἴ τις σοῦ λαβόμε-
νος ἢ ἄλλου ὁτουοῦν τῶν τοιούτων εἰς τὸ δεσμωτήριον ἀπαγάγοι φάσκων
ἀδικεῖν μηδὲν ἀδικοῦντα· οἶσθ' ὅτι οὐκ ἂν ἔχοις ὅτι χρήσαιο σαυτῷ·
ἀλλ' ἰλιγγιῴης ἂν καὶ χασμῷο οὐκ ἔχων ὅτι εἴποις· καὶ εἰς τὸ δικαστή-
ριον ἀναβὰς κατηγόρου τυχὼν πάνυ φαύλου καὶ μοχθηροῦ· ἀπο-
θάνοις ἂν εἰ βούλοιτο θανάτου σοι τιμᾶσθαι· καίτοι πῶς σοφὸν
τοῦτό ἐστιν ὦ σώκρατες ἥτις εὐφυῆ λαβοῦσα τέχνη φῶτα ἔθηκε
χείρονα μήτε αὐτὸν αὑτῷ δυνάμενον βοηθεῖν μηδ' ἐκσῶσαι ἐκ τῶν
μεγίστων κινδύνων μήτε ἑαυτὸν μήτε ἄλλον μηδένα· ὑπὸ δὲ τῶν ἐ- 431
χθρῶν περισυλᾶσθαι πᾶσαν τὴν οὐσίαν ἀτεχνῶς δὲ ἄτιμον ζῆν
ἐν τῇ πόλει τὸν δὲ τοιοῦτον· εἴ τι ἀγροικότερον εἰρῆσθαι ἔξεστιν ἐ-
πὶ κόρρης τύπτοντα μὴ διδόναι δίκην· ἀλλ' ὠγαθὲ ἐμοὶ πείθου·
παῦσαι δὲ ἐλέγχων· πραγμάτων δ' εὐμουσίαν ἄσκει· καὶ ἄσκει ὁ-
πόθεν δόξεις φρονεῖν ἄλλοις τὰ κομψὰ ταῦτα ἀφεὶς εἴτε ληρή-
ματα χρὴ φάναι εἶναι· εἴτε φλυαρίας ἐξ ὧν κενοῖσιν ἐγκατοι-
κήσεις δόμοις ζηλῶν οὐκ ἐλέγχοντας ἄνδρας τὰ μικρὰ ταῦτα
ἀλλ' οἷς ἔστιν καὶ βίος καὶ δόξα καὶ ἄλλα πολλὰ ἀγαθά: εἰ χρυσῆν
ἔχων ἐτύγχανον τὴν ψυχὴν ὦ καλλίκλεις· οὐκ ἂν οἴει με ἄσμενον
εὑρεῖν τούτων τινὰ τῶν λίθων ᾗ βασανίζουσιν τὸν χρυσὸν τὴν
ἀρίστην· πρὸς ἥντινα ἔμελλον προσαγαγὼν αὐτὴν εἴ μοι ὁμο-
λογήσειεν ἐκείνη καλῶς τεθεραπεῦσθαι τὴν ψυχὴν εὖ εἴσεσθαι
ὅτι ἱκανῶς ἔχω καὶ οὐδέν με δεῖ ἄλλης βασάνου: πρὸς τί δὴ τοῦ-
το ἐρωτᾷς ὦ σώκρατες: ἐγώ σοι ἐρῶ νῦν· οἶμαι ἐγὼ σοὶ ἐντετυ-
χηκὼς τοιούτῳ ἑρμαίῳ ἐντετυχηκέναι: τί δή: εὖ οἶδ' ὅτι ἄν μοι

συνομολογήσῃς περὶ ὧν ἡ ἐμὴ ψυχὴ δοξάζει, ταῦτ' ἤδη ἐστὶν αὐτὰ τἀλη-
θῆ. ἐννοῶ γὰρ ὅτι τὸν μέλλοντα βασανιεῖν ἱκανῶς ψυχῆς πέρι ὀρθῶς
τε ζώσης καὶ μή, τρία ἄρα δεῖ ἔχειν ἃ σὺ πάντα ἔχεις· ἐπιστήμην τε
καὶ δόξαν καὶ παρρησίαν. ἐγὼ γὰρ πολλοῖς ἐντυγχάνω οἳ ἐμὲ οὐ-
χ οἷοί τέ εἰσιν βασανίζειν διὰ τὸ μὴ σοφοὶ εἶναι ὥσπερ σύ· ἕτεροι δὲ
σοφοὶ μέν εἰσιν, οὐκ ἐθέλουσιν δέ μοι λέγειν τὴν ἀλήθειαν διὰ τὸ μὴ
κήδεσθαί μου ὥσπερ σύ· τὼ δὲ ξένω τώδε, Γοργίας τε καὶ Πῶλος,
σοφὼ μὲν καὶ φίλω ἐστὸν ἐμώ, ἐνδεεστέρω δὲ παρρησίας καὶ αἰσχυντη-
ροτέρω μᾶλλον τοῦ δέοντος· πῶς γὰρ οὔ; ὥ γε εἰς τοσοῦτον αἰσχύ-
νης ἐληλύθατον, ὥστε διὰ τὸ αἰσχύνεσθαι τολμᾷ ἑκάτερος αὐτῶν
αὐτὸς αὑτῷ ἐναντία λέγειν ἐναντίον πολλῶν ἀνθρώπων, καὶ ταῦτα
περὶ τῶν μεγίστων. σὺ δὲ ταῦτα πάντα ἔχεις ἃ οἱ ἄλλοι οὐκ ἔχουσιν·
πεπαίδευσαί τε γὰρ ἱκανῶς, ὡς πολλοὶ ἂν φήσαιεν Ἀθηναίων, καὶ
ἐμοὶ εἶ εὔνους. τίνι τεκμηρίῳ χρῶμαι; ἐγώ σοι ἐρῶ. οἶδα ὑμᾶς
ἐγώ, ὦ Καλλίκλεις, τέτταρας ὄντας κοινωνοὺς γεγονότας σοφίας,
σέ τε καὶ Τείσανδρον τὸν Ἀφιδναῖον καὶ Ἄνδρωνα τὸν Ἀνδροτίωνος
καὶ Ναυσικύδην τὸν Χολαργέα· καί ποτε ὑμῶν ἐγὼ ἐπήκουσα βου-
λευομένων μέχρι ὅποι τὴν σοφίαν ἀσκητέον εἴη, καὶ οἶδα ὅτι ἐνίκα
ἐν ὑμῖν τοιάδε τις δόξα, μὴ προθυμεῖσθαι εἰς τὴν ἀκρίβειαν φιλοσο-
φεῖν, ἀλλὰ εὐλαβεῖσθαι παρεκελεύεσθε ἀλλήλοις ὅπως μὴ πέρα
τοῦ δέοντος σοφώτεροι γενόμενοι λήσεσθε διαφθαρέντες. ἐπειδὴ
οὖν σου ἀκούω ταὐτὰ ἐμοὶ συμβουλεύοντος ἅπερ τοῖς σεαυτοῦ ἑταιρο-
τάτοις, ἱκανόν μοι τεκμήριόν ἐστιν ὅτι ὡς ἀληθῶς μοι εὔνους εἶ.
καὶ μὴν ὅτι γε οἷος παρρησιάζεσθαι καὶ μὴ αἰσχύνεσθαι, αὐτός τε φῄς
καὶ ὁ λόγος ὃν ὀλίγον πρότερον ἔλεγες ὁμολογεῖ σοι. ἔχει δὴ οὑ-
τωσὶ δῆλον ὅτι τούτων πέρι νυνί· ἐάν τι σὺ ἐν τοῖς λόγοις ὁμολογή-
σῃς μοι, βεβασανισμένον τοῦτ' ἤδη ἔσται ἱκανῶς ὑπ' ἐμοῦ τε καὶ σοῦ,
καὶ οὐκέτι αὐτὸ δεήσει ἐπ' ἄλλην βάσανον ἀναφέρειν. οὐ γὰρ ἄν ποτε
αὐτὸ συνεχώρησας σὺ οὔτε σοφίας ἐνδείᾳ οὔτε αἰσχύνης περιου-
σίᾳ, οὐδ' αὖ ἀπατῶν ἐμὲ συγχωρήσαις ἄν· φίλος γάρ μοι εἶ, ὡς καὶ
αὐτὸς φῄς. τῷ ὄντι οὖν ἡ ἐμὴ καὶ ἡ σὴ ὁμολογία τέλος ἤδη ἕξει
τῆς ἀληθείας. πάντων δὲ καλλίστη ἐστὶν ἡ σκέψις, ὦ Καλλίκλεις, περὶ
τούτων ὧν σὺ δή μοι ἐπετίμησας, ποῖόν τινα χρὴ εἶναι τὸν ἄνδρα καὶ
τί ἐπιτηδεύειν καὶ μέχρι τοῦ, καὶ πρεσβύτερον καὶ νεώτερον ὄντα.

ἐγὼ γὰρ εἴ τι μὴ ὀρθῶς πράττω κατὰ τὸν βίον τὸν ἐμαυτοῦ· εὖ ἴσθι τοῦτο
ὅτι οὐχ ἑκὼν ἐξαμαρτάνω ἀλλ' ἀμαθίᾳ τῇ ἐμῇ· σὺ οὖν ὥσπερ ἤρξω
νουθετεῖν με μὴ ἀποστῇς ἀλλ' ἱκανῶς μοι ἔνδειξαι τί ἐστιν τοῦτο ὃ ἐπι
τηδευτέον μοι· καὶ τίνα τρόπον κτησαίμην ἂν αὐτό· καὶ ἐάν με λάβῃς νῦν
μὲν σοὶ ὁμολογήσαντα ἐν δὲ τῷ ὑστέρῳ χρόνῳ μὴ ταὐτὰ πράτ
τοντα ἅπερ ὡμολόγησα πάνυ με ἡγοῦ βλᾶκα εἶναι καὶ μηκέτι ποτέ
με νουθετήσῃς ὕστερον ὡς μηδενὸς ἄξιον ὄντα· ἐξ ἀρχῆς δέ μοι
ἐπανάλαβε· πῶς φῂς τὸ δίκαιον ἔχειν καὶ σὺ καὶ Πίνδαρος τὸ κα
τὰ φύσιν· ἄγειν βίᾳ τὸν κρείττω τὰ τῶν ἡττόνων καὶ ἄρχειν τὸν βελ
τίω τῶν χειρόνων καὶ πλέον ἔχειν τὸν ἀμείνω τοῦ φαυλοτέρου· μή
τι ἄλλο λέγεις τὸ δίκαιον εἶναι ἢ ὀρθῶς μέμνημαι: ἀλλὰ ταῦτα ἔλεγον
καὶ τότε καὶ νῦν λέγω: πότερον δὲ τὸν αὐτὸν βελτίω καλεῖς σὺ καὶ κρείττω· 432
οὐδὲ γάρ τοι τότε οἷός τ' ἦ μαθεῖν σου τί ποτε λέγεις· πότερον τοὺς
ἰσχυροτέρους κρείττους καλεῖς καὶ δεῖ ἀκροᾶσθαι τοῦ ἰσχυροτέ
ρου τοὺς ἀσθενεστέρους οἷόν μοι δοκεῖς καὶ τότε ἐνδείκνυσθαι ὡς
αἱ μεγάλαι πόλεις ἐπὶ τὰς μικρὰς κατὰ τὸ φύσει δίκαιον ἔρχονται
ὅτι κρείττους εἰσὶ καὶ ἰσχυρότεραι· ὡς τὸ κρεῖττον καὶ ἰσχυρότε
ρον καὶ βέλτιον ταὐτὸν ὄν· ἢ ἔστι βελτίω μὲν εἶναι ἥττω δὲ καὶ ἀσθενέ
στερον· καὶ κρείττω μὲν εἶναι μοχθηρότερον δέ· ἢ ὁ αὐτὸς ὅρος ἐστὶν
τοῦ βελτίονος καὶ τοῦ κρείττονος· τοῦτό μοι αὐτὸ σαφῶς διόρισον·
ταὐτὸν ἢ ἕτερόν ἐστιν τὸ κρεῖττον καὶ τὸ βέλτιον καὶ τὸ ἰσχυρότερον:
ἀλλ' ἐγώ σοι σαφῶς λέγω ὅτι ταὐτόν ἐστιν: οὐκοῦν οἱ πολλοὶ τοῦ ἑ
νὸς κρείττους εἰσὶ κατὰ φύσιν· οἳ δὴ καὶ τοὺς νόμους τίθενται ἐπὶ
τῷ ἑνὶ ὥσπερ καὶ σὺ ἄρτι ἔλεγες: πῶς γὰρ οὔ: τὰ τῶν πολλῶν ἄ
ρα νόμιμα τὰ τῶν κρειττόνων ἐστίν: πάνυ γε· οὐκοῦν τὰ τῶν βελ
τιόνων· οἱ γὰρ κρείττους βελτίους πολὺ κατὰ τὸν σὸν λόγον: ναί:
οὐκοῦν τὰ τούτων νόμιμα κατὰ φύσιν καλὰ κρειττόνων γε ὄντων: φημί:
ἆρ' οὖν οἱ πολλοὶ νομίζουσιν οὕτως ὡς ἄρτι αὖ σὺ ἔλεγες δίκαιον
εἶναι τὸ ἴσον ἔχειν καὶ αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι· ἔστιν ταῦ
τα ἢ οὔ· καὶ ὅπως μὴ ἁλώσῃ ἐνταῦθα σὺ αἰσχυνόμενος· νομίζου
σιν ἢ οὔ οἱ πολλοὶ τὸ ἴσον ἔχειν ἀλλ' οὐ τὸ πλέον δίκαιον εἶναι καὶ αἴ
σχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι· μὴ φθόνει μοι ἀποκρίνασθαι τοῦτο
Καλλίκλεις· ἵν' ἐάν μοι ὁμολογήσῃς βεβαιώσωμαι ἤδη παρὰ σοῦ
ἅτε ἱκανοῦ ἀνδρὸς διαγνῶναι ὡμολογηκότος: ἀλλ' οἵ γε πολλοὶ

…ζουσιν οὕτως· οὐ νόμῳ ἄρα μόνον ἐστὶν αἴσχιον τὸ ἀδικεῖν τοῦ
ἀδικεῖσθαι· οὐδὲ δίκαιον τὸ ἴσον ἔχειν· ἀλλὰ καὶ φύσει· κινδυνεύεις
οὐκ ἀληθῆ λέγειν ἐν τοῖς πρόσθεν οὐδὲ ὀρθῶς ἐμοῦ κατηγο
ρεῖν· λέγων ὅτι ἐναντίον ἐστὶν ὁ νόμος καὶ ἡ φύσις· ἃ δὴ καὶ ἐγὼ
γνοὺς κακουργῶ ἐν τοῖς λόγοις· ἐὰν μέν τις κατὰ φύσιν λέγῃ
ἐπὶ τὸν νόμον ἄγων· ἐὰν δέ τις κατὰ τὸν νόμον ἐπὶ τὴν φύσιν: Οὑ
τοσὶ ἀνὴρ οὐ παύσεται φλυαρῶν· εἰπέ μοι ὦ Σώκρατες οὐκ αἰσχύνῃ
τηλικοῦτος ὢν ὀνόματα θηρεύων· καὶ ἐάν τις ῥήματι ἁμάρτῃ ἕρ
μαιον τοῦτο ποιούμενος· ἐμὲ γὰρ οἴει ἄλλο τι λέγειν τὸ κρείττους
εἶναι ἢ τὸ βελτίους· οὐ πάλαι σοι λέγω ὅτι ταὐτόν φημι εἶναι τὸ βέλ
τιον καὶ τὸ κρεῖττον· ἢ οἴει με λέγειν ἐὰν συρφετὸς συλλεγῇ δούλων
καὶ παντοδαπῶν ἀνθρώπων μηδενὸς ἀξίων· πλὴν ἴσως τῷ σώ
ματι ἰσχυρίσασθαι καὶ οὗτοι φῶσιν αὐτὰ ταῦτα εἶναι νόμιμα: Εἶεν
ὦ σοφώτατε Καλλίκλεις οὕτω λέγεις: Πάνυ μὲν οὖν: Ἀλλ' ἐγὼ μὲν ὦ
δαιμόνιε καὶ αὐτὸς πάλαι τοπάζω τοιοῦτόν τι σε λέγειν τὸ κρεῖττον
καὶ ἀνερωτῶ γλιχόμενος σαφῶς εἰδέναι ὅτι λέγεις· οὐ γὰρ δή
που σύ γε τοὺς δύο βελτίους ἡγῇ τοῦ ἑνὸς οὐδὲ τοὺς σοὺς δού
λους βελτίους σου ὅτι ἰσχυρότεροί εἰσιν ἢ σύ· ἀλλὰ πάλιν ἐξ ἀρχῆς
εἰπὲ τί ποτε λέγεις τοὺς βελτίους· ἐπειδὴ οὐ τοὺς ἰσχυροτέ
ρους· καὶ ὦ θαυμάσιε πρᾳότερόν με προδίδασκε ἵνα μὴ ἀπο
φοιτήσω παρὰ σοῦ: Εἰρωνεύῃ ὦ Σώκρατες: Μὰ τὸν Ζῆθον ὦ Καλ
λίκλεις ᾧ σὺ χρώμενος πολλὰ νῦν δὴ εἰρωνεύου πρός με· ἀλλ' ἴθι
εἰπὲ τίνας λέγεις τοὺς βελτίους εἶναι: Τοὺς ἀμείνους ἔγωγε:
Ὁρᾷς ἄρα ὅτι σὺ αὐτὸς ὀνόματα λέγεις δηλοῖς δὲ οὐδέν· οὐκ ἐ
ρεῖς τοὺς βελτίους καὶ κρείττους πότερον τοὺς φρονιμωτέ
ρους λέγεις ἢ ἄλλους τινάς: Ἀλλὰ ναὶ μὰ Δία τούτους λέγω καὶ
σφόδρα γε: Πολλάκις ἄρα εἷς φρονῶν μυρίων μὴ φρονούντων
κρείττων ἐστὶ κατὰ τὸν σὸν λόγον· καὶ τοῦτον ἄρχειν δεῖ τοὺς δ' ἄρ
χεσθαι· καὶ πλέον ἔχειν τὸν ἄρχοντα τῶν ἀρχομένων· τοῦτο γὰρ
μοι δοκεῖς βούλεσθαι λέγειν καὶ οὐ ῥήματι θηρεύω εἰ ὁ εἷς τῶν μυ
ρίων κρείττων: Ἀλλὰ ταῦτ' ἔστιν ἃ λέγω· τοῦτο γὰρ οἶμαι ἐγὼ τὸ δίκαι
ον εἶναι φύσει· τὸ βελτίω ὄντα καὶ φρονιμώτερον καὶ ἄρχειν καὶ
πλέον ἔχειν τῶν φαυλοτέρων: Ἔχε δὴ αὐτοῦ· τί ποτε αὖ νῦν λέγεις·
ἐὰν ἐν τῷ αὐτῷ ὦμεν ὥσπερ νῦν πολλοὶ ἀθρόοι ἄνθρωποι· καὶ

ἡμῖν ἦι ἐν κοινῶι πολλὰ σιτία καὶ ποτά· ὦμεν δὲ παντοδαποί· οἱ μὲν
ἰσχυροὶ οἱ δ' ἀσθενεῖς· εἷς δὲ ἡμῶν ἦι φρονιμώτερος περὶ ταῦτα ἰα- 433
τρὸς ὤν· ἦι δὲ οἷον εἰκὸς τῶν μὲν ἰσχυρότερος· τῶν δὲ ἀσθενέστε-
ρος· ἄλλο τι ἢ οὗτος φρονιμώτερος ἡμῶν ὢν βελτίων καὶ κρείττων
ἔσται εἰς ταῦτα: πάνυ γε: ἦ οὖν τούτων τῶν σιτίων πλέον ἡμῶν ἑκτέον
αὐτῶι ὅτι βελτίων ἐστίν· ἢ τῶι μὲν ἄρχειν πάντα ἐκεῖνον δεῖ, νέμειν·
ἐν τῶι δὲ ἀναλίσκειν τε αὐτὰ καὶ καταχρῆσθαι εἰς τὸ ἑαυτοῦ σῶμα οὐ
πλεονεκτητέον εἰ μὴ μέλλει ζημιοῦσθαι· ἀλλὰ τῶν μὲν πλέον· τῶν δὲ ἔ-
λαττον ἑκτέον· ἐὰν δὲ τύχηι πάντων ἀσθενέστατος ὤν· πάντων ἐλά-
χιστον τῶι βελτίστωι ὦ Καλλίκλεις· οὐχ οὕτως ὦγαθέ: περὶ σιτία
λέγεις καὶ ποτὰ καὶ ἰατροὺς καὶ φλυαρίας· ἐγὼ δὲ οὐ ταῦτα λέγω:
πότερον οὐ τὸν φρονιμώτερον βελτίω λέγεις· φάθι ἢ μή: ἔγωγε:
ἀλλ' οὐ τὸν βελτίω πλέον δεῖν ἔχειν: οὐ σιτίων γε οὐδὲ ποτῶν: μανθά-
νω· ἀλλ' ἴσως ἱματίων· καὶ δεῖ τὸν ὑφαντικώτατον μέγιστον ἱμάτιον ἔ-
χειν καὶ πλεῖστα καὶ κάλλιστα ἀμπεχόμενον περιιέναι: ποίων ἱμα-
τίων: ἀλλ' εἰς ὑποδήματα δῆλον ὅτι δεῖ πλεονεκτεῖν τὸν φρονιμώ-
τερον εἰς ταῦτα καὶ βέλτιστον· τὸν σκυτοτόμον ἴσως μέγιστα δεῖ ὑπο-
δήματα καὶ πλεῖστα ὑποδεδεμένον περιπατεῖν: ποῖα ὑποδήμα-
τα φλυαρεῖς ἔχων: ἀλλ' εἰ μὴ τὰ τοιαῦτα λέγεις· ἴσως τὰ τοιάδε
οἷον γεωργικὸν ἄνδρα περὶ γῆν φρόνιμόν τε καὶ καλὸν καὶ ἀγαθόν·
τοῦτον δὴ ἴσως δεῖ πλεονεκτεῖν τῶν σπερμάτων καὶ ὡς πλείστωι
σπέρματι χρῆσθαι εἰς τὴν αὑτοῦ γῆν: ὡς ἀεὶ ταὐτὰ λέγεις ὦ Σώ-
κρατες: οὐ μόνον γε ὦ Καλλίκλεις· ἀλλὰ καὶ περὶ τῶν αὐτῶν: νὴ
τοὺς θεοὺς ἀτεχνῶς γε ἀεὶ σκυτέας τε καὶ κναφέας καὶ μαγεί-
ρους λέγων καὶ ἰατροὺς οὐδὲν παύηι ὡς περὶ τούτων ἡμῖν ὄντα τὸν
λόγον: οὐκοῦν σὺ ἐρεῖς περὶ τίνων ὁ κρείττων τε καὶ φρονιμώτε-
ρος πλέον ἔχων δικαίως πλεονεκτεῖ· ἢ οὔτε ἐμοῦ ὑποβάλλοντος ἀ-
νέξει οὔτ' αὐτὸς ἐρεῖς· ἀλλ' ἔγωγε καὶ πάλαι λέγω πρῶτον μὲν τοὺς
κρείττους οἵ εἰσιν οὐ σκυτοτόμους λέγω οὐδὲ μαγείρους· ἀλλ' οἳ ἂν
εἰς τὰ τῆς πόλεως πράγματα φρόνιμοι ὦσιν ὅντινα ἂν τρόπον εὖ οἰ-
κοῖτο· καὶ μὴ μόνον φρόνιμοι ἀλλὰ καὶ ἀνδρεῖοι ἱκανοὶ ὄντες ἃ ἂν νο-
ήσωσιν ἐπιτελεῖν καὶ μὴ ἀποκάμνωσι διὰ μαλακίαν τῆς ψυχῆς:
ὁρᾶις ὦ βέλτιστε Καλλίκλεις ὡς οὐ ταὐτὰ σύ τ' ἐμοῦ κατηγορεῖς καὶ
ἐγὼ σοῦ: σὺ μὲν γὰρ ἐμὲ φὴις ἀεὶ ταὐτὰ λέγειν καὶ μέμφηι μοι· ἐγὼ

δὲ σοῦ τοὐναντίον ὅτι οὐδέποτε ταὐτὰ λέγεις περὶ τῶν αὐτῶν· ἀλλὰ
τοτὲ μὲν τοὺς βελτίους καὶ κρείττους τοὺς ἰσχυροτέρους ὡρί-
ζου· αὖθις δὲ τοὺς φρονιμωτέρους· νῦν δ' αὖ ἕτερόν τι ἥκεις ἔχων·
ἀνδρειότεροί τινες ὑπὸ σοῦ λέγονται οἱ κρείττους καὶ οἱ βελτίους·
ἀλλ' ὠγαθὲ εἰπὼν ἀπαλλάγηθι τίνας ποτὲ λέγεις τοὺς βελτίους
τε καὶ κρείττους καὶ εἰς ὅτι· ἀλλ' εἴρηκά γε ἔγωγε τοὺς φρονίμους
εἰς τὰ τῆς πόλεως πράγματα καὶ ἀνδρείους· τούτους γὰρ προσήκει
τῶν πόλεων ἄρχειν· καὶ τὸ δίκαιον τοῦτ' ἐστὶ πλέον ἔχειν τούτους τῶν
ἄλλων τοὺς ἄρχοντας τῶν ἀρχομένων· τί δὲ αὑτῶν ὦ ἑταῖρε ἢ τί
ἄρχοντας ἢ ἀρχομένους· πῶς λέγεις· ἕνα ἕκαστον λέγω αὐτὸν ἑαυτοῦ ἄρχον-
τα· ἢ τοῦτο μὲν οὐδὲν δεῖ αὐτὸν ἑαυτοῦ ἄρχειν τῶν δὲ ἄλλων· πῶς ἑ-
αυτοῦ ἄρχοντα λέγεις· οὐδὲν ποικίλον ἀλλ' ὥσπερ οἱ πολλοὶ σώφρο-
να ὄντα καὶ ἐγκρατῆ αὐτὸν ἑαυτοῦ τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν ἄρχον-
τα τῶν ἐν ἑαυτῷ· ὡς ἡδὺς εἶ· τοὺς ἠλιθίους λέγεις τοὺς σώ-
φρονας· πῶς γὰρ οὔ· οὐδεὶς ὅστις οὐκ ἂν γνοίη ὅτι οὐ τοῦτο λέγω·
πάνυ γε σφόδρα ὦ Σώκρατες· ἐπεὶ πῶς ἂν εὐδαίμων γένοιτο ἄν-
θρωπος δουλεύων ὅτῳ οὖν· ἀλλὰ τοῦτ' ἐστὶ τὸ κατὰ φύσιν καλὸν καὶ
δίκαιον ὃ ἐγώ σοι νῦν παρρησιαζόμενος λέγω ὅτι δεῖ τὸν ὀρθῶς βι-
ωσόμενον τὰς μὲν ἐπιθυμίας τὰς ἑαυτοῦ ἐᾶν ὡς μεγίστας εἶναι καὶ
μὴ κολάζειν· ταύταις δὲ ὡς μεγίσταις οὔσαις ἱκανὸν εἶναι ὑπηρε-
τεῖν δι' ἀνδρείαν καὶ φρόνησιν καὶ ἀποπιμπλάναι ὧν ἂν ἀεὶ ἡ ἐπιθυ-
μία γίγνηται· ἀλλὰ τοῦτ' οἶμαι τοῖς πολλοῖς οὐ δυνατόν· ὅθεν ψέγου-
σιν τοὺς τοιούτους δι' αἰσχύνην ἀποκρυπτόμενοι τὴν αὑτῶν ἀδυναμί-
αν καὶ αἰσχρὸν δή φασιν εἶναι τὴν ἀκολασίαν ὅπερ ἐν τοῖς πρόσθεν ἐγὼ
ἔλεγον δουλούμενοι τοὺς βελτίους τὴν φύσιν ἀνθρώπους καὶ αὐτοὶ
οὐ δυνάμενοι ἐκπορίζεσθαι ταῖς ἡδοναῖς πλήρωσιν ἐπαινοῦσιν
434 τὴν σωφροσύνην καὶ τὴν δικαιοσύνην διὰ τὴν αὑτῶν ἀνανδρίαν·
ἐπεὶ ὅσοις ἐξ ἀρχῆς ὑπῆρξεν ἢ βασιλέων ὑέσιν εἶναι ἢ αὐτοὺς τῇ
φύσει ἱκανοὺς ἐκπορίσασθαι ἀρχήν τινα ἢ τυραννίδα ἢ δυναστείαν τί
τῇ ἀληθείᾳ αἴσχιον καὶ κάκιον εἴη σωφροσύνης· τούτοις τοῖς ἀν-
θρώποις· οἷς ἐξὸν ἀπολαύειν τῶν ἀγαθῶν καὶ μηδενὸς ἐμπο-
δὼν ὄντος αὐτοὶ ἑαυτοῖς δεσπότην ἐπαγάγοιντο τὸν τῶν πολλῶν
ἀνθρώπων νόμον τε καὶ λόγον καὶ ψόγον· ἢ πῶς οὐκ ἂν ἄθλιοι γε-
γονότες εἶεν ὑπὸ τοῦ καλοῦ τούτου τῆς δικαιοσύνης καὶ τῆς σωφρο-


σύνης μηδὲν πλέον νέμοντες τοῖς φίλοις τοῖς αὐτῶν ἢ τοῖς ἐχθροῖς
καὶ ταῦτα ἄρχοντες ἐν τῇ ἑαυτῶν πόλει· τῇ ἀληθείᾳ δ' ὦ σώκρατες,
ἣν φῂς σὺ διώκειν ὧδ' ἔχει· τρυφὴ καὶ ἀκολασία καὶ ἐλευθερία·
ἐὰν ἐπικουρίαν ἔχῃ τοῦτ' ἐστὶν ἀρετή τε καὶ εὐδαιμονία· τὰ δὲ ἄλλα ταῦτ'
ἐστὶν τὰ καλλωπίσματα τὰ παρὰ φύσιν συνθήματα ἀνθρώπων φλυ-
αρία καὶ οὐδενὸς ἄξια: οὐκ ἀγεννῶς γε ὦ καλλίκλεις ἐπεξέρχει τῷ
λόγῳ παρρησιαζόμενος· σαφῶς γὰρ σὺ νῦν λέγεις ἃ οἱ ἄλλοι διανοοῦν-
ται μὲν, λέγειν δὲ οὐκ ἐθέλουσιν· δέομαι οὖν ἐγώ σου μηδενὶ τρόπῳ
ἀνεῖναι· ἵνα τῷ ὄντι κατάδηλον γένηται πῶς βιωτέον· καί μοι λέγε·
τὰς μὲν ἐπιθυμίας φῂς οὐ κολαστέον εἰ μέλλει τις οἷον δεῖ εἶναι· ἐῶν-
τα δὲ αὐτὰς ὡς μεγίστας πλήρωσιν αὐταῖς ἁμόθεν γέ ποθεν ἑτοιμά-
ζειν καὶ τοῦτο εἶναι τὴν ἀρετήν: φημὶ ταῦτα ἐγώ: οὐκ ἄρα ὀρθῶς
λέγονται οἱ μηδενὸς δεόμενοι εὐδαίμονες εἶναι· οἱ λίθοι γὰρ ἂν οὕτω
γε καὶ οἱ νεκροὶ εὐδαιμονέστατοι εἶεν: ἀλλὰ μὲν δὴ καὶ ὥς γε σὺ λέγεις
δεινὸς ὁ βίος· οὐ γάρ τι θαυμάζοιμ' ἂν εἰ εὐριπίδης ἀληθῆ ἐν τοῖσδε λέγει
λέγων· τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν· τὸ κατθανεῖν δὲ ζῆν·
καὶ ἡμεῖς τῷ ὄντι ἴσως τέθναμεν· ἤδη γάρ του ἔγωγε καὶ ἤκουσα τῶν σοφῶν
ὡς νῦν ἡμεῖς τέθναμεν· καὶ τὸ μὲν σῶμά ἐστιν ἡμῖν σῆμα· τῆς δὲ ψυχῆς
τοῦτο ἐν ᾧ ἐπιθυμίαι εἰσὶ τυγχάνει ὂν οἷον ἀναπείθεσθαι καὶ μεταπίπτειν
ἄνω κάτω· καὶ τοῦτο ἄρα τις μυθολογῶν κομψὸς ἀνὴρ ἴσως σικελός
τις ἢ ἰταλικὸς παράγων τῷ ὀνόματι διὰ τὸ πιθανόν τε καὶ πειστικὸν
ὠνόμασε πίθον· τοὺς δὲ ἀνοήτους ἀμυήτους· τῶν δ' ἀμυήτων τοῦτο
τῆς ψυχῆς οὗ αἱ ἐπιθυμίαι εἰσὶ τὸ ἀκόλαστον αὐτοῦ καὶ οὐ στεγανόν·
ὡς τετρημένος εἴη πίθος διὰ τὴν ἀπληστίαν ἀπεικάσας· τοὐναντί-
ον δὴ οὗτος σοὶ ὦ καλλίκλεις ἐνδείκνυται ὡς τῶν ἐν ἅιδου· τὸ ἀειδὲς δὴ
λέγων οὗτοι ἀθλιώτατοι ἂν εἶεν οἱ ἀμύητοι· καὶ φοροῖεν εἰς τὸν τετρη-
μένον πίθον ὕδωρ ἑτέρῳ τοιούτῳ τετρημένῳ κοσκίνῳ· τὸ δὲ κόσκι-
νον ἄρα λέγει ὡς ἔφη ὁ πρὸς ἐμὲ λέγων τὴν ψυχὴν εἶναι· τὴν δὲ ψυ-
χὴν κοσκίνῳ ἀπῄκασεν τὴν τῶν ἀνοήτων ὡς τετρημένην· ἅτε οὐ
δυναμένην στέγειν δι' ἀπιστίαν τε καὶ λήθην· ταῦτ' ἐπιεικῶς μέν ἐστιν
ὑπό τι ἄτοπα· δηλοῖ μὴν ὃ ἐγὼ βούλομαί σοι ἐνδειξάμενος ἐάν πως
οἷός τε ὦ πεῖσαι μεταθέσθαι· ἀντὶ τοῦ ἀπλήστως καὶ ἀκολάστως ἔχον-
τος βίου τὸν κοσμίως καὶ τοῖς ἀεὶ παροῦσιν ἱκανῶς καὶ ἐξαρκούν-
τως ἔχοντα βίον ἑλέσθαι· ἀλλὰ πότερον πείθω τί σε καὶ μετατίθεσθαι

εὐδαίμονας ἑτέρους εἶναι τοὺς κοσμίους τῶν ἀκολάστων· ἢ οὐδ' ἂν ἄλλα πολλὰ
τοιαῦτα μυθολογῶ, οὐδέν τι μᾶλλον μεταθήσῃ· τοῦτ' ἀληθέστερον εἴρηκας
ὦ σώκρατες· φέρε δή, ἄλλην σοι εἰκόνα λέγω ἐκ τοῦ αὐτοῦ γυμνασίου
τῇ νῦν· σκόπει γὰρ εἰ τοιόνδε λέγεις περὶ τοῦ βίου ἑκατέρου τοῦ τε σώ-
φρονος καὶ τοῦ ἀκολάστου, οἷον εἰ δυοῖν ἀνδροῖν ἑκατέροιν πίθοι πολλοὶ
εἶεν· καὶ τῷ μὲν ἑτέρῳ ὑγιεῖς καὶ πλήρεις ὁ μὲν οἴνου, ὁ δὲ μέλιτος
ὁ δὲ γάλακτος, καὶ ἄλλοι πολλοὶ πολλῶν· νάματα δὲ σπάνια καὶ χαλε-
πὰ ἑκάστου τούτων εἴη καὶ μετὰ πολλῶν πόνων καὶ χαλεπῶν ἐκπορι-
ζόμενα· ὁ μὲν οὖν ἕτερος πληρωσάμενος μήτ' ἐποχετεύοι μήτε τι
φροντίζοι, ἀλλ' ἕνεκα τούτων ἡσυχίαν ἔχοι· τῷ δ' ἑτέρῳ τὰ μὲν νάματα
ὥσπερ καὶ ἐκείνῳ δυνατὰ μὲν πορίζεσθαι, χαλεπὰ δέ· τὰ δ' ἀγγεῖα
τετρημένα καὶ σαθρά· ἀναγκάζοιτο δ' ἀεὶ καὶ νύκτα καὶ ἡμέραν πιμπλά-
ναι αὐτά, ἢ τὰς ἐσχάτας λυποῖτο λύπας· ἆρα τοιούτου ἑκατέρου ὄν-
τος τοῦ βίου λέγεις τὸν τοῦ ἀκολάστου εὐδαιμονέστερον εἶναι ἢ τὸν τοῦ
κοσμίου· πείθω τί σε ταῦτα λέγων συγχωρῆσαι τὸν κόσμιον βίον τοῦ
ἀκολάστου ἀμείνω εἶναι ἢ οὐ πείθω· οὐ πείθεις ὦ σώκρατες· τῷ
μὲν γὰρ πληρωσαμένῳ ἐκείνῳ οὐκέτ' ἐστὶν ἡδονὴ οὐδεμία, ἀλλὰ τοῦ-
τ' ἐστίν, ὃ νῦν δὴ ἐγὼ ἔλεγον, τὸ ὥσπερ λίθον ζῆν, ἐπειδὰν πληρώσῃ,
μήτε χαίροντα ἔτι μήτε λυπούμενον· ἀλλ' ἐν τούτῳ ἐστὶν τὸ ἡδέως ζῆν
ἐν τῷ ὡς πλεῖστον ἐπιρρεῖν· οὐκοῦν ἀνάγκη γ' ἂν πολὺ ἐπιρρέῃ, πο-
λὺ καὶ τὸ ἀπιὸν εἶναι καὶ μεγάλ' ἄττα τὰ τρήματα εἶναι ταῖς ἐκροαῖς·
πάνυ μὲν οὖν· χαραδριοῦ τινα αὖ σὺ βίον λέγεις, ἀλλ' οὐ νεκροῦ οὐδὲ
λίθου· καί μοι λέγε τὸ τοιόνδε λέγεις· οἷον πεινῆν καὶ πεινῶντα ἐσθί-
ειν· ἔγωγε· καὶ διψῆν γε καὶ διψῶντα πίνειν· λέγω καὶ τὰς ἄλλας
ἐπιθυμίας ἁπάσας ἔχοντα καὶ δυνάμενον πληροῦντα χαίροντα
εὐδαιμόνως ζῆν· εὖγε ὦ βέλτιστε· διατέλει γὰρ ὥσπερ ἤρξω· καὶ ὅ-
πως μὴ ἀπαισχυνῇ· δεῖ δὲ ὡς ἔοικε μηδ' ἐμὲ ἀπαισχυνθῆναι· καὶ
πρῶτον μὲν εἰπὲ εἰ καὶ ψωρῶντα καὶ κνησιῶντα ἀφθόνως ἔχοντα
τοῦ κνῆσθαι κνώμενον διατελοῦντα τὸν βίον εὐδαιμόνως ἔστι ζῆν·
ὡς ἄτοπος εἶ ὦ σώκρατες καὶ ἀτεχνῶς δημηγόρος· τοιγάρτοι
ὦ καλλίκλεις πῶλον μὲν καὶ γοργίαν καὶ ἐξέπληξα καὶ αἰσχύνεσθαι
ἐποίησα· σὺ δὲ οὐ μὴ ἐκπλαγῇς οὐδὲ μὴ αἰσχυνθῇς· ἀνδρεῖος
γὰρ εἶ· ἀλλ' ἀποκρίνου μόνον· φημὶ τοίνυν καὶ τὸν κνώμενον ἡδέως
ἂν βιῶναι· οὐκοῦν εἴπερ ἡδέως καὶ εὐδαιμόνως· πάνυ γε· πότε-


ρον εἶναι τὴν κεφαλὴν μόνον κνησιῶντα· ἢ ἔτι τί σε ἐρωτῶ· ὅρα ὦ καλλίκλεις τί
ἀποκρινεῖ· ἐάν τίς σε τὰ ἐχόμενα τούτοις ἐφεξῆς ἅπαντα ἐρωτᾶι· καὶ
τούτων τοιούτων ὄντων κεφάλαιον ὁ τῶν κιναίδων βίος οὗτος οὐ δεινὸς
καὶ αἰσχρὸς καὶ ἄθλιος· ἢ τούτους τολμήσεις λέγειν εὐδαίμονας εἶναι
ἐὰν ἀφθόνως ἔχωσιν ὧν δέονται· οὐκ αἰσχύνει εἰς τοιαῦτα ἄγων ὦ σώ
κρατες τοὺς λόγους· ἦ γὰρ ἐγὼ ἄγω ἐνταῦθα ὦ γενναῖε ἢ ἐκεῖνος
ὃς ἂν φῆι ἀνέδην οὕτω τοὺς χαίροντας ὅπως ἂν χαίρωσιν εὐδαί
μονας εἶναι· καὶ μὴ διορίζηται τῶν ἡδονῶν ὁποῖαι ἀγαθαὶ καὶ
κακαί· ἀλλ' ἔτι καὶ νῦν λέγε πότερον φὴς εἶναι τὸ αὐτὸ ἡδὺ καὶ ἀγα
θὸν· ἢ εἶναί τι τῶν ἡδέων ὃ οὐκ ἔστιν ἀγαθόν· ἵνα δή μοι μὴ ἀνομο
λογούμενος ἦι ὁ λόγος ἐὰν ἕτερον φήσω εἶναι· τὸ αὐτό φημι εἶναι·
διαφθείρεις ὦ καλλίκλεις τοὺς πρώτους λόγους· καὶ οὐκ ἂν ἔτι μετ' ἐ
μοῦ ἱκανῶς τὰ ὄντα ἐξετάζοις εἴπερ παρὰ τὰ δοκοῦντα σαυτῶι ἐ
ρεῖς· καὶ γὰρ σὺ ὦ σώκρατες· οὐ τοίνυν ὀρθῶς ποιῶ οὔτ' ἐγὼ εἴπερ
ποιῶ τοῦτο οὔτε σύ· ἀλλ' ὦ μακάριε ἄθρει μὴ οὐ τοῦτο ἦι τὸ ἀγαθόν
τὸ πάντως χαίρειν· ταῦτά τε γὰρ τὰ νῦν δὴ αἰνιχθέντα πολλὰ καὶ
αἰσχρὰ φαίνεται συμβαίνοντα εἰ τοῦτο οὕτως ἔχει καὶ ἄλλα πολλά·
ὡς σύ γε οἴει ὦ σώκρατες· σὺ δὲ τῶι ὄντι ὦ καλλίκλεις ταῦτα ἰσχυρίζει·
ἔγωγε· ἐπιχειρῶμεν ἄρα τῶι λόγωι ὡς σοῦ σπουδάζοντος· πά
νυ γε σφόδρα· ἴθι δή μοι ἐπειδὴ οὕτω δοκεῖ διελοῦ τάδε· ἐπιστήμην
που καλεῖς τι· ἔγωγε· οὐ καὶ ἀνδρείαν νῦν δὴ ἔλεγες εἶναι μετὰ
ἐπιστήμης· ἔλεγον γάρ· ἄλλο τι οὖν ὡς ἕτερον τὴν ἀνδρείαν τῆς ἐ
πιστήμης δύο ταῦτα ἔλεγες· σφόδρα γε· τί δὲ ἡδονὴν καὶ ἐπιστή
μην ταὐτὸν ἢ ἕτερον· ἕτερον δήπου ὦ σοφώτατε σύ· ἦ καὶ ἀνδρείαν
ἑτέραν ἡδονῆς· πῶς γὰρ οὔ· φέρε δὴ ὅπως μεμνησόμεθα ταῦτα
ὅτι καλλικλῆς ἔφη ἀχαρνεὺς ἡδὺ μὲν καὶ ἀγαθὸν ταὐτὸν εἶναι· ἐπι
στήμην δὲ καὶ ἀνδρείαν καὶ ἀλλήλων καὶ τοῦ ἀγαθοῦ ἕτερον· σωκρά
της δέ γε ἡμῖν ὁ ἀλωπεκῆθεν οὐχ ὁμολογεῖ ταῦτα· ἢ ὁμολογεῖ· οὐ
χ ὁμολογεῖ· οἶμαι δέ γε οὐδὲ καλλικλῆς ὅταν αὐτὸς αὑτὸν θεάση
ται ὀρθῶς· εἰπὲ γάρ μοι τοὺς εὖ πράττοντας τοῖς κακῶς πράττου
σιν οὐ τοὐναντίον ἡγεῖ πάθος πεπονθέναι· ἔγωγε· ἆρ' οὖν εἴπερ
ἐναντία ἐστὶν ταῦτα ἀλλήλοις ἀνάγκη περὶ αὐτῶν ἔχειν ὥσπερ περὶ ὑ
γιείας ἔχει καὶ νόσου· οὐ γὰρ ἅμα δήπου ὑγιαίνει τε καὶ νοσεῖ ὁ ἄν
θρωπος· οὐδὲ ἅμα ἀπαλλάττεται ὑγιείας τε καὶ νόσου· πῶς λέ

εὐδαίμονες εἰσὶν ... ἥδονται ... κνῶνται ... οἱ ἀφθόνως ἔχοντες

νῶν· οἷον νοσεῖ ὅτου βούλει τοῦ σώματος ἀπονομῇ χωρὶς σκόπει. νοσεῖ
που ἄνθρωπος ὀφθαλμοὺς ᾧ ὄνομα ὀφθαλμία: πῶς γὰρ οὔ: οὐ
436 δήπου καὶ ὑγιαίνει γε ἅμα τοὺς αὐτούς: οὐδ' ὁπωστιοῦν: τί δὲ ὅ-
ταν τῆς ὀφθαλμίας ἀπαλλάττηται, ἆρα τότε καὶ τῆς ὑγιείας ἀπαλ-
λάττεται τῶν ὀφθαλμῶν καὶ τελευτῶν ἅμα ἀμφοτέρων ἀπήλλακται:
ἥκιστά γε: θαυμάσιον γάρ οἶμαι καὶ ἄλογον γίγνεται· ἦ γάρ: σφόδρα
γε: ἀλλ' ἐν μέρει οἶμαι ἑκάτερον καὶ λαμβάνει καὶ ἀπολλύει: φημί:
οὐκοῦν καὶ ἰσχὺν καὶ ἀσθένειαν ὡσαύτως: ναί: καὶ τάχος καὶ βρα-
δυτῆτα: πάνυ γε: ἦ καὶ τἀγαθὰ καὶ τὴν εὐδαιμονίαν καὶ τἀναντία
τούτων κακά τε καὶ ἀθλιότητα ἐν μέρει λαμβάνει καὶ ἐν μέρει ἀπαλ-
λάττεται ἑκατέρου: πάντως δήπου: ἐὰν εὕρωμεν ἄρα ἅττα ὧν
ἅμα τε ἀπαλλάττεται ἄνθρωπος καὶ ἅμα ἔχει· δῆλον ὅτι ταῦτά γε
οὐκ ἂν εἴη τό τε ἀγαθὸν καὶ τὸ κακόν· ὁμολογοῦμεν ταῦτα· καὶ εὖ
μάλα σκεψάμενος ἀποκρίνου: ἀλλ' ὑπερφυῶς ὡς ὁμολογῶ:
ἴθι δὴ ἐπὶ τὰ ἔμπροσθεν ὡμολογημένα· τὸ πεινῆν ἔλεγες πότε-
ρον ἡδὺ ἢ ἀνιαρὸν εἶναι· αὐτὸ λέγω τὸ πεινῆν: ἀνιαρὸν ἔγωγε:
τὸ μέντοι πεινῶντα ἐσθίειν ἡδύ: καὶ ἐγὼ μανθάνω· ἀλλ' οὖν τό γε πει-
νῆν αὐτὸ ἀνιαρὸν ἢ οὐχί: φημί: οὐκοῦν καὶ τὸ διψῆν: σφόδρα γε:
πότερον οὖν ἔτι πλείω ἐρωτῶ ἢ ὁμολογεῖς ἅπασαν ἔνδειαν καὶ ἐ-
πιθυμίαν ἀνιαρὸν εἶναι: ὁμολογῶ ἀλλὰ μὴ ἐρώτα: εἶεν· διψῶντα
δὲ δὴ πίνειν ἄλλο τι ἢ ἡδὺ φῂς εἶναι: ἔγωγε: οὐκοῦν τούτου οὗ
λέγεις τὸ μὲν διψῶντα λυπούμενον δήπου ἐστίν: ναί: τὸ δὲ πίνειν πλή-
ρωσίς τε τῆς ἐνδείας καὶ ἡδονή: ναί: οὐκοῦν κατὰ τὸ πίνειν χαίρειν
λέγεις: μάλιστα: διψῶντά γε: φημί: λυπούμενον: ναί: αἰσθάνῃ οὖν
τὸ συμβαῖνον ὅτι λυπούμενον χαίρειν λέγεις ἅμα ὅταν διψῶντα πίνειν
λέγῃς· ἢ οὐχ ἅμα τοῦτο γίγνεται κατὰ τὸν αὐτὸν τόπον καὶ χρό-
νον εἴτε ψυχῆς εἴτε σώματος βούλει· οὐδὲν γάρ οἶμαι διαφέρει.
ἔστι ταῦτα ἢ οὔ: ἔστιν: ἀλλὰ μὴν εὖ πράττοντά γε κακῶς πράττειν
ἅμα ἀδύνατον φῂς εἶναι: φημὶ γάρ: ἀνιώμενον δὲ γε χαίρειν δυνατὸν
ὡμολόγηκας: φαίνεται: οὐκ ἄρα τὸ χαίρειν ἐστὶν εὖ πράττειν
οὐδὲ τὸ ἀνιᾶσθαι κακῶς· ὥστε ἕτερον γίγνεται τὸ ἡδὺ τοῦ ἀγαθοῦ:
οὐκ οἶδ' ἅττα σοφίζῃ ὦ Σώκρατες: οἶσθα ἀλλὰ ἀκκίζῃ ὦ Καλλίκλεις·
καὶ πρόιθί γε ἔτι εἰς τὸ ἔμπροσθεν ὅτι ἔχων ληρεῖς, ἵνα εἰδῇς ὡς σο-
φὸς ὤν με νουθετεῖς· οὐχ ἅμα διψῶν τε ἕκαστος ἡμῶν πέπαυται καὶ



ἅμα καὶ ἡδόμενος διὰ τοῦ πίνειν· οὐκ οἶδα ὅ τι λέγεις· μηδαμῶς ὦ καλλί
κλεις· ἀλλ' ἀποκρίνου καὶ ἡμῶν ἕνεκα, ἵνα περανθῶσιν οἱ λόγοι· ἀλλ' ἀεὶ
τοιοῦτός ἐστι σωκράτης ὦ γοργία· σμικρὰ καὶ ὀλίγου ἄξια ἀνερωτᾷ
καὶ ἐξελέγχει· ἀλλὰ τί σοι διαφέρει; πάντως οὐ σὴ αὕτη ἡ τιμὴ ὦ καλλίκλεις·
ἀλλ' ὑπόσχες σωκράτει ἐξελέγξαι ὅπως ἂν βούληται· ἐρώτα δὴ σὺ τὰ
σμικρά τε καὶ στενὰ ταῦτα, ἐπείπερ γοργίᾳ δοκεῖ· εὐδαίμων εἶ
ὦ καλλίκλεις ὅτι τὰ μεγάλα μεμύησαι πρὶν τὰ σμικρά· ἐγὼ δ' οὐκ ᾤμην θεμι
τὸν εἶναι· ὅθεν οὖν ἀπέλιπες ἀποκρίνου· εἰ οὐχ ἅμα παύεται διψῶν ἕκα
στος ἡμῶν καὶ ἡδόμενος· φημί· οὐκοῦν καὶ πεινῶν καὶ τῶν ἄλλων ἐπι
θυμιῶν καὶ ἡδονῶν ἅμα παύεται· ἔστι ταῦτα· οὐκοῦν καὶ τῶν λυπῶν καὶ τῶν
ἡδονῶν ἅμα παύεται· ναί· ἀλλὰ μὴν τῶν ἀγαθῶν καὶ κακῶν οὐχ ἅμα παύε
ται ὡς σὺ ὡμολόγεις· νῦν δὲ οὐχ ὁμολογεῖς· ἔγωγε· τί οὖν δὴ ὅτι οὐ ταὐτὰ
γίγνεται ὦ φίλε τἀγαθὰ τοῖς ἡδέσιν οὐδὲ τὰ κακὰ τοῖς ἀνιαροῖς· τῶν
μὲν γὰρ ἅμα παύεται, τῶν δὲ οὔ, ὡς ἑτέρων ὄντων· πῶς οὖν ταὐτὰ ἂν εἴη
τὰ ἡδέα τοῖς ἀγαθοῖς ἢ τὰ ἀνιαρὰ τοῖς κακοῖς· ἐὰν δὲ βούλῃ καὶ τῇ
δε ἐπίσκεψαι· οἶμαι γάρ σοι οὐδὲ ταύτῃ ὁμολογεῖσθαι· ἄθρει δέ· τοὺς ἀ
γαθοὺς οὐχὶ ἀγαθῶν παρουσίᾳ ἀγαθοὺς καλεῖς ὥσπερ τοὺς κα
λοὺς οἷς ἂν κάλλος παρῇ· ἔγωγε· τί δαί; ἀγαθοὺς ἄνδρας καλεῖς
ἄφρονας καὶ δειλούς; οὐ γὰρ ἄρτι γε, ἀλλὰ τοὺς ἀνδρείους καὶ φρονί
μους ἔλεγες· ἢ οὐ τούτους ἀγαθοὺς καλεῖς· πάνυ μὲν οὖν· τί δέ;
παῖδα ἀνόητον χαίροντα ἤδη εἶδες· ἔγωγε· ἄνδρα δὲ οὔπω εἶδες 437
ἀνόητον χαίροντα· οἶμαι ἔγωγε· ἀλλὰ τί τοῦτο; οὐδέν· ἀλλ' ἀποκρίνου·
εἶδον· τί δὲ νοῦν ἔχοντα λυπούμενον καὶ χαίροντα· φημί· πότερον
δὲ μᾶλλον χαίρουσι καὶ λυποῦνται οἱ φρόνιμοι ἢ οἱ ἄφρονες· οἶμαι ἔ
γωγε οὐ πολύ τι διαφέρειν· ἀλλ' ἀρκεῖ καὶ τοῦτο· ἐν πολέμῳ δὲ ἤδη εἶδες
ἄνδρα δειλόν· πῶς γὰρ οὔ· τί οὖν ἀπιόντων τῶν πολεμίων πότεροί
σοι ἐδόκουν μᾶλλον χαίρειν οἱ δειλοὶ ἢ οἱ ἀνδρεῖοι· ἀμφότεροι ἔμοιγε
μᾶλλον· εἰ δὲ μή, παραπλησίως γε· οὐδὲν διαφέρει· χαίρουσιν δ' οὖν
καὶ οἱ δειλοί· σφόδρα γε· καὶ οἱ ἄφρονες ὡς ἔοικεν· ναί· προσιόν
των δὲ οἱ δειλοὶ μόνον λυποῦνται ἢ καὶ οἱ ἀνδρεῖοι· ἀμφότεροι· ἆρα
ὁμοίως· μᾶλλον ἴσως οἱ δειλοί· ἀπιόντων δ' οὐ μᾶλλον χαίρουσιν·
ἴσως· οὐκοῦν λυποῦνται μὲν καὶ χαίρουσιν καὶ οἱ ἄφρονες καὶ οἱ
φρόνιμοι καὶ οἱ δειλοὶ καὶ οἱ ἀνδρεῖοι παραπλησίως ὡς σὺ φῄς·
μᾶλλον δὲ οἱ δειλοὶ τῶν ἀνδρείων· φημί· ἀλλὰ μὴν οἵ γε φρόνιμοι καὶ οἱ






ἀνδρεῖοι ἀγαθοί· οἱ δὲ δειλοὶ καὶ ἄφρονες κακοί: ναί: παραπλησίως
ἄρα χαίρουσιν καὶ λυποῦνται οἱ ἀγαθοὶ καὶ οἱ κακοί: φημί: ἆρ' οὖν
παραπλησίως εἰσὶν ἀγαθοὶ καὶ κακοὶ οἱ ἀγαθοί τε καὶ οἱ κακοί· ἢ
καὶ ἔτι μᾶλλον ἀγαθοὶ οἱ ἀγαθοὶ καὶ οἱ κακοί εἰσιν οἱ κακοί: ἀλλὰ μὰ
δί' οὐκ οἶδ' ὅτι λέγεις: οὐκ οἶσθ' ὅτι τοὺς ἀγαθοὺς ἀγαθῶν φῂς
παρουσίᾳ εἶναι ἀγαθούς· κακοὺς δὲ κακῶν· τὰ δὲ ἀγαθὰ εἶναι
τὰς ἡδονάς· κακὰ δὲ τὰς ἀνίας: ἔγωγε: οὐκοῦν τοῖς χαίρου
σιν πάρεστιν τἀγαθά αἱ ἡδοναί εἴπερ χαίρουσιν: πῶς γὰρ οὔ:
Οὐκοῦν ἀγαθῶν παρόντων ἀγαθοί εἰσιν οἱ χαίροντες: ναί: τί
δὲ τοῖς ἀνιωμένοις οὐ πάρεστιν τὰ κακὰ αἱ λῦπαι: πάρεστιν:
κακῶν δέ γε παρουσίᾳ φῂς σὺ εἶναι κακοὺς τοὺς κακούς· ἢ οὐ
κέτι φῂς: ἔγωγε: ἀγαθοὶ ἄρα οἳ ἂν χαίρωσι· κακοὶ δὲ οἳ ἂν ἀ
νιῶνται: πάνυ γε: οἱ μέν γε μᾶλλον· μᾶλλον· οἱ δ' ἧττον· ἧττον: ἧτ
τον: οἱ δὲ παραπλησίως· παραπλησίως: ναί: οὐκοῦν φῂς
παραπλησίως χαίρειν καὶ λυπεῖσθαι τοὺς φρονίμους καὶ τοὺς
ἄφρονας καὶ τοὺς δειλοὺς καὶ τοὺς ἀνδρείους· ἢ καὶ μᾶλλον ἔ
τι τοὺς δειλούς: ἔγωγε: συλλόγισαι δή κοινῇ μετ' ἐμοῦ τί ἡμῖν
Συμβαίνει ἐκ τῶν ὡμολογημένων· καὶ δὶς γάρ τοι καὶ τρὶς φασὶν
καλὸν εἶναι τὰ καλὰ λέγειν τε καὶ ἐπισκοπεῖσθαι· ἀγαθὸν μὲν εἶναι
τὸν φρόνιμον καὶ ἀνδρεῖον φαμέν· ἢ γάρ: ναί: κακὸν δὲ τὸν ἄφρονα
καὶ δειλόν: πάνυ γε: ἀγαθὸν δὲ αὖ τὸν χαίροντα: ναί: κακὸν δὲ
τὸν ἀνιώμενον: ἀνάγκη: ἀνιᾶσθαι δὲ καὶ χαίρειν τὸν ἀγαθὸν καὶ
κακὸν ὁμοίως· ἴσως δὲ καὶ μᾶλλον τὸν κακόν: ναί: οὐκοῦν ὁμοίως
γίγνεται κακὸς καὶ ἀγαθὸς τῷ ἀγαθῷ· ἢ καὶ μᾶλλον ἀγαθὸς
ὁ κακός: οὐ ταῦτα συμβαίνει καὶ τὰ πρότερα ἐκεῖνα εἴ τις ταὐ
τὰ φῇ ἡδέα τε καὶ ἀγαθὰ εἶναι· οὐ ταῦτα ἀνάγκη ὦ καλλίκλεις:
Πάλαι τοί σου ἀκροῶμαι ὦ σώκρατες καθομολογῶν ἐνθυμούμε
νος ὅτι κἂν παίζων τίς σοι ἐνδῷ ὁτιοῦν τούτου ἄσμενος ἔχει
ὥσπερ τὰ μειράκια ὡς δὴ σὺ οἴει ἐμὲ ἢ καὶ ἄλλον ὁντινοῦν ἀνθρώ
πων οὐχ ἡγεῖσθαι τὰς μὲν βελτίους ἡδονάς· τὰς δὲ χείρους:
Ἰοὺ ἰοὺ ὦ καλλίκλεις ὡς πανοῦργος εἶ· καί μοι ὥσπερ παιδὶ χρῇ
τοτὲ μὲν αὖ φάσκων οὕτως ἔχειν τοτὲ δὲ ἑτέρως ἐξαπατῶν με·
καίτοι οὐκ ᾤμην γε κατ' ἀρχὰς ὑπὸ σοῦ ἑκόντος εἶναι ἐξαπα
τηθήσεσθαι ὡς ὄντος φίλου· νῦν δὲ ἐψεύσθην· καὶ ὡς ἔοικεν

ἄρ' ἄλλη μοι κατὰ τὸν παλαιὸν λόγον τὸ παρὸν εὖ ποιεῖν καὶ τοῦτο δέχε-
σθαι τὸ διδόμενον παρὰ σοῦ. ἔστιν δὲ δή, ὡς ἔοικεν, ὃ νῦν λέγεις, ὅτι ἡ-
δοναί τινές εἰσιν αἱ μὲν ἀγαθαί, αἱ δὲ κακαί. ἦ γάρ: ναί: ἆρ' οὖν ἀγαθαὶ
μὲν αἱ ὠφέλιμοι, κακαὶ δὲ αἱ βλαβεραί: πάνυ γε: ὠφέλιμοι δέ γε αἱ
ἀγαθόν τι ποιοῦσαι, κακαὶ δὲ αἱ κακόν τι: φημί: ἆρ' οὖν τὰς τοιάσδε
λέγεις, οἷον κατὰ τὸ σῶμα ἃς νῦν δὴ ἐλέγομεν ἐν τῷ ἐσθίειν καὶ πίνειν
ἡδονάς, εἰ ἄρα τούτων αἱ μὲν ὑγίειαν ποιοῦσιν ἐν τῷ σώματι ἢ ἰσχὺν
ἢ ἄλλην τινὰ ἀρετὴν τοῦ σώματος, αὗται μὲν ἀγαθαί, αἱ δὲ τἀναντία τού-
των κακαί: πάνυ γε: οὐκοῦν καὶ λῦπαι ὡσαύτως αἱ μὲν χρησταί εἰσιν
αἱ δὲ πονηραί: πῶς γὰρ οὔ: οὐκοῦν τὰς μὲν χρηστὰς καὶ ἡδονὰς
καὶ λύπας καὶ αἱρετέον ἐστὶν καὶ πρακτέον: πάνυ γε: τὰς δὲ πονηρὰς
οὔ: δῆλον δή: ἕνεκα γάρ που τῶν ἀγαθῶν ἅπαντα ἡμῖν ἔδοξεν πρα-
κτέον εἶναι, εἰ μνημονεύεις, ἐμοί τε καὶ Πώλῳ. ἆρα καὶ σοὶ συνδοκεῖ
οὕτω, τέλος εἶναι ἁπασῶν τῶν πράξεων τὸ ἀγαθόν, καὶ ἐκείνου ἕνε-
κεν δεῖν πάντα τἆλλα πράττεσθαι, ἀλλ' οὐκ ἐκεῖνο τῶν ἄλλων; σύμ-
ψηφος ἡμῖν εἶ καὶ σὺ ἐκ τρίτων: ἔγωγε: τῶν ἀγαθῶν ἄρα ἕνεκα
δεῖ καὶ τἆλλα καὶ τὰ ἡδέα πράττειν, ἀλλ' οὐ τἀγαθὰ τῶν ἡδέων: πάνυ
γε: ἆρ' οὖν παντὸς ἀνδρός ἐστιν ἐκλέξασθαι ποῖα ἀγαθὰ τῶν ἡδέ-
ων ἐστὶν καὶ ὁποῖα κακά, ἢ τεχνικοῦ δεῖ εἰς ἕκαστον: τεχνικοῦ: ἀ-
ναμνησθῶμεν δὴ ὧν αὖ ἐγὼ πρὸς Πῶλον καὶ Γοργίαν ἐτύγχανον λέ-
γων. ἔλεγον γὰρ αὖ, εἰ μνημονεύεις, ὅτι εἶεν παρασκευαὶ αἱ μὲν μέχρι ἡ-
δονῆς, αὐτὸ τοῦτο μόνον παρασκευάζουσαι, ἀγνοοῦσαι δὲ τὸ βέλτιον
καὶ τὸ χεῖρον, αἱ δὲ γιγνώσκουσαι ὅτι τε ἀγαθὸν καὶ ὅτι κακόν. καὶ ἐ-
τίθην τῶν μὲν περὶ τὰς ἡδονὰς τὴν μαγειρικὴν ἐμπειρίαν ἀλλ' οὐ
τέχνην, τῶν δὲ περὶ τὸ ἀγαθὸν τὴν ἰατρικὴν τέχνην. καὶ πρὸς
φιλίου ὦ Καλλίκλεις, μήτε αὐτὸς οἴου δεῖν πρὸς ἐμὲ παίζειν μηδ' ὅτι ἂν
τύχῃς παρὰ τὰ δοκοῦντα ἀποκρίνου, μήτ' αὖ τὰ παρ' ἐμοῦ οὕτως
ἀποδέχου ὡς παίζοντος. ὁρᾷς γὰρ ὅτι περὶ τούτου ἡμῖν εἰσιν οἱ λό-
γοι, οὗ τί ἂν μᾶλλον σπουδάσειέ τις καὶ σμικρὸν νοῦν ἔχων ἄνθρωπος
ἢ τοῦτο, ὅντινα χρὴ τρόπον ζῆν, πότερον ἐπὶ ὃν σὺ παρακαλεῖς ἐμέ,
τὰ τοῦ ἀνδρὸς δὴ ταῦτα πράττοντα, λέγοντα τ' ἐν τῷ δήμῳ καὶ ῥη-
τορικὴν ἀσκοῦντα καὶ πολιτευόμενον τοῦτον τὸν τρόπον ὃν ὑ-
μεῖς νῦν πολιτεύεσθε, ἢ ἐπὶ τόνδε τὸν βίον τὸν ἐν φιλοσοφίᾳ, καὶ τί ποτ' ἔ-
στιν οὗτος ἐκείνου διαφέρων. ἴσως οὖν βέλτιστόν ἐστιν, ὡς ἄρτι ἐγὼ ἐ-

-πιχειρήσω διαιρεῖσθαι· διῃρημένους δὲ καὶ ὁμολογήσαντας ἀλλήλοις
εἰ ἔστιν τούτω διττὼ τὼ βίω σκέψασθαι τί τε διαφέρετον ἀλλήλοιν καὶ ὁ-
πότερον βιωτέον αὐτοῖν· ἴσως οὖν οὔπω οἶσθα τί λέγω: οὐ δῆτα:
ἀλλ' ἐγώ σοι σαφέστερον ἐρῶ· ἐπειδὴ ὡμολογήκαμεν ἐγώ τε καὶ σὺ εἶ-
ναι μέν τι ἀγαθόν· εἶναι δέ τι ἡδύ· ἕτερον δὲ τὸ ἡδὺ τοῦ ἀγαθοῦ· ἑκατέ-
ρου δὲ αὐτοῖν μελέτην τινὰ εἶναι καὶ παρασκευὴν τῆς κτήσεως·
τὴν μὲν τοῦ ἡδέος θήραν· τὴν δὲ τοῦ ἀγαθοῦ· αὐτὸ δέ μοι τοῦτο
πρῶτον ἢ σύμφαθι ἢ μή· σύμφῃς: οὕτως φημί: ἴθι δή, ἃ καὶ πρὸς
τούσδε ἐγὼ ἔλεγον διομολόγησαί μοι εἰ ἄρα σοι ἔδοξα τότε ἀληθῆ
λέγειν· ἔλεγον δέ που ὅτι ἡ μὲν ὀψοποιικὴ οὔ μοι δοκεῖ τέχνη εἶναι
ἀλλ' ἐμπειρία· ἡ δ' ἰατρική, λέγων ὅτι ἡ μὲν τούτου οὗ θεραπεύει
καὶ τὴν φύσιν ἔσκεπται καὶ τὴν αἰτίαν ὧν πράττει καὶ λόγον ἔχει τού-
των ἑκάστου δοῦναι ἡ ἰατρική· ἡ δ' ἑτέρα τῆς ἡδονῆς πρὸς ἣν ἡ θε-
ραπεία αὐτῇ ἐστιν ἅπασα κομιδῇ ἀτέχνως ἐπ' αὐτὴν ἔρχεται οὔτε
τι τὴν φύσιν σκεψαμένη τῆς ἡδονῆς οὔτε τὴν αἰτίαν· ἀλόγως τε παν-
τάπασιν ὡς ἔπος εἰπεῖν οὐδὲν διαριθμησαμένη τριβῇ καὶ ἐμπει-
ρίᾳ μνήμην μόνον σῳζομένη τοῦ εἰωθότος γίγνεσθαι· ᾧ δὴ καὶ πο-
ρίζεται τὰς ἡδονάς· ταῦτ' οὖν πρῶτον σκόπει εἰ δοκεῖ σοι ἱκανῶς
λέγεσθαι καὶ εἶναί τινες καὶ περὶ ψυχὴν τοιαῦται ἄλλαι πραγματεῖαι
αἱ μὲν τεχνικαὶ προμήθειάν τινα ἔχουσαι τοῦ βελτίστου περὶ τὴν ψυχήν·
αἱ δὲ τούτου μὲν ὀλιγωροῦσαι ἐσκεμμέναι δ' αὖ ὥσπερ ἐκεῖ τὴν ἡδο-
νὴν μόνον τῆς ψυχῆς τίνα ἂν αὐτῇ τρόπον γίγνοιτο· ἥτις δὲ ἢ βελ-
τίων ἢ χείρων τῶν ἡδονῶν· οὔτε σκοπούμεναι οὔτε μέλον αὐταῖς
ἄλλο ἢ χαρίζεσθαι μόνον εἴτε βέλτιον εἴτε χεῖρον· ἐμοὶ μὲν γὰρ ὦ καλλί-
κλεις δοκοῦσίν τε εἶναι καὶ ἔγωγέ φημι τὸ τοιοῦτον κολακείαν εἶναι
καὶ περὶ σῶμα καὶ περὶ ψυχὴν καὶ περὶ ἄλλο ὅτου ἄν τις τὴν ἡδονὴν
θεραπεύῃ ἀσκέπτως ἔχων τοῦ ἀμείνονός τε καὶ τοῦ χείρονος·
σὺ δὲ δὴ πότερον συγκατατίθεσαι ἡμῖν περὶ τούτων τὴν αὐτὴν δό-
ξαν ἢ ἀντίφῃς: οὐκ ἔγωγε ἀλλὰ συγχωρῶ ἵνα σοι καὶ περανθῇ
ὁ λόγος καὶ γοργίᾳ τῷδε χαρίσωμαι: πότερον δὲ περὶ μὲν μίαν
ψυχὴν ἔστιν τοῦτο περὶ δὲ δύο καὶ πολλὰς οὐκ ἔστιν: οὔκ ἀλλὰ καὶ περὶ
δύο καὶ περὶ πολλάς: οὐκοῦν καὶ ἀθρόαις ἅμα χαρίζεσθαι ἔστι μη-
δὲν σκοπούμενον τὸ βέλτιστον: οἶμαι ἔγωγε: ἔχεις οὖν εἰπεῖν αἵτι-
νές εἰσιν αἱ ἐπιτηδεύσεις αἱ τοῦτο ποιοῦσαι· μᾶλλον δὲ εἰ βούλει

μοῦ ἕνεκα τῶν ποσ· ἢ μὲν ἄν σοι δοκῇ τοιοῦτον εἶναι φάθι, ἢ δ' ἂν μή, μὴ φάθι·
πρῶτον δὲ σκεψώμεθα τὴν αὐλητικήν· οὐ δοκεῖ σοι τοιαύτη τις εἶναι
ὦ καλλίκλεις· τὴν ἡδονὴν ἡμῶν μόνον διώκειν, ἄλλο δ' οὐδὲν φροντίζειν:
ἔμοιγε δοκεῖ: οὐκοῦν καὶ αἱ τοιαίδε ἅπασαι, οἷον ἡ κιθαριστικὴ ἡ ἐν τοῖς
ἀγῶσιν: ναί: τί δὲ ἡ τῶν χορῶν διδασκαλία καὶ ἡ τῶν διθυράμβων ποί
ησις; οὐ τοιαύτη τίς σοι καταφαίνεται; ἢ ἡγῇ τι φροντίζειν κινησίαν
τὸν μέλητος, ὅπως ἐρεῖ τι τοιοῦτον, ὅθεν ἂν οἱ ἀκούοντες βελτίους γί
γνοιντο, ἢ ὅ τι μέλλει χαριεῖσθαι τῷ ὄχλῳ τῶν θεατῶν: δῆλον δὴ τοῦ
τό γε ὦ σώκρατες κινησίου γε πέρι: τί δὲ ὁ πατὴρ αὐτοῦ μέλης; ἢ πρὸς
τὸ βέλτιστον βλέπων ἐδόκει σοι κιθαρῳδεῖν; ἢ ἐκεῖνος μὲν οὐδὲ πρὸς
τὸ ἥδιστον; ἠνία γὰρ ᾄδων τοὺς θεατάς· ἀλλὰ δὴ σκόπει· οὐχὶ ἥ τε
κιθαρῳδικὴ δοκεῖ σοι πᾶσα καὶ ἡ τῶν διθυράμβων ποίησις ἡδονῆς
χάριν εὑρῆσθαι: ἔμοιγε: τί δαὶ δὴ ἡ σεμνὴ αὕτη καὶ θαυμαστὴ ἡ
τῆς τραγῳδίας ποίησις ἐφ' ᾧ ἐσπούδακεν; πότερόν ἐστιν αὐτῆς τὸ ἐ
πιχείρημα καὶ ἡ σπουδή, ὡς σοὶ δοκεῖ, χαρίζεσθαι τοῖς θεαταῖς μό
νον; ἢ καὶ διαμάχεσθαι, ἐάν τι αὐτοῖς ἡδὺ μὲν ᾖ καὶ κεχαρισμένον πο
νηρὸν δέ, ὅπως τοῦτο μὲν μὴ ἐρεῖ· εἰ δέ τι τυγχάνει ἀηδὲς καὶ ὠφέλιμον,
τοῦτο δὲ καὶ λέξει καὶ ᾄσεται, ἐάν τε χαίρωσιν ἐάν τε μή· ποτέρως σοι
δοκεῖ παρεσκευάσθαι ἡ τῶν τραγῳδιῶν ποίησις: δῆλον δὴ τοῦτό
γε ὦ σώκρατες ὅτι πρὸς τὴν ἡδονὴν μᾶλλον ὥρμηται καὶ τὸ χαρίζεσθαι
τοῖς θεαταῖς: οὐκοῦν τὸ τοιοῦτον ὦ καλλίκλεις ἔφαμεν νῦν δὴ κολακεί
αν εἶναι: πάνυ γε: φέρε δή, εἴ τις περιέλοιτο τῆς ποιήσεως πάσης
τό, τε μέλος καὶ τὸν ῥυθμὸν καὶ τὸ μέτρον, ἄλλο τι ἢ λόγοι γίγνονται τὸ
λειπόμενον: ἀνάγκη: οὐκοῦν πρὸς πολὺν ὄχλον καὶ δῆμον οὗτοι
λέγονται οἱ λόγοι: φημί: δημηγορία ἄρα τίς ἐστιν ἡ ποιητική: φαί
νεται: οὐκοῦν ἡ ῥητορικὴ δημηγορία ἂν εἴη· ἢ οὐ ῥητορεύειν δο
κοῦσί σοι οἱ ποιηταὶ ἐν τοῖς θεάτροις: ἔμοιγε: νῦν ἄρα ἡμεῖς εὑρή
καμεν ῥητορικήν τινα πρὸς δῆμον τοιοῦτον οἷον παίδων τε ὁμοῦ καὶ γυ
ναικῶν καὶ ἀνδρῶν καὶ δούλων καὶ ἐλευθέρων, ἣν οὐ πάνυ ἀγάμεθα·
κολακικὴν γὰρ αὐτὴν φαμὲν εἶναι: πάνυ γε: εἶεν· τί δαὶ ἡ πρὸς τὸν ἀθη
ναίων δῆμον ῥητορικὴ καὶ τοὺς ἄλλους τοὺς ἐν ταῖς πόλεσι δήμους
τοὺς τῶν ἐλευθέρων ἀνδρῶν, τί ποτε ἡμῖν αὕτη ἐστίν; πότερόν σοι δο
κοῦσι πρὸς τὸ βέλτιστον ἀεὶ λέγειν οἱ ῥήτορες, τούτου στοχαζόμενοι
ὅπως οἱ πολῖται ὡς βέλτιστοι ἔσονται διὰ τοὺς αὐτῶν λόγους· ἢ



καὶ οὗτοι πρὸς τὸ χαρίζεσθαι τοῖς πολίταις ὡρμημένοι καὶ ἕνεκα τοῦ ἰ-
δίου τοῦ αὐτῶν ὀλιγωροῦντες τοῦ κοινοῦ ὥσπερ παισὶ προσομιλοῦσι
τοῖς δήμοις χαρίζεσθαι αὐτοῖς πειρώμενοι μόνον εἰ δὲ γε βελτίους
ἔσονται ἢ χείρους διὰ ταῦτα οὐδὲν φροντίζουσιν· οὐχ ἁπλοῦν ἔτι
τοῦτο ἐρωτᾷς· εἰσὶ μὲν γὰρ οἳ κηδόμενοι τῶν πολιτῶν λέγουσιν
ἃ λέγουσιν· εἰσὶν δὲ καὶ οἵους σὺ λέγεις· ἐξαρκεῖ· εἰ γὰρ καὶ τοῦ-
τό ἐστι διπλοῦν τὸ μὲν ἕτερόν που τούτου κολακεία ἂν εἴη καὶ αἰσχρὰ
δημηγορία· τὸ δ᾽ ἕτερον καλὸν τὸ παρασκευάζειν ὅπως ὡς βέλτι-
σται ἔσονται τῶν πολιτῶν αἱ ψυχαὶ καὶ διαμάχεσθαι λέγοντα τὰ βέλτι-
στα εἴτε ἡδίω εἴτε ἀηδέστερα ἔσται τοῖς ἀκούουσιν· ἀλλ᾽ οὐ πώπο-
τε σὺ ταύτην εἶδες τὴν ῥητορικήν· ἢ εἴ τινα ἔχεις τῶν ῥητόρων
τοιοῦτον εἰπεῖν· τί οὐχὶ καὶ ἐμοὶ αὐτὸν ἔφρασας τίς ἐστιν· ἀλλὰ
μὰ Δία οὐκ ἔχω ἔγωγέ σοι εἰπεῖν τῶν γε νῦν ῥητόρων οὐδένα·
τί δέ; τῶν παλαιῶν ἔχεις τινὰ εἰπεῖν δι᾽ ὅντινα αἰτίαν ἔχουσιν ἀθηναῖοι
βελτίους γεγονέναι· ἐπειδὴ ἐκεῖνος ἤρξατο δημηγορεῖν· ἐν τῷ
πρόσθεν χρόνῳ χείρους ὄντες· ἐγὼ μὲν γὰρ οὐκ οἶδα τίς ἐστιν
οὗτος· τί δέ; θεμιστοκλέα οὐκ ἀκούεις ἄνδρα ἀγαθὸν γεγονότα
καὶ κίμωνα καὶ μιλτιάδην καὶ περικλέα τουτονὶ τὸν νεωστὶ τετελευ-
τηκότα οὗ καὶ σὺ ἀκήκοας· εἰ ἔστιν γε ὦ καλλίκλεις ἣν πρότερον
σὺ ἔλεγες ἀρετὴν ἀληθής· τὸ τὰς ἐπιθυμίας ἀποπιμπλάναι καὶ
τὰς αὑτοῦ καὶ τὰς τῶν ἄλλων· εἰ δὲ μὴ τοῦτο ἀλλ᾽ ὅπερ ἐν τῷ ὑστέρῳ
λόγῳ ἠναγκάσθημεν ἡμεῖς ὁμολογεῖν ὅτι αἳ μὲν τῶν ἐπιθυμιῶν
πληρούμεναι βελτίω ποιοῦσι τὸν ἄνθρωπον ταύτας μὲν ἀποτε-
λεῖν· αἳ δὲ χείρω μή· τοῦτο δὲ τέχνη τις εἶναι· τοιοῦτον ἄνδρα τού-
των τινὰ γεγονέναι· οὐκ ἔχω ἔγωγε πῶς εἴπω· ἀλλ᾽ ἐὰν ζητῇς
καλῶς εὑρήσεις· ἴδωμεν δὴ οὑτωσὶ ἀτρέμα σκοπούμενοι εἴ τις
τούτων τοιοῦτος γέγονεν· φέρε γὰρ ὁ ἀγαθὸς ἀνὴρ καὶ ἐπὶ τὸ βέλ-
τιστον λέγων ἃ ἂν λέγῃ ἄλλο τι οὐκ εἰκῇ ἐρεῖ· ἀλλ᾽ ἀποβλέπων πρός τι
ὥσπερ καὶ οἱ ἄλλοι πάντες δημιουργοὶ βλέποντες πρὸς τὸ αὐτῶν ἔρ-
γον ἕκαστος οὐκ εἰκῇ ἐκλεγόμενος προσφέρει πρὸς τὸ ἔργον τὸ
αὐτῶν· ἀλλ᾽ ὅπως ἂν εἶδός τι αὐτῷ σχῇ τοῦτο ὃ ἐργάζεται· οἷον εἰ
βούλει ἰδεῖν τοὺς ζωγράφους· τοὺς οἰκοδόμους τοὺς ναυπη-
γοὺς τοὺς ἄλλους πάντας δημιουργοὺς ὅντινα βούλει αὐτῶν ὡς
εἰς τάξιν τινὰ ἕκαστος ἕκαστον τίθησιν ὃ ἂν τιθῇ καὶ προσαναγ-

[illegible] τῶν τεσσάρων ῥητόρων [illegible] θεμιστοκλέους· κίμωνος [illegible] μιλτιάδου· περι[illegible] [illegible] σωκράτη [illegible]


κάζει τὸ ἕτερον τῷ ἑτέρῳ πρέπον τε εἶναι καὶ ἁρμόττειν, ἕως ἂν τὸ ἅπαν
συστήσηται τεταγμένον τε καὶ κεκοσμημένον πρᾶγμα· καὶ οἵ τε
δὴ ἄλλοι δημιουργοὶ καὶ οὓς νῦν δὴ ἐλέγομεν οἱ περὶ τὸ σῶμα, παι-
δοτρίβαι τε καὶ ἰατροὶ κοσμοῦσί που τὸ σῶμα καὶ συντάττουσιν·
ὁμολογοῦμεν οὕτω τοῦτ᾽ ἔχειν ἢ οὔ: ἔστω τοῦτο οὕτω: τάξεως ἄρα
καὶ κόσμου τυχοῦσα οἰκία χρηστὴ ἂν εἴη, ἀταξίας δὲ μοχθηρά:
φημί: οὐκοῦν καὶ πλοῖον ὡσαύτως: ναί: καὶ μὴν καὶ τὰ σώματα
φαμὲν τὰ ἡμέτερα: πάνυ γε: τί δὲ ἡ ψυχή; ἀταξίας τυχοῦσα ἔσται χρη-
στὴ ἢ τάξεώς τε καὶ κόσμου τινός: ἀνάγκη ἐκ τῶν πρόσθεν καὶ τοῦ-
το συνομολογεῖν: τί οὖν ὄνομά ἐστιν ἐν τῷ σώματι τῷ ἐκ τῆς τάξε-
ως τε καὶ τοῦ κόσμου γιγνομένῳ: ὑγίειαν καὶ ἰσχὺν ἴσως λέγεις:
ἔγωγε: τί δὲ αὖ τῷ ἐν τῇ ψυχῇ ἐγγιγνομένῳ ἐκ τῆς τάξεως καὶ
τοῦ κόσμου; πειρῶ εὑρεῖν καὶ εἰπεῖν ὥσπερ ἐκεῖνο τὸ ὄνομα: τί δὲ
οὐκ αὐτὸς λέγεις ὦ Σώκρατες: ἀλλ᾽ εἴ σοι ἥδιόν ἐστιν ἐγὼ ἐρῶ· σὺ δέ,
ἂν μέν σοι δοκῶ ἐγὼ καλῶς λέγειν, φάθι· εἰ δὲ μή, ἔλεγχε καὶ μὴ ἐπι-
τρέπε· ἐμοὶ γὰρ δοκεῖ ταῖς μὲν τοῦ σώματος τάξεσιν ὄνομα εἶ-
ναι ὑγιεινόν, ἐξ οὗ ἐν αὐτῷ ἡ ὑγίεια γίγνεται καὶ ἡ ἄλλη ἀρετὴ τοῦ
σώματος· ἔστιν ταῦτα ἢ οὐκ ἔστιν: ἔστιν: ταῖς δὲ τῆς ψυχῆς τάξε-
σι καὶ κοσμήσεσι νόμιμόν τε καὶ νόμος, ὅθεν καὶ νόμιμοι γίγνονται
καὶ κόσμιοι· ταῦτα δ᾽ ἔστιν δικαιοσύνη τε καὶ σωφροσύνη· φῂς ἢ
οὔ: ἔστω: οὐκοῦν πρὸς ταῦτα βλέπων ὁ ῥήτωρ ἐκεῖνος ὁ τεχνικός
τε καὶ ἀγαθός, καὶ τοὺς λόγους προσοίσει ταῖς ψυχαῖς οὓς ἂν
λέγῃ καὶ τὰς πράξεις ἁπάσας· καὶ δῶρον ἐάν τι διδῷ δώσει, καὶ
ἐάν τι ἀφαιρῆται ἀφαιρήσεται, πρὸς τοῦτο ἀεὶ τὸν νοῦν ἔχων, ὅπως
ἂν αὐτοῦ τοῖς πολίταις δικαιοσύνη μὲν ἐν ταῖς ψυχαῖς γίγνηται,
ἀδικία δὲ ἀπαλλάττηται· καὶ σωφροσύνη μὲν ἐγγίγνηται, ἀκολα-
σία δὲ ἀπαλλάττηται· καὶ ἡ ἄλλη ἀρετὴ ἐγγίγνηται, κακία δὲ ἀπίῃ·
συγχωρεῖς ἢ οὔ: συγχωρῶ: τί γὰρ ὄφελος ὦ Καλλίκλεις σώμα-
τί γε κάμνοντι καὶ μοχθηρῶς διακειμένῳ σιτία πολλὰ διδόναι
καὶ τὰ ἥδιστα ἢ ποτὰ ἢ ἄλλ᾽ ὁτιοῦν, ὃ μὴ ὀνήσει αὐτὸ ἔσθ᾽ ὅτε πλέ-
ον ἢ τοὐναντίον κατά γε τὸν δίκαιον λόγον καὶ ἔλαττον; ἔστι ταῦτα:
ἔστω: οὐ γὰρ οἶμαι λυσιτελεῖ μετὰ μοχθηρίας σώματος ζῆν ἀνθρώ-
πῳ· ἀνάγκη γὰρ οὕτω καὶ ζῆν μοχθηρῶς· ἢ οὐχ οὕτως: ναί:
οὐκοῦν καὶ τὰς ἐπιθυμίας ἀποπιμπλάναι, οἷον πεινῶντα φαγεῖν

ἡ κοσμιότης σωφροσύνη

ὅσον βούλεται ἢ διψῶντα πιεῖν· ὑγιαίνοντα μὲν ἐῶσιν οἱ ἰατροὶ ὡς
τὰ πολλά· κάμνοντα δὲ ὡς ἔπος εἰπεῖν οὐδέποτ᾽ ἐῶσιν ἐμπίμπλα-
σθαι ὧν ἐπιθυμεῖ· συγχωρεῖς τοῦτό γε καὶ σύ· ἔγωγε: περὶ δὲ ψυχὴν
ὦ ἄριστε οὐχ ὁ αὐτὸς τρόπος· ἕως μὲν ἂν πονηρὰ ᾖ, ἀνόητός τε οὖσα
καὶ ἀκόλαστος καὶ ἄδικος καὶ ἀνόσιος· εἴργειν αὐτὴν δεῖ τῶν ἐπι-
θυμιῶν καὶ μὴ ἐπιτρέπειν ἄλλ᾽ ἄττα ποιεῖν ἢ ἀφ᾽ ὧν βελτίων ἔσται·
φῂς ἢ οὔ: φημί: οὕτω γάρ που αὐτῇ ἄμεινον τῇ ψυχῇ: πάνυ γε:
οὐκοῦν τὸ εἴργειν ἐστὶν ἀφ᾽ ὧν ἐπιθυμεῖ κολάζειν: ναί: τὸ κολάζε-
441 σθαι ἄρα τῇ ψυχῇ ἄμεινόν ἐστιν ἢ ἡ ἀκολασία ὥσπερ σὺ νυνδὴ ᾤ-
ου: οὐκ οἶδ᾽ ἅττα λέγεις ὦ Σώκρατες· ἀλλ᾽ ἄλλον τινὰ ἐρώτα: οὗ-
τος ἀνὴρ οὐχ ὑπομένει ὠφελούμενος καὶ αὐτὸς τοῦτο πάσχων
περὶ οὗ ὁ λόγος ἐστί κολαζόμενος: οὐδέ γέ μοι μέλει οὐδὲν ὧν
σὺ λέγεις· καὶ ταῦτά σοι Γοργίου χάριν ἀπεκρινάμην: εἶεν· τί οὖν
δὴ ποιήσομεν· μεταξὺ τὸν λόγον καταλύομεν: αὐτὸς γνώσῃ:
ἀλλ᾽ οὐδὲ τοὺς μύθους φασὶ μεταξὺ θέμις εἶναι καταλείπειν· ἀλλ᾽ ἐπι-
θέντας κεφαλήν, ἵνα μὴ ἄνευ κεφαλῆς περιίῃ· ἀπόκριναι οὖν
καὶ τὰ λοιπά, ἵνα ἡμῖν ὁ λόγος κεφαλὴν λάβῃ: ὡς βίαιος εἶ ὦ Σώ-
κρατες· ἐὰν δὲ ἐμοὶ πείθῃ, ἐάσεις χαίρειν τοῦτον τὸν λόγον· ἢ καὶ
ἄλλῳ τῳ διαλέξῃ: τίς οὖν ἄλλος ἐθέλει· μὴ γάρ τοι ἀτελῆ γε τὸν λό-
γον καταλίπωμεν: αὐτὸς δὲ οὐκ ἂν δύναιο διελθεῖν τὸν λόγον·
ἢ λέγων κατὰ σαυτὸν ἢ ἀποκρινόμενος σαυτῷ: ἵνα μοι τὸ τοῦ
ἐπιχάρμου γένηται, ἃ πρὸ τοῦ δύο ἄνδρες ἔλεγον, εἷς ὢν ἱκανὸς
γένωμαι· ἀτὰρ κινδυνεύει ἀναγκαιότατον εἶναι οὕτως· εἰ μέντοι
ποιήσομεν, οἶμαι ἔγωγε χρῆναι πάντας ἡμᾶς φιλονίκως ἔχειν
πρὸς τὸ εἰδέναι τὸ ἀληθὲς τί ἐστιν περὶ ὧν λέγομεν καὶ τί ψεῦδος·
κοινὸν γὰρ ἀγαθὸν ἅπασι φανερὸν γενέσθαι αὐτό· δίειμι μὲν οὖν
τῷ λόγῳ ἐγὼ ὡς ἄν μοι δοκῇ ἔχειν· ἐὰν δέ τῳ ὑμῶν μὴ τὰ ὄντα δο-
κῶ ὁμολογεῖν ἐμαυτῷ, χρὴ ἀντιλαμβάνεσθαι καὶ ἐλέγχειν· οὐδὲ
γάρ τοι ἔγωγε εἰδὼς λέγω ἃ λέγω· ἀλλὰ ζητῶ κοινῇ μεθ᾽ ὑμῶν
ὥστε ἄν τι φαίνηται λέγων ὁ ἀμφισβητῶν ἐμοί, ἐγὼ πρῶτος συγ-
χωρήσομαι· λέγω μέντοι ταῦτα, εἰ δοκεῖ χρῆναι διαπερανθῆναι
τὸν λόγον· εἰ δὲ μὴ βούλεσθε, ἐῶμεν δὴ χαίρειν καὶ ἀπίωμεν:
ἀλλ᾽ ἐμοὶ μὲν οὐ δοκεῖ ὦ Σώκρατες χρῆναί πω ἀπιέναι· ἀλλὰ διεξελ-
θεῖν σε τὸν λόγον· φαίνεται δέ μοι καὶ τοῖς ἄλλοις δοκεῖν· βούλομαι

γὰρ ἔγωγε καὶ αὐτὸς ἀκοῦσαι σου αὐτοῦ διιόντος τὰ ἐπίλοιπα· ἀλλὰ
μὲν δὴ ὦ γοργία καὶ αὐτὸς ἡδέως μὲν ἂν καλλικλεῖ τούτῳ ἔτι διελεγόμην
ἕως αὐτῷ τὴν τοῦ ἀμφίονος ἀπέδωκα ῥῆσιν ἀντὶ τῆς τοῦ ζήθου· ἐ
πειδὴ δὲ σὺ ὦ καλλίκλεις οὐκ ἐθέλεις συνδιαπεράναι τὸν λόγον, ἀλ
λ' οὖν ἐμοῦ γε ἀκούων ἐπιλαμβάνου ἐάν τί σοι δοκῶ μὴ καλῶς λέγειν·
καί με ἐὰν ἐξελέγχῃς, οὐκ ἀχθεσθήσομαί σοι ὥσπερ σὺ ἐμοί, ἀλλὰ
μέγιστος εὐεργέτης παρ' ἐμοὶ ἀναγεγράψῃ: λέγε ὠγαθὲ αὐτὸς
καὶ πέραινε: ἄκουε δὴ ἐξ ἀρχῆς ἐμοῦ ἀναλαβόντος τὸν λόγον:
ἆρα τὸ ἡδὺ καὶ τὸ ἀγαθὸν τὸ αὐτό ἐστιν; οὐ ταὐτὸν ὡς ἐγὼ καὶ καλλικλῆς
ὡμολογήσαμεν: πότερον δὲ τὸ ἡδὺ ἕνεκα τοῦ ἀγαθοῦ πρακτέον
ἢ τὸ ἀγαθὸν ἕνεκα τοῦ ἡδέος: τὸ ἡδὺ ἕνεκα τοῦ ἀγαθοῦ: ἡδὺ
δέ ἐστιν τοῦτο οὗ παραγενομένου ἡδόμεθα, ἀγαθὸν δὲ οὗ παρόντος
ἀγαθοί ἐσμεν: πάνυ γε: ἀλλὰ μὴν ἀγαθοί γε ἐσμὲν καὶ ἡμεῖς καὶ
τἆλλα πάντα ὅσ' ἀγαθά ἐστιν ἀρετῆς τινος παραγενομένης: ἔμοι
γε δοκεῖ ἀναγκαῖον εἶναι ὦ καλλίκλεις: ἀλλὰ μὲν δὴ ἥ γε ἀρετὴ ἑκάστου καὶ
σκεύους καὶ σώματος καὶ ψυχῆς αὖ καὶ ζῴου παντὸς οὐ τῷ εἰκῇ
κάλλιστα παραγίγνεται, ἀλλὰ τάξει καὶ ὀρθότητι καὶ τέχνῃ ἥτις ἑκά
στῳ ἀποδέδοται αὐτῶν· ἆρ' ἐστιν ταῦτα; ἐγὼ μὲν γάρ φημι: τάξει ἄ
ρα τεταγμένον καὶ κεκοσμημένον ἐστὶν ἡ ἀρετὴ ἑκάστου: φαίην ἂν ἔγω
γε: κόσμος τις ἄρα ἐγγενόμενος ἐν ἑκάστῳ ὁ ἑκάστου οἰκεῖος ἀγα
θὸν παρέχει ἕκαστον τῶν ὄντων: ἔμοιγε δοκεῖ: καὶ ψυχὴ ἄρα κόσμον
ἔχουσα τὸν ἑαυτῆς ἀμείνων τῆς ἀκοσμήτου: ἀνάγκη: ἀλλὰ μὴν ἥ
γε κόσμον ἔχουσα κοσμία: πῶς γὰρ οὐ μέλλει: ἡ δέ γε κοσμία σώ
φρων: πολλὴ ἀνάγκη: ἡ ἄρα σώφρων ψυχὴ ἀγαθή· ἐγὼ μὲν οὐκ ἔχω
παρὰ ταῦτα ἄλλα φάναι ὦ φίλε καλλίκλεις· σὺ δ' εἰ ἔχεις δίδασκε: λέ
γ' ὠγαθέ: λέγω δὴ ὅτι εἰ ἡ σώφρων ἀγαθή ἐστιν, ἡ τοὐναντίον τῇ
σώφρονι πεπονθυῖα κακή ἐστιν· ἦν δὲ αὕτη ἡ ἄφρων τε καὶ ἀκόλαστος:
πάνυ γε: καὶ μὴν ὅ γε σώφρων τὰ προσήκοντα πράττοι ἂν καὶ περὶ
θεοὺς καὶ περὶ ἀνθρώπους· οὐ γὰρ ἂν σωφρονοῖ τὰ μὴ προσήκοντα
πράττων: ἀνάγκη ταῦτ' εἶναι οὕτω: καὶ μὴν περὶ μὲν ἀνθρώπους
τὰ προσήκοντα πράττων δίκαι' ἂν πράττοι, περὶ δὲ θεοὺς ὅσια· 442
τὸν δὲ τὰ δίκαια καὶ ὅσια πράττοντα ἀνάγκη δίκαιον καὶ ὅσιον εἶναι:
ἔστι ταῦτα: καὶ μὲν δὴ καὶ ἀνδρεῖόν γε ἀνάγκη· οὐ γὰρ δὴ σώφρονος
ἀνδρός ἐστιν οὔτε διώκειν οὔτε φεύγειν ἃ μὴ προσήκει, ἀλλ' ἃ δεῖ καὶ

πράγματα καὶ ἀνθρώπους καὶ ἡδονὰς καὶ λύπας φεύγειν καὶ διώκ(ειν)
καὶ ὑπομένοντα καρτερεῖν ὅπου δεῖ· ὥστε πολλὴ ἀνάγκη ὦ καλλίκλεις
τὸν σώφρονα ὥσπερ διήλθομεν δίκαιον ὄντα καὶ ἀνδρεῖον καὶ ὅσιον
ἀγαθὸν ἄνδρα εἶναι τελέως· τὸν δὲ ἀγαθὸν εὖ τε καὶ καλῶς πράττειν ἃ ἂν
πράττῃ· τὸν δ' εὖ πράττοντα μακάριόν τε καὶ εὐδαίμονα εἶναι·
τὸν δὲ πονηρὸν καὶ κακῶς πράττοντα ἄθλιον· οὗτος δ' ἂν εἴη ὁ ἐναντί
ως ἔχων τῷ σώφρονι ὁ ἀκόλαστος ὃν σὺ ἐπῄνεις· ἐγὼ μὲν οὖν ταῦ



τα οὕτω τίθεμαι καί φημι ταῦτα ἀληθῆ εἶναι· εἰ δὲ ἔστιν ἀληθῆ, τὸν βου
λόμενον ὡς ἔοικεν εὐδαίμονα εἶναι σωφροσύνην μὲν διωκτέον καὶ
ἀσκητέον· ἀκολασίαν δὲ φευκτέον ὡς ἔχει ποδῶν ἕκαστος ἡμῶν
καὶ παρασκευαστέον μάλιστα μὲν μηδὲν δεῖσθαι τοῦ κολάζεσθαι· ἐὰν
δὲ δεηθῇ ἢ αὐτὸς ἢ ἄλλος τις τῶν οἰκείων ἢ ἰδιώτης ἢ πόλις· ἐπι
θετέον δίκην καὶ κολαστέον εἰ μέλλει εὐδαίμων εἶναι· οὗτος ἔμοιγε
δοκεῖ ὁ σκοπὸς εἶναι πρὸς ὃν βλέποντα δεῖ ζῆν καὶ πάντα εἰς τοῦτο
τὰ αὑτοῦ συντείνοντα καὶ τὰ τῆς πόλεως· ὅπως δικαιοσύνη παρέσ
ται καὶ σωφροσύνη τῷ μακαρίῳ μέλλοντι ἔσεσθαι· οὕτω πράττειν
οὐκ ἐπιθυμίας ἐῶντα ἀκολάστους εἶναι καὶ ταύτας ἐπιχειροῦντα
πληροῦν ἀνήνυτον κακὸν λῃστοῦ βίον ζῶντα· οὔτε γὰρ ἂν ἄλλῳ ἀν
θρώπῳ προσφιλὴς ἂν εἴη ὁ τοιοῦτος οὔτε θεῷ· κοινωνεῖν γὰρ
ἀδύνατος· ὅτῳ δὲ μὴ ἔνι κοινωνία φιλία οὐκ ἂν εἴη· φασὶ δ' οἱ σο
φοὶ ὦ καλλίκλεις καὶ οὐρανὸν καὶ γῆν καὶ θεοὺς καὶ ἀνθρώπους τὴν
κοινωνίαν συνέχειν καὶ φιλίαν καὶ κοσμιότητα καὶ σωφροσύνην
καὶ δικαιότητα καὶ τὸ ὅλον τοῦτο διὰ ταῦτα κόσμον καλοῦσιν ὦ ἑταῖ
ρε οὐκ ἀκοσμίαν οὐδὲ ἀκολασίαν· σὺ δέ μοι δοκεῖς οὐ προσέχειν τὸν
νοῦν τούτοις καὶ ταῦτα σοφὸς ὤν· ἀλλὰ λέληθέ σε ὅτι ἡ ἰσότης
ἡ γεωμετρικὴ καὶ ἐν θεοῖς καὶ ἐν ἀνθρώποις μέγα δύναται· σὺ δὲ
πλεονεξίαν οἴει δεῖν ἀσκεῖν· γεωμετρίας γὰρ ἀμελεῖς· εἶεν· ἢ
ἐξελεγκτέος δὴ οὗτος ὁ λόγος ἡμῖν ἐστιν ὡς οὐ δικαιοσύνης καὶ σω
φροσύνης κτήσει εὐδαίμονες οἱ εὐδαίμονες· κακίας δὲ οἱ ἄθλιοι·
ἢ εἰ οὗτος ἀληθής ἐστι σκεπτέον τί τὰ συμβαίνοντα· τὰ πρόσθεν ἐ
κεῖνα ὦ καλλίκλεις συμβαίνει πάντα ἐφ' οἷς σύ με ἤρου εἰ σπουδάζων
λέγοιμι λέγοντα ὅτι κατηγορητέον εἴη καὶ αὑτοῦ καὶ υἱέος καὶ ἑταίρου
ἐάν τι ἀδικῇ καὶ τῇ ῥητορικῇ ἐπὶ τοῦτο χρηστέον· καὶ ἃ πῶλον αἰ
σχύνῃ ᾤου συγχωρεῖν ἀληθῆ ἄρα ἦν· τὸ εἶναι τὸ ἀδικεῖν τοῦ ἀδι

κεῖσθαι ὅσῳ περ αἴσχιον τοσούτῳ κάκιον· καὶ τὸν μέλλοντα ὀρθῶς
ῥητορικὸν ἔσεσθαι δίκαιον ἄρα δεῖ εἶναι καὶ ἐπιστήμονα τῶν δικαίων· ὃ
αὖ Γοργίαν ἔφη Πῶλος δι' αἰσχύνην ὁμολογῆσαι· τούτων δὲ οὕτως
ἐχόντων· σκεψώμεθα τί ποτ' ἐστὶν ἃ σὺ ἐμοὶ ὀνειδίζεις· ἆρα καλῶς
λέγεται ἢ οὔ· ὡς ἄρα ἐγὼ οὐχ οἷός τ' εἰμὶ βοηθῆσαι οὔτε ἐμαυτῷ οὔ
τε τῶν φίλων οὐδενὶ οὐδὲ τῶν οἰκείων· οὐδ' ἐκσῶσαι ἐκ τῶν μεγίστων κιν
δύνων· εἰμὶ δὲ ἐπὶ τῷ βουλομένῳ ὥσπερ οἱ ἄτιμοι τοῦ ἐθέλοντος·
ἄντε τύπτειν βούληται τὸ νεανικὸν δὴ τοῦτο τοῦ σοῦ λόγου ἐπὶ κόρ
ρης· ἐάντε χρήματα ἀφαιρεῖσθαι· ἐάντε ἐκβάλλειν ἐκ τῆς πόλεως·
ἐάντε τὸ ἔσχατον ἀποκτεῖναι· καὶ οὕτω διακεῖσθαι πάντων δὴ αἴσχι
στόν ἐστιν ὡς ὁ σὸς λόγος· ὁ δὲ δὴ ἐμὸς ὅστις πολλάκις μὲν ἤδη εἴρη
ται οὐδὲν δὲ κωλύει καὶ ἔτι λέγεσθαι· οὔ φημι ὦ Καλλίκλεις τὸ τύπτεσθαι
ἐπὶ κόρρης ἀδίκως αἴσχιστον εἶναι· οὐδέ γε τὸ τέμνεσθαι οὔτε τὸ σῶμα
τὸ ἐμὸν οὔτε τὸ βαλλάντιον· ἀλλὰ τὸ τύπτειν καὶ ἐμὲ καὶ τὰ ἐμὰ ἀδίκως
καὶ τέμνειν καὶ αἴσχιον καὶ κάκιον· καὶ κλέπτειν γε ἅμα καὶ ἀνδραποδί
ζεσθαι καὶ τοιχωρυχεῖν καὶ συλλήβδην ὅτι οὖν ἀδικεῖν καὶ ἐμὲ καὶ
τὰ ἐμὰ τῷ ἀδικοῦντι καὶ κάκιον καὶ αἴσχιον εἶναι ἢ ἐμοὶ τῷ ἀδικουμένῳ·
ταῦτα ἡμῖν ἄνω ἐκεῖ ἐν τοῖς πρόσθεν λόγοις οὕτω φανέντα ὡς ἐγὼ
λέγω κατέχεται καὶ δέδεται καὶ εἰ ἀγροικότερόν τι εἰπεῖν ἐστι σιδη
ροῖς καὶ ἀδαμαντίνοις λόγοις· ὡς γοῦν ἂν δόξειεν οὑτωσί· οὓς σὺ
εἰ μὴ λύσεις ἢ σοῦ τις νεανικώτερος· οὐχ οἷόν τε ἄλλως λέγοντα ἢ
ὡς ἐγὼ νῦν λέγω καλῶς λέγειν· ἐπεὶ ἔμοιγε ὁ αὐτὸς λόγος ἐστὶν
ἀεί· ὅτι ἐγὼ ταῦτα οὐκ οἶδα ὅπως ἔχει· ὅτι μέντοι ὧν ἐγὼ ἐντετύ
χηκα ὥσπερ νῦν οὐδεὶς οἷός τ' ἐστὶν ἄλλως λέγων μὴ οὐ καταγέλα
στος εἶναι· ἐγὼ μὲν οὖν αὖ τίθημι ταῦτα οὕτως ἔχειν· εἰ δὲ οὕτως
ἔχει καὶ μέγιστον τῶν κακῶν ἐστιν ἡ ἀδικία τῷ ἀδικοῦντι· καὶ ἔτι τούτου
μεῖζον μεγίστου ὄντος εἰ οἷόν τε τὸ ἀδικοῦντα μὴ διδόναι δίκην·
τίνα ἂν βοήθειαν μὴ δυνάμενος ἄνθρωπος βοηθεῖν ἑαυτῷ κατα
γέλαστος ἂν τῇ ἀληθείᾳ εἴη· ἆρα οὐ ταύτην ἥτις ἀποτρέψει τὴν
μεγίστην ἡμῶν βλάβην· ἀλλὰ πολλὴ ἀνάγκη ταύτην εἶναι τὴν αἰσχί
στην βοήθειαν μὴ δύνασθαι βοηθεῖν μήτε ἑαυτῷ μήτε τοῖς αὑτοῦ φί
λοις τε καὶ οἰκείοις· δευτέραν δὲ τὴν τοῦ δευτέρου κακοῦ· καὶ τρίτην
τὴν τοῦ τρίτου· καὶ τἆλλα οὕτως· ὡς ἑκάστου κακοῦ μέγεθος πέφυ
κεν· οὕτω καὶ κάλλος τοῦ δυνατὸν εἶναι ἐφ' ἕκαστα βοηθεῖν καὶ αἰ

αἰσχίων τὸ μή· ἆρα ἄλλως ἢ οὕτως ἔχει ὦ καλλίκλεις· οὐκ ἄλλως· δυοῖν
οὖν ὄντοιν τοῦ ἀδικεῖν τε καὶ ἀδικεῖσθαι, μεῖζον μέν φαμεν κακὸν τὸ ἀ-
δικεῖν, ἔλαττον δὲ τὸ ἀδικεῖσθαι· τί οὖν ἂν παρασκευασάμενος ἄν-
θρωπος βοηθήσειεν αὑτῷ ὥστε ἀμφοτέρας τὰς ὠφελίας ταύ-
τας ἔχειν, τήν τε ἀπὸ τοῦ μὴ ἀδικεῖν καὶ τὴν ἀπὸ τοῦ μὴ ἀδικεῖ-
σθαι· πότερα δύναμιν ἢ βούλησιν· ὧδε δὲ λέγω· πότερον ἐὰν μὴ
βούληται ἀδικεῖσθαι οὐκ ἀδικήσεται· ἢ ἐὰν δύναμιν παρασκευάση-
ται τοῦ μὴ ἀδικεῖσθαι οὐκ ἀδικήσεται· δῆλον δὴ τοῦτό γε ὅτι ἐὰν
δύναμιν· τί δὲ δὴ τοῦ ἀδικεῖν· πότερον ἐὰν μὴ βούληται ἀδικεῖν ἱ-
κανὸν τοῦτ᾽ ἐστίν· οὐ γὰρ ἀδικήσει· ἢ καὶ ἐπὶ τοῦτο δεῖ δύναμίν τινα καὶ τέ-
χνην παρασκευάσασθαι, ὡς ἐὰν μὴ μάθῃ αὐτὰ καὶ ἀσκήσῃ ἀδική-
σει· τί οὐκ αὐτό γε ἐμοὶ τοῦτο ἀπεκρίνω ὦ καλλίκλεις· πότερόν σοι
δοκοῦμεν ὀρθῶς ἀναγκασθῆναι ὁμολογεῖν ἐν τοῖς ἔμπροσθεν λό-
γοις ἐγώ τε καὶ πῶλος ἢ οὔ· ἡνίκα ὡμολογήσαμεν μηδένα βουλό-
μενον ἀδικεῖν ἀλλ᾽ ἄκοντας τοὺς ἀδικοῦντας πάντας ἀδικεῖν·
ἔστω σοι τοῦτο ὦ σώκρατες οὕτως, ἵνα διαπεράνῃς τὸν λόγον· καὶ
ἐπὶ τοῦτο ἄρα ὡς ἔοικεν παρασκευαστέον ἐστὶ δύναμίν τινα καὶ τέχνην
ὅπως μὴ ἀδικήσωμεν· πάνυ γε· τίς οὖν ποτ᾽ ἐστὶν τέχνη τῆς πα-
ρασκευῆς τοῦ μηδὲν ἀδικεῖσθαι ἢ ὡς ὀλίγιστα· σκέψαι εἰ σοὶ δοκεῖ
ἥπερ ἐμοί· ἐμοὶ μὲν γὰρ δοκεῖ ἥδε· ἢ αὐτὸν ἄρχειν δεῖν ἐν τῇ πόλει
ἢ καὶ τυραννεῖν· ἢ τῆς ὑπαρχούσης πολιτείας ἑταῖρον εἶναι· ὁρᾷς
ὦ σώκρατες ὡς ἐγὼ ἕτοιμός εἰμι ἐπαινεῖν ἄν τι καλῶς λέγῃς· τοῦτό
μοι δοκεῖς πάνυ καλῶς εἰρηκέναι· σκόπει δὴ καὶ τόδε ἐάν σοι δο-
κῶ εὖ λέγειν· φίλος μοι δοκεῖ ἕκαστος ἑκάστῳ εἶναι ὡς οἷόν τε μά-
λιστα ὅνπερ οἱ παλαιοί τε καὶ σοφοὶ λέγουσιν ὁ ὅμοιος τῷ ὁμοίῳ·
οὐ καὶ σοί· ἔμοιγε· οὐκοῦν ὅπου τύραννός ἐστιν ἄρχων ἄγριος καὶ
ἀπαίδευτος εἴ τις τούτου ἐν τῇ πόλει πολὺ βελτίων εἴη· φοβοῖτο δή-
που ἂν αὐτὸν ὁ τύραννος καὶ τούτῳ ἐξ ἅπαντος τοῦ νοῦ οὐκ ἄν πο-
τε δύναιτο φίλος γενέσθαι· ἔστι ταῦτα· οὐδέ γε εἴ τις πολὺ φαυλό-
τερος εἴη, οὐδ᾽ ἂν οὗτος· καταφρονοῖ γὰρ ἂν αὐτοῦ ὁ τύραννος
καὶ οὐκ ἄν ποτε ὡς πρὸς φίλον σπουδάσειεν· καὶ ταῦτ᾽ ἀληθῆ· λεί-
πεται δὴ ἐκεῖνος μόνος ἄξιος λόγου φίλος τῷ τοιούτῳ ὃς ἂν ὁμοή-
θης ὢν ταὐτὰ ψέγων καὶ ἐπαινῶν ἐθέλῃ ἄρχεσθαι καὶ ὑποκεῖσθαι
τῷ ἄρχοντι· οὗτος μέγα ἐν ταύτῃ τῇ πόλει δυνήσεται· τοῦτον οὐδεὶς χαί-

ρων ἀδικήσει. οὐχ οὕτως ἔχει: ναί: εἰ ἄρα τις ἐννοήσειεν ἐν ταύτῃ τῇ
πόλει τῶν νέων· τίνα ἂν τρόπον ἐγὼ μέγα δυναίμην καὶ μηδείς με ἀ-
δικοῖ· ἡ αὐτὴ ὡς ἔοικεν αὐτῷ ὁδός ἐστιν· εὐθὺς ἐκ νέου ἐθίζειν αὑτὸν
τοῖς αὐτοῖς χαίρειν καὶ ἄχθεσθαι τῷ δεσπότῃ καὶ παρασκευάζειν ὅ-
πως ὅτι μάλιστα ὅμοιος ἔσται ἐκείνῳ. οὐχ οὕτως: ναί: οὐκοῦν τού-
τῳ τὸ μὲν μὴ ἀδικεῖσθαι καὶ μέγα δύνασθαι ὡς ὁ ὑμέτερος λόγος
ἐν τῇ πόλει διαπεπράξεται: πάνυ γε: ἆρ' οὖν καὶ τὸ μὴ ἀδικεῖν; ἢ
πολλοῦ δεῖ εἴπερ ὅμοιος ἔσται τῷ ἄρχοντι ὄντι ἀδίκῳ καὶ παρὰ τούτῳ
μέγα δυνήσεται· ἀλλ' οἶμαι ἔγωγε πᾶν τοὐναντίον οὑτωσὶ ἡ παρασκευὴ
ἔσται αὐτῷ ἐπὶ τὸ οἵῳ τε εἶναι ὡς πλεῖστα ἀδικεῖν καὶ ἀδικοῦντα μὴ
διδόναι δίκην. ἦ γάρ: φαίνεται: οὐκοῦν τὸ μέγιστον αὐτῷ κακὸν ὑπάρ-
ξει μοχθηρῷ ὄντι τὴν ψυχὴν καὶ λελωβημένῳ διὰ τὴν μίμησιν τοῦ δε-
σπότου καὶ δύναμιν: οὐκ οἶδ' ὅπη στρέφεις ἑκάστοτε τοὺς λόγους
ἄνω καὶ κάτω ὦ σώκρατες. ἢ οὐκ οἶσθα ὅτι οὗτος ὁ μιμούμενος τὸν
μὴ μιμούμενον ἐκεῖνον ἀποκτενεῖ ἐὰν βούληται καὶ ἀφαιρήσεται τὰ
ὄντα: οἶδα ὦ 'γαθὲ καλλίκλεις εἰ μὴ κωφός γ' εἰμὶ καὶ σοῦ ἀκούων καὶ
πώλου ἄρτι πολλάκις καὶ τῶν ἄλλων ὀλίγου πάντων τῶν ἐν τῇ πόλει·
ἀλλὰ καὶ σὺ ἐμοῦ ἄκουε ὅτι ἀποκτενεῖ μὲν ἂν βούληται· ἀλλὰ πονηρὸς
ὢν καλὸν κἀγαθὸν ὄντα: οὐκοῦν τοῦτο δὴ καὶ τὸ ἀγανακτητόν: οὐ νοῦν
γε ἔχοντι ὡς ὁ λόγος σημαίνει. ἢ οἴει δεῖν τοῦτο παρασκευάζεσθαι
ἄνθρωπον ὡς πλεῖστον χρόνον ζῆν καὶ μελετᾶν τὰς τέχνας ταύτας αἳ ἡ-
μᾶς ἀεὶ ἐκ τῶν κινδύνων σώζουσιν ὥσπερ καὶ ἣν σὺ κελεύεις ἐμὲ μελε-
τᾶν τὴν ῥητορικὴν τὴν ἐν τοῖς δικαστηρίοις διασώζουσαν: ναὶ μὰ δία
ὀρθῶς γέ σοι συμβουλεύων: τί δὲ ὦ βέλτιστε; ἦ καὶ ἡ τοῦ νεῖν ἐπιστήμη
σεμνή τίς σοι δοκεῖ εἶναι: μὰ δί' οὐκ ἔμοιγε: καὶ μὴν σώζει γε καὶ αὕτη
ἐκ θανάτου τοὺς ἀνθρώπους ὅταν εἰς τοιοῦτον ἐμπέσωσιν οὗ δεῖ ταύ-
της τῆς ἐπιστήμης. εἰ δ' αὕτη σοι δοκεῖ, σμικρὰ εἶναι. ἐγώ σοι μείζο-
να ταύτης ἐρῶ τὴν κυβερνητικήν. ἣ οὐ μόνον τὰς ψυχὰς σώζει. ἀλ-
λὰ καὶ τὰ σώματα καὶ τὰ χρήματα ἐκ τῶν ἐσχάτων κινδύνων ὥσπερ
ἡ ῥητορική καὶ αὕτη μὲν προσεσταλμένη ἐστὶ καὶ κοσμία καὶ οὐ σεμνύ-
νεται ἐσχηματισμένη ὡς ὑπερήφανόν τι διαπραττομένη. ἀλλὰ ταὐ-
τὰ διαπραξαμένη τῇ δικανικῇ. ἐὰν μὲν ἐξ αἰγίνης δεῦρο σώσῃ·
οἶμαι δύ' ὀβολοὺς ἐπράξατο. ἐὰν δὲ ἐξ αἰγύπτου ἢ ἐκ τοῦ πόντου ἐὰν
πάμπολυ ταύτης τῆς μεγάλης εὐεργεσίας σώσασα. ἃ νῦν δὴ ἔ-

λέγων καὶ αὐτὸν καὶ παῖδας καὶ χρήματα καὶ γυναῖκας ἀποβιβάσας
εἰς τὸν λιμένα δύο δραχμὰς ἐπράξατο· καὶ αὐτὸς ὁ ἔχων τὴν τέχνην
καὶ ταῦτα διαπραξάμενος ἐκβὰς παρὰ τὴν θάλατταν καὶ τὴν ναῦν
περιπατεῖ ἐν μετρίῳ σχήματι. λογίζεσθαι γὰρ οἶμαι ἐπίσταται ὅτι
ἄδηλόν ἐστιν οὕστινάς τε ὠφέληκε τῶν συμπλεόντων οὐκ ἐάσας
καταποντωθῆναι· καὶ οὕστινας ἔβλαψεν εἰδὼς ὅτι οὐδὲν αὐτοὺς
βελτίους ἐξεβίβασεν ἢ οἷοι ἐνέβησαν· οὔτε τὰ σώματα οὔτε τὰς ψυχάς.
λογίζεται οὖν ὅτι οὐκ εἰ μέν τις μεγάλοις καὶ ἀνιάτοις νοσήμασι κατὰ
τὸ σῶμα συνεχόμενος μὴ ἀπεπνίγη· οὗτος μὲν ἄθλιός ἐστιν ὅτι
οὐκ ἀπέθανεν καὶ οὐδὲν ὑπ᾽ αὐτοῦ ὠφέληται· εἰ δέ τις ἄρα ἐν τῷ τοῦ
σώματος τιμιωτέρῳ τῇ ψυχῇ πολλὰ νοσήματα ἔχει καὶ ἀνίατα
τούτῳ δὲ βιωτέον ἐστίν· καὶ τοῦτον ὀνήσει ἐάντε ἐκ θαλάττης ἐάντε
ἐκ δικαστηρίου ἐάντε ἄλλοθεν ὁποθενοῦν σώσῃ· ἀλλ᾽ οἶδεν ὅτι οὐκ ἄ-
μεινόν ἐστι ζῆν τῷ μοχθηρῷ ἀνθρώπῳ· κακῶς γὰρ ἀνάγκη ἐστὶ ζῆν
διὰ ταῦτα οὐ νόμος ἐστὶ σεμνύνεσθαι τὸν κυβερνήτην καίπερ σώζον-
τα ἡμᾶς· οὐδέ γε ὦ θαυμάσιε τὸν μηχανοποιὸν ὃς οὔτε στρατηγοῦ
μὴ ὅτι κυβερνήτου οὔτε ἄλλου οὐδενὸς ἐλάττω ἐνίοτε δύναται σώζειν·
πόλεις γάρ ἐστιν ὅτε ὅλας σώζει. μή σοι δοκεῖ κατὰ τὸν δικανικὸν εἶναι
καίτοι εἰ βούλοιτο λέγειν ὦ Καλλίκλεις, ἅπερ ὑμεῖς σεμνύνων τὸ πρᾶ-
γμα· καταχώσειεν ἂν ὑμᾶς τοῖς λόγοις λέγων καὶ παρακαλῶν ἐπὶ
τὸ δεῖν γίγνεσθαι μηχανοποιοὺς ὡς οὐδὲν τἆλλά ἐστιν· ἱκανὸς γὰρ
αὐτῷ ὁ λόγος· ἀλλὰ σὺ οὐδὲν ἧττον αὐτοῦ καταφρονεῖς καὶ τῆς
τέχνης τῆς ἐκείνου καὶ ὡς ἐν ὀνείδει ἀποκαλέσαις ἂν μηχανοποι-
όν· καὶ τῷ υἱεῖ αὐτοῦ οὔτ᾽ ἂν δοῦναι θυγατέρα ἐθέλοις· οὔτ᾽ ἂν αὐτὸς
λαβεῖν τὴν ἐκείνου· καίτοι ἐξ ὧν τὰ σαυτοῦ ἐπαινεῖς τίνι δικαίῳ λό-
γῳ τοῦ μηχανοποιοῦ καταφρονεῖς καὶ τῶν ἄλλων ὧν νυνδὴ ἔλεγον·
οἶδ᾽ ὅτι φαίης ἂν βελτίων εἶναι καὶ ἐκ βελτιόνων· τὸ δὲ βέλτιον εἰ μὴ
ἐστὶν ὃ ἐγὼ λέγω ἀλλ᾽ αὐτὸ τοῦτό ἐστιν ἀρετή τὸ σώζειν αὑτὸν καὶ τὰ ἑ-
αυτοῦ ὄντα ὁποῖός τις ἔτυχεν· καταγέλαστός σοι ὁ ψόγος γίγνεται
καὶ μηχανοποιοῦ καὶ ἰατροῦ καὶ τῶν ἄλλων τεχνῶν ὅσαι τοῦ σώζειν
ἕνεκα πεποίηνται· ἀλλ᾽ ὦ μακάριε ὅρα μὴ ἄλλο τι τὸ γενναῖον καὶ τὸ
ἀγαθὸν ᾖ τοῦ σώζειν τε καὶ σώζεσθαι· μὴ γὰρ τοῦτο μὲν τὸ ζῆν ὁπό-
σον δὴ χρόνον τόν γε ὡς ἀληθῶς ἄνδρα ἐατέον ἐστὶν καὶ οὐ φιλοψυ-
χητέον· ἀλλ᾽ ἐπιτρέψαντα περὶ τούτων τῷ θεῷ καὶ πιστεύσαντα

ταῖς γυναιξὶν ὅτι τὴν εἱμαρμένην οὐδ' ἂν εἷς ἐκφύγοι· τὸ ἐπὶ τούτῳ
σκεπτέον τίν' ἂν τρόπον τοῦτον ὃν μέλλοι χρόνον βιῶναι ὡς ἄριστα
βιοίη· ἆρα ἐξομοιῶν αὑτὸν τῇ πολιτείᾳ ταύτῃ ἐν ᾗ ἂν οἰκῇ· καὶ 445
νῦν δὲ ἄρα δεῖ σε ὡς ὁμοιότατον γίγνεσθαι τῷ δήμῳ τῷ ἀθηναίων
εἰ μέλλεις τούτῳ προσφιλὴς εἶναι καὶ μέγα δύνασθαι ἐν τῇ πό
λει· τοῦθ' ὅρα εἰ σοὶ λυσιτελεῖ καὶ ἐμοί· ὅπως μὴ ὦ δαιμόνιε πεισό
μεθα ὅπερ φασὶ τὰς τὴν σελήνην καθαιρούσας τὰς θετταλίδας· σὺν
τοῖς φιλτάτοις ἡ αἵρεσις ἡμῖν ἔσται ταύτης τῆς δυνάμεως τῆς ἐν
τῇ πόλει· εἰ δέ σοι οἴει ὁντινοῦν ἀνθρώπων παραδώσειν τέχνην τινὰ
τοιαύτην ἥτις σε ποιήσει μέγα δύνασθαι ἐν τῇ πόλει τῇδε ἀνόμοιον
ὄντα τῇ πολιτείᾳ εἴτ' ἐπὶ τὸ βέλτιον εἴτ' ἐπὶ τὸ χεῖρον ὡς ἐμοὶ δο
κεῖ· οὐκ ὀρθῶς βουλεύει ὦ καλλίκλεις· οὐ γὰρ μιμητὴν δεῖ εἶναι ἀλλ' αὐ
τοφυῶς ὅμοιον τούτοις εἰ μέλλεις τι γνήσιον ἀπεργάζεσθαι εἰς φι
λίαν τῷ ἀθηναίων δήμῳ· καὶ ναὶ μὰ δία τῷ πυριλάμπους γε πρός·
ὅστις οὖν σε τούτοις ὁμοιότατον ἀπεργάσεται· οὗτός σε ποιήσει ὡς ἐ
πιθυμεῖς πολιτικὸς εἶναι· πολιτικὸν καὶ ῥητορικόν· τῷ αὑτῶν γὰρ
ἤθει λεγομένων τῶν λόγων ἕκαστοι χαίρουσι· τῷ δὲ ἀλλοτρίῳ ἄχθον
ται· εἰ μή τι σὺ ἄλλο λέγεις· ὦ φίλη κεφαλή· λέγομέν τι πρὸς ταῦτα ὦ καλ
λίκλεις: οὐκ οἶδ' ὅντινά μοι τρόπον δοκεῖς εὖ λέγειν ὦ σώκρατες· πέ
πονθα δὲ τὸ τῶν πολλῶν πάθος· οὐ πάνυ σοι πείθομαι: ὁ δήμου γὰρ
ἔρως ὦ καλλίκλεις ἐνὼν ἐν τῇ ψυχῇ τῇ σῇ ἀντιστατεῖ μοι· ἀλλ' ἐὰν πολ
λάκις ἴσως καὶ βέλτιον ταὐτὰ ταῦτα διασκοπώμεθα πεισθήσει:
ἀναμνήσθητι δ' οὖν ὅτι δύ' ἔφαμεν εἶναι τὰς παρασκευὰς ἐπὶ τὸ ἕκα
στον θεραπεύειν καὶ σῶμα καὶ ψυχήν· μίαν μὲν πρὸς ἡδονὴν ὁμιλεῖν·
τὴν ἑτέραν δὲ πρὸς τὸ βέλτιστον· μὴ καταχαριζόμενον ἀλλὰ διαμαχό
μενον· οὐ ταῦτα ἦν ἃ τότε ὡριζόμεθα: πάνυ γε: οὐκοῦν ἡ μὲν ἑτέρα
ἡ πρὸς ἡδονὴν ἀγεννὴς καὶ οὐδὲν ἄλλο ἢ κολακεία τυγχάνει οὖσα·
ἦ γάρ: ἔστω εἰ βούλει σοι οὕτως: ἡ δέ γε ἑτέρα ὅπως ὡς βέλτιστον
ἔσται τοῦτο εἴτε σῶμα τυγχάνει ὂν εἴτε ψυχὴ ὃ θεραπεύομεν: πά
νυ γε: ἆρ' οὖν οὕτως ἐπιχειρητέον ἡμῖν ἐστι τῇ πόλει καὶ τοῖς πο
λίταις θεραπεύειν ὡς βελτίστους αὐτοὺς τοὺς πολίτας ποιοῦντας·
ἄνευ γὰρ δὴ τούτου ὡς ἐν τοῖς ἔμπροσθεν εὑρίσκομεν· οὐδὲν ὄφε
λος ἄλλην εὐεργεσίαν οὐδεμίαν προσφέρειν ἐὰν μὴ καλὴ κἀγαθὴ
ἡ διάνοια ᾖ τῶν μελλόντων ἢ χρήματα πολλὰ λαμβάνειν ἢ ἀρχὴν

ἀρχὴν ἢ ἄλλην δύναμιν ἡντινοῦν· φῶμεν οὕτως ἔχειν· πάνυ γε εἰ σοὶ ἥ-
διον· εἰ οὖν παρεκαλοῦμεν ἀλλήλους ὦ καλλίκλεις δημοσίᾳ πράξοντες
τῶν πολιτικῶν πραγμάτων ἐπὶ τὰ οἰκοδομικὰ ἢ τειχῶν ἢ νεωρίων
ἢ ἱερῶν ἐπὶ τὰ μέγιστα οἰκοδομήματα· πότερον ἔδει ἂν ἡμᾶς σκέψα-
σθαι ἡμᾶς αὐτοὺς καὶ ἐξετάσαι πρῶτον μὲν εἰ ἐπιστάμεθα τὴν οἰκο-
δομικὴν καὶ παρὰ τοῦ ἐμάθομεν· ἔδει ἂν ἢ οὔ· πάνυ γε· οὐκοῦν δεύ-
τερον αὖ τόδε εἴ τι πώποτε οἰκοδόμημα ᾠκοδομήκαμεν ἰδίᾳ ἢ τῶν
φίλων τινὶ ἢ ἡμέτερον αὐτῶν καὶ τοῦτο τὸ οἰκοδόμημα καλὸν ἢ αἰσχρόν
ἐστιν· καὶ εἰ μὲν εὑρίσκομεν σκοπούμενοι διδασκάλους ἡμῶν ἀγα-
θοὺς καὶ ἐλλογίμους γεγονότας καὶ οἰκοδομήματα πολλὰ μὲν καὶ
καλὰ μετὰ τῶν διδασκάλων ᾠκοδομημένα ἡμῖν· πολλὰ δὲ καὶ ἴδια
ἡμῶν ἐπειδὴ τῶν διδασκάλων ἀπηλλάγημεν· οὕτω μὲν διακειμένων
νοῦν ἐχόντων ἦν ἂν ἰέναι ἐπὶ τὰ δημόσια ἔργα· εἰ δὲ μήτε διδάσκα-
λον εἴχομεν ἡμῶν αὐτῶν ἐπιδεῖξαι οἰκοδομήματά τε ἢ μηδὲν ἢ πολ-
λὰ καὶ μηδενὸς ἄξια· οὕτω δὴ ἀνόητον ἦν δήπου ἐπιχειρεῖν τοῖς δη-
μοσίοις ἔργοις καὶ παρακαλεῖν ἀλλήλους ἐπ' αὐτά· φῶμεν ταῦτα ὀρ-
θῶς λέγεσθαι ἢ οὔ· πάνυ γε· οὐκοῦν οὕτω πάντα τά τε ἄλλα κἂν εἰ
ἐπιχειρήσαντες δημοσιεύειν παρεκαλοῦμεν ἀλλήλους ὡς ἱκανοὶ ἰα-
τροὶ ὄντες· ἐπεσκεψάμεθα δήπου ἂν ἐγώ τε σὲ καὶ σὺ ἐμέ· φέρε πρὸς
θεῶν αὐτὸς δὲ ὁ σωκράτης πῶς ἔχει τὸ σῶμα πρὸς ὑγίειαν· ἢ ἤδη τις
ἄλλος διὰ σωκράτην ἀπηλλάγη νόσου ἢ δοῦλος ἢ ἐλεύθερος·
κἂν ἐγὼ οἶμαι περὶ σοῦ ἕτερα τοιαῦτα ἐσκόπουν· καὶ εἰ μὴ ηὑρίσκο-
μεν δι' ἡμᾶς μηδένα βελτίω γεγονότα τὸ σῶμα μήτε τῶν ξένων μήτε
τῶν ἀστῶν μήτε ἄνδρα μήτε γυναῖκα· πρὸς διὸς ὦ καλλίκλεις οὐ κατα-
γέλαστον ἂν ἦν τῇ ἀληθείᾳ εἰς τοσοῦτον ἀνοίας ἐλθεῖν ἀνθρώπους
ὥστε πρὶν ἰδιωτεύοντας πολλὰ μὲν ὅπως ἐτύχομεν ποιῆσαι πολλὰ
δὲ κατορθῶσαι καὶ γυμνάσασθαι ἱκανῶς τὴν τέχνην, τὸ λεγόμενον
446 δὴ τοῦτο ἐν τῷ πίθῳ τὴν κεραμείαν ἐπιχειρεῖν μανθάνειν καὶ αὐτούς
τε δημοσιεύειν ἐπιχειρεῖν καὶ ἄλλους τοιούτους παρακαλεῖν· οὐκ ἀ-
νόητόν σοι δοκεῖ ἂν εἶναι οὕτω πράττειν; ἔμοιγε· νῦν δὲ ὦ βέλτιστε
ἀνδρῶν ἐπειδὴ σὺ μὲν αὐτὸς ἄρτι ἄρχει πράττειν τὰ τῆς πόλεως πρά-
γματα· ἐμὲ δὲ παρακαλεῖς καὶ ὀνειδίζεις ὅτι οὐ πράττω· οὐκ ἐπισκε-
ψόμεθα ἀλλήλους· φέρε καλλικλῆς ἤδη τινὰ βελτίω πεποίηκεν τῶν
πολιτῶν· ἔστιν ὅστις πρότερον πονηρὸς ὢν ἄδικός τε καὶ ἀκόλαστος

(margin:) τὴν τέχνην ἢ οὐκ ἐπιστάμεθα

καὶ ἄφρονα δι' ἐμὲ καλόν τε κἀγαθὸν γεγονέναι ἢ ξένος ἢ
δοῦλος ἢ ἐλεύθερος· λέγε μοι ἐάν τίς σε ταῦτα ἐξετάζῃ ὦ καλλί
κλεις τί ἐρεῖς· τίνα φήσεις βελτίω πεποιηκέναι ἄνθρωπον τῇ
συνουσίᾳ τῇ σῇ· ὀκνεῖς ἀποκρίνασθαι εἴπερ ἔστι τι ἔργον σόν.
ἔτι ἰδιωτεύοντος πρὶν δημοσιεύειν ἐπιχειρεῖν: φιλόνικος εἶ
ὦ σώκρατες: ἀλλ' οὐ φιλονικίᾳ γε ἐρωτῶ· ἀλλ' ὡς ἀληθῶς
βουλόμενος εἰδέναι ὅντινά ποτε τρόπον οἴει δεῖν πολιτεύεσθαι
ἐν ἡμῖν· ἢ ἄλλου του ἄρα ἐπιμελήσῃ ἡμῖν ἐλθὼν ἐπὶ τὰ τῆς πόλεως
πράγματα· ἢ ὅπως ὅτι βέλτιστοι οἱ πολῖται ὦμεν· ἢ οὐ πολλάκις
ἤδη ὡμολογήκαμεν τοῦτο δεῖν πράττειν τὸν πολιτικὸν ἄνδρα· ὡ
μολογήκαμεν ἢ οὔ· ἀποκρίνου: ὡμολογήκαμεν· ἐγὼ ὑπὲρ σοῦ
ἀποκρινοῦμαι: εἰ τοίνυν τοῦτο δεῖ τὸν ἀγαθὸν ἄνδρα παρασκευ
άζειν τῇ ἑαυτοῦ πόλει· νῦν μοι ἀναμνησθεὶς εἰπὲ περὶ ἐκείνων
τῶν ἀνδρῶν ὧν ὀλίγῳ πρότερον ἔλεγες· εἰ ἔτι σοι δοκοῦσιν ἀγαθοὶ
πολῖται γεγονέναι περικλῆς καὶ κίμων καὶ μιλτιάδης καὶ θεμιστο
κλῆς: ἔμοιγε: οὐκοῦν εἴπερ ἀγαθοί δῆλον ὅτι ἕκαστος αὐτῶν
βελτίους ἐποίει τοὺς πολίτας ἀντὶ χειρόνων· ἐποίει ἢ οὔ: ναί:
οὐκοῦν ὅτε περικλῆς ἤρχετο λέγειν ἐν τῷ δήμῳ χείρους ἦσαν οἱ
ἀθηναῖοι ἢ ὅτε τὰ τελευταῖα ἔλεγεν: ἴσως: οὐκ ἴσως δή ὦ βέλ
τιστε· ἀλλ' ἀνάγκη ἐκ τῶν ὡμολογημένων εἴπερ ἀγαθός γ' ἦν ἐκεῖ
νος πολίτης: τί οὖν δή: οὐδέν· ἀλλὰ τόδε μοι εἰπὲ ἐπὶ τούτῳ εἰ
λέγονται ἀθηναῖοι διὰ περικλέα βελτίους γεγονέναι ἢ πᾶν τοὐναν
τίον διαφθαρῆναι ὑπ' ἐκείνου· ταυτὶ γὰρ ἔγωγε ἀκούω περικλέα
πεποιηκέναι ἀθηναίους ἀργοὺς καὶ δειλοὺς καὶ λάλους καὶ φι
λαργύρους εἰς μισθοφορίαν πρῶτον καταστήσαντα: τῶν τὰ ὦτα
κατεαγότων ἀκούεις ταῦτα ὦ σώκρατες: ἀλλὰ τάδε οὐκέτι ἀκού
ω· ἀλλ' οἶδα σαφῶς καὶ ἐγὼ καὶ σύ ὅτι τὸ μὲν πρῶτον ηὐδοκίμει περι
κλῆς καὶ οὐδεμίαν αἰσχρὰν δίκην κατεψηφίσαντο αὐτοῦ ἀθηναῖοι·
ἡνίκα χείρους ἦσαν· ἐπειδὴ δὲ καλοὶ κἀγαθοὶ ἐγεγόνεσαν ὑπ' αὐ
τοῦ ἐπὶ τελευτῇ τοῦ βίου τοῦ περικλέους κλοπὴν αὐτοῦ κατεψηφί
σαντο· ὀλίγου δὲ καὶ θανάτου ἐτίμησαν δῆλον ὅτι ὡς πονηροῦ ὄντος:
τί οὖν τούτου ἕνεκα κακὸς ἦν περικλῆς: ὄνων γοῦν ἂν ἐπιμε
λητὴς καὶ ἵππων καὶ βοῶν τοιοῦτος ὢν κακὸς ἂν ἐδόκει εἶναι· εἰ
παραλαβὼν μὴ λακτίζοντας ἑαυτὸν μηδὲ κυρίττοντας μηδὲ δάκνοντας

ἀπόδειξις τῆς κακοπολιτείας τῶν τεσσάρων ῥητόρων

τας ἀπέδειξε ταῦτα ἅπαντα ποιοῦντας δι' ἀγριότητα· ἢ οὐ δοκεῖ
σοι κακὸς ἆρα ἐπιμελητὴς ὁστισοῦν ὁτουοῦν ζώου· ὃς ἂν παρα-
λαβὼν ἡμερώτερα ἀποδείξῃ ἀγριώτερα ἢ παρέλαβε· δοκεῖ ἢ
οὔ: πάνυ γε ἵνα σοι χαρίσωμαι: καὶ τόδε τοίνυν μοι χάρισαι ἀπο-
κρινάμενος· πότερον καὶ ὁ ἄνθρωπος ἓν τῶν ζώων ἐστὶν ἢ οὔ:
πῶς γὰρ οὔ: οὐκοῦν ἀνθρώπων περικλῆς ἐπεμέλετο: ναί:
τί οὖν οὐκ ἔδει αὐτοὺς ὡς ἄρτι ὡμολογοῦμεν δικαιοτέρους γεγο-
νέναι ἀντὶ ἀδικωτέρων ὑπ' ἐκείνου εἴπερ ἐκεῖνος ἐπεμελεῖτο
αὐτῶν ἀγαθὸς ὢν τὰ πολιτικά: πάνυ γε: οὐκοῦν οἵ γε δίκαι-
οι ἥμεροι ὡς ἔφη ὅμηρος· σὺ δὲ τί φῄς· οὐχ οὕτως; ναί:
ἀλλὰ μὴν ἀγριωτέρους γε αὐτοὺς ἀπέφηνεν ἢ οἵους παρέλαβεν
καὶ ταῦτ' εἰς αὐτὸν ὃν ἥκιστ' ἂν ἐβούλετο: βούλει σοι ὁμολογήσω:
εἰ δοκῶ γέ σοι ἀληθῆ λέγειν: ἔστω δὴ ταῦτα: οὐκοῦν εἴπερ ἀ-
γριωτέρους ἀδικωτέρους τε καὶ χείρους: ἔστω: οὐκ ἄρ' ἀγα-
θὸς τὰ πολιτικὰ περικλῆς ἦν ἐκ τούτου τοῦ λόγου: οὐ σύ γε φῄς:
μὰ δί' οὐδέ γε σὺ ἐξ ὧν ὡμολόγεις· πάλιν δὲ λέγε μοι περὶ κίμω-
νος· οὐκ ἐξωστράκισαν αὐτὸν οὗτοι οὓς ἐθεράπευεν ἵνα αὐ-
447 τοῦ δέκα ἐτῶν μὴ ἀκούσειαν τῆς φωνῆς· καὶ θεμιστοκλέα ταὐτὰ
ταῦτα ἐποίησαν καὶ φυγῇ προσεζημίωσαν· μιλτιάδην δὲ τὸν
ἐν μαραθῶνι εἰς τὸ βάραθρον ἐμβαλεῖν ἐψηφίσαντο καὶ εἰ μὴ διὰ
τὸν πρύτανιν ἐνέπεσεν ἄν· καίτοι οὗτοι εἰ ἦσαν ἄνδρες ἀγαθοὶ
ὡς σὺ φῄς· οὐκ ἄν ποτε ταῦτα ἔπασχον: οὔκουν οἵ γε ἀγαθοὶ
ἡνίοχοι κατ' ἀρχὰς μὲν οὐκ ἐκπίπτουσιν ἐκ τῶν ζευγῶν· ἐπειδὰν
δὲ θεραπεύσωσι τοὺς ἵππους καὶ αὐτοὶ ἀμείνους γένωνται
ἡνίοχοι· τότ' ἐκπίπτουσιν· οὐκ ἔστι ταῦτ' οὔτ' ἐν ἡνιοχείᾳ οὔτ' ἐν
ἄλλῳ ἔργῳ οὐδενί· ἢ δοκεῖ σοι: οὐκ ἔμοιγε: ἀληθεῖς ἄρα ὡς
ἔοικεν οἱ ἔμπροσθεν λόγοι ἦσαν· ὅτι οὐδένα ἡμεῖς ἴσμεν ἄνδρα
ἀγαθὸν γεγονότα τὰ πολιτικὰ ἐν τῇδε τῇ πόλει· σὺ δὲ ὡμο-
λόγεις τῶν γε νῦν οὐδένα· τῶν μέντοι ἔμπροσθεν καὶ προείλου
τούτους τοὺς ἄνδρας· οὗτοι δὲ ἀνεφάνησαν ἐξ ἴσου τοῖς νῦν
ὄντες· ὥστε εἰ οὗτοι ῥήτορες ἦσαν· οὔτε τῇ ἀληθινῇ ῥητορικῇ
ἐχρῶντο· οὐ γὰρ ἂν ἐξέπεσον· οὔτε τῇ κολακικῇ: ἀλλὰ μέντοι πολ-
λοῦ γε δεῖ ὦ σώκρατες μή ποτέ τις τῶν νῦν ἔργα τοιαῦτα ἐργά-
σηται οἷα τούτων ὃς βούλει εἴργασται: ὦ δαιμόνιε οὐδ' ἐγώ τε

γω τούτους ὥς γε διακόνους εἶναι πόλεως· ἀλλά μοι δοκοῦσι τῶν
γε νῦν διακονικώτεροι γεγονέναι· καὶ μᾶλλον οἷοί τε ἐκπορίζειν τῇ
πόλει ὧν ἐπεθύμει· ἀλλὰ γὰρ μεταβιβάζειν τὰς ἐπιθυμίας καὶ μὴ ἐπι
τρέπειν πείθοντες καὶ βιαζόμενοι ἐπὶ τοῦτο ὅθεν ἔμελλον ἀμείνους
ἔσεσθαι οἱ πολῖται ὡς ἔπος εἰπεῖν οὐδὲν τούτων διέφερον ἐκεῖνοι
ὅπερ μόνον ἔργον ἐστὶν ἀγαθοῦ πολίτου· ναῦς δὲ καὶ τείχη καὶ νε
ώρια καὶ ἄλλα πολλὰ τοιαῦτα καὶ ἐγώ σοι ὁμολογῶ δεινοτέρους
εἶναι ἐκείνους τούτων ἐκπορίζειν· πρᾶγμα οὖν γελοῖον ποιοῦ
μεν ἐγώ τε καὶ σὺ ἐν τοῖς λόγοις· ἐν παντὶ γὰρ τῷ χρόνῳ ὃν δια
λεγόμεθα οὐδὲν παυόμεθα εἰς τὸ αὐτὸ ἀεὶ περιφερόμενοι καὶ
ἀγνοοῦντες ἀλλήλων ὅτι λέγομεν· ἐγὼ οὖν σε πολλάκις οἶμαι ὡμο
λογηκέναι καὶ ἐγνωκέναι ὡς ἄρα διττή αὕτη τις ἡ πραγματεία
ἐστὶν καὶ περὶ τὸ σῶμα καὶ περὶ τὴν ψυχήν· καὶ ἡ μὲν ἑτέρα διακονι
κή ἐστιν ᾗ δυνατὸν εἶναι ἐκπορίζειν ἐὰν μὲν πεινῇ τὰ σώματα
ἡμῶν σιτία· ἐὰν δὲ διψῇ ποτά· ἐὰν δὲ ῥιγῷ ἱμάτια στρώματα
ὑποδήματα ἄλλ' ὧν ἔρχεται σώματα εἰς ἐπιθυμίαν· καὶ ἐξε
πίτηδές σοι διὰ τῶν αὐτῶν εἰκόνων λέγω· ἵνα ῥᾷον καταμά
θῃς· τούτων γὰρ ποριστικὸν εἶναι ἢ κάπηλον ὄντα ἢ ἔμπορον
ἢ δημιουργόν του αὐτῶν τούτων σιτοποιὸν ἢ ὀψοποιὸν ἢ ὑφάν
την ἢ σκυτοτόμον ἢ σκυλοδεψόν· οὐδὲν θαυμαστόν ἐστιν ὄντα τοιοῦ
τον δόξαι καὶ αὑτῷ καὶ τοῖς ἄλλοις θεραπευτὴν εἶναι σώματος
παντὶ τῷ μὴ εἰδότι ὅτι ἔστιν τις παρὰ ταύτας ἁπάσας τέχνη γυ
μναστική τε καὶ ἰατρική· ἣ δὴ τῷ ὄντι ἐστὶν σώματος θεραπεία
ἥνπερ καὶ προσήκει τούτων ἄρχειν πασῶν τῶν τεχνῶν καὶ χρῆ
σθαι τοῖς τούτων ἔργοις διὰ τὸ εἰδέναι ὅτι τὸ χρηστὸν καὶ πονηρὸν
τῶν σιτίων ἢ ποτῶν ἐστιν εἰς ἀρετὴν σώματος· τὰς δ' ἄλλας πά
σας ταύτας ἀγνοεῖν· διὸ δὴ καὶ ταύτας μὲν δουλοπρεπεῖς τε
καὶ διακονικὰς καὶ ἀνελευθέρους εἶναι περὶ σώματος πραγμα
τείαν τὰς ἄλλας τέχνας· τὴν δὲ γυμναστικὴν καὶ ἰατρικὴν κατὰ
τὸ δίκαιον δεσποίνας εἶναι τούτων· ταὐτὰ οὖν ταῦτα ὅτι ἔστιν
καὶ περὶ ψυχὴν τοτὲ μέν μοι δοκεῖς μανθάνειν ὅτι λέγω καὶ ὁμο
λογεῖς ὡς εἰδὼς ὅτι ἐγὼ λέγω· ἥκεις δὲ ὀλίγον ὕστερον λέ
γων ὅτι ἄνθρωποι καλοὶ κἀγαθοὶ γεγόνασιν πολῖται ἐν τῇ πό
λει καὶ ἐπειδὰν ἐγὼ ἐρωτῶ οἵτινες· δοκεῖς μοι ὁμοίους

προστάττεσθαι ἀνθρώπους περὶ τὰ πολιτικά, ὥσπερ ἂν εἰ περὶ τὰ
γυμναστικὰ ἐμοῦ ἐρωτῶντος οἵτινες ἀγαθοὶ γεγόνασιν ἢ εἰσὶ σω-
μάτων θεραπευταί· ἔλεγές μοι πάνυ σπουδάζων· Θεαρίων ὁ ἀρτοκό-
πος καὶ Μίθαικος ὁ τὴν ὀψοποιίαν συγγεγραφὼς τὴν σικελικὴν·
καὶ Σάραμβος ὁ κάπηλος, ὅτι οὗτοι θαυμάσιοι γεγόνασι σωμά-
των θεραπευταί· ὁ μὲν ἄρτους θαυμαστοὺς παρασκευάζων· ὁ δὲ
ὄψον· ὁ δὲ οἶνον· ἴσως ἂν οὖν ἠγανάκτεις εἴ σοι ἔλεγον ἐγὼ ὅτι
ἄνθρωπε ἐπαΐεις οὐδὲν περὶ γυμναστικῆς· διακόνους μοι λέγεις
καὶ ἐπιθυμιῶν παρασκευαστὰς ἀνθρώπους οὐκ ἐπαΐοντας καλὸν
κἀγαθὸν οὐδὲν περὶ αὐτῶν, οἳ ἂν οὕτω τύχωσιν, ἐμπλήσαντες καὶ πα-
χύναντες τὰ σώματα τῶν ἀνθρώπων ἐπαινούμενοι ὑπ' αὐτῶν προ-
σαπολοῦσιν αὐτῶν καὶ τὰς ἀρχαίας σάρκας· οἱ δ' αὖ δι' ἀπειρίαν
οὐ τοὺς ἑστιῶντας αἰτιάσονται τῶν νόσων αἰτίους εἶναι καὶ τῆς
ἀποβολῆς τῶν ἀρχαίων σαρκῶν· ἀλλ' οἳ ἂν αὐτοῖς τύχωσι τότε πα-
ρόντες καὶ συμβουλεύοντες· ὅταν δὲ αὐτοῖς ἥκῃ ἡ τότε πλησμο-
νὴ νόσον φέρουσα συχνῷ ὕστερον χρόνῳ, ἅτε ἄνευ τοῦ ὑγιεινοῦ
γεγονυῖα· τούτους αἰτιάσονται καὶ ψέξουσιν καὶ κακόν τι ποιήσου-
σιν ἂν οἷοί τ' ὦσι· τοὺς δὲ προτέρους ἐκείνους καὶ αἰτίους τῶν
κακῶν ἐγκωμιάσουσιν· καὶ σὺ νῦν ὦ Καλλίκλεις ὁμοιότατον τούτῳ
ἐργάζῃ· ἐγκωμιάζεις ἀνθρώπους οἳ τούτους εἱστιάκασιν εὐ-
ωχοῦντες ὧν ἐπεθύμουν· καί φασι μεγάλην τὴν πόλιν πεποιη-
κέναι αὐτούς· ὅτι δὲ οἰδεῖ καὶ ὕπουλός ἐστιν δι' ἐκείνους τοὺς
παλαιοὺς οὐκ αἰσθάνονται· ἄνευ γὰρ σωφροσύνης καὶ δικαιοσύ-
νης· λιμένων καὶ νεωρίων καὶ τειχῶν καὶ φόρων καὶ τοιούτων φλυ-
αριῶν ἐμπεπλήκασι τὴν πόλιν· ὅταν οὖν ἔλθῃ ἡ καταβολὴ αὕτη
τῆς ἀσθενείας· τοὺς τότε παρόντας αἰτιάσονται συμβούλους·
Θεμιστοκλέα δὲ καὶ Κίμωνα καὶ Περικλέα ἐγκωμιάσουσιν τοὺς αἰ-
τίους τῶν κακῶν· σοῦ δὲ ἴσως ἐπιλήψονται ἐὰν μὴ εὐλαβῇ καὶ
τοῦ ἐμοῦ ἑταίρου Ἀλκιβιάδου, ὅταν καὶ τὰ ἀρχαῖα προσαπολλύω-
σι πρὸς οἷς ἐκτήσαντο, οὐκ αἰτίων ὄντων τῶν κακῶν· ἀλλ' ἴσως συ-
ναιτίων· καίτοι ἔγωγε ἀνόητον πρᾶγμα καὶ νῦν ὁρῶ γιγνόμε-
νον καὶ ἀκούω τῶν παλαιῶν ἀνδρῶν πέρι· αἰσθάνομαι γὰρ ὅταν ἡ
πόλις τινὰ τῶν πολιτικῶν ἀνδρῶν μεταχειρίζηται ὡς ἀδικοῦντα
ἀγανακτούντων καὶ σχετλιαζόντων ὡς δεινὰ πάσχουσι· πολλὰ

ὁ ἀρτοκόπος·
ὁ ὀψοποιός·
ὁ κάπηλος·

ἀφορμὰ αἴτιον
ἢ συναίτιον·

καὶ ἀγαθὰ τὴν πόλιν πεποιηκότες. ἆρα ἀδίκως ὑπ᾽ αὐτῆς ἀ-
πόλλυνται, ὡς ὁ τούτων λόγος; τὸ δὲ ὅλον ψεῦδός ἐστιν. προστάτης
γὰρ πόλεως οὐδ᾽ ἂν εἷς ποτε ἀδίκως ἀπόλοιτο ὑπ᾽ αὐτῆς τῆς
πόλεως ἧς προστατεῖ. κινδυνεύει γὰρ ταὐτὸν εἶναι ὅσοι τε πολι-
τικοὶ προσποιοῦνται εἶναι καὶ ὅσοι σοφισταί. καὶ γὰρ οἱ σοφισταὶ
τἆλλα σοφοὶ ὄντες τοῦτο ἄτοπον ἐργάζονται πρᾶγμα. φάσκον-
τες γὰρ ἀρετῆς διδάσκαλοι εἶναι πολλάκις κατηγοροῦσιν τῶν μα-
θητῶν ὡς ἀδικοῦσι σφᾶς αὐτούς, τούς τε μισθοὺς ἀποστεροῦν-
τες καὶ ἄλλην χάριν οὐκ ἀποδιδόντες εὖ παθόντες ὑπ᾽ αὐτῶν. καὶ
τούτου τοῦ λόγου τί ἂν ἀλογώτερον εἴη πρᾶγμα, ἀνθρώπους
ἀγαθοὺς καὶ δικαίους γενομένους, ἐξαιρεθέντας μὲν ἀδικί-
αν ὑπὸ τοῦ διδασκάλου, σχόντας δὲ δικαιοσύνην, ἀδικεῖν τούτῳ
ᾧ οὐκ ἔχουσιν. οὐ δοκεῖ σοι τοῦτο ἄτοπον εἶναι, ὦ ἑταῖρε; ὡς ἀλη-
θῶς δημηγορεῖν με ἠνάγκασας, ὦ Καλλίκλεις, οὐκ ἐθέλων ἀπο-
κρίνεσθαι. σὺ δ᾽ οὐκ ἂν οἷός τ᾽ εἴης λέγειν, εἰ μή τίς σοι ἀποκρίνοιτο:
ἔοικά γε. νῦν γοῦν συχνοὺς τείνω τῶν λόγων, ἐπειδή μοι οὐκ ἐ-
θέλεις ἀποκρίνεσθαι. ἀλλ᾽ ὠγαθέ, εἰπὲ πρὸς φιλίου, οὐ δοκεῖ
σοι ἄλογον εἶναι ἀγαθὸν φάσκοντα πεποιηκέναι τινὰ μέμφε-
σθαι τούτῳ ὅτι ὑφ᾽ ἑαυτοῦ ἀγαθὸς γεγονώς τε καὶ ὢν ἔπειτα πο-
νηρός ἐστιν: ἔμοιγε δοκεῖ: οὐκοῦν ἀκούεις τοιαῦτα λεγόντων
τῶν φασκόντων παιδεύειν ἀνθρώπους εἰς ἀρετήν: ἔγωγε: ἀλλὰ
τί ἂν λέγοις ἀνθρώπων πέρι οὐδενὸς ἀξίων: τί δ᾽ ἂν περὶ ἐκεί-
νων λέγοις οἳ φάσκοντες προεστάναι τῆς πόλεως καὶ ἐπιμελεῖ-
σθαι ὅπως ὡς βελτίστη ἔσται, πάλιν αὐτῆς κατηγοροῦσιν ὅταν
τύχωσιν ὡς πονηροτάτης. οἴει τι διαφέρειν τούτους ἐκείνων;
ταὐτόν, ὦ μακάρι᾽, ἐστὶν σοφιστὴς καὶ ῥήτωρ, ἢ ἐγγύς τι καὶ παραπλή-
σιον, ὥσπερ ἐγὼ ἔλεγον πρὸς Πῶλον. σὺ δὲ δι᾽ ἄγνοιαν τὸ μὲν πάγκα-
λόν τι οἴει εἶναι, τὴν ῥητορικήν, τοῦ δὲ καταφρονεῖς. τῇ δὲ ἀληθείᾳ
κάλλιόν ἐστιν σοφιστικὴ ῥητορικῆς ὅσῳπερ νομοθετικὴ δικαστικῆς
καὶ γυμναστικὴ ἰατρικῆς. μόνοις δ᾽ ἔγωγε καὶ ᾤμην τοῖς δημη-
γόροις τε καὶ σοφισταῖς οὐκ ἐγχωρεῖν μέμφεσθαι τούτῳ τῷ πράγμα-
τι ὃ αὐτοὶ παιδεύουσιν, ὡς πονηρόν ἐστιν εἰς σφᾶς, ἢ τῷ αὐτῷ λό-
γῳ τούτῳ ἅμα καὶ ἑαυτῶν κατηγορεῖν ὅτι οὐδὲν ὠφελήκασιν οὓς
φασὶν ὠφελεῖν. οὐχ οὕτως ἔχει: πάνυ γε: καὶ προέσθαι γε δή

σθαι τὴν εὐεργεσίαν ἄνευ μισθοῦ ὡς τὸ εἰκὸς μόνοις τούτοις ἐνεχώ-
ρει εἴπερ ἀληθῆ ἔλεγον· ἄλλην μὲν γὰρ εὐεργεσίαν τις εὐεργετη-
θεὶς οἷον ταχὺς γενόμενος διὰ παιδοτρίβην ἴσως ἂν ἀποστε-
ρήσειε τὴν χάριν εἰ προοῖτο αὐτῷ ὁ παιδοτρίβης καὶ μὴ συν-
θέμενος αὐτῷ μισθὸν ὅτι μάλιστα ἅμα μεταδιδοὺς τοῦ τάχους
λαμβάνοι τὸ ἀργύριον· οὐ γὰρ τῇ βραδυτῆτι οἶμαι ἀδικοῦσιν οἱ
ἄνθρωποι ἀλλ' ἀδικίᾳ· ἢ γάρ: ναί: οὐκοῦν εἴ τις αὐτὸ τοῦτο
449 ἀφαιρεῖ τὴν ἀδικίαν οὐδὲν δεινὸν αὐτῷ μήποτε ἀδικηθῇ·
ἀλλὰ μόνῳ ἀσφαλὲς ταύτην τὴν εὐεργεσίαν προέσθαι εἴπερ τῷ
ὄντι δύναιτό τις ἀγαθοὺς ποιεῖν· οὐχ οὕτω; φημί: διὰ ταῦτ' ἄρα
ὡς ἔοικε τὰς μὲν ἄλλας συμβουλὰς συμβουλεύειν λαμβάνοντα
ἀργύριον οἷον οἰκοδομίας πέρι ἢ τῶν ἄλλων τεχνῶν οὐδὲν αἰσχρόν:
ἔοικέ γε: περὶ δέ γε ταύτης τῆς πράξεως ὅντιν' ἄν τις τρόπον
ὡς βέλτιστος εἴη καὶ ἄριστα τὴν αὑτοῦ οἰκίαν διοικοῖ ἢ πόλιν αἰ-
σχρὸν νενόμισται μὴ φάναι συμβουλεύειν ἐὰν μή τις αὐτῷ ἀργύ-
ριον διδῷ· ἢ γάρ: ναί: δῆλον γὰρ ὅτι τοῦτο αἴτιόν ἐστιν ὅτι μόνη
αὕτη τῶν εὐεργεσιῶν τὸν εὖ παθόντα ἐπιθυμεῖν ποιεῖ ἀντ' εὖ ποι-
εῖν ὥστε καλὸν δοκεῖ τὸ σημεῖον εἶναι εἰ εὖ ποιήσας ταύτην τὴν
εὐεργεσίαν ἀντ' εὖ πείσεται· εἰ δὲ μή, οὔ· ἔστι ταῦτα οὕτως ἔχον-
τα; ἔστιν: ἐπὶ ποτέραν οὖν με παρακαλεῖς τὴν θεραπείαν τῆς
πόλεως διόρισόν μοι· τὴν τοῦ διαμάχεσθαι Ἀθηναίοις ὅπως
ὡς βέλτιστοι ἔσονται ὡς ἰατρὸν ἢ ὡς διακονήσοντα καὶ πρὸς
χάριν ὁμιλήσοντα· τἀληθῆ μοι εἰπὲ ὦ Καλλίκλεις· δίκαιος γὰρ εἶ
ὥσπερ ἤρξω παρρησιάζεσθαι πρὸς ἐμὲ διατελεῖν ἃ νοεῖς λέ-
γων· καὶ νῦν εὖ καὶ γενναίως εἰπέ: λέγω τοίνυν ὅτι ὡς δια-
κονήσοντα: κολακεύσοντα ἄρα με ὦ γενναιότατε παρακαλεῖς:
εἴ σοι Μυσόν γε ἥδιον καλεῖν ὦ Σώκρατες· ὡς εἰ μὴ ταῦτά γε ποιή-
σεις: μὴ εἴπῃς ὃ πολλάκις εἴρηκας ὅτι ἀποκτενεῖ με ὁ βου-
λόμενος· ἵνα μὴ αὖ καὶ ἐγὼ εἴπω ὅτι πονηρός γε ὢν ἀγαθὸν ὄν-
τα· μηδ' ὅτι ἀφαιρήσεται ἐάν τι ἔχω· ἵνα μὴ αὖ ἐγὼ εἴπω ὅτι ἀλλ' ἀφε-
λόμενος οὐχ ἕξει ὅτι χρήσεται αὐτοῖς· ἀλλ' ὥσπερ με ἀδίκως ἀ-
φείλετο οὕτως καὶ λαβὼν ἀδίκως χρήσεται· εἰ δὲ ἀδίκως αἰσχρῶς·
εἰ δὲ αἰσχρῶς κακῶς: ὥς μοι δοκεῖς ὦ Σώκρατες πιστεύειν μηδ' ἂν
ἓν τούτων παθεῖν ὡς οἰκῶν ἐκποδὼν καὶ οὐκ ἂν εἰσαχθεὶς εἰς

δικαστήριον ὑπὸ πάνυ ἴσως μοχθηροῦ ἀνθρώπου καὶ φαύλου: ἀνό-
ητος ἄρα εἰμὶ ὦ καλλίκλεις ὡς ἀληθῶς εἰ μὴ οἴομαι ἐν τῇδε τῇ πόλει
ὁντινοῦν ἂν ὅτι τύχοι τοῦτο παθεῖν. τόδε μέντοι εὖ οἶδ' ὅτι ἐάνπερ
εἰσίω εἰς δικαστήριον περὶ τούτων τινὸς κινδυνεύων ὃ σὺ λέγεις
πονηρός τίς μ' ἔσται ὁ εἰσάγων· οὐδεὶς γὰρ ἂν χρηστὸς μὴ ἀδικοῦντ' ἄν-
θρωπον εἰσαγάγοι· καὶ οὐδέν γε ἄτοπον εἰ ἀποθάνοιμι. βούλει σοι
εἴπω δι' ὅτι ταῦτα προσδοκῶ: πάνυ γε: οἶμαι μετ' ὀλίγων ἀθηναί-
ων ἵνα μὴ εἴπω μόνος ἐπιχειρεῖν τῇ ὡς ἀληθῶς πολιτικῇ τέ-
χνῃ καὶ πράττειν τὰ πολιτικὰ μόνος τῶν νῦν· ἅτε οὖν οὐ πρὸς
χάριν λέγων τοὺς λόγους οὓς λέγω ἑκάστοτε ἀλλὰ πρὸς τὸ βέλ-
τιστον οὐ πρὸς τὸ ἥδιστον καὶ οὐκ ἐθέλων ποιεῖν ἃ σὺ παραινεῖς τὰ
κομψὰ ταῦτα· οὐχ ἕξω ὅτι λέγω ἐν τῷ δικαστηρίῳ. ὁ αὐτὸς δέ
μοι ἥκει λόγος ὅνπερ πρὸς πῶλον ἔλεγον· κρινοῦμαι γὰρ ὡς ἐν
παιδίοις ἰατρὸς ἂν κρίνοιτο κατηγοροῦντος ὀψοποιοῦ. σκό-
πει γάρ τί ἂν ἀπολογοῖτο ὁ τοιοῦτος ἄνθρωπος ἐν τούτοις λη-
φθείς εἰ αὐτοῦ κατηγοροῖ τις λέγων ὅτι ὦ παῖδες πολλὰ ὑμᾶς καὶ
κακὰ ὅδε εἴργασται ἀνὴρ καὶ αὐτοὺς καὶ τοὺς νεωτάτους ὑμῶν
διαφθείρει τέμνων τε καὶ κάων καὶ ἰσχναίνων καὶ πνίγων ἀπορεῖν
ποιεῖ πικρότατα πόματα διδοὺς καὶ πεινῆν καὶ διψῆν ἀναγκά-
ζων οὐχ ὥσπερ ἐγὼ πολλὰ καὶ ἡδέα καὶ παντοδαπὰ εὐώχουν
ὑμᾶς· τί ἂν οἴει ἐν τούτῳ τῷ κακῷ ἀποληφθέντα ἰατρὸν ἔχειν εἰ-
πεῖν· ἢ εἰ εἴποι τὴν ἀλήθειαν ὅτι ταῦτα πάντα ἐγὼ ἐποίουν ὦ παῖ-
δες ὑγιεινῶς ὁπόσον οἴει ἂν ἀναβοῆσαι τοὺς τοιούτους δικασ-
τάς· οὐ μέγα: ἴσως οἴεσθαί γε χρή: οὐκοῦν οἴει ἐν πάσῃ ἀ-
πορίᾳ ἂν αὐτὸν ἔχεσθαι ὅτι χρὴ εἰπεῖν: πάνυ γε: τοιοῦτον μέν-
τοι καὶ ἐγὼ οἶδα ὅτι πάθος πάθοιμι ἂν εἰσελθὼν εἰς δικαστήριον·
οὔτε γὰρ ἡδονὰς ἃς ἐκπεπόρικα ἕξω αὐτοῖς λέγειν ἃς οὗτοι εὐερ-
γεσίας καὶ ὠφελίας νομίζουσιν· ἐγὼ δὲ οὔτε τοὺς πορίζοντας
ζηλῶ οὔτε οἷς πορίζεται· ἐάν τέ τίς με ἢ νεωτέρους φῇ διαφθεί-
ρειν ἀπορεῖν ποιοῦντα ἢ τοὺς πρεσβυτέρους κακηγορεῖν λέ-
γοντα πικροὺς λόγους ἢ ἰδίᾳ ἢ δημοσίᾳ· οὔτε τὸ ἀληθὲς ἕξω
εἰπεῖν ὅτι δικαίως πάντα ταῦτα ἐγὼ λέγω καὶ πράττω τὸ ὑμέτερον
δὴ τοῦτο ὦ ἄνδρες δικασταί οὔτε ἄλλο οὐδέν· ὥστε ἴσως ὅτι ἂν τύχω
τοῦτο πείσομαι: δοκεῖ οὖν σοι ὦ σώκρατες καλῶς ἔχειν ἄνθρωπος

ἐν πόλει οὕτως διακείμενος καὶ ἀδύνατος ὢν ἑαυτῷ βοηθεῖν· εἰ
ἐκεῖνό γε ἓν αὐτῷ ὑπάρχοι ὦ καλλίκλεις ὃ σὺ πολλάκις ὡμολόγη-
σας· εἰ βεβοηθηκὼς εἴη αὑτῷ μήτε περὶ ἀνθρώπους μήτε περὶ
θεοὺς ἄδικον μηδὲν μήτε εἰρηκὼς μήτε εἰργασμένος· αὕτη γὰρ
τῆς βοηθείας ἑαυτῷ πολλάκις ἡμῖν ὡμολόγηται κρατίστη εἶναι·
εἰ μὲν οὖν ἐμέ τις ἐξελέγχοι ταύτην τὴν βοήθειαν ἀδύνατον ὄντα
ἐμαυτῷ καὶ ἄλλῳ βοηθεῖν· αἰσχυνοίμην ἂν καὶ ἐν πολλοῖς καὶ ἐν
ὀλίγοις ἐξελεγχόμενος καὶ μόνος ὑπὸ μόνου καὶ εἰ διὰ ταύτην
τὴν ἀδυναμίαν ἀποθνῄσκοιμι· ἀγανακτοίην ἄν· εἰ δὲ κολακι-
κῆς ῥητορικῆς ἐνδείᾳ τελευτῴην ἔγωγε· εὖ οἶδα ὅτι ῥᾳδίως
ἴδοις ἄν με φέροντα τὸν θάνατον· αὐτὸ μὲν γὰρ τὸ ἀποθνῄσκειν
οὐδεὶς φοβεῖται ὅστις μὴ παντάπασιν ἀλόγιστός τε καὶ ἄνανδρός ἐ-
στιν· τὸ δὲ ἀδικεῖν φοβεῖται· πολλῶν γὰρ ἀδικημάτων γέμοντα τὴν
ψυχὴν εἰς ᾅδου ἀφικέσθαι· πάντων ἔσχατον κακῶν ἐστιν· εἰ δὲ βού-
λει σοὶ ἐγὼ ὡς τοῦτο οὕτως ἔχει ἐθέλω λόγον λέξαι· ἀλλ' ἐπείπερ γε
καὶ τἆλλα ἐπέρανας καὶ τοῦτο πέρανον· ἄκουε δή φασι μάλα κα-
λοῦ λόγου ὃν σὺ μὲν ἡγήσῃ μῦθον ὡς ἐγὼ οἶμαι· ἐγὼ δὲ λόγον· ὡς
ἀληθῆ γὰρ ὄντα σοι λέξω ἃ μέλλω λέγειν· ὥσπερ γὰρ ὅμηρος λέ-
γει διενείμαντο τὴν ἀρχὴν ὁ ζεὺς καὶ ὁ ποσειδῶν καὶ ὁ πλούτων
ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον· ἦν οὖν νόμος ὅδε περὶ
ἀνθρώπων ἐπὶ κρόνου καὶ ἀεὶ καὶ νῦν ἔτι ἔστιν ἐν θεοῖς· τῶν ἀν-
θρώπων τὸν μὲν δικαίως τὸν βίον διελθόντα καὶ ὁσίως· ἐπει-
δὰν τελευτήσῃ· εἰς μακάρων νήσους ἀπιόντα οἰκεῖν ἐν πάσῃ
εὐδαιμονίᾳ ἐκτὸς κακῶν· τὸν δὲ ἀδίκως καὶ ἀθέως· εἰς τὸ τῆς
τίσεώς τε καὶ δίκης δεσμωτήριον ὃ δὴ τάρταρον καλοῦσιν ἰέναι·
τούτων δὲ δικασταὶ ἐπὶ κρόνου καὶ ἔτι νεωστὶ τοῦ διὸς τὴν ἀρχὴν
ἔχοντος ζῶντες ἦσαν ζώντων ἐκείνῃ τῇ ἡμέρᾳ δικάζοντες ᾗ μέλ-
λοιεν τελευτᾶν· κακῶς οὖν αἱ δίκαι ἐκρίνοντο· ὅ τε οὖν πλούτων
καὶ οἱ ἐπιμεληταὶ οἱ ἐκ μακάρων νήσων ἰόντες ἔλεγον πρὸς τὸν δία
ὅτι φοιτῷέν σφιν ἄνθρωποι ἑκατέρωσε ἀνάξιοι· εἶπεν οὖν
ὁ ζεύς· ἀλλ' ἐγώ ἔφη παύσω τοῦτο γιγνόμενον· νῦν μὲν γὰρ κα-
κῶς αἱ δίκαι δικάζονται· ἀμπεχόμενοι γάρ ἔφη οἱ κρινόμενοι
κρίνονται· ζῶντες γὰρ κρίνονται· πολλοὶ οὖν ἦ δ' ὃς ψυχὰς πο-
νηρὰς ἔχοντες ἠμφιεσμένοι εἰσὶ σώματά τε καλὰ καὶ γένη καὶ

ἀρχὴ τοῦ μύθου.

τὸ ἦν καὶ τὸ ἔστιν χρονικὴν ἐμφαίνει διαφοράν· ἵνα δὲ καὶ μὴ κατὰ τὰς καὶ δευτέρας στάσεις· ὁ δὲ ἄχρονα ταῦτα δεῖ νοεῖν· ἐμφαίνει τὸ ἀεὶ ἐστιν.

ὅτι ὁ συνέχων καὶ τὴν λοιπὴν [illegible] ὁ ζεὺς πρὸς τὸν πλούτωνα ἐπιστρέφεται καὶ τὸν νοῦν περιειληφὼς τὸν πάντων προτὰ ἀναλ.

διὰ νῦν ἄρξεται οὐ τὴν πρώτην τριάδα ἀλλὰ τὴν ἐνάτην τριάδα· πρὸς δὲ ἐπιστρέφεται ὁ πατὴρ καὶ οἱ ἐπιμεληταί· εἰσὶ δὲ δαίμονες κολαστικοὶ καὶ καθαρτικοὶ καὶ τελεσιουργοί.

πλούτους καὶ ἐπειδὰν ἡ κρίσις ᾖ, ἔρχονται αὐτοῖς πολλοὶ μάρτυρες
μαρτυρήσοντες ὡς δικαίως βεβιώκασιν· οἱ οὖν δικασταὶ ὑπό τε τούτων
ἐκπλήττονται καὶ ἅμα καὶ αὐτοὶ ἀμπεχόμενοι δικάζουσι πρὸ τῆς ψυ-
χῆς τῆς αὑτῶν ὀφθαλμοὺς καὶ ὦτα καὶ ὅλον τὸ σῶμα προκεκαλυ-
μμένοι· ταῦτα δὴ αὐτοῖς πάντα ἐπίπροσθεν γίγνεται καὶ τὰ αὑτῶν
ἀμφιέσματα καὶ τὰ τῶν κρινομένων· πρῶτον μὲν οὖν ἔφη παυστέ-
ον ἐστὶν προειδότας αὐτοὺς τὸν θάνατον· νῦν γὰρ προΐσασι· τοῦτο
μὲν οὖν καὶ δὴ εἴρηται τῷ Προμηθεῖ ὅπως ἂν παύσῃ αὐτῶν· ἔπει-
τα γυμνοὺς κριτέον ἁπάντων τούτων· τεθνεῶτας γὰρ δεῖ κρίνεσθαι
καὶ τὸν κριτὴν δεῖ γυμνὸν εἶναι τεθνεῶτα αὐτῇ τῇ ψυχῇ αὐτὴν
τὴν ψυχὴν θεωροῦντα ἐξαίφνης ἀποθανόντος ἑκάστου ἔρη-
μον πάντων τῶν συγγενῶν καὶ καταλιπόντα ἐπὶ τῆς γῆς πάντα ἐ-
κεῖνον τὸν κόσμον ἵνα δικαία ἡ κρίσις ᾖ· ἐγὼ μὲν οὖν ταῦτα ἐ-
γνωκὼς πρότερος ἢ ὑμεῖς ἐποιησάμην δικαστὰς ὑεῖς ἐμαυ-
τοῦ· δύο μὲν ἐκ τῆς Ἀσίας Μίνω τε καὶ Ῥαδάμανθυν· ἕνα δὲ ἐκ
τῆς Εὐρώπης Αἰακόν· οὗτοι οὖν ἐπειδὰν τελευτήσωσι δικάσου-
σιν ἐν τῷ λειμῶνι ἐν τῇ τριόδῳ ἐξ ἧς φέρετον τὼ ὁδώ, ἡ μὲν εἰς
μακάρων νήσους· ἡ δ' εἰς Τάρταρον· καὶ τοὺς μὲν ἐκ τῆς Ἀσίας Ῥα-
δάμανθυς κρινεῖ· τοὺς δὲ ἐκ τῆς Εὐρώπης Αἰακός· Μίνῳ δὲ πρεσβε-
ῖα δώσω ἐπιδιακρίνειν ἐὰν ἀπορῆτόν τι τὼ ἑτέρω· ἵνα ὡς δι-
καιοτάτη ἡ κρίσις ᾖ περὶ τῆς πορείας τοῖς ἀνθρώποις· ταῦτ' ἔστιν
ὦ Καλλίκλεις ἃ ἐγὼ ἀκηκοὼς πιστεύω ἀληθῆ εἶναι· καὶ ἐκ τούτων
τῶν λόγων τοιόνδε τι λογίζομαι συμβαίνειν· ὁ θάνατος τυγχά-
νει ὤν, ὡς ἐμοὶ δοκεῖ, οὐδὲν ἄλλο ἢ δυοῖν πραγμάτοιν διάλυσις τῆς
ψυχῆς καὶ τοῦ σώματος ἀπ' ἀλλήλοιν· ἐπειδὰν δὲ διαλυθῆτον ἄρα
ἀπ' ἀλλήλοιν, οὐ πολὺ ἧττον ἑκάτερον αὐτοῖν ἔχει τὴν ἕξιν τὴν αὑ-
τοῦ ἥνπερ καὶ ὅτε ἔζη ὁ ἄνθρωπος· τό τε σῶμα τὴν φύσιν τὴν
αὑτοῦ καὶ τὰ θεραπεύματα καὶ τὰ παθήματα ἔνδηλα πάντα· οἷον
εἴ τινος μέγα ἦν τὸ σῶμα φύσει ἢ τροφῇ ἢ ἀμφότερα ζῶντος
τούτου καὶ ἐπειδὰν ἀποθάνῃ ὁ νεκρὸς μέγας· καὶ εἰ παχύς, παχὺς
καὶ ἀποθανόντος· καὶ τἆλλα οὕτως· καὶ εἰ αὖ ἐπετήδευε κομᾶν· κο-
μήτης τούτου καὶ ὁ νεκρός· μαστιγίας αὖ εἴ τις ἦν καὶ ἴχνη εἶχε
τῶν πληγῶν οὐλὰς ἐν τῷ σώματι ἢ ὑπὸ μαστίγων ἢ ἄλλων τραυ-
μάτων ζῶν· καὶ τεθνεῶτος τὸ σῶμα ἔστιν ἰδεῖν ταῦτα ἔχον κατε

Κο 451

γυμνὸς ὁ κριτής· οὐ μόνον τοῦ στερεώδους σώματος· ἀλλὰ καὶ τοῦ ἀερώδους φυράματος· καὶ μόνον ἔχων τὸ ἄυλον εἶδος σχῆμα· οἱ δὲ κρινόμενοι γυμνοὶ μὲν τοῦ παχυτέρου τοῦ στερεώδους· περιφέροντες δὲ τὸ ἀέριον φύραμα καὶ δεόμενοι καθάρσεως

αγότα ἦν του ἦν μέλη ἢ διεστραμμένα ζῶντος καὶ τεθνεῶτος ταῦτα ἔνδη
λα. ἐνὶ δὲ λόγῳ οἷος εἶναι παρεσκευάστο τὸ σῶμα ζῶν. ἔνδηλα ταῦτα
καὶ τελευτήσαντος ἦν πάντα ἢ τὰ πολλὰ ἐπί τινα χρόνον. ταὐτὸν
δή μοι δοκεῖ τοῦτ' ἄρα καὶ περὶ τὴν ψυχὴν εἶναι ὦ καλλίκλεις. ἔνδηλα
πάντα ἐστὶν ἐν τῇ ψυχῇ ἐπειδὰν γυμνωθῇ τοῦ σώματος τά τε τῆς
φύσεως καὶ τὰ παθήματα ἃ διὰ τὴν ἐπιτήδευσιν ἑκάστου πράγμα
τος ἔσχεν ἐν τῇ ψυχῇ ὁ ἄνθρωπος. ἐπειδὰν οὖν ἀφίκωνται παρὰ
τὸν δικαστὴν οἱ μὲν ἐκ τῆς ἀσίας παρὰ τὸν ῥαδάμανθυν. ὁ ῥαδά
μανθυς ἐκείνους ἐπιστήσας θεᾶται ἑκάστου τὴν ψυχὴν οὐκ εἰ
δὼς ὅτου ἐστίν. ἀλλὰ πολλάκις τοῦ μεγάλου βασιλέως ἐπιλαβό
μενος ἢ ἄλλου ὁτουοῦν βασιλέως ἢ δυνάστου. κατεῖδεν οὐδὲν ὑ
γιὲς ὂν τῆς ψυχῆς. ἀλλὰ διαμεμαστιγωμένην καὶ οὐλῶν μεστὴν
ὑπὸ ἐπιορκιῶν καὶ ἀδικίας ἃ ἑκάστη ἡ πρᾶξις αὐτοῦ ἐξωμόρ
ξατο εἰς τὴν ψυχήν. καὶ πάντα σκολιὰ ὑπὸ ψεύδους καὶ ἀλαζο
νείας καὶ οὐδὲν εὐθὺ διὰ τὸ ἄνευ ἀληθείας τεθράφθαι καὶ ὑπὸ
ἐξουσίας καὶ τρυφῆς καὶ ὕβρεως καὶ ἀκρατίας τῶν πράξε
ων. ἀσυμμετρίας τε καὶ αἰσχρότητος γέμουσαν τὴν ψυχὴν εἶδεν.
ἰδὼν δὲ ἀτίμως ταύτην ἀπέπεμψεν εὐθὺ τῆς φρουρᾶς οἷ
μέλλει ἐλθοῦσα ἀνατλῆναι τὰ προσήκοντα πάθη. προσήκει
δὲ παντὶ τῷ ἐν τιμωρίᾳ ὄντι ὑπ' ἄλλου ὀρθῶς τιμωρουμένῳ
ἢ βελτίονι γίγνεσθαι καὶ ὀνίνασθαι. ἢ παραδείγματι τοῖς ἄλ
λοις γίγνεσθαι ἵνα ἄλλοι ὁρῶντες πάσχοντα ἃ ἂν πάσχῃ
φοβούμενοι βελτίους γίγνωνται. εἰσὶν δὲ οἱ μὲν ὠφελούμενοί τε
καὶ δίκην διδόντες ὑπὸ θεῶν τε καὶ ἀνθρώπων οὗτοι. οἳ ἂν ἰάσιμα
ἁμαρτήματα ἁμάρτωσιν. ὅμως δὲ δι' ἀλγηδόνων καὶ ὀδυνῶν γί
γνεται αὐτοῖς ἡ ὠφέλεια καὶ ἐνθάδε καὶ ἐν ἅιδου. οὐ γὰρ οἷόν τε ἄλ
λως ἀδικίας ἀπαλλάττεσθαι. οἳ δ' ἂν τὰ ἔσχατα ἀδικήσωσι καὶ διὰ
τοιαῦτα ἀδικήματα ἀνίατοι γένωνται ἐκ τούτων τὰ παραδείγμα
τα γίγνεται. καὶ οὗτοι αὐτοὶ μὲν οὐκέτι ὀνίνανται οὐδὲν ἅτε ἀνίατοι
ὄντες. ἄλλοι δὲ ὀνίνανται οἱ τούτους ὁρῶντες διὰ τὰς ἁμαρτίας
τὰ μέγιστα καὶ ὀδυνηρότατα καὶ φοβερώτατα πάθη πάσχοντας
τὸν ἀεὶ χρόνον ἀτεχνῶς παραδείγματα ἀνηρτημένους ἐκεῖ ἐν
ἅιδου ἐν τῷ δεσμωτηρίῳ τοῖς ἀεὶ τῶν ἀδίκων ἀφικνουμένοις θε
άματα καὶ νουθετήματα. ὧν ἐγώ φημι ἕνα καὶ ἀρχέλαον ἔσεσθαι

ἀληθῆ λέγει πῶλος καὶ ἄλλον ὅτις ἂν τοιοῦτος τύραννος ἦι· οἶμαι δὲ
καὶ τοὺς πολλοὺς εἶναι τούτων τῶν παραδειγμάτων ἐκ τυράννων
καὶ βασιλέων καὶ δυναστῶν καὶ τὰ τῶν πόλεων πραξάντων γεγονότας·
οὗτοι γὰρ διὰ τὴν ἐξουσίαν μέγιστα καὶ ἀνοσιώτατα ἁμαρτήματα
ἁμαρτάνουσι· μαρτυρεῖ δὲ τούτοις καὶ ὅμηρος· βασιλέας γὰρ καὶ δυ-
νάστας ἐκεῖνος πεποίηκεν τοὺς ἐν ἅιδου τὸν ἀεὶ χρόνον τιμωρουμέ-
νους· τάνταλον καὶ σίσυφον καὶ τιτυόν· θερσίτην δὲ καὶ εἴ τις ἄλλος
πονηρὸς ἦν ἰδιώτης, οὐδεὶς πεποίηκεν μεγάλαις τιμωρίαις συνε-
χόμενον ὡς ἀνίατον· οὐ γὰρ οἶμαι ἐξῆν αὐτῶι· διὸ καὶ εὐδαιμονέστε-
ρος ἦν ἢ οἷς ἐξῆν· ἀλλὰ γὰρ ὦ καλλίκλεις ἐκ τῶν δυναμένων εἰσὶ καὶ
οἱ σφόδρα πονηροὶ γιγνόμενοι ἄνθρωποι· οὐδὲν μὴν κωλύει καὶ
ἐν τούτοις ἀγαθοὺς ἄνδρας ἐγγίγνεσθαι· καὶ σφόδρα γε ἄξιον ἄγα-
σθαι τῶν γιγνομένων· χαλεπὸν γὰρ ὦ καλλίκλεις καὶ πολλοῦ ἐπαίνου
ἄξιον ἐν μεγάληι ἐξουσίαι τοῦ ἀδικεῖν γενόμενον δικαίως διαβιῶ-
ναι· ὀλίγοι δὲ γίγνονται οἱ τοιοῦτοι· ἐπεὶ καὶ ἐνθάδε καὶ ἄλλοθι γε-
γόνασιν οἶμαι δὲ καὶ ἔσονται καλοὶ κἀγαθοὶ ταύτην τὴν ἀρετὴν τοῦ δι-
καίως διαχειρίζειν ἃ ἄν τις ἐπιτρέπηι· εἷς δὲ καὶ πάνυ ἐλλόγι-
μος γέγονεν καὶ εἰς τοὺς ἄλλους ἕλληνας ἀριστείδης ὁ λυσιμάχου·
οἱ δὲ πολλοὶ ὦ ἄριστε κακοὶ γίγνονται τῶν δυναστῶν· ὅπερ οὖν ἔλε-
γον ἐπειδὰν ὁ ῥαδάμανθυς ἐκεῖνος τοιοῦτόν τινα λάβηι· ἄλλο
μὲν περὶ αὐτοῦ οὐκ οἶδεν οὐδὲν οὔθ' ὅστις οὔθ' ὧντινων· ὅτι δὲ πο-
νηρός τις· καὶ τοῦτο κατιδὼν ἀπέπεμψεν εἰς τάρταρον ἐπισημηνά-
μενος ἐάντε ἰάσιμος ἐάντε ἀνίατος δοκῆι εἶναι· ὁ δὲ ἐκεῖσε ἀφι-
κόμενος τὰ προσήκοντα πάσχει· ἐνίοτε δ' ἄλλην εἰσιδὼν ὁσίως
βεβιωκυῖαν καὶ μετ' ἀληθείας ἀνδρὸς ἰδιώτου ἢ ἄλλου τινός· μάλι- 452
στα μὲν ἔγωγέ φημι ὦ καλλίκλεις φιλοσόφου τὰ αὑτοῦ πράξαντος
καὶ οὐ πολυπραγμονήσαντος ἐν τῶι βίωι· ἠγάσθη τε καὶ ἐς μακά-
ρων νήσους ἀπέπεμψε· ταὐτὰ δὲ ταῦτα καὶ ὁ αἰακὸς· ἑκάτερος
τούτων ῥάβδον ἔχων δικάζει· ὁ δὲ μίνως ἐπισκοπῶν κάθηται μό-
νος ἔχων χρυσοῦν σκῆπτρον ὥς φησιν ὀδυσσεὺς ὁ ὁμήρου ἰδεῖν
αὐτὸν χρύσεον σκῆπτρον ἔχοντα θεμιστεύοντα νέκυσσιν· ἐγὼ μὲν
οὖν ὦ καλλίκλεις ὑπό τε τούτων τῶν λόγων πέπεισμαι καὶ σκοπῶ ὅ-
πως ἀποφανοῦμαι τῶι κριτῆι ὡς ὑγιεστάτην τὴν ψυχήν· χαίρειν
οὖν ἐάσας τὰς τιμὰς τὰς τῶν πολλῶν ἀνθρώπων· τὴν ἀλήθειαν

σκοπῶν πειράσομαι τῷ ὄντι ὡς ἂν δύνωμαι βέλτιστος ὢν καὶ ζῆν· καὶ
ἐπειδὰν ἀποθνήσκω ἀποθνήσκειν· παρακαλῶ δὲ καὶ τοὺς ἄλλους
πάντας ἀνθρώπους καθόσον δύναμαι· καὶ δὴ καὶ σὲ ἀντιπαρακαλῶ
ἐπὶ τοῦτον τὸν βίον καὶ τὸν ἀγῶνα τοῦτον, ὃν ἐγώ φημι ἀντὶ πάντων
τῶν ἐνθάδε ἀγώνων εἶναι· καὶ ὀνειδίζω σοι ὅτι οὐχ οἷός τ' ἔσῃ σαυ
τῷ βοηθῆσαι ὅταν ἡ δίκη σοι ᾖ καὶ ἡ κρίσις ἣν νῦν δὴ ἐγὼ ἔλεγον·
ἀλλὰ ἐλθὼν παρὰ τὸν δικαστὴν τὸν τῆς αἰγίνης υἱόν· ἐπειδάν σου
ἐπιλαβόμενος ἄγῃ· χασμήσῃ καὶ ἰλιγγιάσεις οὐδὲν ἧττον ἢ ἐ
γὼ ἐνθάδε σὺ ἐκεῖ· καί σε ἴσως τυπτήσει τις καὶ ἐπὶ κόρρης ἀτί
μως καὶ πάντως προπηλακιεῖ· τάχα δ' οὖν ταῦτα μῦθός σοι δοκεῖ
λέγεσθαι ὥσπερ γραὸς καὶ καταφρονεῖς αὐτῶν· καὶ οὐδέν γ' ἂν ἦν θαυ
μαστὸν καταφρονεῖν τούτων εἴ πῃ ζητοῦντες εἴχομεν αὐτῶν βελτί
ω καὶ ἀληθέστερα εὑρεῖν· νῦν δὲ ὁρᾷς ὅτι τρεῖς ὄντες ὑμεῖς οἵπερ
σοφώτατοί ἐστε τῶν νῦν ἑλλήνων σύ τε καὶ πῶλος καὶ γοργίας οὐ
κ ἔχετε ἀποδεῖξαι ὡς δεῖ ἄλλον τινὰ βίον ζῆν ἢ τοῦτον ὅσπερ καὶ ἐ
κεῖσε φαίνεται συμφέρων· ἀλλ' ἐν τοσούτοις λόγοις τῶν ἄλλων ἐλεγχο
μένων· μόνος οὗτος ἠρεμεῖ ὁ λόγος ὡς εὐλαβητέον ἐστὶν τὸ ἀδικεῖν
μᾶλλον ἢ τὸ ἀδικεῖσθαι· καὶ παντὸς μᾶλλον ἀνδρὶ μελετητέον οὐ τὸ δο
κεῖν εἶναι ἀγαθὸν· ἀλλὰ τὸ εἶναι καὶ ἰδίᾳ καὶ δημοσίᾳ· ἐὰν δέ τις κα
τά τι κακὸς γίγνηται· κολαστέος ἐστί· καὶ τοῦτο δεύτερον ἀγαθὸν με
τὰ τὸ εἶναι δίκαιον τὸ γίγνεσθαι καὶ κολαζόμενον διδόναι δίκην· καὶ
πᾶσαν κολακείαν καὶ τὴν περὶ ἑαυτὸν καὶ τὴν περὶ τοὺς ἄλλους καὶ
περὶ ὀλίγους καὶ περὶ πολλοὺς φευκτέον καὶ τῇ ῥητορικῇ οὕτω
χρηστέον ἐπὶ τὸ δίκαιον ἀεί καὶ τῇ ἄλλῃ πάσῃ πράξει· ἐμοὶ οὖν
πειθόμενος ἀκολούθησον ἐνταῦθα οἷ ἀφικόμενος εὐδαιμονή
σεις καὶ ζῶν καὶ τελευτήσας ὡς ὁ λόγος σημαίνει· καὶ ἔασόν
τινά σου καταφρονῆσαι ὡς ἀνοήτου καὶ προπηλακίσαι ἐὰν βούλη
ται· καὶ ναὶ μὰ δία σύ γε θαρρῶν πατάξαι τὴν ἄτιμον ταύτην πλη
γήν· οὐδὲν γὰρ δεινὸν πείσῃ ἐὰν τῷ ὄντι ᾖς καλὸς κἀγαθὸς ἀ
σκῶν ἀρετήν· κἄπειτα οὕτω κοινῇ ἀσκήσαντες· τότε ἤδη ἐὰν
δοκῇ χρῆναι ἐπιθησόμεθα τοῖς πολιτικοῖς ἢ ὁποῖον ἄν τι ἡμῖν
δοκῇ· τότε βουλευσόμεθα βελτίους ὄντες βουλεύεσθαι ἢ νῦν· αἰ
σχρὸν γὰρ ἔχοντάς γε ὡς νῦν φαινόμεθα ἔχειν· ἔπειτα νεανιεύε
σθαι ὡς τὶ ὄντας οἷς οὐδέποτε ταὐτὰ δοκεῖ περὶ τῶν αὐτῶν καὶ ταῦ

τα περὶ τῶν μεγίστων εἰς τοσοῦτον ἥκομεν ἀπαιδευσίας· ὥσπερ οὖν ἡ
γεμόνι τῷ λόγῳ χρησώμεθα τῷ νῦν παραφανέντι, ὃς ἡμῖν σημαίνει
ὅτι οὗτος ὁ τρόπος ἄριστος τοῦ βίου καὶ τὴν δικαιοσύνην καὶ τὴν ἄλ
λην ἀρετὴν ἀσκοῦντας καὶ ζῆν καὶ τεθνάναι· τούτῳ οὖν ἑπώμεθα
καὶ τοὺς ἄλλους παρακαλῶμεν, μὴ ἐκεῖνον ᾧ σὺ πιστεύων ἐμὲ παρα
καλεῖς· ἔστι γὰρ οὐδενὸς ἄξιος ὦ καλλίκλεις : γοργίας ἢ περὶ ῥητορικῆς

※ ΜΕΝΩΝ ※ Η ※ περὶ ἀρετῆς· ※ πειραστικός 453

Ἔχεις μοι εἰπεῖν ὦ σώκρατες ἆρα διδακτὸν ἡ ἀρετή; ἢ οὐ διδακτὸν ἀλλ'
ἀσκητόν; ἢ οὔτε ἀσκητὸν οὔτε μαθητόν, ἀλλὰ φύσει παραγίγνεται τοῖς
ἀνθρώποις ἢ ἄλλῳ τινὶ τρόπῳ : ὦ μένων πρὸ τοῦ μὲν θετταλοὶ εὐ
δόκιμοι ἦσαν ἐν τοῖς ἕλλησι καὶ ἐθαυμάζοντο ἐφ' ἱππικῇ τε καὶ πλού
τῳ· νῦν δέ, ὡς ἐμοὶ δοκεῖ, καὶ ἐπὶ σοφίᾳ· καὶ οὐχ ἥκιστα οἱ τοῦ σοῦ ἑ
ταίρου ἀριστίππου πολῖται λαρισαῖοι· τούτου δὲ ὑμῖν αἴτιός ἐστι
γοργίας· ἀφικόμενος γὰρ εἰς τὴν πόλιν ἐραστὰς ἐπὶ σοφίᾳ εἴλη
φεν ἀλευαδῶν τε τοὺς πρώτους, ὧν ὁ σὸς ἐραστής ἐστιν ἀρίστιππος·
καὶ τῶν ἄλλων θετταλῶν· καὶ δὴ καὶ τοῦτο τὸ ἔθος ὑμᾶς εἴθικεν ἀ
φόβως τε καὶ μεγαλοπρεπῶς ἀποκρίνεσθαι ἐάν τίς τι ἔρηται, ὥσπερ
εἰκὸς τοὺς εἰδότας· ἅτε καὶ αὐτὸς παρέχων αὑτὸν ἐρωτᾶν τῶν ἑλ
λήνων τῷ βουλομένῳ ὅ τι ἄν τις βούληται καὶ οὐδενὶ ὅτῳ οὐκ ἀπο
κρινόμενος· ἐνθάδε δέ, ὦ φίλε μένων, τὸ ἐναντίον περιέστηκεν· ὥσ
περ αὐχμός τις τῆς σοφίας γέγονεν καὶ κινδυνεύει ἐκ τῶνδε τῶν τό
πων παρ' ὑμᾶς οἴχεσθαι ἡ σοφία· εἰ γοῦν τινα ἐθέλεις οὕτως ἐρέ
σθαι τῶν ἐνθάδε, οὐδεὶς ὅστις οὐ γελάσεται καὶ ἐρεῖ· ὦ ξένε κιν
δυνεύω σοι δοκεῖν μακάριός τις εἶναι· ἀρετὴν γοῦν εἴτε διδακτὸν
εἴθ' ὅτῳ τρόπῳ παραγίγνεται εἰδέναι· ἐγὼ δὲ τοσοῦτον δέω εἴ
τε διδακτὸν εἴτε μὴ διδακτὸν εἰδέναι, ὥστ' οὐδὲ αὐτό, ὅ τι ποτ' ἔσ
τι τὸ παράπαν ἀρετή, τυγχάνω εἰδώς· ἐγὼ οὖν καὶ αὐτὸς ὦ μένων
οὕτως ἔχω· συμπένομαι τοῖς πολίταις τούτου τοῦ πράγματος·
καὶ ἐμαυτὸν καταμέμφομαι ὡς οὐκ εἰδὼς περὶ ἀρετῆς τὸ παράπαν

ἂν εἰς τὸν τό
πον ...
ἑπόμενον ...
... ἀπορίας
ἔχων

παν· ὃ δὲ μὴ οἶδα τί ἐστιν, πῶς ἂν ὁποῖόν γέ τι εἰδείην; ἢ δοκεῖ σοι οἷόν
τε εἶναι ὅστις μένωνα μὴ γιγνώσκει τὸ παράπαν ὅστις ἐστίν, τοῦτον εἰδέ-
ναι εἴτε καλὸς εἴτε πλούσιος εἴτε καὶ γενναῖός ἐστιν, εἴτε καὶ τἀναντία
τούτων δοκεῖ σοι οἷόν τ' εἶναι; οὐκ ἔμοιγε. ἀλλὰ σὺ ὦ σώκρατες ἀλη-
θῶς οὐδ' ὅτι ἀρετή ἐστιν οἶσθα· ἀλλὰ ταῦτα περὶ σοῦ καὶ οἴκαδε ἀ-
παγγέλλωμεν; μὴ μόνον γε ὦ ἑταῖρε, ἀλλὰ καὶ ὅτι οὐδ' ἄλλῳ πω ἐνέ-
τυχον εἰδότι ὡς ἐμοὶ δοκῶ: τί δαί; γοργίᾳ οὐκ ἐνέτυχες ὅτε ἐνθά-
δε ἦν; ἔγωγε: εἶτα οὐκ ἐδόκει σοι εἰδέναι; οὐ πάνυ εἰμὶ μνή-
μων ὦ μένων, ὥστε οὐκ ἔχω εἰπεῖν ἐν τῷ παρόντι πῶς μοι τότε
ἔδοξεν. ἀλλ' ἴσως ἐκεῖνός τε οἶδε, καὶ σὺ ἃ ἐκεῖνος ἔλεγε. ἀνά-
μνησον οὖν με πῶς ἔλεγεν. εἰ δὲ βούλει αὐτὸς εἰπέ. δοκεῖ γὰρ
δήπου σοὶ ἅπερ ἐκείνῳ: ἔμοιγε: ἐκεῖνον μὲν τοίνυν ἐῶμεν,
ἐπειδὴ καὶ ἄπεστιν: σὺ δὲ αὐτὸς ὦ πρὸς θεῶν μένων τί φὴς ἀρε-
τὴν εἶναι; εἶπον καὶ μὴ φθονήσῃς ἵν' εὐτυχέστατον ψεῦσμα ἐ-
ψευσμένος ὦ ἂν φανῇς σὺ μὲν εἰδὼς καὶ γοργίας. ἐγὼ δὲ εἰ-
ρηκὼς μηδενὶ πώποτε εἰδότι ἐντετυχηκέναι: ἀλλ' οὐ χαλεπὸν
ὦ σώκρατες εἰπεῖν. πρῶτον μὲν εἰ βούλει ἀνδρὸς ἀρετήν, ῥᾴδιον
ὅτι αὕτη ἐστὶν ἀνδρὸς ἀρετή, ἱκανὸν εἶναι τὰ τῆς πόλεως πράτ-
τειν καὶ πράττοντα τοὺς μὲν φίλους εὖ ποιεῖν· τοὺς δ' ἐχθροὺς
κακῶς καὶ αὐτὸν εὐλαβεῖσθαι μηδὲν τοιοῦτον παθεῖν. εἰ δὲ βού-
λει γυναικὸς ἀρετήν, οὐ χαλεπὸν διελθεῖν ὅτι δεῖ αὐτὴν τὴν οἰ-
κίαν εὖ οἰκεῖν σῴζουσάν τε τὰ ἔνδον καὶ κατήκοον οὖσαν τοῦ
ἀνδρός. καὶ ἄλλη ἐστὶν παιδὸς ἀρετὴ καὶ θηλείας καὶ ἄρρενος
καὶ πρεσβυτέρου ἀνδρός· εἰ μὲν βούλει ἐλευθέρου· εἰ δὲ βούλει
δούλου. καὶ ἄλλαι πάμπολλαι ἀρεταί εἰσιν· ὥστε οὐκ ἀπορία εἰπεῖν
ἀρετῆς πέρι ὅ,τι ἐστίν· καθ' ἑκάστην γὰρ τῶν πράξεων καὶ τῶν
ἡλικιῶν πρὸς ἕκαστον ἔργον ἑκάστῳ ἡμῶν ἡ ἀρετή ἐστιν· ὡσ-
αύτως δὲ οἶμαι ὦ σώκρατες καὶ ἡ κακία: πολλῇ γέ τινι εὐτυ-
χίᾳ ἔοικα κεχρῆσθαι ὦ μένων, εἰ μίαν ζητῶν ἀρετὴν σμῆνός τι
ἀνεύρηκα ἀρετῶν παρὰ σοὶ κείμενον· ἀτὰρ ὦ μένων κατὰ ταύ-
την τὴν εἰκόνα τὴν περὶ τὰ σμήνη εἴ μου ἐρομένου μελίττης
περὶ οὐσίας ὅτι ποτ' ἐστίν, πολλὰς καὶ παντοδαπὰς ἔλεγες
αὐτὰς εἶναι· τί ἂν ἀπεκρίνω μοι εἴ σε ἠρόμην· ἆρα τούτῳ
φὴς πολλὰς καὶ παντοδαπὰς εἶναι καὶ διαφερούσας ἀλλή-

λων τῷ μελίττας εἶναι· ἢ τούτῳ μὲν οὐδὲν διαφέρουσιν ἀλλήλων, ἄλλῳ δέ
τῳ οἷον ἢ κάλλει ἢ μεγέθει ἢ ἄλλῳ τῳ τῶν τοιούτων· εἰπὲ τί ἂν
ἀποκρίναιο οὕτως ἐρωτηθείς: τοῦτ' ἔγωγε ὅτι οὐδὲν διαφέ-
ρουσιν ᾗ μέλιτταί εἰσιν ἡ ἑτέρα τῆς ἑτέρας: εἰ οὖν εἰ ἐροίμην μετὰ
ταῦτα· τοῦτο τοίνυν μοι αὐτὸ εἰπέ, ὦ Μένων, ᾧ οὐδὲν διαφέρου-
σιν ἀλλὰ ταὐτόν εἰσιν ἅπασαι, τί τοῦτο φῂς εἶναι· εἶχες δήπου
ἄν τί μοι εἰπεῖν; ἔγωγε: οὕτω δὴ καὶ περὶ τῶν ἀρετῶν· κἂν εἰ
πολλαὶ καὶ παντοδαπαί εἰσιν, ἕν γέ τι εἶδος ταὐτὸν ἅπασαι ἔχου-
σι δι' ὃ εἰσὶν ἀρεταί· εἰς ὃ καλῶς που ἔχει ἀποβλέψαντα τὸν ἀποκρι-
νόμενον τῷ ἐρωτήσαντι ἐκεῖνο δηλῶσαι, ὃ τυγχάνει οὖσα ἀρε-
τή· ἢ οὐ μανθάνεις ὅτι λέγω: δοκῶ γέ μοι μανθάνειν· οὐ μέντοι
ὡς βούλομαί γέ πω κατέχω τὸ ἐρωτώμενον: πότερον δὲ περὶ
ἀρετῆς μόνον σοι οὕτω δοκεῖ, ὦ Μένων, ἄλλη μὲν ἀνδρὸς εἶναι, ἄλλη
δὲ γυναικὸς καὶ τῶν ἄλλων, ἢ καὶ περὶ ὑγιείας καὶ περὶ μεγέθους
καὶ περὶ ἰσχύος ὡσαύτως; ἄλλη μὲν ἀνδρὸς δοκεῖ σοι εἶναι ὑ-
γίεια, ἄλλη δὲ γυναικός· ἢ ταὐτὸν πανταχοῦ εἶδός ἐστιν, ἐάν-
περ ὑγίεια ᾖ, ἐάντε ἐν ἀνδρὶ ἐάντε ἐν ἄλλῳ ὁτῳοῦν ᾖ: ἡ αὐ-
τή μοι δοκεῖ ὑγίειά γε εἶναι καὶ ἀνδρὸς καὶ γυναικός: οὐκοῦν
καὶ μέγεθος καὶ ἰσχύς; ἐάνπερ ἰσχυρὰ γυνὴ ᾖ, τῷ αὐτῷ εἴ-
δει καὶ τῇ αὐτῇ ἰσχύι ἰσχυρὰ ἔσται· τὸ γὰρ τῇ αὐτῇ τοῦτο λέγω·
οὐδὲν διαφέρει πρὸς τὸ ἰσχὺς εἶναι ἡ ἰσχύς, ἐάντε ἐν ἀνδρὶ ᾖ
ἐάντε ἐν γυναικί. ἢ δοκεῖ τί σοι διαφέρειν: οὐκ ἔμοιγε: ἡ δὲ
ἀρετὴ πρὸς τὸ ἀρετὴ εἶναι διοίσει τι, ἐάντε ἐν παιδὶ ᾖ, ἐάντε ἐν πρε-
σβύτῃ, ἐάντε ἐν γυναικί, ἐάντε ἐν ἀνδρί: ἔμοιγέ πως δοκεῖ,
ὦ Σώκρατες, τοῦτο οὐκέτι ὅμοιον εἶναι τοῖς ἄλλοις τούτοις:
τί δαί; οὐκ ἀνδρὸς μὲν ἀρετὴν ἔλεγες πόλιν εὖ διοικεῖν, γυναικὸς
δὲ οἰκίαν; ἔγωγε: ἆρ' οὖν οἷόν τε εὖ διοικεῖν ἢ πόλιν ἢ οἰκίαν
ἢ ἄλλο ὁτιοῦν μὴ σωφρόνως καὶ δικαίως διοικοῦντα; οὐ δῆτα:
οὐκοῦν ἄνπερ δικαίως καὶ σωφρόνως διοικῶσιν, δικαιοσύνῃ
καὶ σωφροσύνῃ διοικήσουσιν: ἀνάγκη: τῶν αὐτῶν ἄρα ἀμ-
φότεροι δέονται, εἴπερ μέλλουσιν ἀγαθοὶ εἶναι, καὶ ἡ γυνὴ καὶ ὁ
ἀνήρ, δικαιοσύνης καὶ σωφροσύνης: φαίνονται: τί δαί; παῖς
καὶ πρεσβύτης; μῶν ἀκόλαστοι ὄντες καὶ ἄδικοι ἀγαθοὶ ἄν ποτε
γένοιντο; οὐ δῆτα: ἀλλὰ σώφρονες καὶ δίκαιοι; ναί: πάν-

τες ἄρ' ἄνθρωποι τῷ αὐτῷ τρόπῳ ἀγαθοί εἰσιν· τῶν αὐτῶν γὰρ
τυχόντες ἀγαθοὶ γίγνονται: ἔοικε: οὐκ ἂν δήπου εἰ μὴ ἡ αὐτὴ
ἀρετὴ ἦν αὐτῶν, τῷ αὐτῷ ἂν τρόπῳ ἀγαθοὶ ἦσαν: οὐ δῆτα: ἐ-
πειδὴ τοίνυν ἡ αὐτὴ ἀρετὴ πάντων ἐστί, πειρῶ εἰπεῖν καὶ ἀναμνη-
σθῆναι τί αὐτό φησι γοργίας εἶναι καὶ σὺ μετ' ἐκείνου: τί ἄλλο γ' ἢ
ἄρχειν οἷόν τ' εἶναι τῶν ἀνθρώπων; εἴπερ ἕν γέ τι ζητεῖς κατὰ πάν-
των: ἀλλὰ μὴν ζητῶ γε· ἀλλ' ἆρα καὶ παιδὸς ἡ αὐτὴ ἀρετή, ὦ μένων,
καὶ δούλου, ἄρχειν οἵω τε εἶναι τοῦ δεσπότου, καὶ δοκεῖ σοι ἔτι ἂν δοῦ-
λος εἶναι ὁ ἄρχων; οὐ πάνυ μοι δοκεῖ ὦ σώκρατες: οὐ γὰρ εἰ-
κός, ὦ ἄριστε· ἔτι γὰρ καὶ τόδε σκόπει· ἄρχειν φὴς οἷόν τ' εἶναι· οὐ
προσθήσομεν αὐτόσε τὸ δικαίως, ἀδίκως δὲ μή: οἶμαι ἔγωγε·
ἡ γὰρ δικαιοσύνη ὦ σώκρατες ἀρετή ἐστιν: πότερον ἀρετὴ ὦ μέ-
νων, ἢ ἀρετή τις: πῶς τοῦτο λέγεις: ὡς περὶ ἄλλου ὁτουοῦν· οἷ-
ον εἰ βούλει στρογγυλότητος πέρι εἴποιμ' ἂν ἔγωγε ὅτι σχῆμά
τί ἐστιν· οὐχ οὕτως ἁπλῶς ὅτι σχῆμα· διὰ ταῦτα δὲ οὕτως ἂν
εἴποιμι ὅτι καὶ ἄλλα ἔστι σχήματα: ὀρθῶς γε λέγων σύ· ἐπεὶ καὶ
ἐγὼ λέγω οὐ μόνον δικαιοσύνην· ἀλλὰ καὶ ἄλλας εἶναι ἀρετάς:
τίνας ταύτας εἰπέ· οἷον καὶ ἐγώ σοι εἴποιμ' ἂν καὶ ἄλλα σχήμα-
τα εἴ με κελεύοις· καὶ σὺ οὖν ἐμοὶ εἰπὲ ἄλλας ἀρετάς: ἡ ἀνδρεί-
α τοίνυν ἔμοιγε δοκεῖ ἀρετὴ εἶναι καὶ σωφροσύνη καὶ σοφία καὶ
μεγαλοπρέπεια καὶ ἄλλαι πάμπολλαι: πάλιν ὦ μένων ταὐτὸν
πεπόνθαμεν· πολλὰς αὖ ηὑρήκαμεν ἀρετὰς μίαν ζητοῦντες ἄλλον
τρόπον ἢ νῦν δή· τὴν δὲ μίαν ἣ διὰ πάντων τούτων ἐστὶν οὐ δυνάμε-
θα ἀνευρεῖν: οὐ γὰρ δύναμαί πω ὦ σώκρατες ὡς σὺ ζητεῖς μί-
αν ἀρετὴν λαβεῖν κατὰ πάντων ὥσπερ ἐν τοῖς ἄλλοις: εἰκότως γε·
ἀλλ' ἐγὼ προθυμήσομαι ἐὰν οἷός τ' ὦ ἡμᾶς προσβιβάσαι· μανθά-
νεις γάρ που ὅτι οὑτωσὶ ἔχει περὶ παντός· εἴ τίς σε ἀνέροιτο τοῦτο
ὃ νῦν δὴ ἐγὼ ἔλεγον· τί ἐστι σχῆμα ὦ μένων· εἰ αὐτῷ εἶπες ὅτι στρογ-
γυλότης· εἴ σοι εἶπεν ἅπερ ἐγὼ πότερον σχῆμα ἡ στρογγυλό-
της ἐστὶν ἢ σχῆμά τι· εἶπες δήπου ἂν ὅτι σχῆμά τι: πάνυ γε: οὐ-
κοῦν διὰ ταῦτα ὅτι καὶ ἄλλα ἐστὶ σχήματα: ναί: καὶ εἴ γε προσα-
νηρώτα σε ὁποῖα, ἔλεγες ἄν: ἔγωγε: καὶ αὖ εἰ περὶ χρώμα-
τος ὡσαύτως ἀνήρετο ὅτι ἐστί· καὶ εἰπόντος σου ὅτι τὸ λευκόν·
μετὰ ταῦτα ὑπέλαβεν ὁ ἐρωτῶν πότερον τὸ λευκὸν χρῶμά ἐστιν ἢ

χρώματι· εἶπες ἂν ὅτι χρώματι, διότι καὶ ἄλλα τυγχάνει ὄντα: ἔγωγε:
καὶ εἴ γέ σε ἐκέλευεν λέγειν ἄλλα χρώματα· ἔλεγες ἂν ἄλλα ἃ οὐδὲν ἧττον
τυγχάνει ὄντα χρώματα τοῦ λευκοῦ: ναί: εἰ οὖν ὥσπερ ἐγὼ μετῄει τὸν
λόγον καὶ ἔλεγεν ὅτι ἀεὶ εἰς πολλὰ ἀφικνούμεθα· ἀλλὰ μή μοι οὕτως:
ἀλλ' ἐπειδὴ τὰ πολλὰ ταῦτα ἑνί τινι προσαγορεύεις ὀνόματι καὶ φῂς
οὐδὲν αὐτῶν ὅτι οὐ σχῆμα εἶναι· καὶ ταῦτα καὶ ἐναντία ὄντα ἀλλήλοις
ὅτι ἐστὶν τοῦτο ὃ οὐδὲν ἧττον κατέχει τὸ στρογγύλον ἢ τὸ εὐθύ· ὃ δὴ ὀνομά-
ζεις σχῆμα καὶ οὐδὲν μᾶλλον φῂς τὸ στρογγύλον σχῆμα εἶναι ἢ τὸ εὐ-
θύ· ἢ οὐχ οὕτω λέγεις: ἔγωγε: ἆρ' οὖν ὅταν οὕτω λέγῃς· τότε οὐ-
δὲν μᾶλλον φῂς τὸ στρογγύλον εἶναι στρογγύλον ἢ εὐθύ· οὐδὲ τὸ εὐθὺ
εὐθὺ ἢ στρογγύλον; οὐ δήπου ὦ Σώκρατες: ἀλλὰ μὴν σχῆμά γε
οὐδὲν μᾶλλον φῂς εἶναι τὸ στρογγύλον τοῦ εὐθέος· οὐδὲ τὸ ἕτερον
τοῦ ἑτέρου: ἀληθῆ λέγεις: τί ποτε οὖν τοῦτο οὗ τοῦτο ὄνομά ἐ-
στιν τὸ σχῆμα; πειρῶ λέγειν. εἰ οὖν τῷ ἐρωτῶντι οὕτως ἢ περὶ σχή-
ματος ἢ χρώματος εἶπες ὅτι ἀλλ' οὐδὲ μανθάνω ἔγωγε ὅτι βούλει
ὦ ἄνθρωπε· οὐδὲ οἶδα ὅτι λέγεις· ἴσως ἂν ἐθαύμασε καὶ εἶπεν·
οὐ μανθάνεις ὅτι ζητῶ τὸ ἐπὶ πᾶσιν τούτοις ταὐτόν: ἢ οὐδὲ ἐπὶ
τούτοις ὦ Μένων ἔχοις ἂν εἰπεῖν εἴ τίς σε ἐρωτῴη· τί ἐστιν ἐπὶ τῷ
στρογγύλῳ καὶ εὐθεῖ καὶ ἐπὶ τοῖς ἄλλοις ἃ δὴ σχήματα καλεῖς ταὐ-
τὸν ἐπὶ πᾶσιν; πειρῶ εἰπεῖν ἵνα καὶ γένηταί σοι μελέτη πρὸς τὴν περὶ
τῆς ἀρετῆς ἀπόκρισιν: μή· ἀλλὰ σὺ ὦ Σώκρατες εἰπέ: βούλει σοι
χαρίσωμαι; πάνυ γε: ἐθελήσεις οὖν καὶ σὺ ἐμοὶ εἰπεῖν περὶ τῆς
ἀρετῆς: ἔγωγε: προθυμητέον τοίνυν· ἄξιον γάρ: πάνυ μὲν οὖν:
φέρε δὴ πειρώμεθά σοι εἰπεῖν τί ἐστιν σχῆμα. σκόπει οὖν εἰ τόδε ἀ-
ποδέχῃ αὐτὸ εἶναι· ἔστω γὰρ δὴ ἡμῖν τοῦτο σχῆμα ὃ μόνον τῶν ὄντων
τυγχάνει χρώματι ἀεὶ ἑπόμενον· ἱκανῶς σοι· ἢ ἄλλως πως ζητεῖς·
ἐγὼ γὰρ κἂν οὕτως ἀγαπῴην εἴ μοι ἀρετὴν εἴποις: ἀλλὰ τοῦτό
γε εὔηθες ὦ Σώκρατες: πῶς λέγεις: ὅτι σχῆμά πού ἐστιν κα-
τὰ τὸν σὸν λόγον ὃ ἀεὶ χρόᾳ ἕπεται: εἶεν· εἰ δὲ δὴ τὴν χρόαν τις
μὴ φαίη εἰδέναι ἀλλὰ ὡσαύτως ἀποροῖ ὥσπερ περὶ τοῦ σχήμα-
τος· τί ἂν οἴει σοι ἀποκεκρίσθαι: τἀληθῆ ἔγωγε: καὶ εἰ μέν γε
τῶν σοφῶν τις εἴη καὶ ἐριστικῶν καὶ ἀγωνιστικῶν ὁ ἐρόμενος· εἴποι-
μ' ἂν αὐτῷ ὅτι ἐμοὶ μὲν εἴρηται· εἰ δὲ μὴ ὀρθῶς λέγω· σὸν ἔργον λαμ-
βάνειν λόγον καὶ ἐλέγχειν· εἰ δὲ ὥσπερ ἐγώ τε καὶ σὺ νυνὶ φίλοι ὄντες

βούλοιντο ἀλλήλοις διαλέγεσθαι· δεῖ δὴ πρᾳότερόν πως καὶ διαλεκτικώ-
τερον μὴ μόνον τἀληθῆ ἀποκρίνεσθαι· ἀλλὰ καὶ δι' ἐκείνων ὧν ἂν προσο-
μολογῇ εἰδέναι ὁ ἐρωτώμενος: πειράσομαι δὴ καὶ ἐγώ σοι οὕτως
εἰπεῖν· λέγε γάρ μοι· τελευτὴν καλεῖς τι; τοιόνδε λέγω οἷον πέρας καὶ ἔσχα-
τον· πάντα ταῦτα ταὐτόν τι λέγω· ἴσως δ' ἂν ἡμῖν Πρόδικος διαφέ-
ροιτο· ἀλλὰ σύ γέ που καλεῖς πεπεράνθαι τι καὶ τετελευτηκέναι· τὸ τοι-
οῦτον βούλομαι λέγειν οὐδὲν ποικίλον: ἀλλὰ καλῶ καὶ οἶμαι μανθά-
νειν ὃ λέγεις: τί δ' ἐπίπεδον καλεῖς τι καὶ ἕτερον αὖ στερεὸν οἷον ταῦ-
τα τὰ ἐν ταῖς γεωμετρίαις: ἔγωγε καλῶ: ἤδη τοίνυν ἂν μά-
θοις μου ἐκ τούτων σχῆμα ὃ λέγω· κατὰ γὰρ παντὸς σχήματος τοῦ-
το λέγω εἰς ὃ τὸ στερεὸν περαίνει· τοῦτ' εἶναι σχῆμα· ὅπερ ἂν συλλα-
456 βὼν/ εἴποιμι στερεοῦ πέρας σχῆμα εἶναι: τὸ δὲ χρῶμα τί λέγεις
ὦ Σώκρατες: ὑβριστής γ' εἶ ὦ Μένων· ἀνδρὶ πρεσβύτῃ πράγματα
προστάττεις ἀποκρίνεσθαι· αὐτὸς δὲ οὐκ ἐθέλεις ἀναμνησθεὶς
εἰπεῖν ὅτι ποτὲ λέγει Γοργίας ἀρετὴν εἶναι: ἀλλ' ἐπειδάν μοι σὺ τοῦ-
τ' εἴπῃς ὦ Σώκρατες ἐρῶ σοι: κἂν κατακεκαλυμμένος τις γνοίη
ὦ Μένων διαλεγομένου σου ὅτι καλὸς εἶ καὶ ἐρασταί σοι εἰσίν:
τί δή: ὅτι οὐδὲν ἀλλ' ἢ ἐπιτάττεις ἐν τοῖς λόγοις ὅπερ ποιοῦ-
σιν οἱ τρυφῶντες ἅτε τυραννεύοντες ἕως ἂν ἐν ὥρᾳ ὦσιν· καὶ ἅ-
μα ἐμοῦ ἴσως κατέγνωκας ὅτι εἰμὶ ἥττων τῶν καλῶν· χαριοῦμαι
οὖν σοι καὶ ἀποκρινοῦμαι: πάνυ μὲν οὖν χάρισαι: βούλει οὖν σοι
κατὰ Γοργίαν ἀποκρίνωμαι ᾗ ἂν σὺ μάλιστα ἀκολουθήσαις:
βούλομαι· πῶς γὰρ οὔ: οὐκοῦν λέγετε ἀπορροάς τινας τῶν ὄν-
των κατ' Ἐμπεδοκλέα: σφόδρα γε: καὶ πόρους εἰς οὓς καὶ δι' ὧν
αἱ ἀπορροαὶ πορεύονται: πάνυ γε: καὶ τῶν ἀπορροῶν τὰς μὲν
ἁρμόττειν ἐνίοις τῶν πόρων· τὰς δὲ ἐλάττους ἢ μείζους εἶναι:
ἔστι ταῦτα: οὐκοῦν καὶ ὄψιν καλεῖς τι: ἔγωγε: ἐκ τούτων δὴ ξύ-
νες ὅ τοι λέγω ἔφη Πίνδαρος· ἔστιν γὰρ χρόα ἀπορροὴ σχημά-
των ὄψει σύμμετρος καὶ αἰσθητός: ἄριστά μοι δοκεῖς ὦ Σώκρατες
ταύτην τὴν ἀπόκρισιν εἰρηκέναι· ἴσως γάρ σοι κατὰ συνήθειαν
εἴρηται: καὶ ἅμα οἶμαι ἐννοεῖς ὅτι ἔχοις ἂν ἐξ αὐτῆς εἰπεῖν
καὶ φωνὴν ὅ ἐστι καὶ ὀσμὴν καὶ ἄλλα πολλὰ τῶν τοιούτων: πάνυ
μὲν οὖν: τραγικὴ γάρ ἐστιν ὦ Μένων ἡ ἀπόκρισις· ὥστε ἀρέσκει
σοι μᾶλλον ἢ ἡ περὶ τοῦ σχήματος: ἔμοιγε: ἀλλ' οὐκ ἔστιν ὦ παῖ

ὁ Γοργίας ὁ Λεοντῖνος ἀκροατὴς γέγονεν Ἐμπεδοκλέους τοῦ Ἀκραγαντίνου

ἀλεξιδήμου ὡς ἐγὼ ἐμαυτὸν πείθω. ἀλλ' ἐκείνη βελτίων. οἶμαι δὲ
οὐδ' ἂν σοὶ δόξαι εἰ μὴ ὥσπερ χθὲς ἔλεγες ἀναγκαῖόν σοι ἀπιέναι
πρὸ τῶν μυστηρίων· ἀλλ' εἰ περιμείναις τε καὶ μυηθείης. ἀλλὰ περι-
μένοιμ' ἂν ὦ σώκρατες εἴ μοι πολλὰ τοιαῦτα λέγοις: ἀλλὰ μὴν
προθυμίας γε οὐδὲν ἀπολείψω καὶ σοῦ ἕνεκα καὶ ἐμαυτοῦ λέγων
τοιαῦτα· ἀλλ' ὅπως μὴ οὐχ οἷός τ' ἔσομαι πολλὰ τοιαῦτα λέγειν. ἀλλ'
ἴθι δὴ πειρῶ καὶ σὺ ἐμοὶ τὴν ὑπόσχεσιν ἀποδοῦναι κατὰ ὅλου εἰ-
πὼν ἀρετῆς πέρι ὅτι ἐστὶν καὶ παῦσαι πολλὰ ποιῶν ἐκ τοῦ ἑνὸς ὅπερ
φασὶ τοὺς συντρίβοντάς τι ἑκάστοτε οἱ σκώπτοντες. ἀλλ' ἐάσας
ὅλην καὶ ὑγιῆ εἰπὲ τί ἐστιν ἀρετή· τὰ δέ γε παραδείγματα παρ' ἐ-
μοῦ εἴληφας: δοκεῖ τοίνυν μοι ὦ σώκρατες ἀρετὴ εἶναι καθάπερ
ὁ ποιητὴς λέγει χαίρειν τε καλοῖσι καὶ δύνασθαι. καὶ ἐγὼ τοῦτο λέ-
γω ἀρετήν· ἐπιθυμοῦντα τῶν καλῶν δυνατὸν εἶναι πορίζεσθαι:
ἆρα λέγεις τὸν τῶν καλῶν ἐπιθυμοῦντα ἀγαθῶν ἐπιθυμητὴν εἶναι:
μάλιστά γε: ἆρα ὡς ὄντων τινῶν οἳ τῶν κακῶν ἐπιθυμοῦσιν ἑτέ-
ρων δὲ οἳ τῶν ἀγαθῶν· οὐ πάντες ὤριστε δοκοῦσί σοι τῶν ἀγα-
θῶν ἐπιθυμεῖν: οὐκ ἔμοιγε: ἀλλά τινες τῶν κακῶν: ναί: οἰό-
μενοι τὰ κακὰ ἀγαθὰ εἶναι λέγεις· ἢ καὶ γιγνώσκοντες ὅτι κα-
κά ἐστιν ὅμως ἐπιθυμοῦσιν αὐτῶν: ἀμφότερα ἔμοιγε δοκεῖ:
ἦ γὰρ δοκεῖ τίς σοι ὦ μένων γιγνώσκων τὰ κακὰ ὅτι κακά ἐστιν
ὅμως ἐπιθυμεῖν αὐτῶν: μάλιστα: τί ἐπιθυμεῖν λέγεις· ἢ γε-
νέσθαι αὐτῷ: γενέσθαι· τί γὰρ ἄλλο: πότερον ἡγούμενος
τὰ κακὰ ὠφελεῖν ἐκεῖνον ᾧ ἂν γένηται· ἢ γιγνώσκων τὰ κα-
κὰ ὅτι βλάπτει ᾧ ἂν παρῇ: εἰσὶ μὲν οἳ ἡγούμενοι τὰ κακὰ ὠ-
φελεῖν· εἰσὶν δὲ καὶ οἳ γιγνώσκοντες ὅτι βλάπτει: ἢ καὶ δοκοῦ-
σί σοι γιγνώσκειν τὰ κακὰ ὅτι κακά ἐστιν οἱ ἡγούμενοι τὰ κα-
κὰ ὠφελεῖν: οὐ πάνυ μοι δοκεῖ τοῦτό γε: οὐκοῦν δῆλον ὅτι
οὗτοι μὲν οὐ τῶν κακῶν ἐπιθυμοῦσιν οἱ ἀγνοοῦντες αὐτά· ἀλ-
λὰ ἐκείνων ἃ ᾤοντο ἀγαθὰ εἶναι· ἔστιν δὲ ταῦτά γε κακά·
ὥστε οἱ ἀγνοοῦντες αὐτὰ καὶ οἰόμενοι ἀγαθὰ εἶναι· δῆλον
ὅτι τῶν ἀγαθῶν ἐπιθυμοῦσιν. ἢ οὔ: κινδυνεύουσιν οὗτοί γε:
τί δαί· οἱ τῶν κακῶν μὲν ἐπιθυμοῦντες ὥς φῄς σὺ ἡγούμενοι
δὲ τὰ κακὰ βλάπτειν ἐκεῖνον ᾧ ἂν γίγνηται· γιγνώσκουσιν
δήπου ὅτι βλαβήσονται ὑπ' αὐτῶν: ἀνάγκη: ἀλλὰ τοὺς βλα-

πτομένους οὗτοι οὐκ οἴονται ἀθλίους εἶναι καθ' ὅσον βλάπτονται·
457 καὶ τοῦτο ἀνάγκη· τοὺς δὲ ἀθλίους οὐ κακοδαίμονας· οἶμαι
ἔγωγε· ἔστιν οὖν ὅστις βούλεται ἄθλιος καὶ κακοδαίμων εἶναι·
οὔ μοι δοκεῖ ὦ σώκρατες· οὐκ ἄρα βούλεται ὦ μένων τὰ κακὰ
οὐδείς· εἴπερ μὴ βούλεται τοιοῦτος εἶναι· τί γὰρ ἄλλο ἐστὶν ἄθλι
ον εἶναι ἢ ἐπιθυμεῖν τε τῶν κακῶν καὶ κτᾶσθαι· κινδυνεύεις
ἀληθῆ λέγειν ὦ σώκρατες· καὶ οὐδεὶς βούλεσθαι τὰ κακά· οὐ
κοῦν νῦν δὴ ἔλεγες ὅτι ἐστὶν ἡ ἀρετὴ βούλεσθαί τε τἀγαθὰ καὶ
δύνασθαι· εἶπον γάρ· οὐκοῦν τούτου λεχθέντος τὸ μὲν βού
λεσθαι πᾶσιν ὑπάρχει· καὶ ταύτῃ γε οὐδὲν ὁ ἕτερος τοῦ ἑτέ
ρου βελτίων· φαίνεται· ἀλλὰ δῆλον ὅτι εἴπερ ἐστὶ βελτίων ἄλ
λος ἄλλου κατὰ τὸ δύνασθαι ἂν εἴη ἀμείνων· πάνυ γε· τοῦτ' ἔ
στιν ἄρα ὡς ἔοικε κατὰ τὸν σὸν λόγον ἀρετὴ δύναμις τοῦ πορί
ζεσθαι τἀγαθά· παντάπασί μοι δοκεῖ ὦ σώκρατες οὕτως
ἔχειν ὡς σὺ νῦν ὑπολαμβάνεις· ἴδωμεν δὴ καὶ τοῦτο εἰ ἀληθὲς
λέγεις· ἴσως γὰρ ἂν εὖ λέγοις· τἀγαθὰ φῂς οἷόν τ' εἶναι πο
ρίζεσθαι ἀρετὴν εἶναι· ἔγωγε· ἀγαθὰ δὲ καλεῖς οὐχὶ οἷον
ὑγίειάν τε καὶ πλοῦτον· καὶ χρυσίον λέγω καὶ ἀργύριον κτᾶσθαι
καὶ τιμὰς ἐν πόλει καὶ ἀρχάς· μὴ ἄλλ' ἄττα λέγεις τἀγαθὰ ἢ
τὰ τοιαῦτα· οὐκ ἀλλὰ πάντα λέγω τὰ τοιαῦτα· εἶεν· χρυσί
ον δὲ δὴ καὶ ἀργύριον πορίζεσθαι ἀρετή ἐστιν ὥς φησι μένων ὁ τοῦ
μεγάλου βασιλέως πατρικὸς ξένος· πότερον προστιθεῖς τι
τούτῳ τῷ πόρῳ ὦ μένων τὸ δικαίως καὶ ὁσίως· ἢ οὐδέν σοι
διαφέρει· ἀλλὰ κἂν ἀδίκως τις αὐτὰ πορίζηται ὁμοίως σὺ αὐ
τὰ ἀρετὴν καλεῖς· οὐ δήπου ὦ σώκρατες· ἀλλὰ κακίαν· πάν
τως δήπου· δεῖ ἄρα ὡς ἔοικε τούτῳ τῷ πόρῳ δικαιοσύνην ἢ σω
φροσύνην ἢ ὁσιότητα προσεῖναι· ἢ ἄλλο τι μόριον ἀρετῆς· εἰ δὲ
μή· οὐκ ἔσται ἀρετὴ καίπερ ἐκπορίζουσα τἀγαθά· πῶς γὰρ ἄ
νευ τούτων ἀρετὴ γένοιτ' ἄν· τὸ δὲ μὴ ἐκπορίζειν χρυσίον καὶ ἀρ
γύριον ὅταν μὴ δίκαιον ᾖ μήτε αὑτῷ μήτε ἄλλῳ οὐκ ἀρετὴ καὶ αὕ
τη ἐστὶν ἡ ἀπορία· φαίνεται· οὐδὲν ἄρα μᾶλλον ὁ πόρος τῶν τοι
ούτων ἀγαθῶν ἢ ἡ ἀπορία ἀρετὴ ἂν εἴη· ἀλλὰ ὡς ἔοικεν ὃ μὲν ἂν
μετὰ δικαιοσύνης γίγνηται ἀρετὴ ἔσται· ὃ δ' ἂν ἄνευ πάντων τῶν
τοιούτων κακία· δοκεῖ μοι ἀναγκαῖον εἶναι ὡς λέγεις· οὐ

κ οἷόν τε τούτων ἕκαστον ὀλίγον πρότερον μόριον ἀρετῆς ἔφαμεν εἶναι
τὴν δικαιοσύνην καὶ σωφροσύνην καὶ πάντα τὰ τοιαῦτα: ναί: εἶτα
ὦ μένων παίζεις πρός με: τί δή ὦ σώκρατες: ὅτι ἄρτι ἐμοῦ δεηθέν-
τος σου μὴ καταγνύναι μηδὲ κερματίζειν τὴν ἀρετὴν καὶ δόντος
παραδείγματα καθ' ἃ δέοι ἀποκρίνεσθαι· τούτου μὲν ἠμέλησας
λέγεις δέ μοι ὅτι ἀρετή ἐστιν οἷόν τ' εἶναι τἀγαθὰ πορίζεσθαι μετὰ
δικαιοσύνης· τοῦτο δὲ φὴς μόριον ἀρετῆς εἶναι: ἔγωγε: οὐ
κοῦν συμβαίνει ἐξ ὧν σὺ ὁμολογεῖς τὸ μετὰ μορίου ἀρετῆς πράττειν
ὅτι ἂν πράττῃ τοῦτο ἀρετὴν εἶναι· τὴν γὰρ δικαιοσύνην μόριον
φὴς ἀρετῆς εἶναι καὶ ἕκαστα τούτων· τί οὖν δὴ τοῦτο λέγω· ὅτι ἐ-
μοῦ δεηθέντος ὅλον εἰπεῖν τὴν ἀρετήν· αὐτὴν μὲν πολλοῦ δεῖς εἰ-
πεῖν ὅτι ἐστίν· πᾶσαν δὲ φὴς πρᾶξιν ἀρετὴν εἶναι ἐάνπερ μετὰ
μορίου ἀρετῆς πράττηται ὥσπερ εἰρηκὼς ὅτι ἀρετή ἐστιν τὸ ὅλον
καὶ ἤδη γνωσομένου ἐμοῦ καὶ ἐὰν σὺ κατακερματίζῃς αὐτὴν κα-
τὰ μόρια· δεῖται οὖν σοι πάλιν ἐξ ἀρχῆς ὡς ἐμοὶ δοκεῖ τῆς αὐ-
τῆς ἐρωτήσεως ὦ φίλε μένων τί ἐστιν ἀρετή· εἰ μετὰ μορίου ἀρε-
τῆς πᾶσα πρᾶξις ἀρετὴ ἂν εἴη· τοῦτο γάρ ἐστιν λέγειν ὅταν λέγῃ
τις ὅτι πᾶσα ἡ μετὰ δικαιοσύνης πρᾶξις ἀρετή ἐστιν: ἢ οὐ δο-
κεῖ σοι πάλιν δεῖσθαι τῆς αὐτῆς ἐρωτήσεως ἀλλ' οἴει τινὰ εἰδέναι
μόριον ἀρετῆς ὅτι ἐστὶν αὐτὴν μὴ εἰδότα: οὐκ ἔμοιγε δοκεῖ: εἰ γὰρ
καὶ μέμνησαι ὅτ' ἐγώ σοι ἀπεκρινάμην περὶ τοῦ σχήματος· ἀπε-
βάλλομέν που τὴν τοιαύτην ἀπόκρισιν τὴν διὰ τῶν ἔτι ζητουμένων
καὶ μήπω ὡμολογημένων ἐπιχειροῦσαν ἀποκρίνεσθαι: καὶ ὀρ-
θῶς γε ἀπεβάλλομεν ὦ σώκρατες: μὴ τοίνυν ὦ ἄριστε μηδὲ σὺ ἔτι
ζητουμένης ἀρετῆς ὅλης ὅτι ἐστὶν οἴου διὰ τῶν ταύτης μορίων ἀ-
ποκρινόμενος δηλώσειν αὐτὴν ὁτῳοῦν ἢ ἄλλο ὁτιοῦν τούτῳ τῷ
αὐτῷ τρόπῳ λέγων· ἀλλὰ πάλιν τῆς αὐτῆς δεήσεσθαι ἐρωτή-
σεως τίνος ὄντος ἀρετῆς λέγεις ἃ λέγεις· ἢ οὐδέν σοι δοκῶ λέγειν:
ἔμοιγε δοκεῖς ὀρθῶς λέγειν: ἀπόκριναι τοίνυν πάλιν ἐξ ἀρχῆς
τί φὴς ἀρετὴν εἶναι καὶ σὺ καὶ ὁ ἑταῖρός σου: ὦ σώκρατες ἤκουον
μὲν ἔγωγε πρὶν καὶ συγγενέσθαι σοι ὅτι σὺ οὐδὲν ἄλλο ἢ αὐτός τε ἀ-
πορεῖς καὶ τοὺς ἄλλους ποιεῖς ἀπορεῖν· καὶ νῦν ὥς γέ μοι δοκεῖς
γοητεύεις με καὶ φαρμάττεις καὶ ἀτεχνῶς κατεπᾴδεις ὥστε μεστὸν
ἀπορίας γεγονέναι· καὶ δοκεῖς μοι παντελῶς εἰ δεῖ τι καὶ σκῶψαι

ὁμοιότατος εἶναι τό τε εἶδος καὶ τἆλλα ταύτῃ τῇ πλατείᾳ νάρκῃ τῇ
θαλαττίᾳ· καὶ γὰρ αὕτη τὸν ἀεὶ πλησιάζοντα καὶ ἁπτόμενον ναρκᾶν
ποιεῖ· καὶ σὺ δοκεῖς μοι νῦν ἐμὲ τοιοῦτόν τι πεποιηκέναι ναρκᾶν· ἀλη-
θῶς γὰρ ἔγωγε καὶ τὴν ψυχὴν καὶ τὸ στόμα ναρκῶ καὶ οὐκ ἔχω ὅτι
ἀποκρίνωμαί σοι· καίτοι μυριάκις γε περὶ ἀρετῆς παμπόλλους
λόγους εἴρηκα καὶ πρὸς πολλοὺς καὶ πάνυ εὖ ὥς γε ἐμαυτῷ
ἐδόκουν· νῦν δὲ οὐδ' ὅτι ἐστὶν τὸ παράπαν ἔχω εἰπεῖν· καί μοι δοκεῖς
εὖ βουλεύεσθαι οὐκ ἐκπλέων ἐνθένδε οὐδ' ἀποδημῶν· εἰ γὰρ ξέ-
νος ἐν ἄλλῃ πόλει τοιαῦτα ποιοῖς, τάχ' ἂν ὡς γόης ἀπαχθεί-
ης: πανοῦργος εἶ ὦ μένων καὶ ὀλίγου ἐξηπάτησάς με: τί
μάλιστα ὦ σώκρατες: γιγνώσκω οὗ ἕνεκά με ᾔκασας· τίνος
δὲ οἴει· ἵνα σε ἀντεικάσω· ἐγὼ δὲ τοῦτο οἶδα περὶ πάντων τῶν
καλῶν ὅτι χαίρουσιν εἰκαζόμενοι· λυσιτελεῖ γὰρ αὐτοῖς· καλαὶ γὰρ
οἶμαι τῶν καλῶν καὶ αἱ εἰκόνες· ἀλλ' οὐκ ἀντεικάσομαί σε· ἐγὼ δὲ
εἰ μὲν ἡ νάρκη αὐτὴ ναρκῶσα οὕτω καὶ τοὺς ἄλλους ποιεῖ ναρκᾶν.
ἔοικα αὐτῇ· εἰ δὲ μή, οὔ· οὐ γὰρ εὐπορῶν αὐτὸς τοὺς ἄλλους ποιῶ
ἀπορεῖν· ἀλλὰ παντὸς μᾶλλον αὐτὸς ἀπορῶν οὕτως καὶ τοὺς ἄλ-
λους ποιῶ ἀπορεῖν· καὶ νῦν περὶ ἀρετῆς ὅ ἐστιν· ἐγὼ μὲν οὐκ οἶδα·
σὺ μέντοι ἴσως πρότερον μὲν ᾔδησθα πρὶν ἐμοῦ ἅψασθαι· νῦν μέν-
τοι ὅμοιος εἶ οὐκ εἰδότι· ὅμως δὲ ἐθέλω μετὰ σοῦ σκέψασθαι καὶ συ-
ζητῆσαι ὅτι ποτέ ἐστιν: καὶ τίνα τρόπον ζητήσεις ὦ σώκρατες
τοῦτο ὃ μὴ οἶσθα τὸ παράπαν ὅτι ἐστίν· ποῖον γὰρ ὧν οὐκ οἶσθα
προθέμενος ζητήσεις· ἢ εἰ καὶ ὅτι μάλιστα ἐντύχοις αὐτῷ, πῶς
εἴσῃ ὅτι τοῦτό ἐστιν ὃ σὺ οὐκ ᾔδησθα: μανθάνω οἷον βούλει λέγειν
ὦ μένων· ὁρᾷς τοῦτον ὡς ἐριστικὸν λόγον κατάγεις ὡς οὐκ ἄρα
ἔστιν ζητεῖν ἀνθρώπῳ οὔτε ὃ οἶδε οὔτε ὃ μὴ οἶδε· οὔτε γὰρ ἄν γε
ὃ οἶδεν ζητοῖ· οἶδεν γὰρ καὶ οὐδὲν δεῖ τῷ γε τοιούτῳ ζητήσεως
οὔτε ὃ μὴ οἶδεν· οὐδὲ γὰρ οἶδεν ὅτι ζητήσει: οὐκοῦν καλῶς σοι δοκεῖ
λέγεσθαι ὁ λόγος οὗτος ὦ σώκρατες· οὐκ ἔμοιγε: ἔχεις λέγειν ὅ-
πῃ: ἔγωγε· ἀκήκοα γὰρ ἀνδρῶν τε καὶ γυναικῶν σοφῶν περὶ τὰ
θεῖα πράγματα: τίνα λόγον λεγόντων: ἀληθῆ ἔμοιγε δοκεῖν καὶ
καλόν: τίνα τοῦτον καὶ τίνες οἱ λέγοντες: οἱ μὲν λέγοντές εἰσι τῶν
ἱερέων τε καὶ τῶν ἱερειῶν ὅσοις μεμέληκε περὶ ὧν μεταχειρίζονται
λόγον οἵοις τ' εἶναι διδόναι· λέγει δὲ καὶ πίνδαρος καὶ ἄλλοι πολλοὶ

τῶν ποιητῶν ὅσοι θεῖοί εἰσιν· ἃ δὲ λέγουσιν ταυτί ἐστιν· ἀλλὰ σκόπει
εἴ σοι δοκοῦσιν ἀληθῆ λέγειν· φασὶ γὰρ τὴν ψυχὴν τοῦ ἀνθρώπου εἶναι
ἀθάνατον· καὶ τοτὲ μὲν τελευτᾶν· ὃ δὴ ἀποθνῄσκειν καλοῦσι· τοτὲ δὲ
πάλιν γίγνεσθαι· ἀπόλλυσθαι δ' οὐδέποτε· δεῖν δὴ διὰ ταῦτα ὡς ὁσι-
ώτατα διαβιῶναι τὸν βίον· οἷσιν γὰρ ἂν φερσεφόνα ποινὰν πα-
λαιοῦ πένθεος δέξεται· εἰς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτει ἀνδι-
δοῖ ψυχὰς πάλιν· ἐκ τᾶν βασιλῆες ἀγαυοὶ καὶ σθένει κραιπνοὶ σοφίαι
τε μέγιστοι ἄνδρες αὔξονται· ἐς δὲ τὸν λοιπὸν χρόνον ἥροες ἁγνοὶ
πρὸς ἀνθρώπων καλεῦνται· ἅτε οὖν ἡ ψυχὴ ἀθάνατός τε οὖσα καὶ
πολλάκις γεγονυῖα καὶ ἑωρακυῖα καὶ τὰ ἐνθάδε καὶ τὰ ἐν ἅιδου καὶ
πάντα χρήματα οὐκ ἔστιν ὅτι οὐ μεμάθηκεν· ὥστε οὐδὲν θαυμαστὸν
καὶ περὶ ἀρετῆς καὶ περὶ ἄλλων οἷόν τ' εἶναι αὐτὴν ἀναμνησθῆναι
ἅ γε καὶ πρότερον ἠπίστατο· ἅτε γὰρ τῆς φύσεως ἁπάσης συγ-
γενοῦς οὔσης καὶ μεμαθηκυίας τῆς ψυχῆς ἅπαντα· οὐδὲν κω-
λύει ἓν μόνον ἀναμνησθέντα ὃ δὴ μάθησιν καλοῦσιν ἄνθρωποι
τἆλλα πάντα αὐτὸν ἀνευρεῖν ἐάν τις ἀνδρεῖος ᾖ καὶ μὴ ἀποκά-
μνῃ ζητῶν· τὸ γὰρ ζητεῖν ἄρα καὶ τὸ μανθάνειν ἀνάμνησις ὅλον
ἐστίν· οὔκουν δεῖ πείθεσθαι τούτῳ τῷ ἐριστικῷ λόγῳ· οὗτος μὲν
γὰρ ἂν ἡμᾶς ἀργοὺς ποιήσειεν καὶ ἔστιν τοῖς μαλακοῖς τῶν ἀν-
θρώπων ἡδὺς ἀκοῦσαι· ὅδε δὲ ἐργαστικούς τε καὶ ζητητικοὺς
ποιεῖ· ᾧ ἐγὼ πιστεύων ἀληθεῖ εἶναι ἐθέλω μετὰ σοῦ ζητεῖν ἀ-
ρετὴ ὅτι ἐστίν: ναὶ ὦ σώκρατες· ἀλλὰ πῶς λέγεις τοῦτο ὅτι οὐ
μανθάνομεν ἀλλὰ ἣν καλοῦμεν μάθησιν ἀνάμνησίς ἐστιν· ἔχεις
με τοῦτο διδάξαι ὡς οὕτως ἔχει; καὶ ἄρτι εἶπον ὦ μένων ὅ-
τι πανοῦργος εἶ· καὶ νῦν ἐρωτᾷς εἰ ἔχω σε διδάξαι ὃς οὔ φημι
διδαχὴν εἶναι ἀλλ' ἀνάμνησιν· ἵνα δὴ εὐθὺς φαίνωμαι αὐτὸς ἐ- 459
μαυτῷ τἀναντία λέγων: οὐ μὰ τὸν δία ὦ σώκρατες οὐ πρὸς
τοῦτο βλέψας εἶπον· ἀλλ' ὑπὸ τοῦ ἔθους· ἀλλ' εἴ πώς μοι ἔχεις ἐν-
δείξασθαι ὅτι ἔχει ὥσπερ λέγεις ἔνδειξαι: ἀλλ' ἔστι μὲν οὐ ῥᾴδι-
ον· ὅμως δὲ ἐθέλω προθυμηθῆναι σοῦ ἕνεκα· ἀλλά μοι προσκά-
λεσον τῶν πολλῶν ἀκολούθων τουτωνὶ τῶν σαυτοῦ ἕνα ὅντινα βού-
λει ἵνα ἐν τούτῳ σοι ἐπιδείξωμαι: πάνυ γε: δεῦρο πρόσελ-
θε: ἕλλην μέν ἐστι καὶ ἑλληνίζει: πάνυ γε σφόδρα οἰκογενής:
πρόσεχε δὴ τὸν νοῦν ὁπότερ' ἄν σοι φαίνηται ἢ ἀναμιμνῃσκόμε-

μος καὶ μανθάνων παρ' ἐμοῦ· ἀλλὰ προσέχω· εἰπὲ δή μοι ὦ παῖ, γι-
γνώσκεις τετράγωνον χωρίον ὅτι τοιοῦτόν ἐστιν: ἔγωγε: ἔστιν οὖν
τετράγωνον χωρίον ἴσας ἔχον τὰς γραμμὰς ταύτας πάσας τέττα-
ρας οὔσας: πάνυ γε: οὐ καὶ ταυτασὶ τὰς διὰ μέσου ἐστὶν ἴσας ἔχον:
ναί: οὐκοῦν εἴη ἂν τοιοῦτον χωρίον καὶ μεῖζον καὶ ἔλαττον: πάνυ
γε: εἰ οὖν εἴη αὕτη ἡ πλευρὰ δυοῖν ποδοῖν καὶ αὕτη δυοῖν, πόσων
ἂν εἴη ποδῶν τὸ ὅλον; ὧδε δὲ σκόπει· εἰ ἦν ταύτῃ δυοῖν ποδοῖν ταύ-
τῃ δὲ ἑνὸς ποδὸς μόνον, ἄλλο τι ἅπαξ ἂν ἦν δυοῖν ποδοῖν τὸ χω-
ρίον: ναί: ἐπειδὴ δὲ δυοῖν ποδοῖν καὶ ταύτῃ, ἄλλο τι ἢ δὶς δυοῖν
γίγνεται: γίγνεται: δυοῖν ἄρα δὶς γίγνεται ποδῶν: ναί: πόσοι
οὖν εἰσιν οἱ δύο δὶς πόδες λογισάμενος εἰπέ: τέτταρες ὦ Σώ-
κρατες: οὐκοῦν γένοιτ' ἂν τούτου τοῦ χωρίου ἕτερον διπλάσιον
τοιοῦτον δὲ ἴσας ἔχον πάσας τὰς γραμμὰς ὥσπερ τοῦτο: ναί:
πόσων οὖν ἔσται ποδῶν: ὀκτώ: φέρε δὴ πειρῶ μοι εἰπεῖν πηλίκη
τις ἔσται ἑκάστη ἡ γραμμὴ ἐκείνου· ἡ μὲν γὰρ τοῦδε δυοῖν ποδοῖν·
τί δαὶ ἡ ἐκείνου τοῦ διπλασίου: δῆλον δὴ ὦ Σώκρατες ὅτι δι-
πλασία: ὁρᾷς ὦ Μένων ὡς ἐγὼ τοῦτον οὐδὲν διδάσκω ἀλλ' ἐρωτῶ
πάντα· καὶ νῦν οὗτος οἴεται εἰδέναι ὁποία ἐστὶν ἀφ' ἧς τὸ ὀκτώ-
πουν χωρίον γενήσεται ἢ οὐ δοκεῖ σοι: ἔμοιγε: οἶδεν οὖν: οὐ δῆ-
τα: οἴεται δέ γε ἀπὸ τῆς διπλασίας: ναί: θεῶ δὴ αὐτὸν ἀνα-
μιμνησκόμενον ἐφεξῆς ὡς δεῖ ἀναμιμνήσκεσθαι· σὺ δέ μοι λέγε·
ἀπὸ τῆς διπλασίας γραμμῆς φὴς τὸ διπλάσιον χωρίον γίγνε-
σθαι· τοιόνδε λέγω μὴ ταύτῃ μὲν μακρὸν τῇ δὲ βραχύ, ἀλλ' ἴσον παν-
ταχῇ ἔστω ὥσπερ τουτὶ διπλάσιον δὲ τούτου ὀκτώπουν· ἀλλ' ὅρα
εἰ ἔτι σοι ἀπὸ τῆς διπλασίας δοκεῖ ἔσεσθαι: ἔμοιγε: οὐκοῦν δι-
πλασία αὕτη ταύτης γίγνεται ἂν ἑτέραν τοσαύτην προσθῶμεν
ἐνθένδε: πάνυ γε: ἀπὸ ταύτης δὴ φὴς ἔσται τὸ ὀκτώπουν
χωρίον ἂν τέτταρες τοσαῦται γένωνται: ναί: ἀναγραψώμεθα
δὴ ἀπ' αὐτῆς ἴσας τέτταρας· ἄλλο τι ἢ τουτὶ ἂν εἴη ὃ φὴς τὸ ὀκτώ-
πουν εἶναι: πάνυ γε: οὐκοῦν ἐν αὐτῷ ἐστιν ταυτὶ τέτταρα ὧν
ἕκαστον ἴσον τούτῳ ἐστὶ τῷ τετράποδι: ναί: πόσον οὖν γί-
γνεται· οὐ τετράκις τοσοῦτον: πῶς δ' οὔ: διπλάσιον οὖν ἐστιν
τὸ τετράκις τοσοῦτον: οὐ μὰ Δία: ἀλλὰ ποσαπλάσιον: τετρα-
πλάσιον: ἀπὸ τῆς διπλασίας ἄρα ὦ παῖ οὐ διπλάσιον ἀλλὰ

τετραπλάσιον γίγνεται χωρίον: ἀληθῆ λέγεις: τεττάρων γὰρ
τετράκις ἐστὶν ἑκκαίδεκα· οὐχί; ναί: ὀκτώπουν δ' ἀπὸ ποίας
γραμμῆς· οὐχὶ ἀπὸ μὲν ταύτης τετραπλάσιον: φημί: τετρά
πουν δὲ ἀπὸ τῆς ἡμισέας ταυτησὶ τουτί: ναί· εἶεν· τὸ δὲ ὀκτώ
πουν οὐ τοῦδε μέν ἐστι διπλάσιον, τούτου δὲ ἥμισυ· οὐκ ἀπὸ μὲν μεί
ζονος ἔσται ἢ τοσαύτης γραμμῆς· ἀπὸ ἐλάττονος δὲ ἢ τοσησδί·
ἢ οὔ: ἔμοιγε δοκεῖ: οὕτω καλῶς· τὸ γάρ σοι δοκοῦν τοῦτο ἀποκρί
νου· καί μοι λέγε· οὐχ ἥδε μὲν δυοῖν ποδοῖν ἦν, ἡ δὲ τεττάρων: ναί:
δεῖ ἄρα τὴν τοῦ ὀκτώποδος χωρίου γραμμὴν μείζω μὲν εἶναι
τῆσδε τῆς δίποδος· ἐλάττω δὲ τῆς τετράποδος: δεῖ: πειρῶ δὴ
λέγειν πηλίκην τινὰ φῂς αὐτὴν εἶναι: τρίποδα: οὐκοῦν ἄν
περ τρίπους ᾖ, τὸ ἥμισυ ταύτης προσληψόμεθα καὶ ἔσται τρί
πους· δύο μὲν γὰρ οἵδε, ὁ δὲ εἷς· καὶ ἐντεῦθεν ὡσαύτως δύο μὲν οἵ 460
δε, ὁ δὲ εἷς· καὶ γίγνεται τοῦτο τὸ χωρίον ὃ φῄς: ναί: οὐκοῦν
ἂν ᾖ τῇδε τριῶν καὶ τῇδε τριῶν, τὸ ὅλον χωρίον τριῶν τρὶς ποδῶν
γίγνεται: φαίνεται: τρεῖς δὲ τρὶς πόσοι εἰσὶ πόδες: ἐννέα: ἔ
δει δὲ τὸ διπλάσιον πόσων εἶναι ποδῶν: ὀκτώ: οὐδ' ἄρ' ἀπὸ τῆς τρί
ποδός πω τὸ ὀκτώπουν χωρίον γίγνεται: οὐ δῆτα: ἀλλ' ἀπὸ ποί
ας; πειρῶ ἡμῖν εἰπεῖν ἀκριβῶς· καὶ εἰ μὴ βούλει ἀριθμεῖν, ἀλλὰ δεῖ
ξον ἀπὸ ποίας: ἀλλὰ μὰ τὸν Δία ὦ Σώκρατες ἔγωγε οὐκ οἶδα:
ἐννοεῖς αὖ ὦ Μένων οὗ ἐστιν ἤδη βαδίζων ὅδε τοῦ ἀναμιμνήσκεσθαι·
ὅτι τὸ μὲν πρῶτον ᾔδει μὲν οὔ, ἥτις ἐστὶν ἡ τοῦ ὀκτώποδος χωρί
ου γραμμή, ὥσπερ οὐδὲ νῦν πω οἶδεν· ἀλλ' οὖν ᾤετό γ' αὐτὴν τότε
εἰδέναι καὶ θαρραλέως ἀπεκρίνετο ὡς εἰδὼς καὶ οὐχ ἡγεῖτο ἀ
πορεῖν· νῦν δὲ ἡγεῖται ἀπορεῖν ἤδη καὶ ὥσπερ οὐκ οἶδεν οὐδ' οἴε
ται εἰδέναι: ἀληθῆ λέγεις: οὐκοῦν νῦν βέλτιον ἔχει περὶ τὸ
πρᾶγμα ὃ οὐκ ᾔδει: καὶ τοῦτό μοι δοκεῖ: ἀπορεῖν ἄρα αὐτὸν ποι
ήσαντες καὶ ναρκᾶν ὥσπερ ἡ νάρκη μῶν τι ἐβλάψαμεν: οὐκ ἔμοι
γε δοκεῖ: προὔργου γοῦν τι πεποιήκαμεν ὡς ἔοικε πρὸς τὸ ἐ
ξευρεῖν ὅπῃ ἔχει· νῦν μὲν γὰρ καὶ ζητήσειεν ἂν ἡδέως οὐκ εἰ
δώς· τότε δὲ ῥᾳδίως ἂν καὶ πρὸς πολλοὺς καὶ πολλάκις ᾤετ'
ἂν εὖ λέγειν περὶ τοῦ διπλασίου χωρίου ὡς δεῖ διπλασίαν τὴν
γραμμὴν ἔχειν μήκει: ἔοικεν: οἴει οὖν ἂν αὐτὸν πρότερον ἐπιχει
ρῆσαι ζητεῖν ἢ μανθάνειν τοῦτο ὃ ᾤετο εἰδέναι οὐκ εἰδώς

πρὶν εἰς ἀπορίαν κατέπεσεν ἡγησάμενος μὴ εἰδέναι καὶ ἐπόθη
σεν τὸ εἰδέναι: οὔ μοι δοκεῖ ὦ σώκρατες: ὤνητο ἄρα ναρκήσας:
δοκεῖ μοι: σκέψαι δὴ ἐκ ταύτης τῆς ἀπορίας ὅτι καὶ ἀνευρήσει
ζητῶν μετ' ἐμοῦ οὐδὲν ἀλλ' ἢ ἐρωτῶντος ἐμοῦ καὶ οὐ διδάσκοντος·
φύλαττε δὲ ἄν που εὕρῃς με διδάσκοντα καὶ διεξιόντα αὐτῷ ἀλ
λὰ μὴ τὰς τούτου δόξας ἀνερωτῶντα· λέγε γάρ μοι σύ· οὐ τὸ μὲν τε
τράπουν τοῦτο ἡμῖν ἐστι χωρίον· μανθάνεις; ἔγωγε: ἕτερον δὲ
αὐτῷ προσθεῖμεν ἂν τουτὶ ἴσον: ναί: καὶ τρίτον τόδε ἴσον ἑκα
τέρῳ τούτων: ναί: οὐκοῦν προσαναπληρωσαίμεθ' ἂν τὸ ἐν τῇ
γωνίᾳ τόδε: πάνυ γε: ἄλλο τι οὖν γένοιτ' ἂν τέτταρα ἴσα χωρία
τάδε: ναί: τί οὖν τὸ ὅλον τόδε ποσαπλάσιον τοῦδε γίγνεται: τε
τραπλάσιον: ἔδει δὲ διπλάσιον ἡμῖν γενέσθαι· ἢ οὐ μέμνησαι:
πάνυ γε: οὐκοῦν ἔστιν αὕτη γραμμὴ ἐκ γωνίας εἰς γωνίαν τινὰ
τέμνουσα δίχα ἕκαστον τούτων τῶν χωρίων: ναί: οὐκοῦν τέτα
ρες αὗται γίγνονται γραμμαὶ ἴσαι περιέχουσαι τουτὶ τὸ χωρίον:
γίγνονται: σκόπει δὴ πηλίκον τί ἐστιν τοῦτο τὸ χωρίον: οὐ μανθά
νω: οὐχὶ τεττάρων ὄντων τούτων ἥμισυ ἑκάστου ἑκάστη ἡ γραμμὴ
ἀποτέτμηκεν ἐντὸς ἢ οὔ: ναί: πόσα οὖν τηλικαῦτα ἐν τούτῳ ἔ
νεστιν: τέτταρα: πόσα δὲ ἐν τῷδε: δύο: τὰ δὲ τέτταρα τοῖν δυ
οῖν τί ἐστιν: διπλάσια: τόδε οὖν ποσάπουν γίγνεται: ὀκτώπουν:
ἀπὸ ποίας γραμμῆς: ἀπὸ ταύτης: ἀπὸ τῆς ἐκ γωνίας εἰς
γωνίαν τεινούσης τοῦ τετράποδος: ναί: καλοῦσιν δέ γε ταύ
την διάμετρον οἱ σοφισταί· ὥστ' εἰ ταύτῃ διάμετρος ὄνομα· ἀπὸ
τῆς διαμέτρου ἄν ὡς σὺ φῂς ὦ παῖ μένωνος γίγνοιτ' ἂν τὸ
διπλάσιον χωρίον: πάνυ μὲν οὖν ὦ σώκρατες: τί σοι δοκεῖ ὦ μέ
νων· ἔστιν ἥντινα δόξαν οὐχ αὑτοῦ οὗτος ἀπεκρίνατο: οὔκ ἀλλ' ἑ
αυτοῦ: καὶ μὴν οὐκ ᾔδει γε ὡς ἔφαμεν ὀλίγον πρότερον: ἀληθῆ
λέγεις: ἐνῆσαν δέ γε αὐτῷ αὗται αἱ δόξαι ἢ οὔ: ναί: τῷ οὐκ εἰ
δότι ἄρα περὶ ὧν ἂν μὴ εἰδῇ· ἔνεισιν ἀληθεῖς δόξαι περὶ τούτων
ὧν οὐκ οἶδε: φαίνεται: καὶ νῦν μέν γε αὐτῷ ὥσπερ ὄναρ ἄρτι ἀνα
κεκίνηνται αἱ δόξαι αὗται· εἰ δὲ αὐτόν τις ἀνερήσεται πολλά
κις τὰ αὐτὰ ταῦτα καὶ πολλαχῇ· οἶσθ' ὅτι τελευτῶν οὐδενὸς ἧτ
τον ἀκριβῶς ἐπιστήσεται περὶ τούτων: ἔοικεν: οὐκοῦν οὐδενὸς
διδάξαντος ἀλλ' ἐρωτήσαντος ἐπιστήσεται ἀναλαβὼν αὐτὸς ἐξ αὑ

τοῦ τὴν ἐπιστήμην: ναί: τὸ δὲ ἀναλαμβάνειν αὐτὸν ἐν αὑτῷ ἐπιστή-
μην οὐκ ἀναμιμνήσκεσθαί ἐστιν: πάνυ γε: ἆρ' οὖν οὐ τὴν ἐπιστήμην
ἣν νῦν οὗτος ἔχει ἤτοι ἔλαβέν ποτε ἢ ἀεὶ εἶχεν: ναί: οὐκοῦν εἰ
μὲν ἀεὶ εἶχεν, ἀεὶ καὶ ἦν ἐπιστήμων· εἰ δὲ ἔλαβέν ποτε, οὐκ ἂν
ἔν γε τῷ νῦν βίῳ εἰληφὼς εἴη. ἢ δεδίδαχέν τις τοῦτον γεωμετρεῖν·
οὗτος γὰρ ποιήσει περὶ πάσης γεωμετρίας ταὐτὰ ταῦτα καὶ τῶν
ἄλλων μαθημάτων ἁπάντων. ἔστιν οὖν ὅστις τοῦτον πάντα δεδίδα-
χεν; δίκαιος γάρ που εἶ εἰδέναι. ἄλλως τε ἐπειδὴ ἐν τῇ σῇ οἰκίᾳ
γέγονεν καὶ τέθραπται: ἀλλ' οἶδα ἔγωγε ὅτι οὐδεὶς πώποτε ἐ-
δίδαξεν: ἔχει δὲ ταύτας τὰς δόξας ἢ οὐχί: ἀνάγκη ὦ Σώκρα-
τες φαίνεται: εἰ δὲ μὴ ἐν τῷ νῦν βίῳ λαβὼν, οὐκ ἤδη τοῦτο δῆλον
ὅτι ἐν ἄλλῳ τινὶ χρόνῳ εἶχε καὶ ἐμεμαθήκει: φαίνεται: οὐκοῦν
οὗτός γέ ἐστιν ὁ χρόνος ὅτ' οὐκ ἦν ἄνθρωπος: ναί: εἰ οὖν ὅν τ' ἂν
ᾖ χρόνον καὶ ὃν ἂν μὴ ᾖ ἄνθρωπος, ἐνέσονται αὐτῷ ἀληθεῖς
δόξαι, αἳ ἐρωτήσει ἐπεγερθεῖσαι ἐπιστῆμαι γίγνονται. ἆρ' οὖν τὸν
ἀεὶ χρόνον μεμαθηκυῖα ἔσται ἡ ψυχὴ αὐτοῦ· δῆλον γὰρ ὅτι τὸν πάν-
τα χρόνον ἔστιν ἢ οὐκ ἔστιν ἄνθρωπος: φαίνεται: οὐκοῦν εἰ ἀεὶ
ἡ ἀλήθεια ἡμῖν τῶν ὄντων ἐστὶν ἐν τῇ ψυχῇ, ἀθάνατος ἂν ἡ ψυχὴ εἴη·
ὥστε θαρροῦντα χρὴ ὃ μὴ τυγχάνεις ἐπιστάμενος νῦν, τοῦτο δ' ἐστὶν
ὃ μὴ μεμνημένος, ἐπιχειρεῖν ζητεῖν καὶ ἀναμιμνήσκεσθαι: εὖ μοι
δοκεῖς λέγειν ὦ Σώκρατες, οὐκ οἶδ' ὅπως: καὶ γὰρ ἐγὼ ἐμοὶ ὦ
Μένων. καὶ τὰ μέν γε ἄλλα οὐκ ἂν πάνυ ὑπὲρ τοῦ λόγου διισχυρι-
σαίμην· ὅτι δ' οἰόμενοι δεῖν ζητεῖν ἃ μή τις οἶδεν βελτίους ἂν εἶ-
μεν καὶ ἀνδρικώτεροι καὶ ἧττον ἀργοὶ ἢ εἰ οἰοίμεθα ἃ μὴ ἐπι-
στάμεθα μηδὲ δυνατὸν εἶναι εὑρεῖν μηδὲ δεῖν ζητεῖν, περὶ τού-
του πάνυ ἂν διαμαχοίμην εἰ οἷός τε εἴην καὶ λόγῳ καὶ ἔργῳ:
καὶ τοῦτο μέν γε δοκεῖς μοι εὖ λέγειν ὦ Σώκρατες: βούλει οὖν
ἐπειδὴ ὁμονοοῦμεν ὅτι ζητητέον περὶ οὗ μή τις οἶδεν, ἐπιχειρή-
σωμεν κοινῇ ζητεῖν τί ποτ' ἐστὶν ἀρετή: πάνυ μὲν οὖν. οὐ μέντοι ὦ
Σώκρατες, ἀλλ' ἔγωγε ἐκεῖνο ἂν ἥδιστα, ὅπερ ἠρόμην τὸ πρῶτον
καὶ σκεψαίμην καὶ ἀκούσαιμι, πότερον ὡς διδακτῷ ὄντι αὐτῷ δεῖ
ἐπιχειρεῖν, ἢ ὡς φύσει, ἢ ὥς τινί ποτε τρόπῳ παραγιγνομένης
τοῖς ἀνθρώποις τῆς ἀρετῆς: ἀλλ' εἰ μὲν ἐγὼ ἦρχον ὦ Μένων
μὴ μόνον ἐμαυτοῦ ἀλλὰ καὶ σοῦ, οὐκ ἂν ἐσκεψάμεθα πρότερον

εἴτε διδακτὸν εἴτε οὐ διδακτὸν ἡ ἀρετή, πρὶν ὅ τι ἐστὶν πρῶτον ἐζητή-
σαμεν αὐτό. ἐπειδὴ δὲ σὺ σαυτοῦ μὲν οὐδ' ἐπιχειρεῖς ἄρχειν, ἵνα δὴ
ἐλεύθερος ᾖς, ἐμοῦ δὲ ἐπιχειρεῖς τε ἄρχειν καὶ ἄρχεις, συγχω-
ρήσομαί σοι· τί γὰρ χρὴ ποιεῖν; ἔοικεν οὖν σκεπτέον εἶναι ποῖόν
τι ἐστὶν ὃ μήπω ἴσμεν ὅ τι ἐστίν. εἰ μή τι οὖν, ἀλλὰ σμικρόν γέ μοι τῆς
ἀρχῆς χάλασον, καὶ συγχώρησον ἐξ ὑποθέσεως αὐτὸ σκοπεῖ-
σθαι, εἴτε διδακτόν ἐστιν εἴτε ὁπωσοῦν. λέγω δὲ τὸ ἐξ ὑποθέσε-
ως ὧδε, ὥσπερ οἱ γεωμέτραι πολλάκις σκοποῦνται, ἐπειδάν
τις ἔρηται αὐτούς, οἷον περὶ χωρίου, εἰ οἷόν τε ἐς τόνδε τὸν κύκλον
τόδε τὸ χωρίον τρίγωνον ἐνταθῆναι, εἴποι ἄν τις ὅτι οὔπω οἶ-
δα εἰ ἔστιν τοῦτο τοιοῦτον, ἀλλ' ὥσπερ μέν τινα ὑπόθεσιν προὔρ-
γου οἶμαι ἔχειν πρὸς τὸ πρᾶγμα τοιάνδε· εἰ μέν ἐστιν τοῦτο τὸ χω-
ρίον τοιοῦτον οἷον παρὰ τὴν δοθεῖσαν αὐτοῦ γραμμὴν παρατεί-
ναντα ἐλλείπειν τοιούτῳ χωρίῳ οἷον ἂν αὐτὸ τὸ παρατεταμένον
ᾖ, ἄλλο τι συμβαίνειν μοι δοκεῖ, καὶ ἄλλο αὖ, εἰ ἀδύνατόν ἐστιν ταῦτα
παθεῖν. ὑποθέμενος οὖν ἐθέλω εἰπεῖν σοι τὸ συμβαῖνον περὶ
τῆς ἐντάσεως αὐτοῦ εἰς τὸν κύκλον, εἴτε ἀδύνατον εἴτε μή. οὕτω
δὴ καὶ περὶ ἀρετῆς ἡμεῖς, ἐπειδὴ οὐκ ἴσμεν οὔθ' ὅ τι ἐστὶν οὔθ' ὁποῖόν
τι, ὑποθέμενοι αὐτὸ σκοπῶμεν εἴτε διδακτὸν εἴτε οὐ διδακτόν
ἐστιν, ὧδε λέγοντες· εἰ ποῖόν τί ἐστιν τῶν περὶ τὴν ψυχὴν ὄντων ἀρε-
τή, διδακτὸν ἂν εἴη ἢ οὐ διδακτόν; πρῶτον μὲν εἰ ἔστιν ἀλλοῖον ἢ
οἷον ἐπιστήμη, ἆρα διδακτὸν ἢ οὔ, ἢ ὃ νῦν δὴ ἐλέγομεν, ἀναμνηστόν·
διαφερέτω δὲ μηδὲν ἡμῖν ὁποτέρῳ ἂν τῷ ὀνόματι χρώμεθα·
ἀλλ' ἆρα διδακτόν; ἢ τοῦτό γε παντὶ δῆλον ὅτι οὐδὲν ἄλλο διδάσκε-
ται ἄνθρωπος ἢ ἐπιστήμην: ἔμοιγε δοκεῖ: εἰ δέ γ' ἐστὶν ἐπιστή-
μη τις ἡ ἀρετή, δῆλον ὅτι διδακτὸν ἂν εἴη: πῶς γὰρ οὔ: τούτου
μὲν ἄρα ταχὺ ἀπηλλάγμεθα, ὅτι τοιοῦδε μὲν ὄντος διδακτόν,
τοιοῦδε δ' οὔ: πάνυ γε: τὸ δὴ μετὰ τοῦτο, ὡς ἔοικε, δεῖ σκέψασθαι
πότερόν ἐστιν ἐπιστήμη ἡ ἀρετὴ ἢ ἀλλοῖον ἐπιστήμης: ἔμοιγε δο-
κεῖ τοῦτο μετὰ τοῦτο σκεπτέον εἶναι: τί δαὶ δή; ἄλλο τι ἢ ἀγαθὸν αὐ-
τὸ φαμὲν εἶναι τὴν ἀρετήν, καὶ αὕτη ἡ ὑπόθεσις μένει ἡμῖν, ἀγα-
θὸν αὐτὸ εἶναι: πάνυ μὲν οὖν: οὐκοῦν εἰ μέν τί ἐστιν ἀγαθὸν καὶ
ἄλλο χωριζόμενον ἐπιστήμης, τάχ' ἂν εἴη ἡ ἀρετὴ οὐκ ἐπιστήμη
τις· εἰ δὲ μηδέν ἐστιν ἀγαθὸν ὃ οὐκ ἐπιστήμη περιέχει, ἐπιστήμην

τοῦ δ εἰστ
ἐκτάσεως

ἄρτι αὐτὸ ὑποπτεύοντες εἶναι ὀρθῶς ὑποπτεύοιμεν· ἔστι ταῦτα·
καὶ μὴν ἀρετῆι γ' ἐσμὲν ἀγαθοί· ναί· εἰ δὲ ἀγαθοί, ὠφέλιμοι· πάντα
γὰρ ἀγαθὰ ὠφέλιμα· οὐχί; ναί· καὶ ἡ ἀρετὴ δὴ ὠφέλιμόν ἐστιν;
ἀνάγκη ἐκ τῶν ὡμολογημένων· σκεψώμεθα δὴ καθ' ἕκαστον
ἀναλαμβάνοντες ποῖά ἐστιν ἃ ἡμᾶς ὠφελεῖ· ὑγίεια φαμὲν καὶ
ἰσχὺς καὶ κάλλος καὶ πλοῦτος δή· ταῦτα λέγομεν καὶ τὰ τοιαῦτα
ὠφέλιμα· οὐχί; ναί· ταὐτὰ δὴ ταῦτα φαμὲν ἐνίοτε καὶ βλάπτειν·
ἢ σὺ ἄλλως φῂς ἢ οὕτως; οὐκ, ἀλλ' οὕτως· σκόπει δή, ὅταν τί ἕ-
καστον τούτων ἡγῆται, ὠφελεῖ ἡμᾶς, καὶ ὅταν τί, βλάπτει· ἆρ' οὐ-
χ' ὅταν μὲν ὀρθὴ χρῆσις, ὠφελεῖ, ὅταν δὲ μή, βλάπτει; πάνυ γε·
ἔτι τοίνυν καὶ τὰ κατὰ τὴν ψυχὴν σκεψώμεθα· σωφροσύνην τι
καλεῖς καὶ δικαιοσύνην καὶ ἀνδρείαν καὶ εὐμαθίαν καὶ μνήμην
καὶ μεγαλοπρέπειαν καὶ πάντα τὰ τοιαῦτα; ἔγωγε· σκόπει
δὴ τούτων ἅττα σοι δοκεῖ μὴ ἐπιστήμη εἶναι ἀλλ' ἄλλο ἐπιστήμης,
ἢ οὐχὶ ποτὲ μὲν βλάπτει, τοτὲ δὲ ὠφελεῖ· οἷον ἀνδρεία, εἰ μὴ ἔστι
φρόνησις ἡ ἀνδρεία ἀλλ' οἷον θάρρος τι· οὐχ ὅταν μὲν ἄνευ νοῦ
θαρρῆι ἄνθρωπος, βλάπτεται, ὅταν δὲ σὺν νῶι, ὠφελεῖται; ναί·
οὐκοῦν καὶ σωφροσύνη ὡσαύτως καὶ εὐμαθία· μετὰ μὲν νοῦ καὶ
μανθανόμενα καὶ καταρτυόμενα ὠφέλιμα· ἄνευ δὲ νοῦ βλα-
βερά; πάνυ σφόδρα· οὐκοῦν συλλήβδην πάντα τὰ τῆς ψυ-
χῆς ἐπιχειρήματα καὶ καρτερήματα ἡγουμένης μὲν φρο-
νήσεως εἰς εὐδαιμονίαν τελευτᾶι, ἀφροσύνης δ' εἰς τοὐναντί-
ον; ἔοικεν· εἰ ἄρα ἀρετὴ τῶν ἐν τῆι ψυχῆι τί ἐστιν καὶ ἀναγκαῖον
αὐτῶι ὠφελίμωι εἶναι, φρόνησιν αὐτὸ δεῖ εἶναι· ἐπειδήπερ πάν-
τα τὰ κατὰ τὴν ψυχὴν αὐτὰ μὲν καθ' αὑτὰ οὔτε ὠφέλιμα οὔ-
τε βλαβερά ἐστιν, προσγενομένης δὲ φρονήσεως ἢ ἀφροσύ-
νης, βλαβερά τε καὶ ὠφέλιμα γίγνεται· κατὰ δὴ τοῦτον τὸν λό-
γον ὠφέλιμόν γε οὖσαν τὴν ἀρετὴν φρόνησιν δεῖ τιν' εἶναι·
ἔμοιγε δοκεῖ· καὶ μὲν δὴ καὶ τἆλλα ἃ νῦν δὴ ἐλέγομεν, πλοῦ-
τόν τε καὶ τὰ τοιαῦτα, τοτὲ μὲν ἀγαθὰ τοτὲ δὲ βλαβερὰ εἶναι·
ἆρα οὐχ ὥσπερ τῆι ἄλληι ψυχῆι ἡ φρόνησις ἡγουμένη ὠφέ-
λιμα τὰ τῆς ψυχῆς ἐποίει, ἡ δὲ ἀφροσύνη βλαβερά, οὕτως
αὖ καὶ τούτοις ἡ ψυχὴ ὀρθῶς μὲν χρωμένη καὶ ἡγουμένη ὠ-
φέλιμα αὐτὰ ποιεῖ, μὴ ὀρθῶς δὲ βλαβερά; πάνυ γε· ὀρθῶς

λέγεις ἔμφρων μὲν ἡγεῖται, ἡμαρτημένως δὲ ἄφρων· ἔστι ταῦτα·
οὐκοῦν οὕτω δὴ κατὰ πάντων εἰπεῖν ἔστιν τῷ ἀνθρώπῳ τὰ μὲν ἄλ-
λα πάντα εἰς τὴν ψυχὴν ἀνηρτῆσθαι· τὰ δὲ τῆς ψυχῆς αὐτῆς εἰς
φρόνησιν εἰ μέλλει ἀγαθὰ εἶναι· καὶ τούτῳ τῷ λόγῳ φρόνησις
ἂν εἴη τὸ ὠφέλιμον· φαμὲν δὲ τὴν ἀρετὴν ὠφέλιμον εἶναι· πάνυ γε·
φρόνησιν ἄρα φαμὲν ἀρετὴν εἶναι ἤτοι ξύμπασαν ἢ μέρος τι· δοκεῖ
μοι καλῶς λέγεσθαι ὦ σώκρατες τὰ λεγόμενα· οὐκοῦν εἰ ταῦτα
οὕτως ἔχει· οὐκ ἂν εἶεν φύσει οἱ ἀγαθοί· οὔ μοι δοκεῖ· καὶ γὰρ ἂν
που καὶ τόδ' ἦν· εἰ φύσει οἱ ἀγαθοὶ ἐγίγνοντο· ἦσάν που ἂν ἡμῖν οἳ ἐ-
γίγνωσκον τῶν νέων τοὺς ἀγαθοὺς τὰς φύσεις· οὓς ἡμεῖς ἂν
παραλαβόντες ἐκείνων ἀποφηνάντων· ἐφυλάττομεν ἂν ἐν ἀκροπό-
λει κατασημηνάμενοι πολὺ μᾶλλον ἢ τὸ χρυσίον ἵνα μηδεὶς αὐτοὺς
διέφθειρεν· ἀλλ' ἐπειδὴ ἀφίκοιντο εἰς τὴν ἡλικίαν χρήσιμοι γίγνοιν-
το ταῖς πόλεσι· εἰκός γε ὦ σώκρατες· ἆρ' οὖν ἐπειδὴ οὐ φύσει
οἱ ἀγαθοὶ ἀγαθοὶ γίγνονται ἆρα μαθήσει· δοκεῖ μοι ἤδη ἀναγκαῖ-
ον εἶναι· καὶ δῆλον ὦ σώκρατες κατὰ τὴν ὑπόθεσιν εἴπερ ἐπιστήμη
ἐστὶν ἀρετή· ὅτι διδακτόν ἐστιν· ἴσως νὴ δία· ἀλλὰ μὴ τοῦτο οὐ κα-
λῶς ὡμολογήσαμεν· καὶ μὴν ἐδόκει μὲν ἄρτι καλῶς λέγεσθαι·
ἀλλὰ μὴ οὐκ ἐν τῷ ἄρτι μόνον δέῃ αὐτὸ δοκεῖν καλῶς λέγεσθαι. ἀλλὰ
καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ ἔπειτα εἰ μέλλει τι αὐτοῦ ὑγιὲς εἶναι· τί οὖν
δὴ πρὸς τί βλέπων δυσχεραίνεις αὐτὸ καὶ ἀπιστεῖς μὴ οὐκ ἐπιστή-
μη ᾖ ἡ ἀρετή· ἐγώ σοι ἐρῶ ὦ μένων· τὸ μὲν γὰρ διδακτὸν αὐτὸ εἶναι
463 εἴπερ ἐπιστήμη ἐστὶν οὐκ ἀνατίθεμαι μὴ οὐ καλῶς λέγεσθαι· ὅτι δὲ οὐ-
κ ἔστιν ἐπιστήμη. σκέψαι ἐάν σοι δοκῶ εἰκότως ἀπιστεῖν· τόδε γάρ μοι
εἰπέ· εἰ ἔστιν διδακτὸν ὁτιοῦν πρᾶγμα μὴ μόνον ἀρετή. οὐκ ἀναγκαῖ-
ον αὐτοῦ καὶ διδασκάλους καὶ μαθητὰς εἶναι· ἔμοιγε δοκεῖ· οὐ-
κοῦν τοὐναντίον αὖ οὗ μήτε διδάσκαλοι μήτε μαθηταὶ εἶεν καλῶς
ἂν αὐτὸ εἰκάζοντες εἰκάζοιμεν μὴ διδακτὸν εἶναι· ἔστι ταῦτα· ἀλλ'
ἀρετῆς διδάσκαλοι οὐ δοκοῦσί σοι εἶναι· πολλάκις γοῦν ζητῶν
εἴ τινές εἰσιν αὐτῆς διδάσκαλοι. πάντα ποιῶν οὐ δύναμαι εὑρεῖν·
καίτοι μετὰ πολλῶν γε ζητῶ καὶ τούτων μάλιστα οὓς ἂν οἴωμαι ἐμ-
πειροτάτους εἶναι τοῦ πράγματος· καὶ δὴ καὶ νῦν ὦ μένων εἰς
καλὸν ἡμῖν ἄνυτος ὅδε παρεκαθέζετο ᾧ μεταδῶμεν τῆς ζητήσε-
ως· εἰκότως δ' ἂν μεταδοῖμεν· ἄνυτος γὰρ ὅδε πρῶτον μέν ἐστι

πατρὸς πλουσίου καὶ σοφοῦ ἀνθεμίωνος· ὃς ἐγένετο πλούσι
ος οὐκ ἀπὸ τοῦ αὐτομάτου οὐδὲ δόντος τινὸς· ὥσπερ ὁ νῦν νεωστὶ
εἰληφὼς τὰ πολυκράτους χρήματα ἰσμηνίας ὁ θηβαῖος· ἀλλὰ τῇ
αὑτοῦ σοφίᾳ κτησάμενος καὶ ἐπιμελείᾳ· ἔπειτα καὶ τὰ ἄλλα οὐχ
ὑπερήφανος δοκῶν εἶναι πολίτης οὐδὲ ὀγκώδης τε καὶ ἐπαχθής·
ἀλλὰ κόσμιος καὶ εὐσταλὴς ἀνήρ· ἔπειτα τοῦτον εὖ ἔθρεψεν καὶ ἐπαί
δευσεν ὡς δοκεῖ ἀθηναίων τῷ πλήθει· αἱροῦνται γοῦν αὐτὸν ἐπὶ
τὰς μεγίστας ἀρχάς· δίκαιον δὴ μετὰ τοιούτων ζητεῖν ἀρετῆς πέρι
διδασκάλους εἴτ' εἰσὶν εἴτε μή· καὶ οἵτινες· σὺ οὖν ἡμῖν ὦ ἄνυτε συ
ζήτησον ἐμοί τε καὶ τῷ σαυτοῦ ξένῳ μένωνι· τῷδε περὶ τούτου
τοῦ πράγματος τίνες ἂν εἶεν διδάσκαλοι· ὧδε δὲ σκέψαι· εἰ βου
λοίμεθα μένωνα τόνδε ἀγαθὸν ἰατρὸν γενέσθαι· παρὰ τίνας
ἂν αὐτὸν πέμποιμεν διδασκάλους· ἆρ' οὐ παρὰ τοὺς ἰατρούς:
πάνυ γε: τί δ' εἰ σκυτοτόμον ἀγαθὸν βουλοίμεθα γενέσθαι· ἆρ' οὐ
παρὰ τοὺς σκυτοτόμους: ναί: καὶ τἆλλα οὕτως: πάνυ γε: ὧδε
δή μοι πάλιν περὶ τῶν αὐτῶν εἰπέ· παρὰ τοὺς ἰατροὺς φαμὲν πέμ
ποντες τόνδε καλῶς ἂν ἐπέμπομεν βουλόμενοι ἰατρὸν γενέσθαι·
ἆρ' ὅταν τοῦτο λέγωμεν τόδε λέγομεν ὅτι παρὰ τούτους πέμποντες
αὐτὸν σωφρονοῖμεν ἂν τοὺς ἀντιποιουμένους τε τῆς τέχνης
μᾶλλον ἢ τοὺς μή· καὶ τοὺς μισθὸν πραττομένους ἐπ' αὐτῷ τού
τῳ ἀποφήναντας αὑτοὺς διδασκάλους τοῦ βουλομένου ἰέ
ναι τε καὶ μανθάνειν· ἆρ' οὐ πρὸς ταῦτα βλέψαντες καλῶς ἂν πέμ
ποιμεν: ναί: οὐκοῦν καὶ περὶ αὐλήσεως καὶ τῶν ἄλλων τὰ αὐ
τὰ ταῦτα πολλὴ ἄνοιά ἐστι βουλομένοις αὐλητήν τινα ποιῆσαι
παρὰ μὲν τοὺς ὑπισχνουμένους διδάξειν τὴν τέχνην καὶ μι
σθὸν πραττομένους μὴ ἐθέλειν πέμπειν· ἄλλοις δέ τισι πρά
γματα παρέχειν· ζητοῦντα μανθάνειν παρὰ τούτων οἳ μήτε προ
σποιοῦνται διδάσκαλοι εἶναι μήτ' ἔστιν αὐτῶν μαθητὴς μηδεὶς τού
του τοῦ μαθήματος ὃ ἡμεῖς ἀξιοῦμεν μανθάνειν παρ' αὐτῶν ὃν ἂν
πέμπωμεν· οὐ πολλή σοι δοκεῖ ἀλογία εἶναι; καὶ ναὶ μὰ δία ἔμοι
γε καὶ ἀμαθία γε πρός: καλῶς λέγεις· νῦν τοίνυν ἔξεστί σοι μετ' ἐ
μοῦ κοινῇ βουλεύεσθαι περὶ τοῦ ξένου τουτουῒ μένωνος· οὗτος
γὰρ ὦ ἄνυτε πάλαι λέγει πρός με ὅτι ἐπιθυμεῖ ταύτης τῆς σο
φίας καὶ ἀρετῆς ᾗ οἱ ἄνθρωποι τάς τε οἰκίας καὶ τὰς πόλεις καλ

λῶς διοικοῦσι καὶ τοὺς γονέας τοὺς αὐτῶν θεραπεύουσι καὶ πολί-
τας καὶ ξένους ὑποδέξασθαί τε καὶ ἀποπέμψαι ἐπίστανται ἀξίως
ἀνδρὸς ἀγαθοῦ· ταύτην οὖν τὴν ἀρετὴν σκόπει παρὰ τίνας ἂν πέμ-
ποντες αὐτὸν ὀρθῶς πέμποιμεν· ἢ δῆλον δὴ κατὰ τὸν ἄρτι λόγον ὅ-
τι παρὰ τούτους τοὺς ὑπισχνουμένους ἀρετῆς διδασκάλους
εἶναι καὶ ἀποφήναντας αὐτοὺς κοινοὺς τῶν Ἑλλήνων τῷ βουλο-
μένῳ μανθάνειν μισθὸν τούτου ταξαμένους τε καὶ πραττομένους:
καὶ τίνας λέγεις τούτους ὦ Σώκρατες: οἶσθα δήπου καὶ σὺ ὅτι
οὗτοί εἰσιν οὓς οἱ ἄνθρωποι καλοῦσι σοφιστάς: Ἡράκλεις εὐφή-
μει ὦ Σώκρατες· μηδένα τῶν συγγενῶν μήτε οἰκείων μήτε φίλων·
μήτε ἀστὸν μήτε ξένον τοιαύτη μανία λάβοι ὥστε παρὰ τούτους ἐλ-
θόντα λωβηθῆναι· ἐπεὶ οὗτοί γε φανερά ἐστι λώβη τε καὶ διαφθορὰ
τῶν συγγιγνομένων: πῶς λέγεις ὦ Ἄνυτε: οὗτοι ἄρα μόνοι τῶν
ἀντιποιουμένων τι ἐπίστασθαι εὐεργετεῖν τοσοῦτον τῶν ἄλλων δια-
464 φέρουσιν ὅσον οὐ μόνον οὐκ ὠφελοῦσιν ὥσπερ οἱ ἄλλοι ὅτι ἄν τις
αὐτοῖς παραδῷ· ἀλλὰ καὶ τὸ ἐναντίον διαφθείρουσιν καὶ τούτων φα-
νερῶς χρήματα ἀξιοῦσι πράττεσθαι: ἐγὼ μὲν οὖν οὐκ ἔχω ὅ-
πως σοι πιστεύσω· οἶδα γὰρ ἄνδρα ἕνα Πρωταγόραν πλείω χρή-
ματα κτησάμενον ἀπὸ ταύτης τῆς σοφίας ἢ Φειδίαν τε ὃς οὕ-
τω περιφανῶς καλὰ ἔργα εἰργάζετο· καὶ ἄλλους δέκα τῶν ἀνδρι-
αντοποιῶν· καίτοι τέρας λέγεις εἰ οἱ μὲν τὰ ὑποδήματα ἐργα-
ζόμενοι τὰ παλαιὰ καὶ τὰ ἱμάτια ἐξακούμενοι οὐκ ἂν δύναιντο
λαθεῖν τριάκοντα ἡμέρας μοχθηρότερα ἀποδιδόντες ἢ παρέ-
λαβον τὰ ἱμάτιά τε καὶ ὑποδήματα· ἀλλ' εἰ τοιαῦτα ποιοῖεν ταχὺ
ἂν τῷ λιμῷ ἀποθάνοιεν· Πρωταγόρας δὲ ἄρα ὅλην τὴν Ἑλλά-
δα ἐλάνθανεν διαφθείρων τοὺς συγγιγνομένους καὶ μοχθηρο-
τέρους ἀποπέμπων ἢ παρελάμβανεν πλέον ἢ τετταράκοντα
ἔτη· οἶμαι γὰρ αὐτὸν ἀποθανεῖν ἐγγὺς καὶ ἑβδομήκοντα ἔτη γε-
γονότα· τετταράκοντα δὲ ἐν τῇ τέχνῃ ὄντα· καὶ ἐν ἅπαντι
τῷ χρόνῳ τούτῳ ἔτι εἰς τὴν ἡμέραν ταυτηνὶ εὐδοκιμῶν οὐδὲν πέ-
παυται· καὶ οὐ μόνον Πρωταγόρας· ἀλλὰ καὶ ἄλλοι πάμπολλοι οἱ
μὲν πρότερον γεγονότες ἐκείνου οἱ δὲ καὶ νῦν ἔτι ὄντες· πότερον
δὴ οὖν φῶμεν κατὰ τὸν σὸν λόγον εἰδότας αὐτοὺς ἐξαπατᾶν
καὶ λωβᾶσθαι τοὺς νέους ἢ λεληθέναι καὶ ἑαυτούς· καὶ οὕτω μαί-

μαίνεσθαι ἀξιώσομεν τούτους οὓς ἔνιοί φασι σοφωτάτους ἀνθρώπους
εἶναι: πολλοῦ γε δέουσι μαίνεσθαι ὦ σώκρατες· ἀλλὰ πολὺ μᾶλλον οἱ
τούτοις διδόντες ἀργύριον τῶν νέων· τούτων δ᾽ ἔτι μᾶλλον οἱ τούτοις
ἐπιτρέποντες οἱ προσήκοντες· πολὺ δὲ μάλιστα πάντων αἱ πόλεις
ἐῶσαι αὐτοὺς εἰσαφικνεῖσθαι καὶ οὐκ ἐξελαύνουσαι εἴτε τις ξένος
ἐπιχειρεῖ τοιοῦτόν τι ποιεῖν εἴτε ἀστός· πότερον δέ ὦ ἄνυτε ἠδί-
κηκέν τίς σε τῶν σοφιστῶν ἢ τί οὕτως αὐτοῖς χαλεπὸς εἶ: οὐδὲ μὰ δία
ἔγωγε συγγέγονα πώποτε αὐτῶν οὐδενί· οὐδ᾽ ἂν ἄλλον ἐάσαιμι τῶν
ἐμῶν οὐδένα: ἄπειρος ἄρ᾽ εἶ παντάπασι τῶν ἀνδρῶν: καὶ εἴην γε:
πῶς οὖν ἂν ὦ δαιμόνιε εἰδείης περὶ τούτου τοῦ πράγματος εἴτε τι
ἀγαθὸν ἔχει ἐν αὑτῷ εἴτε φλαῦρον· οὗ παντάπασιν ἄπειρος εἴης:
ῥᾳδίως· τούτους γοῦν οἶδα οἵ εἰσιν εἴτ᾽ οὖν ἄπειρος αὐτῶν εἰμι εἴτε μή:
μάντις εἶ ἴσως ὦ ἄνυτε· ἐπεὶ ὅπως γε ἄλλως οἶσθα τούτων πέρι
ἐξ ὧν αὐτὸς λέγεις θαυμάζοιμ᾽ ἄν· ἀλλὰ γὰρ οὐ τούτους ἐζητοῦ-
μεν τίνες εἰσὶν παρ᾽ οὓς ἂν μένων ἀφικόμενος μοχθηρὸς γένοιτο·
οὗτοι μὲν γὰρ εἰ σὺ βούλει ἔστωσαν οἱ σοφισταί· ἀλλὰ δὴ ἐκείνους εἰπὲ
ἡμῖν καὶ τὸν πατρικὸν τόνδε ἑταῖρον εὐεργέτησον φράσας αὐτῷ παρὰ
τίνας ἀφικόμενος ἐν τοσαύτῃ πόλει τὴν ἀρετὴν ἣν νῦν δὴ ἐγὼ διῆλ-
θον γένοιτ᾽ ἂν ἄξιος λόγου: τί δὲ αὐτῷ οὐ σὺ ἔφρασας: ἀλλ᾽ οὓς
μὲν ἐγὼ ᾤμην διδασκάλους τούτων εἶναι εἶπον· ἀλλὰ τυγχάνω οὐδὲν
λέγων ὡς σὺ φῄς: καὶ ἴσως τι λέγεις: ἀλλὰ σὺ δὴ ἐν τῷ μέρει αὐ-
τῷ εἰπὲ παρὰ τίνας ἔλθῃ ἀθηναίων· εἰπὲ ὄνομα ὅτου βούλει:
τί δαὶ ἑνὸς ἀνθρώπου ὄνομα δεῖ ἀκοῦσαι· ὅτῳ γὰρ ἂν ἐντύχῃ ἀθηναί-
ων τῶν καλῶν κἀγαθῶν οὐδεὶς ἔστιν ὃς οὐ βελτίω αὐτὸν ποιήσει ἢ οἱ σο-
φισταί ἐάνπερ ἐθέλῃ πείθεσθαι: πότερον δὲ οὗτοι οἱ καλοὶ κἀγαθοὶ
ἀπὸ τοῦ αὐτομάτου ἐγένοντο τοιοῦτοι παρ᾽ οὐδενὸς μαθόντες· ὅ-
μως μέντοι ἄλλους διδάσκειν ἱκανοὶ ὄντες ταῦτα ἃ αὐτοὶ οὐκ ἔμαθον:
καὶ τούτους ἔγωγε ἀξιῶ παρὰ τῶν προτέρων μαθεῖν ὄντων καλῶν
κἀγαθῶν· ἢ οὐ δοκοῦσί σοι πολλοὶ καὶ ἀγαθοὶ γεγονέναι ἐν τῇδε τῇ
πόλει ἄνδρες: ἔμοιγε ὦ ἄνυτε καὶ εἶναι δοκοῦσιν ἐνθάδε ἀγαθοὶ
τὰ πολιτικά· καὶ γεγονέναι ἔτι οὐχ ἧττον ἢ εἶναι· ἀλλὰ μῶν καὶ διδάσκα-
λοι ἀγαθοὶ γεγόνασιν τῆς αὑτῶν ἀρετῆς· τοῦτο γάρ ἐστιν περὶ οὗ ὁ λό-
γος ἡμῖν τυγχάνει ὤν· οὐκ εἰ εἰσὶν ἀγαθοὶ ἢ μὴ ἄνδρες ἐνθάδε· οὐδ᾽ εἰ
γεγόνασιν ἐν τῷ πρόσθεν· ἀλλ᾽ εἰ διδακτόν ἐστιν ἀρετὴ πάλαι σκοποῦμεν·

τοῦτο δὲ σκοποῦντες· τόδε σκοποῦμεν· ἆρα οἱ ἀγαθοὶ ἄνδρες καὶ
τῶν νῦν καὶ τῶν προτέρων ταύτην τὴν ἀρετὴν ἣν αὐτοὶ ἀγαθοὶ ἦ-
σαν ἠπίσταντο καὶ ἄλλῳ παραδοῦναι ἢ οὐ παραδοτὸν τοῦτο ἀνθρώ-
πῳ οὐδὲ παραληπτὸν ἄλλῳ παρ' ἄλλου· τοῦτ' ἔστιν ὃ πάλαι ζητοῦμεν
ἐγώ τε καὶ μένων· σὺ δὲ ὧδε σκόπει ἐκ τοῦ σαυτοῦ λόγου θεμιστο-
κλέα οὐκ ἀγαθὸν ἂν φαίης ἄνδρα γεγονέναι: ἔγωγε πάντων γε
465 μάλιστα: οὐκοῦν καὶ διδάσκαλον ἀγαθὸν εἴπερ τις ἄλλος τῆς
αὑτοῦ ἀρετῆς διδάσκαλος ἦν κἀκεῖνον εἶναι: οἶμαι ἔγωγε εἴ-
περ ἐβούλετό γε: ἀλλ' οἴει οὐκ ἂν ἐβουλήθη ἄλλους τε εἶναι καλοὺς
κἀγαθοὺς γενέσθαι μάλιστα δέ που τὸν υἱὸν τὸν αὑτοῦ· ἢ οἴει αὐ-
τὸν φθονεῖν αὐτῷ καὶ ἐξεπίτηδες οὐ παραδιδόναι τὴν ἀρετὴν
ἣν αὐτὸς ἀγαθὸς ἦν· ἢ οὐκ ἀκήκοας ὅτι θεμιστοκλῆς κλεόφαν-
τον τὸν υἱὸν ἱππέα μὲν ἐδιδάξατο ἀγαθόν· ἐπέμενεν γοῦν ἐπὶ τῶν
ἵππων ὀρθὸς ἑστηκὼς καὶ ἠκόντιζεν ἀπὸ τῶν ἵππων ὀρθὸς
καὶ ἄλλα πολλὰ καὶ θαυμαστὰ εἰργάζετο ἃ ἐκεῖνος αὐτὸν ἐπαιδεύ-
σατο καὶ ἐποίησε σοφὸν ὅσα διδασκάλων ἀγαθῶν εἴχετο· ἢ ταῦ-
τα οὐκ ἀκήκοας τῶν πρεσβυτέρων: ἀκήκοα: οὐκ ἂν ἄρα τήν
γε φύσιν τοῦ υἱέος αὐτοῦ ᾐτιάσατ' ἄν τις εἶναι κακήν: ἴσως
οὐκ ἄν: τί δαὶ τόδε· ὡς κλεόφαντος ὁ θεμιστοκλέους ἀνὴρ ἀγα-
θὸς καὶ σοφὸς ἐγένετο ἅπερ ὁ πατὴρ αὐτοῦ ἤδη του ἀκήκοας
ἢ νεωτέρου ἢ πρεσβυτέρου: οὐ δῆτα: ἆρ' οὖν ταῦτα μὲν οἰόμε-
θα βούλεσθαι αὐτὸν τὸν αὑτοῦ υἱὸν παιδεῦσαι· ἣν δὲ αὐτὸς σοφίαν
ἦν σοφὸς· οὐδὲν τῶν γειτόνων βελτίω ποιῆσαι εἴπερ ἦν γε διδα-
κτὸν ἡ ἀρετή: ἴσως μὰ δί' οὔ: οὗτος μὲν δή σοι τοιοῦτος διδά-
σκαλος ἀρετῆς ὃν καὶ σὺ ὁμολογεῖς ἐν τοῖς ἄριστον τῶν προτέρων
εἶναι· ἄλλον δὲ δὴ σκεψώμεθα· ἀριστείδην τὸν λυσιμάχου· ἢ τοῦτον
οὐχ ὁμολογεῖς ἀγαθὸν γεγονέναι: ἔγωγε πάντως δήπου:
οὐκοῦν καὶ οὗτος τὸν υἱὸν τὸν αὑτοῦ λυσίμαχον ὅσα μὲν διδασκά-
λων εἴχετο κάλλιστα ἀθηναίων ἐπαίδευσε· ἄνδρα δὲ βελτίω δο-
κεῖ σοι ὁτουοῦν πεποιηκέναι· τούτῳ γάρ που καὶ συγγέγονας
καὶ ὁρᾷς οἷός ἐστιν· εἰ δὲ βούλει περικλέα οὕτως μεγαλοπρε-
πῶς σοφὸν ἄνδρα οἶσθ' ὅτι δύο υἱεῖς ἔθρεψε πάραλον καὶ ξάνθιπ-
πον: ἔγωγε: τούτους μέντοι ὡς οἶσθα καὶ σὺ ἱππέας μὲν ἐδί-
δαξεν οὐδενὸς χείρους ἀθηναίων καὶ μουσικὴν καὶ ἀγωνίαν

καὶ τἆλλα ἐπαίδευσεν ὅσα τέχνης ἔχεται οὐδενὸς χείρους· ἀγαθοὺς
δὲ ἄρα ἄνδρας οὐκ ἐβούλετο ποιῆσαι; δοκῶ μὲν ἐβούλετο. ἀλλὰ μὴ οὐκ
ᾖ διδακτόν. ἵνα δὲ μὴ ὀλίγους οἴῃ καὶ τοὺς φαυλοτάτους ἀθη-
ναίων ἀδυνάτους γεγονέναι τοῦτο τὸ πρᾶγμα, ἐνθυμήθητι ὅτι
θουκυδίδης αὖ δύο υἱεῖς ἔθρεψεν μελησίαν καὶ στέφανον καὶ τούτους
ἐπαίδευσεν τά τε ἄλλα εὖ καὶ ἐπάλαισαν κάλλιστα ἀθηναίων· τὸν μὲν
γὰρ ξανθίᾳ ἔδωκε τὸν δὲ εὐδώρῳ· οὗτοι δέ που ἐδόκουν τῶν τότε
κάλλιστα παλαίειν· ἢ οὐ μέμνησαι: ἔγωγε ἀκοῇ: οὐκοῦν δῆλον
ὅτι οὗτος οὐκ ἄν ποτε, οὗ μὲν ἔδει δαπανώμενον διδάσκειν ταῦτα
μὲν ἐδίδαξε τοὺς παῖδας τοὺς αὑτοῦ, οὗ δὲ οὐδὲν ἔδει ἀναλώσαντα
ἀγαθοὺς ἄνδρας ποιῆσαι, ταῦτα δὲ οὐκ ἐδίδαξεν εἰ διδακτὸν ἦν.
ἀλλὰ γὰρ ἴσως ὁ θουκυδίδης φαῦλος ἦν καὶ οὐκ ἦσαν αὐτῷ πλεῖ-
στοι ἀθηναίων καὶ τῶν συμμάχων· καὶ οἰκίας μεγάλης ἦν καὶ ἐδύ-
νατο μέγα ἐν τῇ πόλει καὶ ἐν τοῖς ἄλλοις ἕλλησιν· ὥστε εἴπερ ἦν
τοῦτο διδακτὸν ἐξευρεῖν ἂν ὅστις ἔμελλεν αὐτοῦ τοὺς υἱεῖς ἀγαθοὺς
ποιήσειν ἢ τῶν ἐπιχωρίων τις ἢ τῶν ξένων εἰ αὐτὸς μὴ ἐσχόλα-
ζεν διὰ τὴν τῆς πόλεως ἐπιμέλειαν· ἀλλὰ γὰρ ὦ ἑταῖρε ἄνυτε μὴ
οὐκ ᾖ διδακτὸν ἀρετή: ὦ σώκρατες ῥᾳδίως μοι δοκεῖς κακῶς λέ-
γειν ἀνθρώπους· ἐγὼ μὲν οὖν ἄν σοι συμβουλεύσαιμι εἰ ἐθέλεις
ἐμοὶ πείθεσθαι εὐλαβεῖσθαι· ὡς ἴσως μὲν καὶ ἐν ἄλλῃ πόλει ῥᾴ-
διόν ἐστιν κακῶς ποιεῖν ἀνθρώπους ἢ εὖ· ἐν τῇδε δὲ καὶ πάνυ· οἶ-
μαι δὲ σὲ καὶ αὐτὸν εἰδέναι: ὦ μένων ἄνυτος μέν μοι δοκεῖ χαλεπαί-
νειν καὶ οὐδὲν θαυμάζω· οἴεται γάρ με πρῶτον μὲν κακηγορεῖν
τούτους τοὺς ἄνδρας· ἔπειτα ἡγεῖται καὶ αὐτὸς εἶναι εἷς τούτων:
ἀλλ' οὗτος μὲν ἐάν ποτε γνῷ οἷόν ἐστιν τὸ κακῶς λέγειν παύσεται
χαλεπαίνων· νῦν δὲ ἀγνοεῖ· σὺ δέ μοι εἰπέ· οὐ καὶ παρ' ὑμῖν εἰσιν
καλοὶ κἀγαθοὶ ἄνδρες; πάνυ γε: τί οὖν ἐθέλουσιν οὗτοι πα-
ρέχειν αὑτοὺς διδασκάλους τοῖς νέοις καὶ ὁμολογεῖν διδασκά-
λοι τε εἶναι καὶ διδακτὸν ἀρετήν; οὐ μὰ τὸν δία ὦ σώκρατες: ἀλλὰ
τοτὲ μὲν ἂν αὐτῶν ἀκούσαις ὡς διδακτόν· τοτὲ δὲ ὡς οὔ: φῶ-
μεν οὖν τούτους διδασκάλους εἶναι τούτου πράγματος οἷς μη-
δὲ αὐτὸ τοῦτο ὁμολογεῖται: οὔ μοι δοκεῖ ὦ σώκρατες: τί δαὶ δὴ
οἱ σοφισταί σοι οὗτοι οἵπερ μόνοι ἐπαγγέλλονται δοκοῦσι διδάσκα- 466
λοι εἶναι ἀρετῆς: καὶ γοργίου μάλιστα ὦ σώκρατες ταῦτα ἄγα-

ταῦτα ἄγαμαι ὅτι οὐκ ἄν ποτε αὐτοῦ τοῦτο ἀκούσαις ὑπισχνουμένου· ἀλλὰ καὶ
τῶν ἄλλων καταγελᾷ ὅταν ἀκούσῃ ὑπισχνουμένων: ἀλλὰ λέγειν
οἴεται δεῖν ποιεῖν δεινούς: οὐδ' ἄρα σοὶ δοκοῦσιν οἱ σοφισταὶ διδά-
σκαλοι εἶναι: οὐκ ἔχω λέγειν ὦ σώκρατες· καὶ γὰρ αὐτὸς ὅπερ
οἱ πολλοὶ πέπονθα· τοτὲ μέν μοι δοκοῦσιν τοτὲ δὲ οὔ: οἶσθα δὲ
ὅτι οὐ μόνον σοί τε καὶ τοῖς ἄλλοις τοῖς πολιτικοῖς τοῦτο δοκεῖ τό-
τε μὲν εἶναι διδακτὸν τοτὲ δ' οὔ· ἀλλὰ καὶ θέογνιν τὸν ποιητὴν οἶ-
σθ' ὅτι ταὐτὰ ταῦτα λέγει: ἐν ποίοις ἔπεσιν: ἐν τοῖς ἐλεγείοις
οὗ λέγει καὶ παρὰ τοῖσιν πῖνε καὶ ἔσθιε καὶ μετὰ τοῖσιν ἵζε καὶ ἅν-
\> δανε τοῖς ὧν μεγάλη δύναμις· ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ διδάξεαι
\> ἢν δὲ κακοῖσιν συμμιγῇς ἀπολεῖς καὶ τὸν ἐόντα νόον· οἶσθ' ὅ-
τι ἐν τούτοις μὲν ὡς διδακτοῦ οὔσης τῆς ἀρετῆς λέγει: φαίνε-
ταί γε: ἐν ἄλλοις δέ γε ὀλίγον μεταβάς· εἰ δ' ἦν ποιητόν φησι καὶ
ἔνθετον ἀνδρὶ νόημα λέγει πως ὅτι πολλοὺς ἂν μισθοὺς καὶ
μεγάλους ἔφερον οἱ δυνάμενοι τοῦτο ποιεῖν καὶ οὔποτ' ἂν ἐξ ἀγα-
θοῦ πατρὸς ἐγένετο κακὸς πειθόμενος μύθοισι σαόφροσιν· ἀλλὰ
διδάσκων οὔποτε ποιήσεις τὸν κακὸν ἄνδρ' ἀγαθόν· ἐννοεῖς ὅ-
τι αὐτὸς αὑτῷ πάλιν περὶ τῶν αὐτῶν τἀναντία λέγει: φαίνεται:
ἔχεις οὖν εἰπεῖν ἄλλου ὁτουοῦν πράγματος οὗ οἱ μὲν φάσκον-
τες διδάσκαλοι εἶναι οὐχ ὅπως ἄλλων διδάσκαλοι ὁμολογοῦνται
ἀλλ' οὐδ' αὐτοὶ ἐπίστασθαι ἀλλὰ πονηροὶ εἶναι περὶ αὐτὸ τοῦτο τὸ
πρᾶγμα οὗ φασι διδάσκαλοι εἶναι· οἱ δὲ ὁμολογούμενοι αὐτοὶ
καλοὶ κἀγαθοὶ τοτὲ μὲν φασὶ αὐτὸ διδακτὸν εἶναι τοτὲ δὲ οὔ· τοὺς
οὖν οὕτω τεταραγμένους περὶ ὁτουοῦν φαίης ἂν σὺ κυρίως δι-
δασκάλους εἶναι: μὰ δί' οὐκ ἔγωγε: οὐκοῦν εἰ μήτε οἱ σοφι-
σταὶ μήτε οἱ αὐτοὶ καλοὶ κἀγαθοὶ ὄντες διδάσκαλοί εἰσι τοῦ πράγμα-
τος δῆλον ὅτι οὐκ ἂν ἄλλοι γε: οὔ μοι δοκεῖ: εἰ δέ γε μὴ διδάσκα-
λοι οὐδὲ μαθηταί: δοκεῖ μοι ἔχειν ὡς λέγεις: ὡμολογήκα-
μεν δέ γε πράγματος οὗ μήτε διδάσκαλοι μήτε μαθηταὶ εἶεν
τοῦτο μὴ διδακτὸν εἶναι: ὡμολογήκαμεν: οὐκοῦν ἀρετῆς
οὐδαμοῦ φαίνονται διδάσκαλοι: ἔστι ταῦτα: εἰ δέ γε μὴ διδάσκα-
λοι οὐδὲ μαθηταί: φαίνεται οὕτως: ἀρετὴ ἄρα οὐκ ἂν εἴη διδα-
κτόν: οὐκ ἔοικεν εἴπερ ὀρθῶς ἡμεῖς ἐσκέμμεθα· ὥστε καὶ θαυ-
μάζω δή ὦ σώκρατες πότερόν ποτε οὐδ' εἰσὶν ἀγαθοὶ ἄνδρες

ἢ τίς ἂν εἴη τρόπος τῆς γενέσεως τῶν ἀγαθῶν γιγνομένων. κιν-
δυνεύομεν ὦ μένων ἐγώ τε καὶ σὺ φαῦλοί τινες εἶναι ἄνδρες. καὶ σέ τε
γοργίας οὐχ ἱκανῶς πεπαιδευκέναι καὶ ἐμὲ πρόδικος. παντὸς
μᾶλλον οὖν προσεκτέον τὸν νοῦν ἡμῖν αὐτοῖς καὶ ζητητέον ὅστις ἡ-
μᾶς ἑνί γέ τῳ τρόπῳ βελτίους ποιήσει. λέγω δὲ ταῦτα ἀποβλέψας
πρὸς τὴν ἄρτι ζήτησιν, ὡς ἡμᾶς ἔλαθεν καταγελάστως ὅτι οὐ μό-
νον ἐπιστήμης ἡγουμένης ὀρθῶς τε καὶ εὖ τοῖς ἀνθρώποις πράτ-
τεται τὰ πράγματα, ᾗ ἴσως καὶ διαφεύγει ἡμᾶς τὸ γνῶναι τίνα
ποτὲ τρόπον γίγνονται οἱ ἀγαθοὶ ἄνδρες: πῶς τοῦτο λέγεις
ὦ σώκρατες: ὧδε. ὅτι μὲν τοὺς ἀγαθοὺς ἄνδρας δεῖ ὠφελίμους
εἶναι ὀρθῶς ὡμολογήκαμεν τοῦτό γε ὅτι οὐκ ἂν ἄλλως ἔχοι. ἦ
γάρ: ναί: καὶ ὅτι γε ὠφέλιμοι ἔσονται ἂν ὀρθῶς ἡμῖν ἡγῶνται
τῶν πραγμάτων καὶ τοῦτό που καλῶς ὡμολογοῦμεν: ναί: ὅτι
δ' οὐκ ἔστιν ὀρθῶς ἡγεῖσθαι ἐὰν μὴ φρόνιμος ᾖ, τοῦτο ὅμοιοι ἐσμὲν
οὐκ ὀρθῶς ὡμολογηκόσιν: πῶς δὴ ὀρθῶς λέγεις: ἐγὼ ἐρῶ. εἰ
τίς εἰδὼς τὴν ὁδὸν τὴν εἰς λάρισαν ἢ ὅποι βούλει ἄλλοσε βαδίζοι
καὶ ἄλλοις ἡγοῖτο. ἄλλο τι ὀρθῶς ἂν καὶ εὖ ἡγοῖτο: πάνυ γε: τί
δ' εἴ τις ὀρθῶς μὲν δοξάζων ἥτις ἐστὶν ἡ ὁδός, ἐληλυθὼς δὲ μὴ μη-
δ' ἐπιστάμενος. οὐ καὶ οὗτος ἂν ὀρθῶς ἡγοῖτο: πάνυ γε: καὶ ἕ-
ως γ' ἄν που ὀρθὴν δόξαν ἔχῃ περὶ ὧν ὁ ἕτερος ἐπιστήμην οὐδὲν χεί-
ρων ἡγεμὼν ἔσται. οἰόμενος μὲν ἀληθῆ. φρονῶν δὲ μή. τοῦ τοῦτο φρο- 467
νοῦντος: οὐδὲν γάρ: δόξα ἄρα ἀληθὴς πρὸς ὀρθότητα πράξε-
ως οὐδὲν χείρων ἡγεμὼν φρονήσεως. καὶ τοῦτό ἐστιν ὃ νυνδὴ πα-
ρελείπομεν ἐν τῇ περὶ τῆς ἀρετῆς σκέψει ὁποῖόν τι εἴη λέγοντες
ὅτι φρόνησις μόνον ἡγεῖται τοῦ ὀρθῶς πράττειν. τὸ δὲ ἄρα καὶ δό-
ξα ἦν ἀληθής: ἔοικέ γε: οὐδὲν ἄρα ἧττον ὠφέλιμόν ἐστιν ὀρθὴ
δόξα ἐπιστήμης: τοσούτῳ γε ὦ σώκρατες ὅτι ὁ μὲν τὴν ἐπιστή-
μην ἔχων ἀεὶ ἂν ἐπιτυγχάνοι. ὁ δὲ τὴν ὀρθὴν δόξαν. τοτὲ μὲν ἂν
τυγχάνοι. τοτὲ δ' οὔ: πῶς λέγεις. ὁ ἀεὶ ἔχων ὀρθὴν δόξαν οὐ-
κ ἀεὶ ἂν τυγχάνοι ἕωσπερ ὀρθὰ δοξάζοι: ἀνάγκη μοι φαίνεται. ὥστε
θαυμάζω ὦ σώκρατες τούτου οὕτως ἔχοντος ὅτι δή ποτε πολὺ
τιμιωτέρα ἡ ἐπιστήμη τῆς ὀρθῆς δόξης. καὶ διὰ τί τὸ μὲν ἕτερον
τὸ δὲ ἕτερόν ἐστιν αὐτῶν: οἶσθα οὖν διότι θαυμάζεις ἢ ἐγώ σοι εἴ-
πω: πάνυ γ' εἰπέ: ὅτι τοῖς δαιδάλου ἀγάλμασιν οὐ προσέσχηκας

τὸν μόνον· ἴσως δὲ οὐδ' ἔστιν παρ' ὑμῖν· πρὸς τί δαὶ δὴ τοῦτο λέγεις; ὅ
τι καὶ ταῦτα, ἐὰν μὲν μὴ δεδεμένα ἦι, ἀποδιδράσκει καὶ δραπετεύει· ἐ
ὰν δὲ δεδεμένα, παραμένει. τί οὖν δή; τῶν ἐκείνου ποιημάτων λε
λυμένον μὲν ἐκτῆσθαι, οὐ πολλῆς τινος ἄξιόν ἐστι τιμῆς, ὥσπερ δρα
πέτην ἄνθρωπον· οὐ γὰρ παραμένει· δεδεμένον δὲ πολλοῦ ἄξιον·
πάνυ γὰρ καλὰ τὰ ἔργα ἐστίν. πρὸς τί οὖν δὴ λέγω ταῦτα; πρὸς τὰς
δόξας τὰς ἀληθεῖς. καὶ γὰρ αἱ δόξαι αἱ ἀληθεῖς, ὅσον μὲν ἂν χρό
νον παραμένωσιν, καλὸν τὸ χρῆμα καὶ πάντα τἀγαθὰ ἐργάζον
ται· πολὺν δὲ χρόνον οὐκ ἐθέλουσι παραμένειν, ἀλλὰ δραπετεύ
ουσιν ἐκ τῆς ψυχῆς τοῦ ἀνθρώπου, ὥστε οὐ πολλοῦ ἄξιαί εἰσιν,
ἕως ἄν τις αὐτὰς δήσηι αἰτίας λογισμῶι. τοῦτο δ' ἐστὶν, Μένων ἑταῖ
ρε, ἀνάμνησις, ὡς ἐν τοῖς πρόσθεν ἡμῖν ὡμολόγηται. ἐπειδὰν δὲ
δεθῶσιν, πρῶτον μὲν ἐπιστῆμαι γίγνονται, ἔπειτα μόνιμοι· καὶ
διὰ ταῦτα δὴ τιμιώτερον ἐπιστήμη ὀρθῆς δόξης ἐστὶν, καὶ διαφέ
ρει δεσμῶι ἐπιστήμη ὀρθῆς δόξης. μὴ τὸν Δία, ὦ Σώκρατες,
ἔοικεν τοιούτωι τινί. καὶ μὴν καὶ ἐγὼ ὡς οὐκ εἰδὼς λέγω, ἀλλ' εἰ
κάζων· ὅτι δέ ἐστίν τι ἀλλοῖον ὀρθὴ δόξα καὶ ἐπιστήμη, πάνυ μοι
δοκῶ τοῦτο εἰκάζειν· ἀλλ' εἴπερ τι ἄλλο φαίην ἂν εἰδέναι, ὀλίγα δ' ἂν
φαίην, ἓν δ' οὖν καὶ τοῦτο ἐκείνων θείην ἂν ὧν οἶδα. καὶ ὀρθῶς
γε, ὦ Σώκρατες, λέγεις. τί δαί; τόδε οὐκ ὀρθῶς, ὅτι ἀληθὴς
δόξα ἡγουμένη τὸ ἔργον ἑκάστης τῆς πράξεως οὐδὲν χεῖρον
ἀπεργάζεται ἢ ἐπιστήμη; καὶ τοῦτο δοκεῖς μοι ἀληθῆ λέγειν.
Οὐδὲν ἄρα ὀρθὴ δόξα ἐπιστήμης χεῖρον οὐδὲ ἧττον ὠφελίμη ἔσται
εἰς τὰς πράξεις, οὐδὲ ἀνὴρ ὁ ἔχων ὀρθὴν δόξαν ἢ ὁ ἐπιστήμην.
ἔστι ταῦτα. καὶ μὴν ὅ γε ἀγαθὸς ἀνὴρ ὠφέλιμος ἡμῖν ὡμολό
γηται εἶναι. ναί. ἐπειδὴ τοίνυν οὐ μόνον δι' ἐπιστήμην ἀγαθοὶ
ἄνδρες ἂν εἶεν καὶ ὠφέλιμοι ταῖς πόλεσιν, εἴπερ εἶεν, ἀλλὰ καὶ
δι' ὀρθὴν δόξαν, τούτοιν δὲ οὐδέτερον φύσει ἐστὶν τοῖς ἀνθρώ
ποις, οὔτε ἐπιστήμη οὔτε δόξα ἀληθής, οὔτ' ἐπίκτητα· ἢ δοκεῖ
σοι φύσει ὁποτερονοῦν αὐτοῖν εἶναι; οὐκ ἔμοιγε. οὐκοῦν ἐπεὶ
δὴ οὐ φύσει, οὐδὲ οἱ ἀγαθοὶ φύσει εἶεν ἄν. οὐ δῆτα. ἐπειδὴ δέ
γε οὐ φύσει, ἐσκοποῦμεν τὸ μετὰ τοῦτο εἰ διδακτόν ἐστιν. ναί.
οὐκοῦν διδακτὸν ἔδοξεν εἶναι, εἰ φρόνησις ἡ ἀρετή; ναί. κἂν
εἴ γε διδακτὸν εἴη, φρόνησις ἂν εἶναι; πάνυ γε. καὶ εἰ μέν γε

ἢ διδάσκαλοι εἶεν διδακτὸν ἂν εἶναι μὴ ὄντων δὲ οὐ διδακ-
τόν: ἀλλὰ μὴν ὡμολογήκαμεν μὴ εἶναι αὐτοῦ διδασκάλους: ἔστι
ταῦτα: ὡμολογήκαμεν ἄρα μήτε διδακτὸν αὐτὸ μήτε φρόνησιν
εἶναι: πάνυ γε: ἀλλὰ μὴν ἀγαθόν γε αὐτὸ ὁμολογοῦμεν εἶναι:
ναί: ὠφέλιμον δὲ καὶ ἀγαθὸν εἶναι τὸ ὀρθῶς ἡγούμενον: πά-
νυ γε: ὀρθῶς δέ γε ἡγεῖσθαι δύο ὄντα ταῦτα μόνα δόξαν τε ἀλη-
θῆ καὶ ἐπιστήμην ἃ ἔχων ἄνθρωπος ὀρθῶς ἡγεῖται· τὰ γὰρ
ἀπὸ τύχης γιγνόμενα οὐκ ἀνθρωπίνῃ ἡγεμονίᾳ γίγνε-
ται· ὧν δὲ ἄνθρωπος ἡγεμών ἐστιν ἐπὶ τὸ ὀρθὸν δύο ταῦτα δόξα
ἀληθὴς καὶ ἐπιστήμη: δοκεῖ μοι οὕτω: οὐκοῦν ἐπειδὴ οὐ διδα-
κ κτόν ἐστιν οὐδ᾽ ἐπιστήμη δὴ ἔτι γίγνεται ἡ ἀρετή: οὐ φαίνεται: δυ-
οῖν ἄρα ὄντοιν ἀγαθοῖν καὶ ὠφελίμοιν τὸ μὲν ἕτερον ἀπολέλυται
καὶ οὐκ ἂν εἴη ἐν πολιτικῇ πράξει ἐπιστήμη ἡγεμών: οὔ μοι δο-
κεῖ: οὐκ ἄρα σοφίᾳ τινὶ οὐδὲ σοφοὶ ὄντες οἱ τοιοῦτοι ἄνδρες
ἡγοῦντο ταῖς πόλεσιν οἱ ἀμφὶ θεμιστοκλέα τε καὶ οὓς ἄρτι ἄνυτος
ὅδε ἔλεγεν· διὸ καὶ οὐχ οἷοί τε ἄλλους ποιεῖν τοιούτους οἷοι αὐ-
τοί εἰσι ἅτε οὐ δι᾽ ἐπιστήμην ὄντες τοιοῦτοι: ἔοικεν οὕτως ἔ-
χειν ὦ σώκρατες ὡς λέγεις: οὐκοῦν εἰ μὴ ἐπιστήμῃ εὐδοξίᾳ
δὴ τὸ λοιπὸν γίγνεται ᾗ οἱ πολιτικοὶ ἄνδρες χρώμενοι τὰς
πόλεις ὀρθοῦσιν οὐδὲν διαφερόντως ἔχοντες πρὸς τὸ φρονεῖν
ἢ οἱ χρησμῳδοί τε καὶ οἱ θεομάντεις· καὶ γὰρ οὗτοι λέγουσιν
μὲν ἀληθῆ καὶ πολλά ἴσασι δὲ οὐδὲν ὧν λέγουσι: κινδυνεύ-
ει οὕτως ἔχειν: οὐκοῦν ὦ μένων ἄξιον τούτους θείους κα-
λ λεῖν τοὺς ἄνδρας οἵτινες νοῦν μὴ ἔχοντες πολλὰ καὶ μεγάλα κα-
τορθοῦσιν ὧν πράττουσι καὶ λέγουσι: πάνυ γε: ὀρθῶς ἂν
καλοῖμεν θείους τε οὓς νῦν δὴ ἐλέγομεν χρησμῳδοὺς καὶ μάν-
τεις καὶ τοὺς ποιητικοὺς ἅπαντας· καὶ τοὺς πολιτικοὺς οὐχ ἥ-
κιστα τούτων φαῖμεν ἂν θείους τε εἶναι καὶ ἐνθουσιάζειν ἐπίπνους
ὄντας καὶ κατεχομένους ἐκ τοῦ θεοῦ ὅταν κατορθῶσι λέγον-
τες πολλὰ καὶ μεγάλα πράγματα μηδὲν εἰδότες ὧν λέγουσιν:
πάνυ γε: καὶ αἵ γε γυναῖκες δήπου ὦ μένων τοὺς ἀγαθοὺς
ἄνδρας θείους καλοῦσι· καὶ οἱ λάκωνες ὅταν τινὰ ἐγκωμιάζω-
σιν ἀγαθὸν ἄνδρα θεῖος ἀνήρ φασιν οὗτος: καὶ φαίνονταί γε
ὦ σώκρατες ὀρθῶς λέγειν· καίτοι ἴσως ἄνυτος ὅδε σοι ἄχθε-

ται λέγοντι· οὐδὲν μέλει ἔμοιγε: τούτῳ μὲν ὦ μένων καὶ αὖθις δια-
λεξόμεθα· εἰ δὲ νῦν ἡμεῖς ἐν παντὶ τῷ λόγῳ τούτῳ καλῶς ἐζη-
τήσαμέν τε καὶ ἐλέγομεν· ἀρετὴ ἂν εἴη οὔτε φύσει οὔτε διδακτὸν ἀλλὰ
θείᾳ μοίρᾳ παραγιγνομένη ἄνευ νοῦ οἷς ἂν παραγίγνηται εἰ
μή τις εἴη τοιοῦτος τῶν πολιτικῶν ἀνδρῶν οἷος καὶ ἄλλον ποιῆ-
σαι πολιτικόν· εἰ δὲ εἴη, σχεδὸν ἄν τι οὗτος λέγοιτο τοιοῦτος ἐν
τοῖς ζῶσιν, οἷον ἔφη ὅμηρος ἐν τοῖς τεθνεῶσιν τὸν τειρεσίαν εἶναι λέ-
γων περὶ αὐτοῦ ὅτι οἶος πέπνυται τῶν ἐν ἅιδου· αἱ δὲ σκιαὶ ἀΐσ-
σουσιν· ταὐτὸν ἂν καὶ ἐνθάδε ὁ τοιοῦτος ὥσπερ παρὰ σκιὰς ἀληθὲς
ἂν πρᾶγμα εἴη πρὸς ἀρετήν: κάλλιστα δοκεῖς μοι λέγειν ὦ σώκρατες:
ἐκ μὲν τοίνυν τούτου τοῦ λογισμοῦ ὦ μένων θείᾳ μοίρᾳ ἡμῖν φαίνε-
ται παραγιγνομένη ἡ ἀρετὴ οἷς ἂν παραγίγνηται· τὸ δὲ σαφὲς περὶ
αὐτοῦ εἰσόμεθα τότε ὅταν πρὶν ᾧτινι τρόπῳ τοῖς ἀνθρώποις
παραγίγνεται ἀρετή, πρότερον ἐπιχειρήσωμεν αὐτὸ καθ' αὑτὸ ζη-
τεῖν τί ποτ' ἔστιν ἀρετή· νῦν δ' ἐμοὶ μὲν ὥρα ποι ἰέναι· σὺ δὲ ταῦτα ἅ-
περ αὐτὸς πέπεισαι, πεῖθε καὶ τὸν ξένον τόνδε ἄνυτον ἵνα πρᾳό-
τερος ᾖ· ὡς ἐὰν πείσῃς τοῦτον, ἔστιν ὅτι καὶ ἀθηναίους ὀνήσεις·

πλάτωνος μένων ἢ περὶ ἀρετῆς

ἐγράφη χειρὶ ἰω(άννου) καλλιγράφου
εὐτυχῶς ἀρέθᾳ διακόνῳ πατρ-
εῖ· νομισμάτων βυζαντί-
ων δέκα καὶ τριῶν· μηνὶ νοεμ-
βρίῳ ἰνδικτιῶνι ιδ΄· ἔτει κόσμου
͵ςυ΄· βασιλείας λέοντος τοῦ φι-
λοχρίστου υἱοῦ βασιλείου τοῦ ἀειμνήστου·





419 v



